p. 545, 4 γεγένηται *: γένηται || 7 θρέψεις *: τρέφεις || 10 ἐρυθρὸν — αὐτὸ — αὐτὸ *: ἐρυθρὸς — αὐτὸς — αὐτὸς || 24 αλειφε? || 28 πρησμονὴν C. B. Hasius: πρισμονὴν || 29 πρησθῇ idem: πρισθῇ ||

p. 546, 1 τοῦ deleam || 2 fortasse λαβὲ καὶ σευτλόρριζα || 4 fortasse ἀποπιάσας ἐξ αὐτοῦ λάμβανε εἰς τὸ τρίτον, καὶ ἐντὸς || 14 ὀρνίθειον *: ὀρνιθερὸν || 15 ἀφοδεύει *: ἀφοδεύ-

Digitized by Google

σει || 17 fortasse ὠρθοτριχισμένην || 18 χλιαρῷ βουτύρῳ *: χλιαρὸν βούτυρον || 22 τοῦτο δὲ ποιήσεις? ||

p. 547, 1 ἔδῃς *: ἔδῃ || 16 immo ναρδικὸν || 17 τρῖψν? || 30 συκῆν] malim καὶ συκῆν ||

p. 548, 11 καὶ πταίροντα *: πτέροντα: || 17 ἐκρίψῃ *: ἐκτρίψῃ || 19 δριμέος *: δριμέου ||

p. 549, 3 λαβὼν *: βαλὼν || 4 καὶ adieci || 24 malim στῆσον δὲ αὐτὸν || 28 immo ὠγκωμένην hic et p. 550, 17 ||

p. 551, 2 fortasse μετὰ γυναικείου γάλακτος || 4 an καὶ τὴν ἀναπνοὴν ἐπέχηται? || 5 δύνηται *: δύναται || 15 ἕστω *: ἕσται || 19 ἀτόνως *: εὐτόνως ||

p. 553, 4 κοκκαρίσκια *: κοβαρίσκια || 5 ἀπλύτου *: ἀπολύτου || 8 τὸ addidi || 10 dele γρ. || 12 ἀλλάξεις *: ἀλλάσσεις || 20 πλυθέντων *: πληθέντων || 22 σμύρναν *: σμύρνην || 29 lacunam signavi. deesse videtur εἰς χάλκεον ||

p. 553, 1 χλίον] fortasse χλιάναντες || 3 ἐν τούτῳ *: ἐν τῷ codex. ἐντὸς Rigaltiana || ἑλίσσουσι *: λίσσουσι || 12 ἔχει *: ἔχῃ || 14 ἀπορρίψει *: ἀπορρίψεις || 27 βαλόντες *: βάλλοντες || 28 ἀποβρέξαντες *: ἀπέβρεξαν ||

p. 554, 5 δίδουσιν *: διδῶσιν || 6 ἐξάρμοσιν *: ἐξάρμωσιν || 7 ἐξαρμοσθῇ *· ἐξαρμωσθῇ || 13 κοχλιάρια *: κοχλιαρίας || 24 malim καὶ πηγανελαίου || 26 αὐτό *: αὐτόν || 28 fortasse ἐὰν ὁ ἱέραξ τι κλασθῇ || 29 ἐξάρμοσιν *: ἐξάρμωσιν ||

555, 2 λινοῦ *: λίνου || 11 fortasse μετὰ ὀθονίου λινοῦ vel μετὰ ὀθόνης λινῆς ||

p. 556, 14 lemma a Rigaltio, nisi fallor, procusum. deest in codice || 16 σαυτρίαν] an σαυρῖτιν? || 19 malim εὕροις. post ἐκριζωθέντα lacuna statuenda ||

p. 557, 1 ἀπασφάλισον *: ἀποσφάλισον || 4 θρέψον *: τρέφον || 8 δαλὸς] aut δᾳδὸς scribendum videtur aut δαλοῦ ||

p. 558, 1 ἐπιβαλεῖς *: ἐπιβάλλεις || 4 ἔχει *: ἔχῃ || 5 στρουθοκάμηλος *: στρουθοκάμηλον || 6 δύνηται *: δύναται || 17 verba εἶτα — κριαρείου videntur spuria esse || 19 τῆς adieci || 28 δώσῃς *: δώσεις ||

p. 559, 2 ἀργεμονίαν] ἀργεμώνην? || 8 lacunam signavi || 10 malim ἀποβαλεῖ || 22 μούτης? || 27 σικηνθῇ *: συκαχαθῇ ||

p. 560, 17 προσράψειας *: προσάψειας || 22 περιποιήτεις *: περιποιήσειας || 25 deest ἰαθήσεται ||

Digitized by Google

p. 561, 3 δὲ addidi || 7 ὀστράκειον *: ὀστράκιον || 12 θάλψης *< θάλψεις || 14 τίλλιν *: τίλλην || 17 malim καὶ οἶνον vel οἶνον δὲ || 20 immo ξηρὸν || κατέλθῃς *: κατέλθῃ ||

p. 562, 12 μυοχόδου *: μυοχόνδου || 19 ἀσβέστιν codex, quod nescio an scriptori reddendum sit || 25 aut delendum est παιδὸς aut scribendum γάλα γυναικὸς θηλαζούσης πρωτοτόκου παιδίον ||

p. 563, 1 σικχαινόμενον — σικχανθῇ *: συγχαινόμενον — συγχαθῇ || 3 αὐτὸν adieci || 6 ὀρνιθείου *: ὀρνιθίου || 9 ποιήσας] an λειώσας? || 10 μίξας] fortasse προσμίξας || 14 malim ἐπαίρεις vel ἐπαρεῖς || 17 βάλε *: βαλέτω || μέλιτι — μεμιγμένῳ *: μέλι — μεμιγμένον ||

p. 564, 4 τούτων *: ταῦτα || 5 τραγείου? || 7 κυλλωθέντα — κεκυλλωμένα *: κοιλωθέντα — κεκοιλωμένα || 12 ἔχει *: ἔχῃ || 13 βάλῃ *: βάλῃ || post ὦμους excidisse videtur ἔχῃ || πρησμονήν *: πρισμονήν || 14 malim τοῦτον δὲ οὕτως || 27 ἀξούγγιν ὀρνίθειον? ||

p. 565, 1 ὑελωπὴν — ὑελωπίσῃ *: ὑελοπὴν — ὑελοπίσῃ || 5 περιποίησαι *: περιποίησε || 7 ὑελωπὴν *: υελοπὴν || 22 καθαιρεῖς *: καθαιρεῖ ||

p. 566, 2 ἀφοδεύσῃ? || 8 πρησμονὴν hic et infra *: πρισμονὴν ||

p. 567, 2 καὶ πρὸς *: πρὸς codex. sed fortasse scribendum καὶ τὸν ὄρνιν πρὸς || 6 οὐδὲ *: οὔτε || malim εἰς τὸ κοντάριον || 8 σίαλον *: σάλον || 10 νήστει *: νῆστιν || 21 διατρυπήσεις *: διατρυπήσας || 23 κύλλωσιν *: κήνλωσιν ||

p. 568, 11 immo μεταφρένων || ἐπίβαλε? || 14 rectius μούτης || 20 ἐὰν] εἰ? || γνῶθι ὅτι εἰς τὰ ἐντὸς αὐτοῦ τραύματα ἔχει? || 28 τὰ addidi ||

p. 569, 5 πρησμὸν hic et infra *: πρισμὸν || 18 καὶ deleam || 19 νήστει *: νῆστιν ||

p. 570, 6. 7 immo στάχυν ||

p. 571, 6 post haec in codice habetur εἰ ὁ ἱέραξ ἀμοπλάτην χάσῃ λάβε προζύμιν ἀπὸ σίτου καὶ εἰς τοῦτο ἐπίθες || 20 scribe θέλει cum codice ||

p. 572, 2 ῥευματισθῇ? || 3 post δακρύουσι codex addit καὶ ἡ κεφαλὴ πρὸς τοὺς ὦμους ἐγγίζει, quod recipiendum erat || 4 immo κόστον. mox malim στάχυν Ἰνδικὸν ἀγριοσταφίδα et τὰ λ´ κοκκία || 7 fortasse καὶ πάντα ταῦτα τρίψας

Digitized by Google

τὸν οὐρανίσκον διάτριψον || 8 αὐτῶν] αὐτοῦ codex, quod nec ipsum reiculum est || 10 immo ἐπίπασον et versu proximo βαλῶν ||

p. 573, 4 ἀσθενὴς] ἀσθενὸν codex, unde ἀσθενῶν corrigendum erat ||

ORNEOSOPHIUM II

P. 577, 4 δυσωμίας] immo δισωμίαι || 8 malim τὸ κεφάλιν αὐτοῦ μικρὸν || 9 τὸ addidi || ξανθὸν κρεῖττον *: ξανθὸν ἔχον ψηφῖον λεπτὸν τὸ κρεῖττον || 10 τὸ ψηφὶν glossam refert || 13 ἢ καὶ κιχλάτον] verba et ipsa ad glossatorem referenda || 19 παραβάλης *: παραβάλλης || 22 πετριτῶν — πετρίτης Du Cangius: περιτῶν — περίτης ||

p. 578, 3 πετρίται idem: περίται || 22 malim μανύρα hic et infra ||

p. 579, 15 ante πλῦνε non nulla excidisse videntur || 20 μέλος] an μέρος? || 23 malim ὀρέγεται δὲ τὸ ||

p. 580, 3 εὑόρεκτον *: ἀνόρεκτον || 27 malim τὸ ὄρνεον ||

p. 581, 2 μέλη] an μέρη? || 13 δ' ἐάνπερ ἀργήσῃ *: δὲ ἂν περιαργήσῃ || 20 φυσιάσματος Hammerus ||

p. 583, 10 malim τῷ ὀρνέῳ || 29 fortasse μεμαδισμένον ||

p. 584, 10 βοεικόν *: βοικόν || 15 παραβάλης *: παραβάλλης || 22 δώσῃς *: δώσεις ||

CYNOSOPHIUM *)

P. 587, 11 ἐπιμελησόμεθα *: ἐπιμεληςώμεθα || 13 τὰς *: τοὺς || 15 τὰς *: τοὺς || 19 ante δίετής excidisse videtur ἔστω || 24 αχρησίμευτοι *: ἀχρησίμευτοι ||

*) In transcursu moneo, nuper demum in notitiam meam pervenisse programma a Gustavo Alberto Sauppio ante hos quinque annos editum, in quo extremo vir doctus ex Palatino codice 398 supplementum adiecit variae lectionis, quam ipse ego ad Arriani Cynegeticum ex eodem codice olim excerpseram. ni mirum quae aliter ille atque ego legisse sibi visus est, falsa sunt omnia et fidem faciunt, eum negotio suscepto imparem fuisse, veluti cum scribit, in membranis illis semper exhiberi *υ* pro *β*, id quod nullo tempore librarii

Digitized by Google

p. 588, 5 malim καὶ ὅσους ἂν ἄρρενας ἔχῃ || 11 ἐπιθυμεῖς *: ἐπιθυμῆς || 24 signavi lacunam. excidit τὸ στόμα αὐτῆς σίελον vel simile quid || 28 σταθμήσας *: σταθμίσας ||

p. 589, 7 ἀδόκιμα *: ἀδόκιμον || 7 post αὐτῶν requiro ἔστω || 11 fortasse τρέχει γὰρ καλῶς εἰς || 13 δὲ addidi || 14 θήλεια Rivinus: θήλει || προσήκει τῷ *: προσήκειται || θήραν *: θήρας || 17 ἐπιμείνειε *: ἐπιμείνοιε || νωθὴς γίνεται *: νωθεῖς γίνονται ||

p. 590, 4 δύο καὶ Rivinus: δύο || ξεστὸν] malim ξέστην vel ξεστίον || 12 an ἀπομεμαρασμένος? || fortasse καὶ δοκιμάζει τὸ πάθος ἀπὸ τοῦ δάκνειν || 13 ἐς τοσοῦτον ὡς μηδὲ γνῶναι *: ἑστὼς ὡς μηδὲ γνῷ κἂν ||

p. 591, 10 ἕψησον Rivinus: ἐψήθησαν || 11 μύρου φύλλα] μυριόφυλλον idem || 16 μαράθρου idem: μαράνθου ||

p. 592, 14 μέλιτος] fortasse deest τὸ ἀρκοῦν || 19 ἐπάντλησον *: ἀπάντλησον || 26 χελιδονέαν] malim χελιδόνα ||

p. 593, 5 λίτρας τρεῖς delevit Rivinus || 6 ἡμίναν *: ημῖνα || 8 ἡμίναν *: πρώτην ἡμῖνα || 9 ἐλαίου Rivinus, nescio unde. sed in talibus meliorum codicum auctoritas exspectanda est || 14 ἀράχνην codex, quod glossam sapit, quo eiecto videtur scribendum esse γναφάλιον || 22 μυλίτην *: μυελίτην || 26 κριθάριον *: κρ codex, quod ex male lecto κρ natum est || fortasse φούσκης || 27 δακτύλιον Rivinus hic et infra: δάκτυλον ||

p. 594, 1 καὶ λειώσας δεόντως *: δεόντως καὶ λειώσας || 3 ἄλειψον *: λείωσον || 4 δαφνίνων] fortasse δάφνης || 8 θέλεις *: θέλῃς || 21 βρόμον φρύξας *: βρῶμον φρίξας || 22 ἄληθε Rivinus: ἄλεθε || 23 ὅτε] malim ὅταν || 24 τὰ addidi || τοῦ βρόμου *: τῆς βρώμου || 24 aut ὅσον δύναται κορέσαι τὸν κύνα scribendum, aut, quod malim, ὅσον κορέσαι τὸν κύνα || 26 ἔφες *: ἄφες || 29 θέλεις Rivinus: θέλῃς || 30 ξέστην idem, nisi potius ξεστίον corrigendum: ξέστιν ||

p. 595, 3 fortasse κύνας δὲ μικροὺς || 4 ἔχεις *: ἔχῃς ||

---

sibi indulserunt. sed unum illud ei acceptum refero, virgulas duas a me non esse enotatas, quae distincte in codice compareant. quod munusculum ut remunerando illustrem, non fateor solum sed etiam profiteor, tres praeterea in nobilissimo illo codice virgulas ne Sauppio quidem observatas exstare capitibus tertio nono decimo.

Digitized by Google

9 lacunam signavi || *βλαβῇ* Rivinus: *λάβῃ* || 26 *αὐτὸν*] nisi delendum sit, malim *μετ' αὐτοῦ* || 27 *ὀηχθῇ*] malim *ἐδήχθη* ||

p. 596, 2 *λιθόστερον*] *λιθόστρεον* Rivinus. fortasse *λιθοπτέριον* vel *λιθόσπερμον* || *ἀργύρου* *: *ἀργίλου* || 4 *ἀλειφων* *: *ἀναλείφων* || 7 *μυῖαι* *: *μύαι* || 12 *ψυμίθιν* *: *ψιμίθιν* || 20 *καὶ* delendum, nisi scribendum *καὶ κατὰ μικρὸν κίνει* vel *κίνησον* || *ἀναζέσαν* *: *ἀναζέσας* ||

p. 597, 6 *ᾧ* *: *ᾗ* || 15 *τὸν* deleam || 16 *καὶ* post *ἔψει* addit Rivinus. fortasse *ἑψήσας* || 18 *ὀδυνωμένους* *: *ὀδυνομένους* || 20 *ὅτε*] *ὅταν*? || 24 *γενητὸν*] *γεντιανὴν*? ||

p. 598, 3 lacunam signavi, quam his verbis Rivinus explevit *καὶ τῆς οὐρᾶς καὶ τῶν τριχῶν μικρὸν εἰς τὸν κάλαμον* || 4 malim *τῇ στέγῃ* || 15 *αὐτῆς* *: *αὐτοῦ* || 16 *τὴν* *: *τὸν* || 17 *ἐπειγομένην* *: *ἐπειγόμενον* || 18 *θέλεις* *: *θέλῃς* || 20 *ἀφήψηται* *: *ἀφέψηται* || *τῇ* *: *τῷ* || 23 *τὴν* *: *τὸν* || 25 *αὐτῇ* *: *αὐτῷ* || 27 *αὐτῆς* *: *αὐτοῦ* ||

p. 599, 1 *θερμασίας* Rivinus: *θερμασίαν* || 3 *κόνιν*] *κονίαν* Rivinus || *αὐτῇ* *: *αὐτῷ* || 4 *ἄκουσον*] *ἀκουσίῳ* idem. malim *ἀκούσῃ* || 5 *ὀχεύσαντα* Rivinus: *ὀχετεύσαντα* || 15 *ἄχρις* *: *ἄχριε* || *ἱδρώσῃ* *: *ἱδρώσει* || 18 signavi lacunam ||

GEORGII PISIDAE HEXAEMERON.

Usus cum codicibus Monacensibus CLXXXIX (*A*) et CC (*B*). horum ego posteriorem totum excussi eiusque variam lectionem infra subieci. adnotavi praeterea ubicumque ab editione principe (*m*) recedendum videbatur.

Γεωργίου διακόνου κωνσταντινοπολίτου τοῦ πισίδου εἰς τὴν ἀπὸ τῆς ἑξαημέρου ὡς ἐμεγαλύνθη τὰ ἔργα σου κύριε B || 1 *ὦ* om *B* || 4 *ἐμβαλὼν B* || 5 om *B* || 9 *τὸν ἡλίου τὸν λόγον B* || 12 om *B* || 13 *εἶσω B* || 14 *ὑποστρέφει B* || 15 om *B* || 16 *μικρὰ B*: *μακρὰ m* || 19 *καὶ τὸ πνεῦμά σου φθάσαν*] *ἐκ δὲ σοῦ τοῦ φωσφόρου B* || 20 om *B* || *τῆς μερίμνης A*: *τοῦ λογισμοῦ m*. possis etiam cum Vat. 1126 *παρῆλθεν ἡ νύξ, καὶ τὸ πνεῦμά σου νέφει τῷ* (*τὸ* Vat.) *τῆς μερίμνης ἀντεφύσησε φθάσαν* || 21 *ἔλαμψε δ'*] *ἔλαμψεν B* ||

Digitized by Google

22—32 inserui ex Vat. 166, eosdem habet B, sed post versum 34 post 33 *B* et haec habet: *ὑπογραφὴ δὲ τῶν λαλούντων δογμάτων Ἔρως προσευχῆς καὶ θεότρωτος* (scr. *θεότροπος*) *πόθος* ‖ 33 citat hunc versum Schol. Hephaest. p. 181 ‖ 34 *γεωργηθέντας*] *ἐπανθήσαντας B* ‖ *τῆς σῆς ὁρόσου*] *τῶν σῶν λόγων B* ‖ 35—51 om *B* ‖ 35 *βάτον*] *βάτῳ A*. verba *οὐκ ἦν — γεωργεῖν* affert Schol. Hephaest. p. 181. cf. Nauck. Mélanges 1859. p. 264 sq. ‖ 41 *πετρῶν*: *πέτρας m* ‖ 43 *καρπὸν A*: *καρπους m* ‖ 48 *εὔφρων* codex nescio quis apud Morellium: *ἔμφρων m* ‖ 49 *ὡς A*: *καὶ m* ‖ 53 *ναμάτων* *: *ὀμμάτων m* ‖ 56 *τῶν σοφῶν σου*] *τοῦ θεοῦ τῶν B* ‖ 60 *ἔχει B* ‖ 62 *λεξιδρόμων B* ‖ 64 post hunc versum in *B* additur *διδοὺς δὲ ποινὰς εἰς ἀπλήρωτον κρίσιν* ‖ 67 *ἐνθλίψαντα B*: *ἐκθλίψαντα m* ‖ 72 *τολμήσεις* *: *τολμήσῃς m* ‖ 73 *ἐκφοβήσει B*: *ἐκφοβήσῃ m* ‖ 74—77 om *B* ‖ 75 *φράζειν A*: *φράζει m* ‖ 78 *λοιπόν B*: *Πρόκλε m* ‖ 81 *ὦ* om *B* ‖ *ἀνεξερεύνητον B* ‖ 85 *σκέπην B*: *στέγην* ‖ 86 *εἰλημμάτων B* ‖ 87 *συστάσει B*: *συντάσει m* ‖ 92 *πλάτη* Vat. 1126: *βάθη Bm* ‖ 93 *σωμάτων*] *κτισμάτων B* ‖ 95 *ὀξυδορκία B*: *ὀξυδερκία m* ‖ 101 *κυλισμάτων*] *κινημάτων B* ‖ 103 *ὅμως B*: *ὅπως m* ‖ 104 *ἑστηριγμένος B*: *ἑστηριγμένη m* ‖ 107 *ὑποστάσεις B*: *ἀποστάσεις m* ‖ 109 post hunc versum *B* exhibet versus infra lectos 122—125 ‖ 112 *πάσχ ον B*: *πάσχων m* ‖ 120 *ἀντελεγμοῖς B* ‖ *συγκρατῆται* Vat 1126: *συγκρατεῖται Bm* ‖ 122—125 om *B* vide ad v. 109 ‖ 126 *οἱ πάλαι* Vat. 1126: *ὡς μέγαν Bm* ‖ 129 *μακρὸν B* ‖ 131 *ἀβάθρων*] *ἀδήλων B* ‖ *ἐμφάσεις B* ‖ 132 *μικρὸς θεοῦ θρόνος B* ‖ 134 *πήξας* Vat. 1126: *πηγνὺς Bm* ‖ *εἰλίξῃ*? ‖ 137 *ἠρεωμένον B* ‖ 139 *ἑστάλμένος B* ‖ 145 *κτίσιν B*: *φύσιν m* ‖ 150 *πεπηγμένην B* ‖ 153 *τὴν*] *γῆν*? ‖ 154 *κρατούμενα μόνῳ A*: *συγκρατούμενα μόνῳ B*, *μόνῳ κρατούμενα m* ‖ 155 *ὄγκον*] *κόσμον B* ‖ 156 *τῷ πλάτει σου σφίγγεται B* ‖ 158 *νυγμὴ B* ‖ post hunc versum apud Quercium legitur *ὡς δημιουργὸν ὡς κτίσαντα πᾶν σοφῶς*, nescio an ex Vat. 1126 desumtum ‖ 162 *σκέπεις B* ‖ 164 *οὐ B*: *μὴ m* ‖ 167 *πυρόστομον B* ‖ 171 *αὐτοῖς* *: *αὐταῖς B*, *αὐτῶν m* ‖ 172 *βλέπη B* ‖ 173 *λάθη B* ‖ 175 *στρατεύματα θρόνων B* ‖ 176 *σεραφεὶμ B* ‖ 177 *πεπηγμένον B* ‖ 181 *σέλας*] *μέλος B* ‖ 182 *μύριον B*: *κύριον m* ‖ 184 *θεωρητοῦ B* ‖ 187 *ἐκφαντικῶς B* ‖ *ὀρθοδοξίαν B* ‖

Digitized by Google

188 *τὴν υἱότητα*] *ἁγιότητα B* || 191 *σάρκα B* || *μηδαμῶς B* || 196 *σωμάτων*] *κτισμάτων B* || 197 *ἀστέρων*] *ὀμμάτων B* || 213 *ἡνωμένως B* || 214 *συνημμένως B* || 217 *καὶ τὸν ἥλιον γράφων B* || 219 *τὸν* om *B* || *γῆν B*: *γῆς m* || 223 *πρόλαμψιν B* || *χύσιν B* || 224 *ἐκδοχαῖς B* || 225 *τὴν φορὰν B* || 226 *βοπῇ*] *βιπῇ*? || *ἀτμίδος B*: *ἀκτίνος m* || 227 *βυθοῦ B* || 228 *βρύει* Vat. 1126: *ἔχει Bm* || 229 *ἐργεπήκτης B* || 230 haec et sequentia si Pisidae tribuenda sunt, sibi ipsi furtum fecit, vide vv. 110—121 || 232 an *σφίγξεται*? || 236 *ἀντελιγμοῖς B* || *συγκρατῆται* Vat. 1126: *συγκρατεῖται Bm* || 242 *κιχρᾷς B*: *κιχρᾷ m* || *ἐκ σαυτοῦ B* || 244 *φάνσεως B* || 247 *ἀνάγκης*] *ἀρίστης B* || 251 *τῇ προσχύσει B*: *διεκχύσει m* || 255 *δείξῃ* *: *δείξει Bm* || 258 *πατὴρ οἰκοδεσπότης B* || 260 *δὲ*] *τε B* || 265 om *B* || 268 *ἔργον B*: *ἔργων m* || 271 *ποιῶν B* || *θάλψαι B*: *θάλπειν m* || 273 *ὑπερβράσῃ B*: *ὑποβράσῃ m* || 274 *δὲ*] *τε B* || *ἐμπρεπῆ B*: *εὐπρεπῆ m* || 281 *τὸ* om *B* || 283 *ζέσιν*] *κράσιν B* || 289 *εὔρυθμον B*: *εὐρύθμου m* || 295 post hunc versum videtur lacuna esse || 297 *νέας τρίχας φύει*] *τρίχας φύει νέας B*, *νέας τρίχας φέρει m* || 302 *ἥλιος ὁ φλογώδης B* || 305 *τὰ σώματα δεικνύει B* || 306 *σπαρέντων*] *σπερμάτων B* || 308 *κιρνᾷς B*: *κιρνᾷ m* || *αὐτὸν B*: *αὐτὰς m* || 309 *συμπλέκειν B*: *συμπλέκειν m* || 319 *κρεμασθῆ B* || 312 *φλέξῃ B*: *φλέξει m* || 317 *τέγκει B* || 319—322 om *B* || 325 *δύο B* || 330 *δρόσον B*: *δρόσῳ m* || 332 *προσλαβόντος B* || 336 *δὲ* om *B* || 341 *ἐκδρᾶμοι B* || 343 *φύρσιν B*: *λύσιν m* || 348 *μήτ'* *: *μηδ' Bm* || 352 *μηδὲ* *: *μήτε Bm* || *παγγενῶς B*: *πᾶν γένος m* || 353 *ἐπεισάγειν* *: *παρεισάγειν m* || 359 *τὴν διδάσκαλον φύσιν B* || 360 *φωστῆρες B*: *φωστῆρος m* || 364 *διπλοδρόμον B*: *διπλοδρόμων m* || 366 *τοῦτον οὐρανὸν B* || 375 *κτίσιν*] *φύσιν B* || 376 *γνόφου B*: *ζόφου m* || 384 *προσβολαῖς*] *εἰσβολαῖς B* || *πνευμάτων B*: *ῥευμάτων m* || 393 *διαῤῥᾶναι* codex Morellii: *διαῤῥάσαι Bm* || 396 *ἀναστρέφει B* || 400 om *B* || 402 *ἢ*] *εἰ B*. dubitanter propono *ᾗ* || 404—497 om *B* || 413 *νομὴν A*: *τομὴν m* || 423 *μυστικοὺς A*: *πιστικοὺς m* || 427 *ἄρτου μικροῦ*? || 451 *παρακρατῶν Vat.* 1126: *περικρατῶν m* || *ἠπειγμένην A*: *ὑπηγμένην m* || 463 *ἑτοιμότρωτος A*: *ἑτοιμότρωτον m* || 469 *τύπτει A*: *πλήττει m* || post v. 478 Quincius ex *Vat.* 1126 adiecit *πτωχοὺς ἔχοντας οὐσίαν κεκρυμμένην Τιμῆς πενι-*

Digitized by Google

χρᾶς, πλὴν ἀποκρότους ὅλους, Ὑπὲρ δὲ τὸν (leg. τὴν) σμάραγδον ἐστιλβωμένους· (fort. ἐστιλβωμένα omissa diastole) Προύθηκε τοῖς θέλουσιν ὀρφανὰ βρέφη, Γέροντας ἄλλους καὶ νοσοῦντας καὶ ξένους Καὶ πορφύραν καὶ βύσσον ἐστολισμένους, Εἰς ἀγγέλους δὲ προξενοῦντας ἀξίας || 484 προθήκην Quinctius: προσθήκην *m* || 499 om *B*, v. ad v. 507 || 500 προχείων *B* || 501 ἑδράσας ἄλλην βάσιν Morellius: ἑδράζων ἄλλην βάσιν *m*, ἄλλην ἑδράζων βάσιν *B* || 502 ποῖον δὲ ταύτῃ] ἢ ποῖον αὐτῇ *B* || 503 ὡς] ὃς *B* || 505 ποιεῖ *B* || 507 post hunc versum *B* habet v. 499 || 511 θεσπίζων *B* || 512 ἐνύδρων *B* || 514 ὡς] οὓς? || 515 δὲ] τε *B* || 517 παρατρέπων? || 518 ἀντιστρέφων *B*: ἀναστρέφων *m* || 521 ἐγκοπην *B* || 522 ὦ] ὡς *B* || φλογίζων *B* || 523 ξενουργῆς *: ξενουργεῖς *Bm* || αἰγυπτίας *B* || 529 καθέλκων *B* || 532 τὴν γῆν δροσίζων καὶ ποτίζων εὐθέτως *B* || 538 ζέσις] χρόνος *B* || 542 ἐφῆκε *B* || 549 περικλείσας *B* || 550 τῆς ἰκμάδος *B* || 551 φύσιν] χύσιν *B*. fortasse ῥύσιν || 553 χύσις *B*: λύσις *m* || 561—564 om *B* || 565 συντρέχει *B* || τοῖς πάγοις *B* || 566 ταῦτα *B* || 567 ἐνέργειαν *B* || 568 ἐργάτας *B* || 570 ῥύσιν λίθων *B* || 574—831 om *B* || 577 προμηθίας *Vat.* 1126: προμηθείας *Am* || 580 ὥστε] ὡς γε? || 595 λάβῃ *Vat.* 1126: λάβοι *Am* || 596 ὑποστρέφῃ *A*: ὑποστρέφοι *m* || 617 εἰσβάλῃ *: εἰσβάλοι *Am* || 619 λάβῃ *: λάβοι *Am* || 628 εἴπερ] ὥσπερ Morellius || 628 προβλήματα τοῦ σπόρου *B* || 633 σπείρουσι] πληροῦσι *B* || βάσεις *B* || 638 νεύρων *B*: νέβρων || 641 γλῶσσαν *B* || 643 περικρατεῖ *B* || 644 πάθῃ *B*: πάθοι *m* || 645 τοὺς μύλους *B* || 646 τὰ σιτία πρὸς τροφὴν *B* || 648 οὐδενὸς *B* || 655 τὴν πλάσιν *B* || 657 κυήμασιν *B* || 661 καὶ τῶν μελῶν ἐργάζεται τὰς ἐπιδόσεις *B* || 666 ὁ] καὶ *B* || 672 σαρκίνην *B* || 676 παχύνεται τοῦ σπόρου || 677 σκληρύνεται καὶ πάλιν *B* || 682 λειτουργίας *B* || 688 ἀλλοιώσεως καιρὸν λαβοῦσα *B* || 697 ἀκοῆς τὰς *B*: ἀκουῆς *m* || 698 ἐργάζεται τὰς θύρας *B* || 703 φέρειν *B*: γ' ἔχειν *m* || 704 τε τῶν ἐδεσμάτων] ὅλων ἐδωδίμων *B* || 707 γευστὸν *B*: ῥευστὸν *m* || 712 ἢ] εἰ *B* || παραπνεῖν *B*: περιπνεῖν *m* || ἐκβιάζοι *B* || 714 ἐντέθεικεν *B*: ἀντέθεικεν *m* || 718 τῆς om *B* || 724 οὕτως *B*: διατρέχον *B*: διατρέχων *m* || 726 σκοτώσει *B* || 727 προσπλάσει *B* || 728 fortasse μήτ' || 734 διπὴν? || 736 ἐκβάλοι *B*: ἐκβάλῃ *m* || 745 πόρους] το-

Digitized by Google

νους *B* || 746 τὰς ἐνεργείας νέμει *B*: ταῖς ἐνεργείαις μένει *m* || 750 τὰς δὲ] ταῖς δὲ *B* || 753 ἐφίεται *B*: ἐφέλκεται *m* || 757 εὐπορήσοι *B*: εὐπορήσει *m* || 759 λύσοι — βαθύνοι — φράσοι *B* || 762 om *B* || 765 ἢ πῶς] ἢ δὲ *B* || 766 εἰς τὴν *B*: εἰς *m* || 770 ἥρωνας *B* || 771 δακεῖν *B*: δάκνειν *m* || 773 παρἄπλάσει *B*: περιπλάσει *m* || 774 καὶ τὰ] κατὰ *B* || 775 βάπτει *B*: βλάπτει *m* || αὐτὰ *B*: αὐτὴν *m* || 777 εὐδοξίας *B*: ἀδοξίας *m* || 781 μᾶλλον om *B* || κόρον] κόρον ὅλως *B* || 782 καὶ φληγμονάς] πεφλεγμένας *B* || 783 προσθήκη *B* || 785 om *B* || 792 πείθων *: πείθει *Bm* || τὰ *B*: τε *m* || σὺν βίᾳ *B*: συμπνέειν *m* || 793 εἰλίσσεται *B*: || δὲ *B*: γὰρ *m* || post hunc versum *B* haec habet: καὶ πικρὸν ἰὸν ἐμφανῶς ἀναπτύει, quae recipienda erant || 795 στηθοδρομεῖ *B* || τρέχον *B* || 796 μὲν *B*: γὰρ *m* || 797 τοῖς λύκων] χοϊκοὺς *B* || τρόπους *B* || 799 κιρνᾷ *B*: κινεῖ *m* || συγκέρασμα *B*: συμπέρασμα *m* || 800 γεῦσιν ἡδέως τρέχει] ἡδέως τρέχει ξέσιν *B* || 801—829 om *B* || 811 κινεῖ *Vat.* 1126: ποιεῖ *m* || 814 ἀγνοῶ *Vat.* 1126: ἀγνοῶν *m* || 835 χερουβεὶμ *B* || 836 τὸν ἄνθρακα τοῦ λόγου *B* || 839 μετάρσιος τῷ βίῳ *B* || 846 τὸν ἥλιον ἐν ζόφῳ *B* || 849 ἄρτον *B* || 853 om *B* || 854 δὲ] τε *B* || 861 ποθήσει *B*: ποθήσῃ *m* || πόθον] μυθόν *B* || 868 ἀτενίζει *B*: θεωρεῖ *m*. in Vat. 1126 huius versus loco leguntur haec κόρας μύει τε καὶ σκοτοῖ τούτου φρένας, post quem alii duo, οὐ ῥᾴδιον γὰρ εὐτόνῳ τῷ βλέμματι Ἀσκαρδαμυκτεὶ προσβλέπειν τὸν ἥλιον || 869 εὐτονήσοι *B* || 876 τὸ om *B* || 877 ἐν om *B* || ὑπεστάλη *B*: συνεστάλη *m* || 892 μηδαμῶς στερουμένη *B*. erat μ. στερομένη. correxit eadem manus || 893 τεχνῆ *B* || 909 ὅλων *B*: ὅλα *m* || 912 στερὸν ἔξωθεν δέρρας *B* || 913 ἐμπαθὴς *B* || 915 ἔνειμεν *B* || 928 τοὺς θολοῦντας] συνθολοῦντας *B* || 933 πικροφύλλω *B* || 939 φάγοι *B*: φάγει *m* || 943 ἀσκαμωνίαν *B*: ἀσκαμμωνίαν *m* || 947 κατωβλὲψ *B* || 948 ἐμφύσσημα *B* || πυρᾶς]φορᾶς *B* || 549 550 *B*: 950 549 *m* || 951 πυρπολῶν τὴν *B*: πυρσοβολῶν *m* || 952 δὲ] γὰρ *B* || 953 συντείνειν *B*: συγκινεῖν *m* || 954 βαραύειν *B* || ἂν] ἐν *B* || 960 om *B* || 963 ἐκπτοοῦσι *B*: ἐκφοβοῦσι *m* || 976 προβλέπη *B* || 996 ὁδοστατήσῃ καὶ ταράξῃ *B*: ὁδοστατήσει καὶ ταράξει *m* || 1002 περιπτύσσουσα *Vat.* 1126: περιπτύξασα *Bm* || 1007 τεμεῖ *B* || βυθοδρόμος *B*:

Digitized by Google

βυθοδρόμους *m* || 1008 συμβαλὼν *B* || ἐξικμάση *: ἐξικμάσει *B*, ἐξικμάσοι *m* || 1014 ὃς] ὡς *B* || μαγλάδας *B* || 1016 βλέπειν] ἔχειν *B* || 1023 πλευρομήτωρ *B* || 1024 τὴν φύσιν *B* || 1025 λέγει Quinctius: λέγοι *Bm* || 1026 γένους *B*: βίου *m* || 1030 δημιουργῆ *B* || 1032 πτίζοι *B* || 1033 εἰ ποιεῖ] ἐποιεῖ *B* || 1036 φορουμένης *B*: φορουμένην *m* || 1037—1039 om *B* || 1041 ὁρᾷ] ποιεῖ *B* || 1042 ἐντέθεικε *B*: ἐντέθηκε *m* || 1044 ῥιπῆς *: ῥοπῆς *Bm* || 1046 θηλὺν *B* || 1052 συλλέγοντες *B*: συλλεγέντες *m* || 1055 ἐγκυμονήσῃ *: ἐγκυμονήσει *Bm* || 1056 τε *B*: τὸ *m* || 1057 νεουργήσωσιν *: νεουργήσουσιν *m*, γεωργήσουσιν *B* || 1058 λεληθὼς *B*: παρελθὼν *m* || 1059 γλῶττα *B* || 1060 φύρσις *B*: φύσις *m* || 1067 κοπρομόρφους *B* || 1068 ᾧ codex Morellii: οἷς *Bm* || ἀντιστρέφειν *B* || 1073 ὑφέστηκε *B* || 1075 uncos adieci. videntur genuini versus sede sua pulsi esse || 1076 om *B* || 1077 μυστικῆς *B*: γνωστικῆς *m* || ἀφθεγξίας] fortasse ἀφθαρσίας || 1080 ἐκτεμόντες Quincius: ἐκτέμνοντες *Bm* || ἡματωμένον *B* || 1082 δοκῶ *: δοκεῖ *Bm* || 1082 in *B* post versum proximum ponitur || γῦπα] τύπον *B* || 1087 τῶν om *B* || πελεκάνω *B* || 1093 συνηγμένας *B* || 1102 εὐφρόνην] νύκτα *B* || 1107 λαμπρῷ *B* || 1108 τὰ λείψανα τοῦ τάφου *B* || 1115 αἰθρία δεικνύουσα *B* || 1117 τοὺς γαληνοὺς — σοφωτέρους *B* || 1122 χυμὸν *B* || 1123 σκληρὰ *Vat.* 1126: ξηρὰ *Bm* || ἐξεφόρτωσε *B* || 1124—1139 om *B* || 1125 deest verbum finitum. unde nescio an exciderit versus || 1127 αὐτὴν] fortasse ἀγνὴν || 1130 addidi τῷ || 1132 desideratur subiectum. videtur versus deesse || 1134 τὰ] τε? || 1140 post hunc versum Morellius in Comment. ad Hom. S. Basil. in Hex. p. 732 addit οὕτω τι συμπέφυκε κἂν τοῖς ὀρνέοις Αἴνιγμα πιστὸν πρὸς τὸ τίκτειν ἀσπόρως || 1142 τοῖς om *B* || 1145 ποιεῖν *B*: ποιεῖ *m* || ὅπως *: ὅπου *Bm* || 1146 ἀποκρύβῃ *B*: ἀποκρύβοι *m* || 1147 νιφετὺς *B* || τὸν ἐχῖνον τοῖς σάλοις *B* || 1151 ἐργάτιν *B*: ἐργάτην *m* || 1154 ὀρθίας] εὐθείας *B* || 1155 ἐγκαρσίους *Vat.* 1126: ἐγκαρσίας *B*: ἐγκαρσίαν *m* || 1163 παραξέσῃς *B*: περιξέσῃς *m* || 117 πέντρου *B* || 1177 ὃς διττὸν *B* cum lacunula || 1185 ἄκρον *: αὐραν *Bm* || μουσικῆς] γραμμικῆς *B* || 1186 πηκτίδα Boissonadius ad Choric. p. 173: πν.:τίδα *Bm* || 1189 ἢ γ'] ἢ *B* || 1193 ἔσχε *B*: ἴσχει *m* || 1196 ἐφῆκε *B*: ἀφῆκε *m* || 1197 αἱ φύσαις (sic) *B* || 1205 ἀντιπνεύσωσι *B*: ἀντι-

Digitized by Google

πνεύσωσιν *m* || 1209 ἁπλοῖς *B*: ἁπλοῖ *m* || 1223 ἀπογεοῖ *B*: ἀπογαιοῖ *m* || 1324 αὐτὰ *B* || μέσως κλήρου *B* || 1225 εἰκύσαι *B* || 1228 αἱματουμένη *B* || 1229 ἐκεῖνα *B*: ἐκεῖσε || 1231 ὦ πῶς ἰδών τις] ὡς εἴ τις ἴδοι *B* || ταὼ *B* || μὴ] καὶ *B* || an θαυμάσῃ? || 1232 συμπεπλεγμένον *B* || 1234 πολυμόρφους *B* || 1236 παγγενῆ codex Morellii: παγκενῆ *m*, παμπληθῆ *B* || 1239 ἕτοιμον *B* || 1248 βόσκεται δὲ τὴν τρύγην *B* || 1253 φαυλίσῃ *B*: φαυλίσοι *m* || 1256 ἠγλαϊσμένον *B*: ὡραϊσμένον *m* || 1260 σμικρὰ *B* || θαυμάσοι *B*: θαυμάσει *m* || 1261 στέγων *B* || 1262 παντεργάτου *B*: πανεργάτου *m* || post hunc versum in *B* redit versus 1260 una litera truncatus σὺν τοῖς μεγίστοις καὶ τὰ μικρὰ θαυμάσοι || 1263 versus nisi fallor glossatori tribuendus || 1267 ἂν τεθῆναι *B* || 1271 τοσαύτης] τοσαῦ^τα *B*, τοσαύτοις (sic) *m* || προβαλεῖν *B*: προσβάλλειν *m* || λεπτουργίας *: λειτουργίας *B*, λεπτουργίαν *m* || 1271—1277 om *B* || 1278 τὸν *B*: καὶ *m* || Σηρικὸς *B*: Σηρικῶν *m* || 1283 ὅτι] ὡς ἡ *m* || 1286 νημάτων *B*: μνημάτων *m* || 1287 τάφον *B*: ταφὴν *m* || 1293 πλάσιν] θέαν *B* || 1294 πλανωμένων *B*: πλανουμένων *m* || 1295 πικρὰν] νεκρὰν *B* || 1297 πεισθᾶμεν *B* || σέβειν *B* || 1298 τύχωμεν *B* || 1302 ἀνέτρεψαν *B* || 1303 ἀπομμάτου *B* || 1306 καὶ om *B* || χελιδωνίαν *B* || 1307 ἐθέσπισαν δογμάτων *B* || 1310 εἰσβάλλῃ *B* || 1317—1509 om *B* || 1323 φύει? || 1331 ἀντεστράφη *A*: ἀναστρέφει *m* || 1341 ἡμῖν *Vat.* 1126: ἡμᾶς *Am* || 1347 πνοτρόφου *A*: πνοτρόφου *m* || 1351 σύμπηξιν *Vat.* 1126: σύντηξιν *Am* || 1408 λύσῃ *A*: λύσει *m* || 1413 δέῃ *A*: δέοι *m* || 1440 σπαράξῃ *A*: σπαράξοι *m* || 1443 ἀνθυποδράμῃ] ἀνθυποδραμοῖ *A*: ἀνθυποδράμοι *m* || 1449 λάβῃ *A*: λάβοι *m* || 1471 οὕτω σεαυτὸν Quinctius || 1494 τοῦ *Vat.* 1126: τὸ *m* || 1516 δὲ] γὰρ *B* || 1520 hunc versum *B* habet post 1526 || ἀποξέει *B*: αποξέοι *m* || 1521 ἀψινθίου *B*: ἀψινθίας *m*. de hiatu nescio quid blateraverim in Praef. ad Erot. Gr. t. 2 p. XVI || 1524 Ἱπποκράτας] ὑποκράτας *B*: Ἱπποκράτους *m* || 1528 τοῖς γὰρ] καὶ τοῖς *B* || 1529 ἐλπίδας *B* || 1534 ὑποκάμπων *B* || 1537 ὡς εὐτάλαντος *B* || 1538 ἐντιθεῖσα *Vat.* 1126: ἀντιθεῖσα *B*, ἐντεθεῖσα *m* || 1541 ποθεὶς δὲ χυλὸς] πόσις δὲ χυλοῦ *B* || κωβιῶν *B*: τῶν κωβιῶν *m* || 1544 χέμεθλα *B* || 1545 θραύει *B*: φθάνει *m* || 1552 ἐπι-

Digitized by Google

αὐτοῖς *m* || 1861 *νίφει* idem: *νείφει m* || 1862 *δοκῇ* idem: *δοκεῖ m* || 1870 *ἐμβαλὼν Vat.* 1126: *ἐκβαλὼν m* || 1880 *ἠκονημένα* idem: *ἠκονισμένα m* ||

FRAGMENTUM HERCULANENSE

Frustum hoc anno 1817 F. C. L. Sicklerus ex papyro Herculanensi Londini asservato eruit et cum Literarum Societate Gottingensi communicavit. publici iuris fecit Heerenius in 'Gött. Gel. Anz.' 1837 p. 26. idemque Nymphidis esse statuit, levissimo serpentum testimonio usus, quos eiusdem magnitudinis Aelianus in H. A. XVII 3 auctore Nymphide commemorat.

1 *καθ'* immo *κατ'* || 3 *μὲν* post *ἑνίας* videtur expungendum esse. ceterum requiritur *ἑνίους* et mox *οὓς* et *παρέχοντας* || *πεντεκαιδεκαπηχέας*] immo *πεντεκαιδεκαπήχεις* || 6 *χώρα*] malim *ἡ χώρα* || *παρήκει*] fortasse *παράκειται* || 8 *πετρηρεφέες*] debebat esse *πετρηρεφεῖς* || 10 optime concluditur sententia voce *ἀποφαίνουσαι*, ut *ερεψαι* ad sequentia pertinere videatur. sed de his ipsis alii viderint.

Digitized by Google

πλέων *B* || 1555 ἔμψυχος *B*: ἄψυχος *m* || 1556 ἑαυ *B* || 1559 σπασθέντα] παθόντα *B* || 1564. 1565 μυόπων *B* || 1567 συγκροτουμένη *B*: συγκρατουμένη *m* || 1568 θαλάττης κοχλίοι *B* || 1570 στοιχιώσεις videri scribendum esse dixi in Praef. ad Erot. Gr. II. p. XLVIII || 1575 πρόρριζον *B* || 1581 ἀκουσίους *B*: ἀκουσίας *m* || 1582 γύγου *B*: λύκου *m* || 1586 ἔσβεσε *B* || 1587 ὤκλασε *B* || 1589 λωβωμένης *: λωβουμένης *Bm* || 1593 τινος *B*: τινες *m* || λέγουσιν] πεσόντος *B* || εἰς φρικτὸν πάθος *B*: ὡς φρυκτοῦ πάθους *m* || 1597 σκορπίος *B*: σκορπίου *m* || 1598 πρὸς] εἰς *B* || 1599 συγκράσει ξένῃ] συγκρατουμένη *B* || 1601 λαβὼν *B* || 1604 φλυῶν *B* || 1608 λοιπὸν] τινὰς *B* || 1616 δέρμα] δέ με *B* || ῥοιὰν *B* || 1618 συντιθέντι *B* || 1620 φλυώδης *B* || τείνων] τέμνων *B* || 1622 θέσει *B* || 1626 ὑμνήση *B* || 1627 φύσις *B* || 1630 λευκοδέρμους *Vat.* 1126: λευκοδρόμους *B*, λευκοδέσμους *m* || 1653—1804 om *B* || 1643 post haec in *Vat.* 1126 est versus ὕλην ἄυλον μυστικῶς ἀπειργάσω, supra lectus 881 || 1655 μὲν εἰδὼς ὄνομα *: μὲν εἶδος ὄνομα *Vat.* 1126, ἰδὼν ὄνομά τε *m* || 1663 γίνῃ codex Morellii: γείνῃ *m* || 1665 uncis inclusit Morellius. idem ad versum 1668 adscripsit στίχος νοθευόμενος et post τῇ asteriscum posuit || 1683 τό Quinciana: τέ *m* || 1686 τὸ *Vat.* 1126: τῷ *m* || 1687 τῇ *Vat.* 1126: τὸ *m* || 1688 διακρίσει *Vat.* 1126: διαστάσει *m* || 1689 ῥέπῃ *: ῥέποι *B* || ἁρμόσῃ *: ἁρμόσοι *m* || 1695 ἐμβαθύνει *Vat.* 1126: ἐκβαθύνει *m* || 1697 δὲ idem codex: καὶ *m* || 1736 ποῖον πάλιν— ἐγκλείοντα — ποῖον *Vat.* 1126: ποίαν πύλην — ἐκκλείοντα — ποίαν *m* || 1742 χθονὸς δὲ *Vat.* 1126: ἐμῆς γῆς *m* || 1744 προσέλθω? || 1745 ἐγκρούσω Vat. 1126: ἐγκλείσω *m* || 1757 βίος idem codex: βία *m* || 1764 πνευματώσῃ *: πνευματώσει *m* || 1785 Θεοδόχου nescio an Θεωδόχου scribendum sit, ut metri causa ἀκρατωσύνης est apud Theodorum Prodr. Galeom. 20. ἀγαθωσύνη apud Ephraemium 10029. συμμωρία in Matrangae Anecd. II. p. 631, 121. sed λαρδοκόπος apud eundem Prodromum habetur ibidem v. 37 || 1810 σφαγῆς *Vat.* 1126: σφαγεὺς *m* || 1816 ἔσφιγγε *: ἔσφιγξε *m* || ἔσω *Vat.* 1126: κάτω *m* || 1825 δοκῇ *: δοκεῖ *m* || 1832 ὅλων — τῶν — τόπων *Vat.* 1126: ὅλον — τὸν — τόπον *m* || 1837 αὐτῷ idem codex: αὐτοῦ *m* || 1848 καθ' ἡμῶν *Vat.* 1126: πρὸς ἡμᾶς *m* || 1849 αὐτῶν idem codex:

Digitized by Google

ADDENDA ET CORRIGENDA.

VOL. I.

P. p. VI. l. 4 a fine pro 18 scr. p. 18, 2 || p. VII, 28 ante *ἐπιβουλήν* excidit 32 itemque 18 ante *τούτου* p. X, 3 a fine || p. XI, 8 dele asteriscum. *ἄπρατος* certatim correxerunt Pauwius Hemsterhusius Toupius || ibid. lin. 23 pro 11 scr. 22 || p. XV, 2 post *φυλάττεται* excidit *) || p. XVI, 15 pro 20 repone 1 || p. XIX, 5 verba *ποιεῖν μοίρας* sanissima sunt || ibid. l. 17 post *τιμήν* excidit *ἄνετον* || ibid. l. 20 pro 12 scr. 2 || p. XX, 4 a fine ante 22 excidit p. 120 || p. XXIV, 18 scr. *αἱροῦσιν* || p. XXVI, 10 scr. *εὐημερίαν τινά* *: *εὐημερίας τινάς* || p. XXVII, 10 *Λιγυστίνων* Iacobsii correctio est, non mea || p. XXVIII, 27 ante 24 excidit p, 192 || p. XXXV, l. ult. ante *κλάοντες* adde 27 || p. XXXVII, 15 scribe: *κερκώπην* G. Dindorfius: *κερκώπαν* || p. XXXVIII, 23 ante *τό* adde 20 || p. XLII, 2 a fine scr. *στιγμαί* * || p. XLIII, 15 pro 20 scr. 32 || ibid. l. 27 scr. *ἀπέσβησαν* Iacobsius || p. XLVI, 17 *Μεμνόνεια* iam in Mediceo Iacobsii extat || p. XLVII, 22, pro *δὲ ἐκ* scr. *δὲ καὶ* || p. XLIX, 23 pro *ῥᾷστα* scr. *αὐτὸν ῥᾷστα* || p. LII, 15 pro posteriore *ἔχειν* scr. *ἔχων* || p. LIII, 3 scribe: Iacobsius || p. LVIII, l. penult. scribe: *κανδυτᾶνες* G. Dindorfius: *καναυτᾶνες* || p. 10, 9 scr. *ἢ* || p. 16, 21 scr. *μῖξιν* || p. 20, 28 rectius scribes *ἀλκυονίας*, v. Lobeck. ad Soph. Ai. p. 118 || p. 25, 16 scr. *οἳ* || p. 26, 21 scr. *μῖξιν* || p. 39, 24 scr. *ἐσῆεσαν* || p. 51, 8 scr. *ἢ* || p. 112, 4 *ὄρνιν* retinet Lobeckius l. c. p. 166. sed aliena a nostro loco exempla attulit || p. 140, 2 malim *περιμένει* || p. 143, 11 *αὐτός* suspectum || p. 144, 11 Aelianum

Digitized by Google

voce ἀνέκλασεν intransitive usum esse iniuria dixi in Thesauro || p. 151, 18 an ὀρελβατις? || p. 294, 19 nunc praefero φύσεις καὶ θέσεις cum excerptis Laurentianis || p. 218, 8 περιόντα καὶ ζῶντα] horum verborum ordinem in Praef. p. XXXI. temere immutavi. Aelianus Herodotum imitatus est III, 80 || p. 221, 17 malim λαγὼν || p. 239, 25 requiritur θηρίων || p. 240, 29 in margine dele 27 || p. 243, 31 Ἀράβων Eberhardus || p. 254, 21 scr. θήραν || p. 255, 11 ἐνταυθί? || p. 279, 15 rectius ὡς ἂν εὔφορα αὐτοῖς ᾖ || p. 282, 18 scr. διηνθισμένην || p. 288, 12 scr. διαβιώσας || p. 291, 11 scr. ὀρφῷ || p. 298, 12 scr. λαγνιστάτους || p. 302, 8 scr. οἰδάνοντος || p. 336, 11 scr. σκαλμοῖς || p. 347, 27 in margine dele 3 || p. 352, 18 scr. διατρίβειν || p. 371, 30 scr. ἀναμῖξαι || p. 387, 28 ἀθρόως μιᾷ πληγῇ habuit etiam Scholiasta Hom. in Crameri An. Par. III. p. 205, 21 || p. 391, 6 scr. τὰς || p. 393, 23 in margine dele 19 || p. 394, 23 restitue codicum scripturam Λίγυπτίους || p. 306, 26 in margine excidit 18 || p. 398, 8 fortasse κἂν ψηλαφήσῃς || p. 416, 5 scr. ἠρμένοι || p. 418, 26 scr. μᾶξαι || p. 419, 14 τε rectius delebitur || p. 420, 20 scr. οὗτοι || p. 429, 11 scr. οὗ || ibid. l. 31 pro τε malim δὲ || p. 430, 12 post ἐστί pone lacunam || p. 432, 23 τῶν videtur delendum esse ||

VOL. II.

P. 12, 2 scr. χοᾶ || p. 13, 2 malim πολλὰ κἀγαθὰ || 18 post ἕκαστος videtur excidisse δῶρα || p. 15, 24 rectius ἐτετόλμητο || p. 19, 9 malim ἔφυν || p. 20, 9 εἴτε || p. 21, 15 τὸ πλάτος] τὸν Πλάτωνα? || 17 scr. τριήρων || p. 23, 19 scr. καὶ || p. 24, 27 scr. ὅτι || p. 43, 28 δεῖν delet Eberhardus et paulo ante τὰ || p. 58, 16 τὰ ὅπλα idem mavult || p. 73, 8 ἐν δὴ τούτῳ idem || p. 81, 3 ὁμολογεῖ? || p. 85, 18 scr. μὴν || p. 102, 16 in margine pro 1 corrige 21 || p. 105, 2 scr. ἔδωκεν || p. 113, 5 πρὸς τῇ ἱερουργίᾳ Eberhardus || p. 136, 26 θανάτῳ servat Lobeckius ad Al. p. 292 || p. 151, 7 scr. Ἀπολλωνιᾶται || p. 160, 8 scr. θανάτῳ || p. 171, 26 scr. συμμῖξαι || p. 172, 15 scr. Ἀφθόνητον || p. 216, 1 λίθων] διὰ λίθων? || p. 225, 8 post ἀποκτείνας dele comma || p. 225, 21 scr. 81 || p. 227, 5 scr. μήτε μὴν || 10 scr. σπου-δαῖον || p. 231, 20 scr. εἰπέ ||

Digitized by Google

p. 252,30 post οὐδαμῆ excidit 'et *περισυλᾷ*' || p. 256, 22 excidit testimonium Eustathii in Dionys. 492 || p. 257, 8 scr. *ἐπιδεικνυμένου* || 28 adde Eustathium in Od. *μ*. p. 1710 || p. 258, 2 *ἐπιτελοῦντε* Eberhardus || p. 261, 15 dele hoc fragmentum || p. 269, 20 *μάλα*] *ἄμαχον*? || p. 275, 9 scr. *ην* || p. 283, 5 dele hoc fragmentum ||

Fragmentis adde haec:

354.

Ἀμοιβὴν τοῦ θεοειδεστάτου τρόπου θαυμαστὴν ἐφέρετο· ἔρρει γάρ οἱ κατὰ πρύμναν τὰ ἐκ τῆς τύχης, καὶ πᾶσιν οἷς ἐπέθετο τούτων ἥμαρτεν οὐδενός.

Suidas *Ἀμοιβήν* et *ἔρρει*.

355.

Δύο νεανίσκων κεκονιμένων καὶ ἀγγελίαν ἀπαγγειλάν ων.

Suidas *Κεκονιμένων*.

Digitized by Google

Digitized by Google

ΑΙΛΙΑΝΟΥ

ΠΟΙΚΙΛΗΣ ΙΣΤΟΡΙΑΣ

ΒΙΒΛΙΑ ΙΔ

Digitized by Google

Digitized by Google

A

Δεινοὶ κατὰ κοιλίαν εἰσὶν οἱ πολύποδες, καὶ 1
πᾶν ὅ τι οὖν φαγεῖν ἄμαχοι. πολλάκις γοῦν οὐδὲ
ἀλλήλων ἀπέχονται, ἀλλὰ τῷ μείζονι ὁ βραχύτερος
ἁλοὺς καὶ ἐμπεσὼν τοῖς ἀνδρειοτέροις θηράτροις τοῖς
καλουμένοις τοῦ ἰχθύος πλοκάμοις, εἶτα αὐτῷ γίνε- 5
ται δεῖπνον. ἑλλοχῶσι δὲ οἱ πολύποδες καὶ τοὺς
ἰχθῦς τὸν τρόπον τοῦτον. ὑπὸ ταῖς πέτραις κάθην-
ται, καὶ ἑαυτοὺς ἐς τὴν ἐκείνων μεταμορφοῦσι χρόαν,
καὶ τοῦτο εἶναι δοκοῦσιν, ὅπερ οὖν καὶ πεφύκασιν
αἱ πέτραι. οἱ τοίνυν ἰχθῦς προσνέουσιν οἰονεὶ τῇ 10
πέτρᾳ τοῖς πολύποσιν, οἳ δὲ ἀφυλάκτους ὄντας αὐ-
τοὺς περιβάλλουσι ταῖς ἐξ ἑαυτῶν ἄρκυσι ταῖς πλε-
κτάναις.

Ὑφαντικὴν καὶ ὑφαίνειν, δῶρα Ἐργάνης δαί- 2
μονος, οὔτε ἴσασιν αἱ φάλαγγες οὔτε εἰδέναι βού- 15
λονται. ἤ τί ποτ' ἂν καὶ χρήσαιτο τῷ τοιῷδε ἐσθήματι
τὸ τοιοῦτον θηρίον; τὸ δὲ ἄρα ** πάγη καὶ οἰονεὶ
κύρτος ἐστὶ τοῖς ἐμπίπτουσι. καὶ ἢ μὲν ἀρκυωρεῖ
πάνυ σφόδρα ἀτρεμοῦσα, καὶ ἔοικεν ἀκινήτῳ· καὶ
τὸ μὲν ἐνέπεσεν, ὅ τί ποτέ ἐστι τὸ ἐμπεσόν, ἢ δὲ 20
ἔχει δαῖτα. τοσοῦτον δ' ἐμπίπτει, ὅσον καὶ τὸ ὕφασμα
κατέχειν δυνατόν ἐστι καὶ ἐκείνῃ δειπνεῖν ἀπόχρη.

Σοφόν τι ἄρα χρῆμα ἦν γένος βατράχων Αἰγυ- 3

Digitized by Google

πτίων, καὶ οὖν καὶ τῶν ἄλλων ὑπερφέρουσι κατα πολύ. ἐὰν γὰρ ὕδρῳ περιπέσῃ Νείλου θρέμματι βάτραχος, καλάμου τρύφος ἐνδακὼν πλάγιον φέρει, καὶ ἁρπὴξ ἔχεται, καὶ οὐκ ἀνίησι κατὰ τὸ καρτερόν. ὁ δὲ ἀμηχανεῖ καταπιεῖν αὐτὸν αὐτῷ καλάμῳ· οὐ γάρ οἱ ἐγχωρεῖ περιβαλεῖν τοσοῦτον τὸ στόμα, ὅσυν ὁ κάλαμος διείργει. καὶ ἐκ τούτου περιγίνονται τῆς ῥώμης τῶν ὕδρων οἱ βάτραχοι τῇ σοφίᾳ.

4 Καὶ ἐκεῖνο δὲ κυνὸς Αἰγυπτίου σοφόν. οὐκ ἀθρόως οὐδὲ ἀνέδην οὐδὲ ἐλευθέρως ἐκ τοῦ ποταμοῦ πίνουσιν ἐπικύπτοντες ἅμα καὶ ὅσον διψῶσι λάπτοντες· ὑφορῶνται γὰρ τὰ ἐν αὐτῷ θηρία· παραθέουσι δὲ τὴν ὄχθην, καὶ παρακλέπτοντες πίνουσιν ὅσον ἁρπάσαι, πάλιν καὶ πάλιν. εἶτα οὕτως ἐκ διαλειμμάτων ἐκορέσθησαν, οὐ μὴν ἀπώλοντο, καὶ οὖν καὶ ἠκέσαντο τὸ δίψος.

5 Ἡ ἀλώπηξ, οὐ μόνον τὸ χερσαῖον θηρίον δολερόν ἐστιν, ἀλλὰ καὶ ἡ θαλαττία πανοῦργός ἐστι. τὸ μὲν γὰρ δέλεαρ οὐχ ὑφορᾶται, οὐδὲ μὴν φυλάττεται διὰ τὴν ἀκρασίαν τοῦτο, τοῦ δὲ ἀγκίστρου καταφρονεῖ καὶ πάνυ. πρὶν ἢ γὰρ τὸν ἀσπαλιέα ἀνασπάσαι τὸν κάλαμον ἢ δὲ ἀνέθορε, καὶ ἀπέκειρε τὴν ὁρμιὰν καὶ νήχεται αὖθις. πολλάκις οὖν καὶ δύο καὶ τρία κατέπιεν ἄγκιστρα, ὁ δ' ἁλιεὺς ἐκείνην οὐκ ἐβείπνησε προϊοῦσαν τῆς θαλάττης.

6 Αἱ χελῶναι αἱ θαλάττιαι ἐν τῇ γῇ τίκτουσι, τεκοῦσαι δὲ παραχρῆμα κατέχωσαν ἐν τῇ γῇ τὰ ᾠά, εἶτα ὑποστρέψασαι ὀπίσω ἐς ἦθη τὰ ἑαυτῶν νήχονται. εἰσὶ δὲ ἐς τοσοῦτον λογιστικαί, ὡς ἐφ' ἑαυτῶν ἐκλογίζεσθαι τὰς ἡμέρας τὰς τετταράκοντα, ἐν αἷς τὰ ἔκγονα αὐταῖς τῶν ᾠῶν συμπαγέντων ζῷα γίνεται. ὑποστρέψασαι οὖν αὖθις ἐς τὸν χῶρον, ἐν ᾧ κατέ-

Digitized by Google

θεντο κρύψασαι τὰ ἑαυτῶν βρέφη, ἀνώρυξαν τὴν γῆν, ἣν ἐπέβαλον, καὶ κινουμένους ἤδη τοὺς νεοττοὺς καὶ ἕπεσθαι δυναμένους αὐταῖς ἀπάγουσιν.

Ἦσαν ἄρα οἱ σῦς οἱ ἄγριοι ἰατρικῆς ἅμα καὶ θε- 7
ραπείας οὐκ ἀπαίδευτοι. οὗτοι γοῦν ὅταν αὐτοὺς 5
λαθόντες ὑοσκυάμου φάγωσι, τὰ ἐξόπισθεν ἐφέλκουσι, παρειμένως ἔχοντες ἑαυτῶν, εἶτα σπώμενοι ὅμως ἐπὶ τὰ ὕδατα παραγίνονται, καὶ ἐνταῦθα τῶν καρκίνων ἀναλέγουσι, καὶ ἐσθίουσι προθυμότατα. γίνονται δὲ αὐτοῖς οὗτοι τοῦ πάθους φάρμακον, καὶ 10
ἐργάζονται ὑγιεῖς αὐτοὺς αὖθις.

Φαλάγγιον ἐλάφοις τοσοῦτόν ἐστι κακόν, ὅσον καὶ 8
ἀνθρώποις, καὶ κινδυνεύουσιν ἀπολέσθαι διὰ ταχέων. ἐὰν μέντοι κιττοῦ γεύσωνται, ἐλύπησεν αὐτοὺς τὸ δῆγμα οὐδέν. δεῖ δὲ εἶναι τὸν κιττὸν ἄγριον. 15

Λέοντα δὲ νοσοῦντα τῶν μὲν ἄλλων οὐδὲν ὀνί- 9
νησι, φάρμακον δέ ἐστιν αὐτῷ τῆς νύσου βρωθεὶς πίθηκος.

Οἱ Κρῆτές εἰσι τοξεύειν ἀγαθοί, καὶ οὖν καὶ τὰς 10
αἶγας βάλλουσιν ἐπ᾽ ἄκροις νεμομένας τοῖς ὄρεσιν. 20
αἱ δὲ βληθεῖσαι παραχρῆμα τῆς δικτάμνου βοτάνης διέτραγον, καὶ ἅμα τῷ γεύσασθαι ὅλα ἐκείναις τὰ βέλη ἐκπίπτει.

Ἦσαν δὲ ἄρα μαντικώτατοι τῶν ζῴων καὶ μύες. 11
γηρώσης γὰρ οἰκίας ἤδη καὶ μελλούσης κατολισθάνειν 25
αἰσθάνονται πρῶτοι, καὶ ἀπολιπόντες τὰς μυωπίας τὰς αὑτῶν καὶ τὰς ἐξ ἀρχῆς διατριβάς, ᾗ ποδῶν ἔχουσιν ἀποδιδράσκουσι καὶ μετοικίζονται.

Ἔχουσι δὲ καὶ οἱ μύρμηκες, ὡς ἀκούω, μαντικῆς 12
τινα αἴσθησιν. ὅταν γὰρ μέλλῃ λιμὸς ἔσεσθαι, δει- 30
νῶς εἰσι φιλόπονοι πρὸς τὸ θησαυρίσαι καὶ ἑαυτοῖς

Digitized by Google

ἀποταμιεύσασθαι τοὺς πυροὺς καὶ τὰ λοιπὰ τῶν σπερμάτων, ὅσα μυρμήκων δεῖκνόν ἐστιν.

13 Ὁ Συρακόσιος Γέλων ὄναρ ἐβέβλητο κερανν῾ῷ, καὶ διὰ τοῦτο ἐβόα οὐκ ἀμυδρὸν οὐδ᾽ ἀσθενές, ὡς ἐν ὀνείρῳ, ἀλλ᾽ ἀνδρικῶς, ἅτε δεινῶς ἐκπλαγεὶς ὑπὸ τοῦ δέους. ὁ δὲ κύων, ὅσπερ οὖν αὐτῷ παρεκάθευδεν, ἐκ τῆς βοῆς διεταράχθη, καὶ περιβὰς αὐτὸν ὑλάκτει πάνυ σφόδρα ἀπειλητικὸν καὶ σύντονον. καὶ ἐκ τούτων ὁ Γέλων ἅμα τε ἀφυπνίσθη καὶ τοῦ δέους ἀφείθη.

14 Λέγει Ἀριστοτέλης τὸν κύκνον καλλίπαιδα εἶναι καὶ πολύπαιδα, ἔχειν γε μὴν καὶ θυμόν. πολλάκις γοῦν ἐς ὀργὴν καὶ μάχην προελθόντες καὶ ἀλλήλους ἀπέκτειναν οἱ κύκνοι. λέγει δὲ ὁ αὐτὸς καὶ μάχεσθαι τοὺς κύκνους τοῖς ἀετοῖς· ἀμύνεσθαί γε μὴν αὐτούς, ἀλλ᾽ οὐκ ἄρχειν ἀδίκων. ὅτι δέ εἰσι φιλῳδοί, τοῦτο μὲν ἤδη τεθρύληται. ἐγὼ δὲ ᾄδοντος κύκνου οὐκ ἤκουσα, ἴσως δὲ οὐδὲ ἄλλος· πεπίστευται δ᾽ οὖν ὅτι ᾄδει. καὶ λέγουσί γε αὐτὸν μάλιστα κατ᾽ ἐκεῖνον εἶναι τὸν χρόνον εὐφωνότατόν τε καὶ ᾠδικώτατον, ὅταν ᾖ περὶ τὴν καταστροφὴν τοῦ βίου. διαβαίνουσι δὲ καὶ πέλαγος, καὶ πέτονται καὶ κατὰ θαλάττης, καὶ αὐτοῖς οὐ κάμνει τὸ πτερόν.

15 Ἐκ διαδοχῆς φασιν ἐκφώλειν τὰς περιστερᾶς. εἶτα τῶν νεοττῶν γενομένων ὁ ἄρρην ἐμπτύει αὐτοῖς, ἵνα μὴ βασκανθῶσι. τίκτει δὲ ᾠὰ δύο ἡ θήλεια, ὧν τὸ μὲν πρῶτον ἄρρεν ποιεῖ πάντως, τὸ δὲ δεύτερον θῆλυ. τίκτουσι δὲ αἱ περιστεραὶ κατὰ πᾶσαν ὥραν τοῦ ἔτους· ἔνθεν τοι καὶ δεκάκις τοῦ ἔτους ὠδίνουσι. λόγος δέ τις περίεισιν Αἰγύπτιος, λέγων δωδεκάκις τὰς ἐν Αἰγύπτῳ τίκτειν. λέγει δὲ Ἀριστοτέλης καὶ διάφορον εἶναι τῆς περιστερᾶς τὴν πελειάδα· τὴν

Digitized by Google

μὲν γὰρ περιστερὰν εἶναι μείζονα, τὴν δὲ πελειάδα βραχυτέραν, καὶ τὴν μὲν περιστερὰν τιθασὸν γίνεσθαι, τὴν δὲ οὔ. λέγει δὲ ὁ αὐτὸς μὴ πρότερον ἐπιβαίνειν τὸν ἄρρενα τῇ θηλείᾳ πρὶν ἢ φιλῆσαι αὐτήν· μὴ γὰρ ἀνέχεσθαι τὰς θηλείας τὴν τῶν ἀρρένων ὁμιλίαν τοῦ φιλήματος ἔρημον. προστίθησι δὲ τούτοις καὶ ἐκεῖνο, ὅτι καὶ αἱ θήλειαι ἀλλήλας ἀναβαίνουσιν, ὅταν τῆς πρὸς ἄρρενα μίξεως ἀτυχήσωσι· καὶ οὐδὲν μὲν ἐς ἀλλήλας προΐενται, τίκτουσι δὲ ᾠά, ἐξ ὧν νεοττοὶ οὐ γίνονται αὐταῖς. εἰ δέ τι Καλλιμάχῳ χρὴ προσέχειν, φάτταν καὶ πυραλλίδα καὶ περιστερὰν καὶ τρυγόνα φησὶ μηδὲν ἀλλήλαις ἐοικέναι. Ἰνδοὶ δέ φασι λόγοι περιστερὰς ἐν Ἰνδοῖς γίνεσθαι μηλίνας τὴν χρόαν. Χάρων δὲ ὁ Λαμψακηνὸς περὶ τὸν Ἄθω φανῆναι περιστερὰς λευκὰς λέγει, ὅτε ἐνταῦθα ἀπώλοντο αἱ τῶν Περσῶν τριήρεις περικάμπτουσαι τὸν Ἄθω. ἐν Ἔρυκι δὲ τῆς Σικελίας, ἔνθα ἐστὶν ὁ τῆς Ἀφροδίτης νεὼς σεμνός τε καὶ ἅγιος, κατά τινα καιρὸν θύουσιν οἱ Ἐρυκινοὶ τὰ Ἀναγώγια, καὶ λέγουσι τὴν Ἀφροδίτην ἐς Λιβύην ἐκ Σικελίας ἀνάγεσθαι. τότε οὖν ἀφανεῖς ἐκ τοῦ χώρου αἱ περιστεραὶ γίνονται, ὥσπερ οὖν τῇ θεῷ συναποδημοῦσαι. κατά γε μὴν τὸν λοιπὸν χρόνον πάμπολύ τι πλῆθος τῶνδε τῶν ὀρνίθων ἐπιπολάζειν τῷ νεῷ τῆς θεοῦ ὡμολόγηται. Ἀχαιοὶ δὲ αὖ πάλιν λέγουσι λόγοι καὶ τὸν Δία αὐτὸν μεταβαλεῖν τὴν μορφὴν ἐς περιστεράν, ἐρασθέντα παρθένου Φθίας ὄνομα. ἐν Αἰγίῳ δὲ ᾤκει ἡ Φθία αὕτη.

Ὅτε ἦκεν ἡ ναῦς ἡ ἐκ Δήλου, καὶ ἔδει Σωκράτην ἀποθνήσκειν, ἀφίκετο ἐς τὸ δεσμωτήριον Ἀπολλόδωρος ὁ τοῦ Σωκράτους ἑταῖρος, χιτῶνά τε αὐτῷ φέρων ἐρίων πολυτελῆ καὶ ἐνήτριον καὶ ἱμάτιον τοιοῦτο.

Digitized by Google

καὶ ἠξίου ἐνδύντα αὐτὸν τὸν χιτῶνα καὶ θοιμάτιον περιβαλόμενον εἶτα οὕτω πιεῖν τὸ φάρμακον. ἔλεγε γὰρ αὐτῷ καλῶν ἐνταφίων μὴ ἀμοιρήσειν, εἰ ἐν αὐτοῖς ἀποθάνοι· καὶ γὰρ οὖν καὶ προκείσεσθαι σὺν τῷ κόσμῳ τὸν νεκρὸν οὐ πάνυ τι ἀδόξως. ταῦτα τὸν Σωκράτην ὁ Ἀπολλόδωρος· ὃ δὲ οὐκ ἠνέσχετο, ἀλλ' ἔφη πρὸς τοὺς ἀμφὶ τὸν Κρίτωνα καὶ Σιμμίαν καὶ Φαίδωνα· καὶ πῶς ὑπὲρ ἡμῶν καλῶς Ἀπολλόδωρος οὑτοσὶ δοξάζει, εἴ γε πεπίστευκεν ὅτι μετὰ τὴν ἐξ Ἀθηναίων φιλοτησίαν ἔτι ὄψεται Σωκράτην; εἰ γὰρ οἴεται τὸν ὀλίγῳ ὕστερον ἐρριμμένον ἐν ποσὶ καὶ κεισόμενόν γε εἶναι ἐμέ, δῆλός ἐστί με οὐκ εἰδώς.'

17 Ταῦτα ἄρα ἐστὶ τὰ θαυμαζόμενα Μυρμηκίδου τοῦ Μιλησίου καὶ Καλλικράτους τοῦ Λακεδαιμονίου μικρὰ ἔργα. τέθριππα μὲν ἐποίησαν ὑπὸ μυίας καλυπτόμενα, καὶ ἐν σησάμῳ δίστιχον ἐλεγεῖον χρυσοῖς γράμμασιν ἐπέγραψαν. ὧν ἐμοὶ δοκεῖν ὁ σπουδαῖος οὐδέτερον ἐπαινέσεται· τί γὰρ ἄλλο ἐστὶ ταῦτα ἢ χρόνου παρανάλωμα;

18 Πῶς δὲ οὐ διέρρεον ὑπὸ τρυφῆς αἱ παλαιαὶ τῶν γυναικῶν; ἐπὶ μὲν γὰρ τῆς κεφαλῆς στεφάνην ἐπετίθεντο ὑψηλήν, τοὺς δὲ πόδας σανδάλοις ὑπέδοῦντο, ἐκ δὲ τῶν ὤτων αὐταῖς ἐνώτια μακρὰ ἀπεκρέματο, τῶν δὲ χιτώνων τὰ περὶ τοὺς ὤμους ἄχρι τῶν χειρῶν οὐ συνέραπτον, ἀλλὰ περόναις χρυσαῖς καὶ ἀργυραῖς συνεχέσι κατελάμβανον. καὶ ταῦτα αἱ πάνυ παλαιαί· τῶν δὲ Ἀττικῶν γυναικῶν τὴν τρυφὴν Ἀριστοφάνης λεγέτω.

19 Ὁ μὲν δημώδης λόγος καὶ ἐς πάντας ἐκφοιτήσας λέγει Συβαρίταις καὶ αὐτῇ τῇ Συβάρει αἰτίαν τῆς ἀπωλείας γενέσθαι τὴν πολλὴν τρυφήν. ἃ δὲ οὐκ ἔστι τοῖς πολλοῖς γνώριμα, ταῦτα ἐγὼ ἐρῶ. Κολο-

Digitized by Google

φωνίους φασὶ καὶ αὐτοὺς διὰ τὴν πάνυ τρυφὴν ἀπολέσθαι· καὶ γάρ τοι καὶ οὗτοι ἐσθῆτι πολυτελεῖ ἐθρύπτοντο, καὶ τραπέζης ἀσωτίᾳ καὶ ὑπὲρ τὴν χρείαν χρώμενοι ὕβριζον. καὶ ἡ τῶν Βακχιαδῶν δὲ τῶν ἐν Κορίνθῳ ἀρχή, ἐπὶ μέγα δυνάμεως προελθοῦσα, ὅμως διὰ τὴν τρυφὴν τὴν ἔξω τοῦ μέτρου καὶ αὐτὴ κατελύθη.

Διονύσιος ἐξ ἁπάντων τῶν ἐν Συρακούσαις ἱερῶν ἐσύλησε τὰ χρήματα. τοῦ δὲ ἀγάλματος τοῦ Διὸς περιεῖλε τὴν ἐσθῆτα καὶ τὸν κόσμον, ὃς ἦν φασι χρυσίου πέντε καὶ ὀγδοήκοντα ταλάντων. ὀκνούντων δὲ τῶν δημιουργῶν ἅψασθαι, ὃ δὲ πρῶτος ἔκρουσε τὸ ἄγαλμα. καὶ τὸ ἄγαλμα δὲ τοῦ Ἀπόλλωνος περιεσύλησεν, ἔχον καὶ αὐτὸ χρυσοῦς βοστρύχους, κελεύσας ἀποκεῖραί τινα αὐτούς. πλεύσας δὲ ἐς Τυρρηνούς, τὰ τοῦ Ἀπόλλωνος καὶ τῆς Λευκοθέας ἅπαντα ἐσύλησε χρήματα, τὴν παρακειμένην ἀργυρᾶν τῷ Ἀπόλλωνι τράπεζαν κελεύσας ἀφελεῖν, ἀγαθοῦ δαίμονος τῷ θεῷ διδόντας πρόποσιν.

Ἰσμηνίου τοῦ Θηβαίου σοφὸν ἅμα καὶ Ἑλληνικὸν οὐκ ἂν ἀποκρυψαίμην ἔργον. πρεσβεύων οὗτος ὑπὲρ τῆς πατρίδος πρὸς τὸν βασιλέα τῶν Περσῶν, ἀφικετο μέν, ἐβούλετο δὲ αὐτὸς ὑπὲρ ὧν ἧκεν ἐντυχεῖν τῷ Πέρσῃ. ἔφατο οὖν πρὸς αὐτὸν ὁ χιλίαρχος ὁ καὶ τὰς ἀγγελίας ἐσκομίζων τῷ βασιλεῖ καὶ τοὺς δεομένους ἐσάγων 'ἀλλ', ὦ ξένε Θηβαῖε' (ἔλεγε δὲ ταῦτα περσίζων δι' ἑρμηνέως, Τιθράυστης δὲ ἦν ὄνομα τῷ χιλιάρχῳ), 'νόμος ἐστὶν ἐπιχώριος Πέρσαις, τὸν ἐς ὀφθαλμοὺς ἐλθόντα βασιλέως μὴ πρότερον λόγου μεταλαγχάνειν πρὶν ἢ προσκυνῆσαι αὐτόν. εἰ τοίνυν αὐτὸς δι' ἑαυτοῦ συγγενέσθαι θέλεις αὐτῷ, ὥρα σοι τὰ ἐκ τοῦ νόμου δρᾶν· εἰ δὲ μή, τὸ αὐτό σοι τοῦτο

Digitized by Google

καὶ δι' ἡμῶν ἀνυσθήσεται καὶ μὴ προσκυνήσαντι.' ὁ τοίνυν Ἰσμηνίας 'ἄγε με' εἶπε, καὶ προσελθὼν καὶ ἐμφανὴς τῷ βασιλεῖ γενόμενος, περιελόμενος τὸν δακτύλιον ἔρριψεν ἀθήλως παρὰ τοὺς πόδας, καὶ ταχέως ἐπικύψας, ὡς δὴ προσκυνῶν, πάλιν ἀνείλετο αὐτόν· καὶ δόξαν μὲν ἀπέστειλε τῷ Πέρσῃ προσκυνήσεως, οὐ μὴν ἔδρασεν οὐδὲν τῶν ἐν τοῖς Ἕλλησιν αἰσχύνην φερόντων. πάντα οὖν ὅσα ἠβουλήθη κατεπράξατο, οὐδὲ ἠτύχησέ τι ἐκ τοῦ Πέρσου.

22 Δῶρα τὰ ἐκ βασιλέως διδόμενα τοῖς παρ' αὐτὸν ἥκουσι πρεσβευταῖς, εἴτε παρὰ τῶν Ἑλλήνων ἀφίκοιντο εἴτε ἑτέρωθεν, ταῦτ' ἦν. τάλαντον μὲν ἑκάστῳ Βαβυλώνιον ἐπισήμου ἀργυρίου, ταλαντιαῖαι δὲ φιάλαι δύο ἀργυραῖ. δύναται δὲ τὸ τάλαντον τὸ Βαβυλώνιον δύο καὶ ἑβδομήκοντα μνᾶς Ἀττικάς. ψέλια δὲ καὶ ἀκινάκην ἐδίδου καὶ στρεπτόν, χιλίων δαρεικῶν ἄξια ταῦτα, καὶ στολὴν ἐπ' αὐτοῖς Μηδικήν· ὄνομα δὲ τῇ στολῇ ὡροφορική.

23 Ἐν τοῖς Ἕλλησι τοῖς πάλαι μακρᾷ τῇ δόξῃ διέπρεπε Γοργίας ὁ Λεοντῖνος Φιλολάου καὶ Πρωταγόρας Δημοκρίτου, τῇ δὲ σοφίᾳ τοσοῦτον ἐλείποντο, ὅσον ἀνδρῶν παῖδες. ἔοικε γάρ πως ἡ δόξα μὴ πάνυ τι ἀκριβὲς μήτε ὁρᾶν μήτε ἀκούειν· ἔνθεν τοι καὶ πολλὰ σφάλλεται, καὶ τὰ μὲν καταχαρίζεται, τὰ δὲ ψεύδεται.

24 Καύκωνος τοῦ Ποσειδῶνος καὶ Ἀστυδαμείας τῆς Φόρβαντος γίνεται παῖς Λεπρεύς, ὅσπερ οὖν συνεβούλευσε τῷ Αὐγέᾳ δῆσαι τὸν Ἡρακλῆ, ὅτε αὐτὸν ἀπῄτει τὸν ὑπὲρ τοῦ ἄθλου μισθὸν Ἡρακλῆς. ἦν οὖν οἷα εἰκὸς πολέμιος τῷ Ἡρακλεῖ ὁ Λεπρεὺς ἐκ τῆς τοιαύτης συμβουλῆς. χρόνῳ δὲ ὕστερον ὁ μὲν τοῦ Διὸς παῖς ἐς Καύκωνος ἀφίκετο, δεηθείσης δὲ τῆς

Digitized by Google

Ἀστυδαμείας διαλύεται τὴν πρὸς τὸν Λεπρέα ὁ Ἡρακλῆς ἔχθραν. φιλονεικία δ' οὖν αὐτοῖς ἐμπίπτει νεανική, καὶ ἐρίζουσιν ἀλλήλοις περὶ δίσκου καὶ ὕδατος ἀντλήσεως καὶ τίς καταδειπνήσει ταῦρον πρότερος· καὶ ἐν πᾶσι τούτοις ἡττᾶται Λεπρεύς. καὶ ὑπὲρ πολυποσίας δὲ ἀγὼν αὐτοῖς ἐγένετο, καὶ ἐνταῦθα πάλιν ὁ Ἡρακλῆς ἐκράτει. διανιώμενος δὲ ὁ Λεπρεύς, λαβὼν ὅπλα ἐς μονομαχίαν προκαλεῖται τὸν Ἡρακλῆ. καὶ οὖν καὶ ἔτισε δίκας ὑπὲρ τῶν παρ' Αὐγέᾳ· μαχόμενος γὰρ ἀποθνήσκει.

Ἀλέξανδρος ὁ Φιλίππου (εἰ δέ τῳ δοκεῖ, ὁ τοῦ Διός, ἐμοὶ γὰρ οὐδὲν διαφέρει) Φωκίωνι μόνῳ φασὶ τῷ Ἀθηναίων στρατηγῷ γράφων προσετίθει τὸ χαίρειν· οὕτως ἄρα ἠρήκει τὸν Μακεδόνα ὁ Φωκίων. ἀλλὰ καὶ τάλαντα αὐτῷ ἀργυρίου ἔπεμψεν ἑκατόν, καὶ πόλεις τέτταρας ὠνόμασεν, ὧν ἠξίου μίαν ἣν βούλεται προελέσθαι αὐτόν, ἵνα ἔχοι καρποῦσθαι τὰς ἐκεῖθεν προσόδους. ἦσαν δὲ αἱ πόλεις αἵδε Κίος Ἐλαία Μύλασα Πάταρα. ὁ μὲν οὖν Ἀλέξανδρος μεγαλοφρόνως ταῦτα καὶ μεγαλοπρεπῶς· ἔτι γε μὴν μεγαλοφρονέστερον ὁ Φωκίων, μήτε τὸ ἀργύριον προσιέμενος μήτε τὴν πόλιν. ὡς δ' ἂν μὴ δοκοίη πάντη ὑπερφρονεῖν τοῦ Ἀλεξάνδρου, ἐτίμησεν αὐτὸν κατὰ τοῦτο. τοὺς ἐν τῇ ἄκρᾳ τῇ ἐν Σάρδεσι δεδεμένους ἄνδρας ἠξίωσεν αὐτὸν ἀφεῖναι ἐλευθέρους αὐτῷ, Ἐχεκρατίδην τὸν σοφιστὴν καὶ Ἀθηνόδωρον τὸν Ἴμβριον καὶ Δημάρατον καὶ Σπάρτωνα. ἀδελφῷ δὲ ἄρα ἦστην οὗτοι Ῥοδίῳ.

Γυναῖκα ἀκούω σαλπίσαι καὶ τοῦτο ἔργον ἔχειν ἅμα καὶ τέχνην, Ἀγλαΐδα ὄνομα, τὴν Μεγακλέους παῖδα. περίθετον δὲ εἶχε κόμην καὶ λόφον ἐπὶ τῆς κεφαλῆς. καὶ ὁμολογεῖ Ποσείδιππος ταῦτα. δεῖπνον

Digitized by Google

δὲ ἦν ἄρα αὐτῇ κρεῶν μὲν μναῖ δώδεκα, ἄρτων δὲ χοίνικες τέτταρες· ἔπινε δὲ οἶνου χόα.

27 Ἀθηφάγους λέγουσιν ἀνθρώπους γεγονέναι Λιτυέρσαν τὸν Φρύγα καὶ Κάμβλητα τὸν Λυδὸν καὶ Θῦν τὸν Παφλαγόνα καὶ Χαρίλαν καὶ Κλεώνυμον καὶ Πείσανδρον καὶ Χάριππον καὶ Μιθριδάτην τὸν Ποντικὸν καὶ Καλαμόδρυν τὸν Κυζικηνὸν καὶ Τιμοκρέοντα τὸν Ῥόδιον, τὸν ἀθλητὴν ἅμα καὶ ποιητήν, καὶ Καντίβαριν τὸν Πέρσην καὶ Ἐρυσίχθονα τὸν Μυρμιδόνος· ἔνθεν τοι καὶ Ἄϊδων ἐκλήθη οὗτος. λέγεται δὲ ἐν Σικελίᾳ Ἀθηφαγίας ἱερὸν εἶναι καὶ Σιτοῦς ἄγαλμα Δήμητρος. ὁμολογεῖ δὲ καὶ Ἀλκμὰν ὁ ποιητὴς ἑαυτὸν πολυβορώτατον γεγονέναι. καὶ Κτησίαν δέ φησί τινα Ἀναξίλας ὁ τῆς κωμῳδίας ποιητὴς πολλὰ ἐσθίειν.

28 Ἀλλὰ ἔγωγε ὑμῖν ἐθέλω εἰπεῖν Ῥόδιον δόξαν. ἐν Ῥόδῳ φασὶ τὸν μὲν ἐς τοὺς ἰχθῦς ὁρῶντα καὶ θαυμάζοντα αὐτοὺς καὶ ὄντα τῶν ἄλλων ὀψοφαγίστατον, ἀλλὰ τοῦτόν γε ὡς ἐλευθέριον ὑπὸ τῶν δημοτῶν ἐπαινεῖσθαι· τόν γε μὴν πρὸς τὰ κρέα ἀπονεύοντα ὡς φορτικὸν καὶ γάστριν διαβάλλουσι Ῥόδιοι. εἴτε δὲ ἐκεῖνοι ὀρθῶς εἴτε φλαύρως, ὑπερφρονῶ τοῦτο ἐξετάζειν.

29 Λέγουσι Κώων παῖδες ἐν Κῷ τεκεῖν ἔν τινι πολίμνῃ Νικίου τοῦ τυράννου οἶν· τεκεῖν δὲ οὐκ ἄρνα ἀλλὰ λέοντα. καὶ οὖν καὶ τὸ σημεῖον τοῦτο τῷ Νικίᾳ τὴν τυραννίδα τὴν μέλλουσαν αὐτῷ μαντεύσασθαι ἰδιώτῃ ἔτι ὄντι.

30 Πτολεμαῖος ὁ βασιλεὺς ἐρώμενον εἶχε Γαλέτην ὄνομα, ἰδεῖν κάλλιστον. ἀμείνων δὲ ἦν ἄρα τούτῳ τῷ μειρακίῳ ἡ γνώμη τῆς μορφῆς. πολλάκις γοῦν αὐτῷ καὶ ὁ Πτολεμαῖος ἐμαρτύρει, καὶ ἔλεγεν ὦ

Digitized by Google

ἀγαθὴ κεφαλή, κακοῦ μὲν οὐδεπώποτε οὐδενὶ γέγονας αἴτιος, πολλοῖς δὲ καὶ πολλὰ ἀγαθὰ προυξένησας.' ὁ μὲν οὖν ἵππευε σὺν τῷ βασιλεῖ τὸ μειράκιον· ἰδὼν δὲ πόρρωθεν ἀγομένους τινὰς τὴν ἐπὶ θανάτῳ, οὐ ῥᾳθύμως εἶδεν, ἀλλ' ἔφη πρὸς τὸν Πτολεμαῖον 'ἆ βασιλεῦ, ἐπεὶ κατά τινα δαίμονα τῶν ἀγομένων ἀγαθὸν ἐπὶ ἵππων ἐτύχομεν ὄντες, φέρε, εἴ σοι δοκεῖ, τὴν ἔλασιν ἐπιτείναντες καὶ συντονώτερον ἐπιδιώξαντες Διόσκοροι τοῖς δειλαίοις γενώμεθα,

σωτῆρες ἐσθλοὶ κἀγαθοὶ παραστάται,'

τοῦτο δὴ τὸ λεγόμενον ἐπὶ τῶν θεῶν τούτων. ὃ δὲ ὑπερησθεὶς αὐτοῦ τῇ χρηστότητι καὶ τὸ φιλοίκτιρμον ὑπερφιλήσας, καὶ ἐκείνους ἔσωσε καὶ ἐπὶ πλέον προσέθηκε τῷ φίλτρῳ τοῦ κατ' αὐτὸν ἔρωτος.

31 Νόμος οὗτος Περσικὸς ἐν τοῖς μάλιστα ὑπ' αὐτῶν φυλαττόμενος. ὅταν ἐς Πέρσας ἐλαύνῃ βασιλεύς, πάντες αὐτῷ Πέρσαι κατὰ τὴν ἑαυτοῦ δύναμιν ἕκαστος προσκομίζουσιν. ἅτε δὲ ὄντες ἐν γεωργίᾳ καὶ περὶ γῆν πονούμενοι καὶ αὐτουργοὶ πεφυκότες οὐδὲν τῶν ὑβρισμένων οὐδὲ τῶν ἄγαν πολυτελῶν προσφέρουσιν, ἀλλ' ἢ βοῦς ἢ οἷς, οἱ δὲ σῖτον, καὶ οἶνον ἄλλοι. παρεξιόντι δ' αὐτῷ καὶ παρελαύνοντι ταῦτα ὑπὸ ἑκάστου πρόκειται, καὶ ὀνομάζεται δῶρα καὶ δοκεῖ τούτῳ. οἱ δὲ ἔτι τούτων ἐνδεέστεροι τὸν βίον καὶ γάλα καὶ φοίνικας αὐτῷ καὶ τυρὸν προσφέρουσι καὶ τρωκτὰ ὡραῖα καὶ τὰς ἄλλας ἀπαρχὰς τῶν ἐπιχωρίων.

32 Λόγος οὖν καὶ οὗτος Περσικός. φασὶν ἄνδρα Πέρσην, ᾧ ὄνομα ἦν Σιναίτης, πόρρω τῆς ἐπαύλεως τῆς ἑαυτοῦ ἐντυχεῖν Ἀρταξέρξῃ τῷ ἐπικαλουμένῳ

Digitized by Google

Μνήμονι. ἀποληφθέντα οὖν θορυβηθῆναι δέει τοῦ νόμου καὶ αἰδοῖ τοῦ βασιλέως. οὐκ ἔχων δὲ ὅ τι χρήσαιτο τῷ παρόντι, ἡττηθῆναι τῶν ἄλλων Περσῶν μὴ φέρων μηδὲ ἄτιμος δόξαι τῷ μὴ δωροφορῆσαι βασιλέα, ἀλλ' οὗτός γε πρὸς τὸν ποταμὸν τὸν πλησίον παραρρέοντα ᾧ Κῦρός ἐστιν ὄνομα ἐλθὼν σὺν σπουδῇ καὶ ᾗ ποδῶν εἶχε μάλιστα, ἐπικύψας ἀμφοτέραις ταῖς χερσὶν ἀρυσάμενος τοῦ ὕδατος 'βασιλεῦ' φησὶν "Ἀρταξέρξη, δι' αἰῶνος βασιλεύοις. νῦν μὲν οὖν σε ὅπῃ τε καὶ ὅπως ἔχω τιμῶ, ὡς ἂν μὴ ἀγέραστος τὸ γοῦν ἐμὸν παρέλθῃς. τιμῶ δέ σε Κύρου ποταμοῦ ὕδατι. ὅταν δὲ ἐπὶ τὸν σταθμὸν τὸν σὸν παραγένῃ, οἴκοθεν, ὡς ἂν ἐμαυτοῦ κράτιστα καὶ πολυτελέστατα χωρήσω, οὕτω τιμήσω σε, καὶ δὴ οὐδὲν ἂν ἐλάττων γενοίμην τινὸς τῶν ἄλλων τῶν ἤδη σε δεξιωσαμένων τοῖς δώροις.' ἐπὶ τούτοις ὁ Ἀρταξέρξης ἥσθη καὶ 'δέχομαι ἡδέως' φησὶν 'ἄνθρωπε, τὸ δῶρον, καὶ τιμῶ γε αὐτὸ τῶν πάνυ πολυτελῶν, καὶ ἰσοστάσιον ἐκείνοις λέγω· πρῶτον μέν, ὅτι ὕδωρ ἐστὶ τὸ πάντων ἄριστον, δεύτερον δέ, ὅτι Κύρου ὄνομα ἐν ἑαυτῷ φέρει. καὶ σὺ δέ μοι καταλύοντι ἐν τῷ σταθμῷ πάντως ἐπιφάνηθι.' ταῦτα εἰπὼν προσέταξε τοὺς εὐνούχους λαβεῖν τὸ ἐξ αὐτοῦ ὕδωρ· οἳ δὲ τὴν ταχίστην προσδραμόντες ἐς χρυσῆν φιάλην ἐδέξαντο ἐκ τῶν χειρῶν αὐτοῦ τὸ ὕδωρ. ἐλθὼν δὲ ἔνθα κατέλυεν ὁ βασιλεὺς ἔπεμψε τῷ ἀνδρὶ τῷ Πέρσῃ στολὴν Περσικὴν καὶ φιάλην χρυσῆν καὶ χιλίους δαρεικούς, καὶ προσέταξε τὸν κομίζοντα αὐτὰ εἰπεῖν τῷ λαμβάνοντι 'κελεύει σε βασιλεὺς ἐκ μὲν τούτου τοῦ χρυσίου εὐφραίνειν τὴν σεαυτοῦ ψυχήν, ἐπεὶ καὶ σὺ τὴν ἐκείνου εὔφρανας, μὴ αὐτὸν ἀγέραστον μηδὲ ἄτιμον ἐάσας, ἀλλ' ὡς ἤδη ἐχώρει ταύτῃ τιμήσας.

Digitized by Google

βούλεται δέ σε καὶ τῇ φιάλῃ ταύτῃ ἀρυτόμενον πίνειν ἐξ ἐκείνου τοῦ ὕδατος.

Ῥοιὰν ἐπὶ λίκνου μεγίστην Ὠμίσης Ἀρταξέρξῃ τῷ 33
βασιλεῖ ἐλαύνοντι τὴν Περσίδα προσεκόμισε. τὸ μέ-
γεθος οὖν αὐτῆς ὑπερεκπλαγεὶς ὁ βασιλεὺς ‘ἐκ ποίου 5
παραδείσου’ φησὶ ‘λαβὼν φέρεις μοι τὸ δῶρον τοῦτο;’
τοῦ δὲ εἰπόντος ὅτι οἴκοθεν καὶ ἐκ τῆς αὐτοῦ γεωρ-
γίας, ὑπερήσθη καὶ δῶρα μὲν αὐτῷ βασιλικὰ ἔπεμψε
καὶ ἐπεῖπε ‘νὴ τὸν Μίθραν, ἀνὴρ οὗτος ἐκ τῆς ἐπι-
μελείας ταύτης δυνήσεται καὶ πόλιν κατά γε τὴν 10
ἐμὴν κρίσιν ἐκ μικρᾶς μεγάλην ποιῆσαι.’ ἔοικε δὲ ὁ
λόγος ὁμολογεῖν οὗτος ὅτι πάντα ἐκ τῆς ἐπιμελείας
καὶ τῆς διαρκοῦς φροντίδος καὶ τῆς σπουδῆς τῆς
ἀνελλιποῦς καὶ τῶν κατὰ φύσιν δύναιτο ἂν κρείττονα
γενέσθαι. 15

Ἀνὴρ γένει Μάρδος, ὄνομα Ῥακώκης, παῖδας 34
εἶχεν ἑπτά. τούτων ὁ νεώτατος ἐκαλεῖτο Καρτώμης,
κακὰ δὲ πολλὰ τοὺς ἄλλους εἰργάζετο. καὶ τὰ μὲν
πρῶτα ἐπειρᾶτο αὐτὸν ὁ πατὴρ παιδεύειν καὶ ῥυθμί-
ζειν λόγῳ· ἐπεὶ δὲ οὐκ ἐπείθετο, τῶν δικαστῶν τῶν 20
περιχώρων ἀφικομένων ἔνθα ᾤκει ὁ τοῦ νεανίσκου
πατήρ, ἀλλ’ ἐκεῖνός γε συλλαβὼν τὸ παιδίον καὶ τὼ
χεῖρε ὀπίσω περιαγαγὼν αὐτοῦ, πρὸς τοὺς δικαστὰς
ἦγαγε καὶ ὅσα αὐτῷ τετόλμητο πάντα ἀκριβῶς κατ-
ηγόρησε, καὶ ᾔτει παρὰ τῶν δικαστῶν ἀποκτεῖναι τὸν 25
νεανίσκον. οἳ δὲ ἐξεπλάγησαν, καὶ αὐτοὶ μὲν ἐφ’
ἑαυτῶν οὐκ ἔκριναν τὴν καταδικάζουσαν ἀγαγεῖν ψῆ-
φον, ἀμφοτέρους δὲ ἐπὶ τὸν βασιλέα τῶν Περσῶν
τὸν Ἀρταξέρξην ἦγαγον. τὰ αὐτὰ δὲ λέγοντος τοῦ
Μάρδου ὑπολαβὼν ὁ βασιλεὺς ἔφη ‘εἶτα τολμήσεις 30
τοῖς ὀφθαλμοῖς τοῖς σεαυτοῦ τὸν υἱὸν ἀποθνήσκοντα
ὑπομεῖναι;’ ὃ δὲ ἔφη ‘πάντων μάλιστα· ἐπεὶ καὶ ἐν

Digitized by Google

τῷ κήπῳ ὅταν τῶν φυομένων θριδακινῶν τὰς ἐκφύσεις τὰς πικρὰς ἀποκλῶ καὶ ἀφαιρῶ, οὐδὲν ἡ μήτηρ αὐτῶν λυπεῖται, ἀλλὰ θάλλει μᾶλλον καὶ μείζων καὶ γλυκίων γίνεται. οὕτω καὶἐγώ, ὦ βασιλεῦ, τὸν βλάπτοντα τὴν ἐμὴν οἰκίαν καὶ τὸν τῶν ἀδελφῶν βίον θεωρῶν ἀπολλύμενον καὶ τῆς κακουργίας τῆς ἐς αὐτοὺς παυόμενον καὶ αὐτὸς αὐξηθήσομαι καὶ τοῖς λοιποῖς τοῖς κατὰ γένος συνέσομαι τὰ αὐτὰ ἐμοὶ εὖ πάσχουσιν.' ὧν ἀκούσας Ἀρταξέρξης ἐπήνεσε μὲν τὸν Ῥακώκην καὶ τῶν βασιλικῶν δικαστῶν ἐποίησεν ἕνα, εἰπὼν πρὸς τοὺς παρόντας ὅτι ὁ περὶ τῶν ἰδίων παίδων οὕτω δικαίως ἀποφαινόμενος πάντως καὶ ἐν τοῖς ἀλλοτρίοις ἀκριβὴς ἔσται δικαστὴς καὶ ἀδέκαστος, ἀφῆκε δὲ καὶ τὸν νεανίαν τῆς παρούσης τιμωρίας, ἀπειλῶν αὐτῷ θανάτου τρόπον, ἐὰν ἐπὶ τοῖς φθάσασιν ἀδικῶν φωραθῇ ἕτερα.

Β

1 Καὶ ταῦτα Σωκράτους πρὸς Ἀλκιβιάδην. ὃ μὲν ἠγωνία καὶ ἐδεδίει πάνυ σφόδρα ἐς τὺν δῆμον παρελθεῖν τὸ μειράκιον· ἐπιθαρσύνων δὲ αὐτὸν καὶ ἐγείρων ὁ Σωκράτης 'οὐ καταφρονεῖς' εἶπεν 'ἐκείνου τοῦ σκυτοτόμου;' τὸ ὄνομα ἐπειπὼν αὐτοῦ. φήσαντος δὲ τοῦ Ἀλκιβιάδου ὑπολαβὼν πάλιν ὁ Σωκράτης 'ἔτι δὲ ἐκείνου τοῦ ἐν τοῖς κύκλοις κηρύττοντος ἢ ἐκείνου τοῦ σκηνορράφου;' ὁμολογοῦντος δὲ τοῦ μειρακίου 'οὐκοῦν' ἔφη ὁ Σωκράτης 'ὁ δῆμος ὁ Ἀθηναίων ἐκ τοιούτων ἤθροισται· καὶ εἰ τῶν καθ' ἕνα καταφρονεῖς, καταφρονητέον ἄρα καὶ τῶν ἠθροισμέ-

Digitized by Google

νων,' μεγαλοφρόνως ταῦτα ὁ τοῦ Σωφρονίσκου καὶ τῆς Φαιναρέτης τὸν τοῦ Κλεινίου καὶ τῆς Δεινομάχης διδάσκων.

Μεγαβύζου ποτὲ ἐπαινοῦντος γραφὰς εὐτελεῖς καὶ ἀτέχνους, ἑτέρας δὲ σπουδαίως ἐκπεπονημένας διαψέγοντος, τὰ παιδάρια τὰ τοῦ Ζεύξιδος τὰ τὴν μηλιάδα τρίβοντα κατεγέλα. ὁ τοίνυν Ζεῦξις ἔφατο 'ὅταν μὲν σιωπᾷς, ὦ Μεγάβυζε, θαυμάζει σε τὰ παιδάρια ταῦτα· ὁρᾷ γάρ σου τὴν ἐσθῆτα καὶ τὴν θεραπείαν τὴν περὶ σέ· ὅταν γε μὴν τεχνικόν τι θέλῃς εἰπεῖν, καταφρονεῖ σου. φύλαττε τοίνυν σεαυτὸν ἐς τοὺς ἐπαινουμένους, κρατῶν τῆς γλώττης καὶ ὑπὲρ μηδενὸς τῶν μηδέν σοι προσηκόντων φιλοτεχνῶν.'

Ἀλέξανδρος θεασάμενος τὴν ἐν Ἐφέσῳ εἰκόνα ἑαυτοῦ τὴν ὑπὸ Ἀπελλοῦ γραφεῖσαν οὐκ ἐπῄνεσε κατὰ τὴν ἀξίαν τοῦ γράμματος. ἐσαχθέντος δὲ τοῦ ἵππου καὶ χρεμετίσαντος πρὸς τὸν ἵππον τὸν ἐν τῇ εἰκόνι ὡς πρὸς ἀληθινὸν καὶ ἐκείνου 'ὦ βασιλεῦ' εἶπεν ὁ Ἀπελλῆς, 'ἀλλ' ὅ γε ἵππος ἑοικέ σου γραφικώτερος εἶναι κατὰ πολύ.

Φαλάριδος ὑμῖν ἔργον οὐ μάλα ἐκείνῳ σύνηθες εἰπεῖν ἐθέλω· τὸ δὲ ἔργον φιλανθρωπίαν ἄμαχον ὁμολογεῖ, καὶ διὰ τοῦτο ἀλλότριον ἐκείνου δοκεῖ. Χαρίτων ἦν Ἀκραγαντῖνος φιλόκαλος ἄνθρωπος καὶ περὶ τὴν ὥραν τὴν τῶν νέων ἐσπουδακὼς δαιμονίως· διαπύρως δὲ ἠράσθη μάλιστα Μελανίππου Ἀκραγαντίνου καὶ ἐκείνου καὶ τὴν ψυχὴν ἀγαθοῦ καὶ τὸ κάλλος διαφέροντος. τοῦτον ἐλύπησέ τι Φάλαρις τὸν Μελάνιππον· δικαζομένῳ γὰρ αὐτῷ πρός τινα τῶν ἑταίρων αὐτοῦ τοῦ Φαλάριδος προσέταξεν ὁ τύραννος τὴν γραφὴν καταθέσθαι. τοῦ δὲ μὴ πειθομένου ὃ δὲ ἠπείλησε τὰ ἔσχατα δράσειν αὐτὸν μὴ ὑπακούσαντα.

Digitized by Google

καὶ ἐκεῖνος μὲν παρὰ τὴν δίκην ἐκράτησεν ἀνάγκῃ προστάξαντος τοῦ Φαλάριδος, οἱ δὲ ἄρχοντες τὴν γραφὴν τοῦ ἀγῶνος ἠφάνισαν. βαρέως δὲ ἐπὶ τούτοις ὁ νεανίσκος ἤνεγκεν ὑβρίσθαι λέγων, καὶ ὡμολόγει τὴν ὀργὴν τὴν ἑαυτοῦ πρὸς τὸν ἐραστήν, καὶ ἠξίου κοινωνὸν αὐτὸν γενέσθαι τῆς ἐπιθέσεως τῆς κατ' αὐτοῦ, καὶ ἄλλους δὲ ἔσπευδε προσλαβεῖν τῶν νεανίσκων, οὓς μάλιστα ἤδει περὶ τὴν τοιαύτην πρᾶξιν θερμοτάτους. ὁρῶν δὲ αὐτὸν ὁ Χαρίτων ἐνθουσιῶντα καὶ ὑπὸ τῆς ὀργῆς ἀναφλεγόμενον, καὶ γινώσκων ὅτι τῶν πολιτῶν οὐδεὶς αὐτοῖς συλλήψεται δέει τῷ ἐκ τοῦ τυράννου, καὶ αὐτὸς ἔφη πάλαι τοῦτο ἐπιθυμεῖν καὶ σπεύδειν ἐκ παντὸς τὴν πατρίδα ῥύσασθαι τῆς δουλείας τῆς καταλαβούσης· ἀσφαλὲς δὲ μὴ εἶναι πρὸς πολλοὺς τὰ τοιαῦτα ἐκφέρειν. ἠξίου δὴ τὸν Μελάνιππον οἱ συγχωρῆσαι ἀκριβέστερον ὑπὲρ τούτων διασκέψασθαι καὶ ἐᾶσαι παραφυλάξαι τὸν χρόνον τὸν ἐπιτήδειον ἐς τὴν πρᾶξιν. συνεχώρησε τὸ μειράκιον. ἐφ' ἑαυτοῦ τοίνυν ὁ Χαρίτων βαλόμενος τὸ πᾶν τόλμημα, καὶ κοινωνὸν αὐτοῦ μὴ θελήσας παραλαβεῖν τὸν ἐρώμενον, ἵν' εἰ καταφωραθείη, αὐτὸς ὑπέχοι τὴν δίκην, ἀλλὰ μὴ καὶ ἐκεῖνον ἐς ταὐτὰ ἐμβάλοι, ἡνίκα οἱ ἐδόκει καλῶς ἔχειν, ἐγχειρίδιον λαβὼν ὥρμᾶτο ἐπὶ τὸν τύραννον. οὐ μὴν ἔλαθε, πάνυ σφόδρα ἀκριβῶς τῶν δορυφόρων τὰ τοιαῦτα φυλαττόντων. ἐμβληθεὶς δὲ ὑπὸ τοῦ Φαλάριδος ἐς τὸ δεσμωτήριον καὶ στρεβλούμενος ἵν' εἴποι τοὺς συνεγνωκότας, ὃ δὲ ἐνεκαρτέρει καὶ ἐνήθλει ταῖς βασάνοις. ἐπεὶ δὲ μακρὸν τοῦτο ἦν, ὁ Μελάνιππος ἦκεν ἐπὶ τὸν Φάλαριν, καὶ ὡμολόγησεν οὐ μόνον κοινωνὸς εἶναι τῷ Χαρίτωνι, ἀλλὰ καὶ αὐτὸς ἄρξαι τῆς ἐπιβουλῆς. τοῦ δὲ πυνθανομένου τὴν αἰτίαν, εἶπε τὸν ἐξ ἀρχῆς λόγον

Digitized by Google

καὶ τὴν τῆς γραφῆς ἄρσιν, καὶ ἐπὶ τούτοις ὡμολόγει περιαλγῆσαι. θαυμάσας οὖν ἀμφοτέρους ἀφῆκε τῆς τιμωρίας, προστάξας αὐθημερὸν ἀπελθεῖν μὴ μόνον τῆς Ἀκραγαντίνων πόλεως ἀλλὰ καὶ τῆς Σικελίας· συνεχώρησε δὲ αὐτοῖς τὰ ἴδια δίκαια καρποῦσθαι. τούτους ὕστερον ἡ Πυθία καὶ τὴν φιλίαν αὐτῶν ὕμνησε διὰ τούτων τῶν ἐπῶν

Θείας ἡγητῆρες ἐφημερίοις φιλότητος
εὐδαίμων Χαρίτων καὶ Μελάνιππος ἔφυ,

τοῦ θεοῦ τὸν ἔρωτα αὐτῶν θείαν ὀνομάσαντος φιλίαν.

Λακεδαιμόνιοι δεινὴν ἐποιοῦντο τοῦ χρόνου τὴν φειδώ, ταμιευόμενοι πανταχόθεν αὐτὸν ἐς τὰ ἐπειγόμενα καὶ μηδενὶ τῶν πολιτῶν ἐπιτρέποντες μήτε ῥᾳστωνεύειν μήτε ῥᾳθυμεῖν ἐς αὐτόν, ὡς ἂν μὴ πρὸς τὰ ἔξω τῆς ἀρετῆς ἀναλισκόμενος εἶτα μάτην διαφθείροιτο. μαρτύριον τούτου πρὸς τοῖς ἄλλοις καὶ τοῦτο. ἀκούσαντες οἱ ἔφοροι Λακεδαιμονίων τοὺς Δεκέλειαν καταλαβόντας περιπάτῳ χρῆσθαι δειλινῷ, ἐπέστειλαν αὐτοῖς 'μὴ περιπατεῖτε', ὡς τρυφώντων αὐτῶν μᾶλλον ἢ τὸ σῶμα ἐκπονούντων. δεῖν γὰρ Λακεδαιμονίους οὐ διὰ τοῦ περιπάτου ἀλλὰ διὰ τῶν γυμνασίων τὴν ὑγίειαν πορίζεσθαι.

6 Ἱππόμαχός φασιν ὁ γυμναστὴς ἐπεὶ πάλαισμά τι ὁ ἀθλητὴς ὁ ὑπ' αὐτῷ γυμναζόμενος ἐπάλαισεν, εἶτα ὁ πᾶς ὄχλος ὁ περιεστὼς ἐξεβόησε, καθίκετο αὐτοῦ τῇ ῥάβδῳ καὶ εἶπεν 'ἀλλὰ σύ γε κακῶς καὶ οὐχ ὡς ἐχρῆν ἐποίησας ὅπερ ἐχρῆν ἄμεινον γενέσθαι· οὐ γὰρ ἂν ἐπῄνεσαν οὗτοι τεχνικόν σε δράσαντά τι,' αἰνιττόμενος ὅτι τοὺς εὖ καὶ καλῶς ἕκαστα δρῶντας οὐ τοῖς πολλοῖς ἀλλὰ τοῖς ἔχουσιν νοῦν θεωρητικὸν τῶν δρωμένων ἀρέσκειν δεῖ. ἔοικε δὲ καὶ Σωκράτης

Digitized by Google

τὴν τῶν πολλῶν ἐκφαυλίζειν κρίσιν ἐν τῇ συνουσίᾳ τῇ πρὸς Κρίτωνα, ὅτε ἀφίκετο ὁ Κρίτων ἐς τὸ δεσμωτήριον, καὶ δὴ ἔπειθεν αὐτὸν ἀποδρᾶναι καὶ τὴν τῶν Ἀθηναίων τὴν κατ' αὐτοῦ κρίσιν διαφθεῖραι.

7 Νόμος οὗτος Θηβαϊκὸς ὀρθῶς ἅμα καὶ φιλανθρώ-
5 πως κείμενος ἐν τοῖς μάλιστα ὅτι οὐκ ἔξεστιν ἀνδρὶ Θηβαίῳ ἐκθεῖναι παιδίον οὐδὲ ἐς ἐρημίαν αὐτὸ ῥῖψαι θάνατον αὐτοῦ καταψηφισαμένῳ, ἀλλ' ἐὰν ᾖ πένης ἐς τὰ ἔσχατα ὁ τοῦ παιδὸς πατήρ, εἴτε ἄρρεν τοῦτο
10 εἴτε θῆλύ ἐστιν, ἐπὶ τὰς ἀρχὰς κομίζειν ἐξ ὠδίνων τῶν μητρῴων σὺν τοῖς σπαργάνοις αὐτό· αἱ δὲ παραλαβοῦσαι ἀποδίδονται τὸ βρέφος τῷ τιμὴν ἐλαχίστην δόντι. ῥήτρα τε πρὸς αὐτὸν καὶ ὁμολογία γίνεται ἢ μὴν τρέφειν τὸ βρέφος καὶ αὐξηθὲν ἔχειν δοῦλον
15 ἢ δούλην, θρεπτήρια αὐτοῦ τὴν ὑπηρεσίαν λαμβάνοντα.

8 Κατὰ τὴν πρώτην καὶ ἐνενηκοστὴν Ὀλυμπιάδα, καθ' ἣν ἐνίκα Ἐξαίνετος ὁ Ἀκραγαντῖνος στάδιον, ἀντηγωνίσαντο ἀλλήλοις Ξενοκλῆς καὶ Εὐριπίδης.
20 καὶ πρῶτός γε ἦν Ξενοκλῆς, ὅστις ποτὲ οὗτός ἐστιν, Οἰδίκοδι καὶ Λυκάονι καὶ Βάκχαις καὶ Ἀθάμαντι Σατυρικῷ. τούτου δεύτερος Εὐριπίδης ἦν Ἀλεξάνδρῳ καὶ Παλαμήδει καὶ Τρωσὶ καὶ Σισύφῳ Σατυρικῷ. γελοῖον δὲ (οὐ γάρ;) Ξενοκλέα μὲν νικᾶν, Εὐριπίδην
25 δὲ ἡττᾶσθαι, καὶ ταῦτα τοιούτοις δράμασι. τῶν δύο τοίνυν τὸ ἕτερον· ἢ ἀνόητοι ἦσαν οἱ τῆς ψήφου κύριοι καὶ ἀμαθεῖς καὶ πόρρω κρίσεως ὀρθῆς, ἢ ἐδεκάσθησαν. ἄτοπον δὲ ἑκάτερον καὶ Ἀθηναίων ἥκιστα ἄξιον.

9 Οἷα ἐψηφίσαντο Ἀθηναῖοι, καὶ ταῦτα ἐν δημο-
30 κρατίᾳ, Αἰγινητῶν μὲν ἑκάστου τὸν μέγαν ἀποκόψαι τῆς χειρὸς δάκτυλον τῆς δεξιᾶς, ἵνα δόρυ μὲν βαστάζειν μὴ δύνωνται, κώπην δὲ ἐλαύνειν δύνωνται·

Digitized by Google

Μυτιληναίους δὲ ἡβηδὸν ἀποσφάξαι καὶ τοῦτο ἐψηφίσαντο ἐσηγησαμένου Κλέωνος τοῦ Κλεαινέτου. τούς γε μὴν ἁλισκομένους αἰχμαλώτους Σαμίων στίζειν κατὰ τοῦ προσώπου καὶ εἶναι τὸ στίγμα γλαῦκα καὶ τοῦτο Ἀττικὸν ψήφισμα. οὐκ ἐβουλόμην δὲ αὐτὰ οὔτε Ἀθήνησι κεκυρῶσθαι οὔτε ὑπὲρ Ἀθηναίων λέγεσθαι, ὦ Πολιὰς Ἀθηνᾶ καὶ Ἐλευθέριε Ζεῦ καὶ Ἑλλήνων θεοὶ πάντες.

Τιμόθεον ἀκούω τὸν Κόνωνος τὸν Ἀθηναίων στρατηγόν, ὅτε ἐν ἀκμῇ τῆς εὐτυχίας ἦν καὶ ἦρει τὰς πόλεις ῥᾳστα, καὶ οὐκ εἶχον Ἀθηναῖοι ὅποι ποτὲ αὐτὸν κατάθωνται ὑπὸ θαύματος τοῦ περὶ τὸν ἄνδρα, ἀλλὰ τοῦτόν γε Πλάτωνι τῷ Ἀρίστωνος περιτυχόντα βαδίζοντι ἔξω τοῦ τείχους μετά τινων γνωρίμων καὶ ἰδόντα σεμνὸν μὲν ἰδεῖν τὸ πλάτος, ἴλεων δὲ τῷ προσώπῳ, διαλεγόμενον δὲ οὐχὶ περὶ ἐσφορᾶς χρημάτων οὐδὲ ὑπὲρ τριηρῶν, οὐδὲ ὑπὲρ ναυτικῶν χρειῶν οὐδὲ ὑπὲρ πληρωμάτων, οὐδὲ ὑπὲρ τοῦ δεῖν βοηθεῖν οὐδὲ ὑπὲρ φόρου τοῦ τῶν συμμάχων, οὐδὲ ὑπὲρ τῶν νησιωτῶν ἢ ὑπὲρ ἄλλου τινὸς τοιούτου φλη- 20 νάφου, ὑπὲρ ἐκείνων δέ, ὧν ἔλεγε Πλάτων καὶ ὑπὲρ ὧν εἰθίστο σπουδάζειν, ἐπιστάντα τὸν τοῦ Κόνωνος εἰπεῖν 'ὦ τοῦ βίου καὶ τῆς ὄντως εὐδαιμονίας'. ἐκ τούτων οὖν δῆλον ὡς ἑαυτὸν οὐ πάνυ τι εὐδαίμονα ἀπέφαινεν ὁ Τιμόθεος, ὅτι μὴ ἐν τούτοις ἀλλ' ἐν τῇ παρ' Ἀθηναίων δόξῃ καὶ τιμῇ ἦν.

Σωκράτης ἰδὼν κατὰ τὴν ἀρχὴν τῶν τριάκοντα τοὺς ἐνδόξους ἀναιρουμένους καὶ τοὺς βαθύτατα πλουτοῦντας ὑπὸ τῶν τυράννων ἐπιβουλευομένους, Ἀντισθένει φασὶ περιτυχόντα εἰπεῖν 'μή τί σοι μεταμέλει ὅτι μέγα καὶ σεμνὸν οὐδὲν ἐγενόμεθα ἐν τῷ βίῳ καὶ τοιοῦτοι οἷους ἐν τῇ τραγῳδίᾳ τοὺς μονάρ-

Digitized by Google

χας ὁρῶμεν, Ἀτρέας τε ἐκείνους καὶ Θυέστας καὶ Ἀγαμέμνονας καὶ Αἰγίσθους; οὗτοι μὲν γὰρ ἀποσφαττόμενοι καὶ ἐκταραχθούμενοι καὶ πονηρὰ δεῖπνα δειπνοῦντες ἑκάστοτε ἐκπαλύπτονται· οὐδεὶς δὲ οὕτως ἐγένετο τολμηρὸς οὐδὲ ἀναίσχυντος τραγῳδίας ποιητής, ὥστε ἐσαγαγεῖν ἐς δρᾶμα ἀποσφαττόμενον χορόν.

12 Θεμιστοκλέους τοῦ Νεοκλέους οὐκ οἶδα εἰ ἐπαινεῖν χρὴ τοῦτο. ἐπεὶ γὰρ τῆς ἀσωτίας ἐπαύσατο Θεμιστοκλῆς ἀποκηρυχθεὶς ὑπὸ τοῦ πατρός, καὶ ὑπήρξατο σωφρονεῖν, καὶ τῶν μὲν ἑταιρῶν ἀπέστη, ἦρα δὲ ἔρωτα ἕτερον τὸν τῆς πολιτείας τῶν Ἀθηναίων, καὶ θερμότατα ἐπεχείρει ταῖς ἀρχαῖς, καὶ ἑαυτὸν ἔσπευδεν εἶναι πρῶτον, ἔλεγέ φασι πρὸς τοὺς γνωρίμους 'τί δ' ἂν ἐμοῦ δοίητε, ὃς οὔπω φθονοῦμαι;' ὅστις δὲ ἐρᾷ φθονεῖσθαι, τοῦτο δή που τὸ τοῦ Εὐριπίδου περιβλέπεσθαι σπεύδει. ὅτι δὲ τοῦτο ἔστι κενόν, ὁ αὐτὸς Εὐριπίδης φησίν.

13 Ἐπετίθεντο τῷ Σωκράτει καὶ ἐπεβούλευον· οἱ ἀμφὶ τὸν Ἄνυτον ὧν χάριν καὶ δι' ἃς αἰτίας λέλεκται πάλαι. ὑφορώμενοι δὲ τοὺς Ἀθηναίους καὶ δεδιότες ὅπως ποτὲ ἔξουσι πρὸς τὴν κατηγορίαν τοῦ ἀνδρὸς (πολὺ γὰρ ἦν τὸ τοῦ Σωκράτους ὄνομα διά τε τὰ ἄλλα καὶ ὅτι τοὺς σοφιστὰς ἤλεγχεν οὐδὲν ὑγιὲς ὄντας οὐδέ τι σπουδαῖον ἢ εἰδότας ἢ λέγοντας), ἐκ τούτων οὖν ἐβουλήθησαν πεῖραν καθεῖναι ὑπὲρ τῆς κατ' αὐτοῦ διαβολῆς. τὸ μὲν γὰρ ἄντικρυς ἀπενέγκασθαι γραφὴν κατ' αὐτοῦ παραχρῆμα οὐκ ἐδοκίμαζον δι' ἃ προεῖπον καὶ δι' ἐκεῖνα δέ, μή ποτε ἄρα ἀγριάναντες οἱ φίλοι οἱ τοῦ Σωκράτους ἐξάψωσι κατ' αὐτῶν τοὺς δικαστάς, εἶτά τι πάθωσι κακὸν ἀνήκεστον, ἅτε συκοφαντοῦντες ἄνδρα οὐ μόνον οὐδενὸς αἴτιον κακοῦ τῇ πόλει, ἐκ δὲ τῶν ἐναντίων καὶ κόσμον ταῖς Ἀθή-

Digitized by Google

ναις ὄντα. τί οὖν ἐπινοοῦσιν; Ἀριστοφάνην τὸν τῆς κωμῳδίας ποιητήν, βωμολόχον ἄνδρα καὶ γελοῖον ὄντα καὶ εἶναι σπεύδοντα, ἀναπείθουσι κωμῳδῆσαι τὸν Σωκράτη, ταῦτα δήπου τὰ περιφερόμενα, ὡς ἦν ἀδολέσχης, λέγων τε αὖ καὶ τὸν ἥττω λόγον ἀπέφαινε κρείττονα, καὶ ἐσῆγε ξένους δαίμονας, καὶ οὐκ ἠδεῖτο θεοὺς οὐδ' ἐτίμα, τὰ δὲ αὐτὰ ταῦτα καὶ τοὺς προσιόντας αὐτῷ ἐδίδασκέ τε καὶ εἰδέναι ἀνέπειθεν. ὁ δὲ Ἀριστοφάνης λαβόμενος ὑποθέσεως εὖ μάλα ἀνδρικῆς, ὑποσκείρας γέλωτα καὶ τὸ ἐκ τῶν μέτρων αἰμύλον καὶ τὸν ἄριστον τῶν Ἑλλήνων λαβὼν ὑπόθεσιν (οὐ γάρ οἱ κατὰ Κλέωνος ἦν τὸ δρᾶμα, οὐδὲ ἐκωμῴδει Λακεδαιμονίους ἢ Θηβαίους ἢ Περικλέα αὐτόν, ἀλλ' ἄνδρα τοῖς τε ἄλλοις θεοῖς φίλον καὶ δὴ καὶ μάλιστα τῷ Ἀπόλλωνι), ἅτε οὖν ἄηθες πρᾶγμα καὶ ὅραμα παράδοξον ἐν σκηνῇ καὶ κωμῳδία Σωκράτης, πρῶτον μὲν ἐξέπληξεν ἡ κωμῳδία τῷ ἀδοκήτῳ τοὺς Ἀθηναίους, εἶτα καὶ φύσει φθονεροὺς ὄντας καὶ τοῖς ἀρίστοις βασκαίνειν προῃρημένους οὐ μόνον τοῖς ἐν τῇ πολιτείᾳ καὶ ταῖς ἀρχαῖς ἀλλ' ἔτι καὶ πλέον τοῖς εὐδοκιμοῦσιν ἢ ἐν λόγοις ἀγαθοῖς ἢ ἐν βίου σεμνότητι, ἄκουσμα ἔδοξεν ἥδιστον αἵδε αἱ Νεφέλαι, καὶ ἐκρότουν τὸν ποιητὴν ὡς οὔ ποτε ἄλλοτε, καὶ ἐβόων νικᾶν, καὶ προσέταττον τοῖς κριταῖς ἄνωθεν Ἀριστοφάνην ἀλλὰ μὴ ἄλλον γράφειν. καὶ τὰ μὲν τοῦ δράματος τοιαῦτα· ὁ δὲ Σωκράτης σπάνιον μὲν ἐπεφοίτα τοῖς θεάτροις, εἴ ποτε δὲ Εὐριπίδης ὁ τῆς τραγῳδίας ποιητὴς ἠγωνίζετο καινοῖς τραγῳδοῖς, τότε γε ἀφικνεῖτο. καὶ Πειραιοῖ δὲ ἀγωνιζομένου τοῦ Εὐριπίδου καὶ ἐκεῖ κατῄει· ἔχαιρε γὰρ τῷ ἀνδρὶ διά τε τὴν σοφίαν αὐτοῦ καὶ τὴν ἐν τοῖς μέτροις ἀρετήν. ἤδη δέ ποτε αὐτὸν ἐρεσχελῶν Ἀλκι-

Digitized by Google

βιάδης ὁ Κλεινίου καὶ Κριτίας ὁ Καλλαίσχρου καὶ κωμῳδῶν ἀκοῦσαι παρελθόντα ἐς τὸ θέατρον ἐξεβιάσαντο. ὃ δὲ αὐτοῖς οὐκ ἠρέσκετο, ἀλλὰ δεινῶς κατεφρόνει (ἅτε ἀνὴρ σώφρων καὶ δίκαιος καὶ ἀγαθὸς καὶ ἐπὶ τούτοις σοφός) ἀνδρῶν κερτόμων καὶ ὑβριστῶν καὶ ὑγιὲς λεγόντων οὐδέν· ἅπερ ἐλύπει δεινῶς αὐτούς. καὶ ταῦτα οὖν τῆς κωμῳδίας ἦν αὐτῷ τὰ σπέρματα, ἀλλ' οὐ μόνον ἃ παρὰ τοῦ Ἀνύτου καὶ Μελήτου ὡμολόγηται. εἰκὸς δὲ καὶ χρηματίσασθαι ὑπὲρ τούτων Ἀριστοφάνην. καὶ γὰρ βουλομένων, μᾶλλον δὲ ἐκ παντὸς συκοφαντῆσαι τὸν Σωκράτη σπευδόντων ἐκείνων, καὶ αὐτὸν δὲ πένητα ἅμα καὶ κατάρατον ὄντα, τί παράδοξον ἦν ἀργύριον λαβεῖν ἐπ' οὐδενὶ ὑγιεῖ; καὶ ὑπὲρ μὲν τούτων αὐτὸς οἶδεν· εὐδοκίμει δ' οὖν αὐτῷ τὸ δρᾶμα. καὶ γάρ τοι καὶ τὸ τοῦ Κρατίνου τοῦτο συνέβη εἴ ποτε ἄλλοτε καὶ τότε, τῷ θεάτρῳ νοσῆσαι τὰς φρένας. καὶ ἅτε ὄντων Διονυσίων πάμπολύ τι χρῆμα τῶν Ἑλλήνων σπουδῇ τῆς θέας ἀφίκετο. περιφερομένου τοίνυν ἐν τῇ σκηνῇ τοῦ Σωκράτους καὶ ὀνομαζομένου πολλάκις, οὐκ ἂν δὲ θαυμάσαιμι εἰ καὶ βλεπομένου ἐν τοῖς ὑποκριταῖς (δῆλα γὰρ δὴ ὅτι καὶ οἱ σκευοποιοὶ ἔπλασαν αὐτὸν ὡς ὅτι μάλιστα ἐξεικάσαντες), ἀλλ' οἵ γε ξένοι (τὸν γὰρ κωμῳδούμενον ἠγνόουν) θροῦς παρ' αὐτῶν ἐπανίστατο, καὶ ἐζήτουν ὅστις ποτὲ οὗτος ὁ Σωκράτης ἐστίν. ὅπερ οὖν ἐκεῖνος αἰσθόμενος (καὶ γάρ τοι καὶ παρῆν οὐκ ἄλλως οὐδὲ ἐκ τύχης, εἰδὼς δὲ ὅτε κωμῳδοῦσιν αὐτόν· καὶ δὴ καὶ ἐν καλῷ τοῦ θέατρου ἐκάθητο), ἵνα οὖν λύσῃ τὴν τῶν ξένων ἀπορίαν, ἐξαναστὰς παρ' ὅλον τὸ δρᾶμα ἀγωνιζομένων τῶν ὑποκριτῶν ἑστὼς ἐβλέπετο. τοσοῦτον ἄρα περιῆν τῷ Σωκράτει τοῦ κωμῳδίας καὶ Ἀθηναίων καταφρονεῖν.

Digitized by Google

Γελοῖος ἐκεῖνος ὁ Ξέρξης ἦν εἴ γε θαλάττης μὲν καὶ γῆς κατεφρόνει τῆς Διὸς τέχνης, ἑαυτῷ δὲ εἰργάζετο καινὰς ὁδοὺς καὶ πλοῦν ἀήθη, ἐδεδούλωτο δὲ πλατάνῳ καὶ ἐθαύμαζε τὸ δένδρον. ἐν Λυδίᾳ γοῦν φασιν ἰδὼν φυτὸν εὐμέγεθες πλατάνου, τὴν ἡμέραν ἐκείνην κατέμεινεν οὐδέν τι δεόμενος, καὶ ἐχρήσατο σταθμῷ τῇ ἐρημίᾳ τῇ περὶ τὴν πλάτανον. ἀλλὰ καὶ ἐξῆψεν αὐτῆς κόσμον πολυτελῆ, στρεπτοῖς καὶ ψελίοις τιμῶν τοὺς κλάδους, καὶ μισθωνὸν αὐτῇ κατέλιπεν, ὥσπερ ἐρωμένῃ φύλακα καὶ φρουρόν. ἐκ δὲ τούτων τί τῷ δένδρῳ καλὸν ἀπήντησεν; ὁ μὲν γὰρ κόσμος ὁ ἐπίκτητος καὶ μηδὲν αὐτῷ προσήκων ἄλλως ἐκρέματο, καὶ συνεμάχετο ἐς ὥραν οὐδέν· ἐπεὶ τοῦ φυτοῦ κάλλος ἐκεῖνό ἐστιν, εὐγενεῖς οἱ κλάδοι καὶ ἡ κόμη πολλὴ καὶ στερεὸν τὸ πρέμνον καὶ αἱ ῥίζαι ἐν βάθει καὶ διασείοντες οἱ ἄνεμοι καὶ ἀμφιλαφὴς ἡ ἐξ αὐτοῦ σκιὰ καὶ ἀναστρέφουσαι αἱ ὧραι καὶ ὕδωρ τὸ μὲν διὰ τῶν ὀχετῶν ἐκτρέφον, τὸ δὲ ἐξ οὐρανοῦ ἐπάρδον· χλαμύδες δὲ αἱ Ξέρξου καὶ χρυσὸς ὁ τοῦ βαρβάρου καὶ τὰ ἄλλα δῶρα οὔτε πρὸς τὴν πλάτανον οὔτε πρὸς ἄλλο δένδρον εὐγενὲς ἦν. 14

Κλαζομενίων τινὲς ἐς τὴν Σπάρτην ἀφικόμενοι καὶ ὕβρει καὶ ἀλαζονείᾳ χρώμενοι τοὺς τῶν ἐφόρων θρόνους ἔνθα εἰώθασι καθήμενοι χρηματίζειν καὶ τῶν πολιτικῶν ἕκαστα διατάττειν, ἀλλὰ τούτους γε τοὺς θρόνους ἀσβόλῳ κατέχρισαν. μαθόντες δὲ οἱ ἔφοροι οὐκ ἠγανάκτησαν, ἀλλὰ τὸν δημόσιον κήρυκα καλέσαντες προσέταξαν αὐτὸν δημοσίᾳ κηρύξαι τοῦτο δὴ τὸ θαυμαζόμενον 'ἐξέστω Κλαζομενίοις ἀσχημονεῖν.' 15

Φωκίωνος δὲ τοῦ Φώκου καὶ τοῦτο ἔγωγε ἔγνων καλόν. παρελθὼν γὰρ ἐς τοὺς Ἀθηναίους ἐκκλησίας 16

Digitized by Google

οὔσης, ἐπεί τι αὐτοῖς ἐμέμφετο ἀγνωμονοῦσι, πάνυ σφόδρα πεπαιδευμένως καὶ πληκτικῶς εἶπε· βούλομαι μᾶλλόν τι ὑφ' ὑμῶν παθεῖν κακὸν ἢ αὐτός τι ὑμᾶς κακῶς δρᾶσαι.

17 Ἡ τῶν ἐν Πέρσαις μάγων σοφία τά τε ἄλλα οἶδεν ὁπόσα αὐτοῖς εἰδέναι θέμις, καὶ οὖν καὶ μαντεύεσθαι. οἵπερ οὖν καὶ προεῖπον τὴν τοῦ Ὄχου περὶ τοὺς ὑπηκόους ἀγριότητα καὶ τὸ φονικὸν αὐτοῦ, διά τινων ἀπορρήτων συμβόλων καταγνόντες τοῦτο. ὅτε γὰρ Ἀρταξέρξου τοῦ πατρὸς αὐτοῦ τελευτήσαντος ἐς τὴν βασιλείαν τῶν Περσῶν ὁ Ὄχος παρῆλθεν, οἱ μάγοι προσέταξαν τῶν εὐνούχων τινὶ τῶν πλησίον παρεστώτων φυλάξαι τὸν Ὄχον τῆς τραπέζης παρατεθείσης τίνι πρώτῳ τῶν παρακειμένων ἐπιχειρεῖ. καὶ ὃ μὲν εἱστήκει τηρῶν τοῦτο, ὁ δὲ Ὄχος τὰς χεῖρας ἐκτείνας τῇ μὲν δεξιᾷ τῶν μαχαιρίων τῶν παρακειμένων ἓν ἔλαβε, τῇ δὲ ἑτέρᾳ τὸν μέγιστον τῶν ἄρτων προσειλκύσατο, καὶ ἐπιθεὶς ἐπ' αὐτὸν τῶν κρεῶν, εἶτα τέμνων ἤσθιεν ἀφειδῶς. ἅπερ ἀκούσαντες οἱ μάγοι δύο ταῦτα ἐμαντεύσαντο, εὐετηρίαν τὴν ἐξ ὡρῶν καὶ εὐφορίαν τὴν παρὰ τὸν τῆς ἀρχῆς αὐτοῦ χρόνον καὶ πολλοὺς φόνους. καὶ οὐ διεψεύσαντο.

18 Τιμόθεος ὁ Κώνωνος ὁ στρατηγὸς τῶν Ἀθηναίων ἀποστάς ποτε τῶν δείπνων τῶν πολυτελῶν καὶ τῶν ἑστιάσεων τῶν στρατηγικῶν ἐκείνων παραληφθεὶς ὑπὸ Πλάτωνος ἐς τὸ ἐν Ἀκαδημείᾳ συμπόσιον καὶ ἑστιαθεὶς ἀφελῶς ἅμα καὶ μουσικῶς ἔφη πρὸς τοὺς οἰκείους ἐπανελθὼν ὅτι ἄρα οἱ παρὰ Πλάτωνι δειπνοῦντες καὶ τῇ ὑστεραίᾳ καλῶς διάγουσιν. ἐκ δὴ τούτου διέβαλλε Τιμόθεος τὰ πολυτελῆ δεῖπνα καὶ φορτικὰ ὡς πάντως ἐς τὴν ὑστεραίαν οὐκ εὐφραίνοντα. λόγος δὲ καὶ ἐκεῖνος ἀδελφὸς τῷ προειρημένῳ

Digitized by Google

καὶ ταὐτὸν νοῶν, οὐ μὴν τὰ αὐτὰ λέγων περίεισιν, ὅτι ἄρα τῇ ὑστεραίᾳ ὁ Τιμόθεος περιτυχὼν τῷ Πλάτωνι εἶπεν 'ὑμεῖς, ὦ Πλάτων, εὖ δειπνεῖτε μᾶλλον ἐς τὴν ὑστεραίαν ἢ ἐς τὴν παροῦσαν.

19 'Αλέξανδρος ὅτε ἐνίκησε Δαρεῖον καὶ τὴν Περσῶν ἀρχὴν κατεκτήσατο, μέγα ἐφ' ἑαυτῷ φρονῶν καὶ ὑπὸ τῆς εὐτυχίας τῆς περιλαβούσης αὐτὸν τότε ἐκθεούμενος, ἐπέστειλε τοῖς Ἕλλησι θεὸν αὐτὸν ψηφίσασθαι. γελοίως γε. οὐ γὰρ ἅπερ οὖν ἐκ τῆς φύσεως οὐκ εἶχε, ταῦτα ἐκ τῶν ἀνθρώπων αἰτῶν ἐκεῖνος ἐκέρδαινεν. ἄλλοι μὲν οὖν ἄλλα ἐψηφίσαντο, Λακεδαιμόνιοι δὲ ἐκεῖνα 'ἐπειδὴ 'Αλέξανδρος βούλεται θεὸς εἶναι, ἔστω θεός', Λακωνικῶς τε ἅμα καὶ κατὰ τὸν ἐπιχώριον σφισι τρόπον ἐλέγξαντες τὴν ἔμπληξιν οἱ Λακεδαιμόνιοι τοῦ 'Αλεξάνδρου.

20 'Αντίγονόν φασι τὸν βασιλέα δημοτικὸν καὶ πρᾶον γενέσθαι. καὶ ὅτῳ μὲν σχολὴ τὰ κατ' αὐτὸν εἰδέναι καὶ αὐτὰ ἕκαστα ἐξετάζειν ὑπὲρ τοῦ ἀνδρός, εἴσεται ἑτέρωθεν· εἰρήσεται δ' οὖν αὐτοῦ καὶ πάνυ πρᾶον καὶ ἄτυφον ὃ μέλλω λέγειν. ὁ 'Αντίγονος οὗτος ὁρῶν τὸν υἱὸν τοῖς ὑπηκόοις χρώμενον βιαιότερόν τε καὶ θρασύτερον 'οὐκ οἶσθα' εἶπεν, 'ὦ παῖ, τὴν βασιλείαν ἡμῶν ἔνδοξον εἶναι δουλείαν;' καὶ τὰ μὲν τοῦ 'Αντιγόνου πρὸς τὸν παῖδα πάνυ ἡμέρως ἔχει καὶ φιλανθρώπως· ὅτῳ δὲ οὐ δοκεῖ ταύτῃ, ἀλλ' ἐκεῖνός γε οὐ δοκεῖ μοι βασιλικὸν ἄνδρα εἰδέναι οὐδὲ πολιτικόν, τυραννικῶς δὲ συμβιῶσαι μᾶλλον.

21 'Αγάθωνος ἦρα τοῦ ποιητοῦ Παυσανίας ὁ ἐκ Κεραμέων. καὶ τοῦτο μὲν διατεθρύληται· ὃ δὲ μὴ ἐς πάντας πεφοίτηκεν, ἀλλ' ἐγὼ ἐρῶ. ἐς 'Αρχελάου ποτὲ ἀφίκοντο ὅ τε ἐραστὴς καὶ ὁ ἐρώμενος οὗτοι. ἦν δὲ ἄρα ὁ 'Αρχέλαος ἐρωτικὸς οὐχ ἧττον ἢ φιλό-

Digitized by Google

μουσος. ἐπεὶ τοίνυν ἑώρα διαφερομένους πρὸς ἀλλήλους τόν τε Παυσανίαν καὶ τὸν Ἀγάθωνα πολλάκις, οἰόμενος τὸν ἐραστὴν ὑπὸ τῶν παιδικῶν παροράσθαι, ἤρετο ἄρα τὸν Ἀγάθωνα ὁ Ἀρχέλαος τί βουλόμενος οὕτω πυκνὰ ἀπεχθάνεται τῷ πάντων μάλιστα φιλοῦντι αὐτόν; ὃ δὲ ἐγώ σοι ἔφη φράσω, βασιλεῦ. οὔτε γάρ εἰμι πρὸς αὐτὸν δύσερις, οὔτε ἀγροικίᾳ πράττω τοῦτο· εἰ δέ τι καὶ ἐγὼ ἠθῶν ἐπαΐω τῇ τε ἄλλῃ καὶ ἐκ ποιητικῆς, ἥδιστον εὑρίσκω εἶναι τοῖς ἐρῶσι πρὸς τὰ παιδικὰ ἐκ διαφορᾶς καταλλάττεσθαι, καὶ πεπίστευκα οὐδὲν αὐτοῖς οὕτως ἀπαντᾶν τερπνόν. τούτου γοῦν τοῦ ἡδέος πολλάκις αὐτῷ μεταδίδωμι, ἐρίζων πρὸς αὐτὸν πλεονάκις· εὐφραίνεται γὰρ καταλυομένου μου τὴν πρὸς αὐτὸν ἔριν συνεχῶς, ὁμαλῶς δὲ καὶ συνήθως προσιόντος οὐκ εἴσεται τὴν διαφορότητα.' ἐπῄνεσε ταῦτα ὁ Ἀρχέλαος, ὡς λόγος. ἦρα δέ φασι τοῦ αὐτοῦ Ἀγάθωνος τούτου καὶ Εὐριπίδης ὁ ποιητής, καὶ τὸν Χρύσιππον τὸ δρᾶμα αὐτῷ χαριζόμενος λέγεται διαφροντίσαι. καὶ εἰ μὲν σαφὲς τοῦτο, ἀποφήνασθαι οὐκ οἶδα, λεγόμενον δ' οὖν αὐτὸ οἶδα ἐν τοῖς μάλιστα.

22 Εὐνομωτάτους γενέσθαι καὶ Μαντινέας ἀκούω οὐδὲν ἧττον Λοκρῶν οὐδὲ Κρητῶν οὐδὲ Λακεδαιμονίων αὐτῶν οὐδ' Ἀθηναίων· σεμνὸν γάρ τι χρῆμα καὶ τὸ Σόλωνος ἐγένετο, εἰ καὶ μετὰ ταῦτα Ἀθηναῖοι κατὰ μικρὰ τῶν νόμων τινὰς τῶν ἐξ αὐτοῦ γραφέντων αὐτοῖς διέφθειραν.

23 Νικόδωρος δὲ ὁ πύκτης ἐν τοῖς εὐδοκιμωτάτοις Μαντινέων γενόμενος, ἀλλὰ ὀψὲ τῆς ἡλικίας καὶ μετὰ τὴν ἄθλησιν νομοθέτης αὐτοῖς ἐγένετο, μακρῷ τοῦτο ἄμεινον πολιτευσάμενος τῇ πατρίδι τῶν κηρυγμάτων τῶν ἐν τοῖς σταδίοις. φασὶ δὲ αὐτῷ Διαγόραν τὸν

Digitized by Google

Μήλιον συνθεῖναι τοὺς νόμους ἐραστὴν γενόμενον. εἶχον δέ τι καὶ περαιτέρω ὑπὲρ Νικοδώρου εἰπεῖν· ὡς δ' ἂν μὴ δοκοίην καὶ τὸν ἔπαινον τὸν τοῦ Διαγόρου προσπαραλαμβάνειν, ἐς τοσοῦτον διηνύσθω τὰ τοῦ λόγου. θεοῖς γὰρ ἐχθρὸς Διαγόρας, καὶ οὔ μοι ἥδιον ἐπὶ πλεῖστον μεμνῆσθαι αὐτοῦ.

Ἤδη τινὲς τὴν Μίλωνος τοῦ Κροτωνιάτου περι- 24
φερομένην ῥώμην ἐξέβαλον, τοιαῦτα ὑπὲρ αὐτοῦ λέγοντες. Μίλωνος τούτου τὴν ῥοιάν, ἣν ἐν τῇ χειρὶ κατεῖχεν, οὐδεὶς τῶν ἀντιπάλων ἐξελεῖν ἐδύνατο· ἡ δὲ ἐρωμένη αὐτοῦ ῥᾷστα αὐτὴν ἐξῄρει, φιλονεικοῦσα πρὸς αὐτὸν πολλάκις. ἐκ δὴ τούτου νοεῖν ἔσται ὅτι ὁ Μίλων ἰσχυρὸς μὲν τὸ σῶμα ἦν, ἀνδρεῖος δὲ τὴν ψυχὴν οὐκ ἦν.

Τὴν ἕκτην τοῦ μηνὸς τοῦ Θαργηλιῶνος πολλῶν 25
καὶ ἀγαθῶν αἰτίαν γενέσθαι λέγουσιν οὐ μόνον τοῖς Ἀθηναίοις ἀλλὰ καὶ ἄλλοις πολλοῖς. αὐτίκα γοῦν Σωκράτης ἐν ταύτῃ ἐγένετο, καὶ Πέρσαι δὲ ἡττήθησαν τῇ ἡμέρᾳ ταύτῃ, καὶ Ἀθηναῖοι δὲ τῇ Ἀγροτέρᾳ ἀποθύουσι τὰς χιμαίρας τὰς τριακοσίας, κατὰ τὴν εὐχὴν τοῦ Μιλτιάδου δρῶντες τοῦτο. τοῦ δ' αὐτοῦ μηνὸς ἕκτῃ ἱσταμένου καὶ τὴν ἐν Πλαταιαῖς μάχην φασὶ γενέσθαι καὶ νικῆσαι τοὺς Ἕλληνας· τὴν γὰρ προτέραν ἥττων αὐτῶν, ἧς ἐμνήσθην, ἐπ' Ἀρτεμισίῳ γεγονέναι. καὶ τὴν ἐν Μυκάλῃ δὲ τῶν Ἑλλήνων νί- 25
κην οὐκ ἄλλης ὡμολόγηται δῶρον ἡμέρας γενέσθαι ἢ ταύτης, εἴ γε κατὰ τὴν αὐτὴν ἐνίκων καὶ ἐν Πλαταιαῖς καὶ ἐν Μυκάλῃ. καὶ Ἀλέξανδρον δὲ τὸν Μακεδόνα, τὸν Φιλίππου παῖδα, τὰς πολλὰς μυριάδας τὰς τῶν βαρβάρων φθεῖραι καὶ αὐτὸν λέγουσιν ἕκτῃ ἱσταμένου, ὅτε καὶ Δαρεῖον καθεῖλεν Ἀλέξανδρος. καὶ ὁμολογοῦσι τοῦ αὐτοῦ μηνὸς πάντα. καὶ αὐτὸν

Digitized by Google

δὲ τὸν Ἀλέξανδρον καὶ γενέσθαι καὶ ἀπελθεῖν τοῦ βίου τῇ αὐτῇ ἡμέρᾳ πεπίστευται.

26 Ἀριστοτέλης λέγει ὑπὸ τῶν Κροτωνιατῶν τὸν Πυθαγόραν Ἀπόλλωνα Ὑπερβόρειον προσαγορεύεσθαι. κἀκεῖνα δὲ προσεπιλέγει ὁ τοῦ Νικομάχου, ὅτι τῆς αὐτῆς ἡμέρας ποτὲ καὶ κατὰ τὴν αὐτὴν ὥραν καὶ ἐν Μεταποντίῳ ὤφθη ὑπὸ πολλῶν καὶ ἐν Κρότωνι ** τῷ ἀγῶνι ἐξανιστάμενος, ἔνθα καὶ τῶν μηρῶν ὁ Πυθαγόρας παρέφηνε τὸν ἕτερον χρυσοῦν. λέγει δὲ ὁ αὐτὸς καὶ ὅτι ὑπὸ τοῦ Κόσα ποταμοῦ διαβαίνων προσερρήθη· καὶ πολλούς φησιν ἀκηκοέναι τὴν πρόσρησιν ταύτην.

27 Ἀννίκηρις ὁ Κυρηναῖος ἐπὶ ἱππείᾳ μέγα ἐφρόνει καὶ ἁρμάτων ἐλάσει. καὶ οὖν ποτε καὶ ἐβουλήθη Πλάτωνι ἐπιδείξασθαι τὴν τέχνην. ζεύξας οὖν τὸ ἅρμα περιήλασεν ἐν Ἀκαδημείᾳ δρόμους παμπόλλους, οὕτως ἀκριβῶς φυλάττων τοῦ δρόμου τὸν στοῖχον, ὡς μὴ παραβαίνειν τὰς ἁρματοτροχίας, ἀλλ' ἀεὶ κατ' αὐτῶν ἰέναι. οἱ μὲν οὖν ἄλλοι πάντες ὥσπερ εἰκὸς ἐξεπλάγησαν, ὁ δὲ Πλάτων τὴν ὑπερβάλλουσαν αὐτοῦ σπουδὴν διέβαλεν εἰπὼν 'ἀδύνατόν ἐστι τὸν ἐς μικρὰ οὕτω καὶ οὐδενὸς ἄξια τοσαύτην φροντίδα κατατιθέμενον ὑπὲρ μεγάλων τινῶν σπουδάσαι· πᾶσαν γὰρ αὐτῷ τὴν διάνοιαν ἐς ἐκεῖνα ἀποτεθεῖσαν ἀνάγκη ὀλιγωρεῖν τῶν ὄντως θαυμάζεσθαι δικαίων.'

28 Μετὰ τὴν κατὰ τῶν Περσῶν νίκην Ἀθηναῖοι νόμον ἔθεντο ἀλεκτρυόνας ἀγωνίζεσθαι δημοσίᾳ ἐν τῷ θεάτρῳ μιᾶς ἡμέρας τοῦ ἔτους· πόθεν δὲ τὴν ἀρχὴν ἔλαβεν ὅδε ὁ νόμος ἐρῶ. ὅτε Θεμιστοκλῆς ἐπὶ τοὺς βαρβάρους ἐξῆγε τὴν πολιτικὴν δύναμιν, ἀλεκτρυόνας ἐθεάσατο μαχομένους· οὐδὲ ἀργῶς αὐτοὺς εἶδεν, ἐπέστησε δὲ τὴν στρατιάν, καὶ ἔφη πρὸς αὐτοὺς 'ἀλλ'

Digitized by Google

οὗτοι μὲν οὔτε ὑπὲρ πατρίδος οὔτε ὑπὲρ πατρῴων θεῶν οὔτε μὴν ὑπὲρ προγονικῶν ἡρίων κακοπαθοῦσιν, οὐδὲ ὑπὲρ δόξης οὐδὲ ὑπὲρ ἐλευθερίας οὐδὲ ὑπὲρ παίδων, ἀλλ' ὑπὲρ τοῦ μὴ ἡττηθῆναι ἑκάτερος, μηδὲ εἶξαι θατέρῳ τὸν ἕτερον.' ἅπερ οὖν εἰπὼν ἐπέρρωσε τοὺς Ἀθηναίους. τὸ τοίνυν γενόμενον αὐτοῖς σύνθημα τότε ἐς ἀρετὴν ἐβουλήθη διαφυλάττειν καὶ ἐς τὰ ὅμοια ἔργα ὑπόμνησιν.

Πιττακὸς ἐν Μυτιλήνῃ κατεσκεύασε ἐν τοῖς ἱεροῖς 29
κλίμακας ἐς οὐδεμίαν μὲν χρῆσιν ἐπιτηδείους, αὐτὸ 10
δὲ τοῦτο ἀναθήματα εἶναι, αἰνιττόμενος τὴν ἐκ τῆς τύχης ἄνω καὶ κάτω μετάπτωσιν, τρόπον τινὰ τῶν μὲν εὐτυχούντων ἀνιόντων, κατιόντων δὲ τῶν δυστυχούντων.

Πλάτων ὁ Ἀρίστωνος τὰ πρῶτα ἐπὶ ποιητικὴν 30
ὥρμησε, καὶ ἡρωϊκὰ ἔγραφε μέτρα· εἶτα αὐτὰ κατέ- 15
πρησεν ὑπεριδὼν αὐτῶν, ἐπεὶ τοῖς Ὁμήρου αὐτὰ ἀντικρίνων ἑώρα κατὰ πολὺ ἡττώμενα. ἐπέθετο οὖν τραγῳδίᾳ, καὶ δὴ καὶ τετραλογίαν εἰργάσατο, καὶ ἔμελλεν ἀγωνιεῖσθαι, δοὺς ἤδη τοῖς ὑποκριταῖς τὰ 20
ποιήματα. πρὸ τῶν Διονυσίων δὲ παρελθὼν ἤκουσε Σωκράτους, καὶ ἅπαξ αἱρεθεὶς ὑπὸ τῆς ἐκείνου σειρῆνος, τοῦ ἀγωνίσματος οὐ μόνον ἀπέστη τότε, ἀλλὰ καὶ τελέως τὸ γράφειν τραγῳδίαν ἀπέρριψε, καὶ ἀπε- 25
δύσατο ἐπὶ φιλοσοφίαν.

Καὶ τίς οὐκ ἂν ἐπήνεσε τὴν τῶν βαρβάρων σο- 31
φίαν; εἴ γε μηδεὶς αὐτῶν ἐς ἀθεότητα ἐξέπεσε, μηδὲ ἀμφιβάλλουσι περὶ θεῶν ἆρά γέ εἰσιν ἢ οὔκ εἰσιν, καὶ ἆρά γε ἡμῶν φροντίζουσιν ἢ οὔ. οὐδεὶς γοῦν ἔννοιαν ἔλαβε τοιαύτην, οἵαν Εὐήμερος ὁ Μεσσήνιος 30
ἢ Διογένης ὁ Φρυξ ἢ Ἵππων ἢ Διαγόρας ἢ Σωσίας ἢ Ἐπίκουρος οὔτε Ἰνδὸς οὔτε Κελτὸς οὔτε Λίγυπτιος.

Digitized by Google

λέγουσι δὲ τῶν βαρβάρων οἱ προειρημένοι καὶ εἶναι θεοὺς καὶ προνοεῖν ἡμῶν καὶ προσημαίνειν τὰ μέλλοντα καὶ διὰ ὀρνίθων καὶ διὰ συμβόλων καὶ διὰ σπλάγχνων καὶ δι' ἄλλων τινῶν μαθημάτων τε καὶ διδαγμάτων· ἅπερ οὖν ἐστι τοῖς ἀνθρώποις διδασκαλικὰ ἐκ τῆς παρὰ τῶν θεῶν ἐς αὐτοὺς προνοίας. καὶ δι' ὀνείρων δὲ λέγουσι καὶ δι' αὐτῶν τῶν ἀστέρων πολλὰ προδηλοῦσθαι. καὶ ὑπὲρ τούτων ἰσχυρὰν ἔχοντες τὴν πίστιν θύουσί τε καθαρῶς καὶ ἁγνεύουσιν ὁσίως, καὶ τελετὰς τελοῦσι καὶ ὀργίων φυλάττουσι νόμον, καὶ τὰ ἄλλα πράττουσιν, ἐξ ὧν ὅτι τοὺς θεοὺς ἰσχυρῶς καὶ σέβουσι καὶ τιμῶσιν ὡμολόγηται.

32 Λέγουσί τινες λόγοι Πυθικοὶ τὸν Ἡρακλῆ τὸν Διὸς καὶ Ἀλκμήνης παῖδα ἀπὸ γενεᾶς Αἰακίδου κεκλῆσθαι, χρόνῳ δὲ ὕστερον ἐλθόντα ἐς Δελφοὺς διά τινα αἰτίαν δεόμενον χρησμοῦ μήτε ὧν ἧκε χάριν ἀμοιρῆσαι, προσακοῦσαί τε ἐκείνοις καὶ ἰδίᾳ παρὰ τοῦ θεοῦ ταῦτα

Ἡρακλῆ δέ σε Φοῖβος ἐπώνυμον ἐξονομάζει·
ἦρα γὰρ ἀνθρώποισι φέρων κλέος ἄφθιτον ἕξεις.

33 Τὴν τῶν ποταμῶν φύσιν καὶ τὰ ῥεῖθρα αὐτῶν ὁρῶμεν· ὅμως δὲ οἱ τιμῶντες αὐτοὺς καὶ τὰ ἀγάλματα αὐτῶν ἐργαζόμενοι οἱ μὲν ἀνθρωπομόρφους αὐτοὺς ἱδρύσαντο, οἱ δὲ βοῶν εἶδος αὐτοῖς περιέθηκαν. βουσὶ μὲν οὖν εἰκάζουσιν οἱ Στυμφάλιοι μὲν τὸν Ἐρασῖνον καὶ τὸν Μετώπην, Λακεδαιμόνιοι δὲ τὸν Εὐρώταν, Σικυώνιοι δὲ καὶ Φλιάσιοι τὸν Ἀσωπόν, Ἀργεῖοι δὲ τὸν Κηφισόν· ἐν εἴδει δὲ ἀνδρῶν Φωκίδιοι τὸν Ἐρύμανθον, τὸν δὲ Ἀλφειὸν Ἠραιεῖς, Χερρονήσιοι δὲ οἱ ἀπὸ Κνίδου καὶ αὐτοὶ τὸν αὐτὸν ποταμὸν ὁμοίως. Ἀθηναῖοι δὲ τὸν Κηφισὸν ἄνδρα

Digitized by Google

μὲν δεικνύουσιν ἐν προτομῇ, κέρατα δὲ ὑποφαίνοντα. καὶ ἐν Σικελίᾳ δὲ Συρακόσιοι μὲν τὸν Ἄναπον ἀνδρὶ εἰκασαν, τὴν δὲ Κυάνην πηγὴν γυναικὸς εἰκόνι ἐτίμησαν· Αἰγεσταῖοι δὲ τὸν Πόρπακα καὶ τὸν Κριμισὸν καὶ τὸν Τελμησσὸν ἀνδρῶν εἴδει τιμῶσιν. Ἀκραγαντῖνοι δὲ τὸν ἐπώνυμον τῆς πόλεως ποταμὸν παιδὶ ὡραίῳ εἰκάσαντες θύουσιν. οἱ δὲ αὐτοὶ καὶ ἐν Δελφοῖς ἀνέθεσαν ἐλέφαντος διαγλύψαντες ἄγαλμα, καὶ ἐπέγραψαν τὸ τοῦ ποταμοῦ ὄνομα. καὶ παιδός ἐστι τὸ ἄγαλμα.

Ἐπίχαρμόν φασι πάνυ σφόδρα πρεσβύτην ὄντα, 34
μετά τινων ἡλικιωτῶν ἐν λέσχῃ καθήμενον, ἐπεὶ ἕκαστος τῶν παρόντων ἔλεγεν ὃ μέν τις 'ἐμοὶ πέντε ἔτη ἀπόχρη βιῶναι,' ἄλλος δὲ 'ἐμοὶ τρία,' τρίτου δὲ εἰπόντος 'ἐμοί γε τέτταρα,' ὑπολαβὼν ὁ Ἐπίχαρμος 'ὦ βέλτιστοι' εἶπε, 'τί στασιάζετε καὶ διαφέρεσθε ὑπὲρ ὀλίγων ἡμερῶν; πάντες γὰρ οἱ συνελθόντες κατά τινα δαίμονα ἐπὶ δυσμαῖς ἐσμεν· ὥστε ὥρα πᾶσιν ἡμῖν τὴν ταχίστην ἀνάγεσθαι, πρὸ τοῦ τινος καὶ ἀπολαῦσαι κακοῦ πρεσβυτικοῦ.'

Γοργίας ὁ Λεοντῖνος ἐπὶ τέρματι ὢν τοῦ βίου καὶ 35
γεγηρακὼς εὖ μάλα ὑπό τινος ἀσθενείας καταληφθείς, κατ' ὀλίγον ἐς ὕπνον ὑπολισθάνων ἔκειτο. ἐπεὶ δέ τις αὐτὸν παρῆλθε τῶν ἐπιτηδείων ἐπισκοπούμενος καὶ ἤρετο ὅ τι πράττοι, ὁ Γοργίας ἀπεκρίνατο 'ἤδη με ὁ ὕπνος ἄρχεται παρακατατίθεσθαι τἀδελφῷ.'

Σωκράτης δὲ καὶ αὐτὸς βαθύτατα γηρῶν εἶτα 36
νόσῳ περιπεσών, ἐπεί τις αὐτὸν ἠρώτησε πῶς ἔχοι, 'καλῶς' εἶπε 'πρὸς ἀμφότερα· ἐὰν μὲν γὰρ ζῶ, ζηλωτὰς ἕξω πλείονας· ἐὰν δὲ ἀποθάνω, ἐπαινέτας πλείονας.'

Ζαλεύκου τοῦ Λοκροῦ πολλοὶ μέν εἰσι καὶ ἄλλοι 37
νόμοι κάλλιστα καὶ ἐς δέον κείμενοι, καὶ οὗτος δὲ οὐχ

Digitized by Google

ἥκιστα. εἴ τις Λοκρῶν τῶν Ἐπιζεφυρίων νοσῶν ἔκιεν οἶνον ἄκρατον, μὴ προστάξαντος τοῦ θεραπεύοντος, εἰ καὶ περιεσώθη, θάνατος ἡ ζημία ἦν αὐτῷ, ὅτι μὴ προστάχθὲν αὐτῷ ᾧ δὲ ἔκιεν.

38 Νόμος καὶ οὗτος Μασσαλιώτικός, γυναῖκας μὴ ὁμιλεῖν οἴνῳ, ἀλλ' ὑδροποτεῖν πᾶσαν γυναικῶν ἡλικίαν. λέγει δὲ Θεόφραστος καὶ παρὰ Μιλησίοις τὸν νόμον τοῦτον ἰσχύειν, καὶ πείθεσθαι αὐτῷ τὰς Μιλησίων γυναῖκας. τί δὲ οὐκ ἂν εἰκοιμι καὶ τὸν Ῥωμαίων νόμον; καὶ πῶς οὐκ ὀφλήσω δικαίως ἀλογίαν, εἰ τὰ μὲν Λοκρῶν καὶ Μασσαλιωτῶν καὶ τὰ Μιλησίων διὰ μνήμης ἐθέμην, τὰ δὲ τῆς ἐμαυτοῦ πατρίδος ἐάσω; οὐκοῦν καὶ Ῥωμαίοις ἦν ἐν τοῖς μάλιστα ὁ νόμος ὅδε ἐρρωμένος. οὔτε ἐλευθέρα γυνὴ ἔκιεν ἂν οἶνον οὔτε οἰκέτις, οὔτε μὴν τῶν εὖ γεγονότων οἱ ἐφ' ἥβης μέχρι πέντε καὶ τριάκοντα ἐτῶν.

39 Κρῆτες δὲ τοὺς παῖδας τοὺς ἐλευθέρους μανθάνειν ἐκέλευον τοὺς νόμους μετά τινος μελῳδίας, ἵνα ἐκ τῆς μουσικῆς ψυχαγωγῶνται καὶ εὐκολώτερον αὐτοὺς τῇ μνήμῃ διαλαμβάνωσι, καὶ ἵνα μή τι τῶν κεκωλυμένων πράξαντες ἀγνοίᾳ πεποιηκέναι ἀπολογίαν ἴσχωσι. δεύτερον δὲ μάθημα ἔταξαν τοὺς τῶν θεῶν ὕμνους μανθάνειν· τρίτον τὰ τῶν ἀγαθῶν ἀνδρῶν ἐγκώμια.

40 Πᾶν μὲν ὅσον ἄλογόν ἐστιν ἀλλοτρίως πρὸς οἶνον πέφυκε, μάλιστα δὲ τῶν ζῴων ἐκεῖνα, ὅσα στεμφύλων ἢ γιγάρτων ὑπερπλησθέντα μεθύει. καὶ οἱ κόρακες δὲ τὴν καλουμένην οἰνοῦτταν βοτάνην ὅταν φάγωσι, καὶ οἱ κύνες δὲ καὶ αὐτοὶ βακχεύονται. πίθηκος δὲ καὶ ἐλέφας ἐὰν οἴνου πίωσιν, ὃ μὲν τῆς ἀλκῆς ἐπιλανθάνεται ὁ ἐλέφας, ὃ δὲ τῆς πανουργίας· καὶ εἰσιν αἱρεθῆναι πάνυ ἀσθενεῖς.

Digitized by Google

Φιλοπόται δὲ λέγονται γενέσθαι Διονύσιος ὁ Σι- 41
κελίας τύραννος, καὶ Νυσαῖος καὶ οὗτος τύραννος,
καὶ Ἀπολλοκράτης ὁ Διονυσίου τοῦ τυράννου υἱός,
καὶ Ἱππαρῖνος Διονυσίου καὶ οὗτος, καὶ Τιμόλαος
ὁ Θηβαῖος καὶ Χαρίδημος ὁ Ὠρείτης καὶ Ἀρκαδίων
καὶ Ἐρασίξενος καὶ Ἀλκέτας ὁ Μακεδὼν καὶ Διότι-
μος ὁ Ἀθηναῖος. οὗτός τοι καὶ χώνη ἐπεκαλεῖτο·
ἐντιθέμενος γὰρ τῷ στόματι χώνην ἀδιαλείπτως ἐχώ-
ρει τὸν ἐσχεόμενον οἶνον. Κλεομένης δὲ ὁ Λακεδαι-
μόνιος οὐ μόνον φασὶν ὅτι πολυπότης ἦν, ἀλλὰ γὰρ
περιτιθέασιν αὐτῷ καὶ τόδε δῆπου τὸ Σκυθικὸν κα-
κόν, ὅτι ἀκρατοπότης ἐγένετο. καὶ Ἴωνα δὲ τὸν Χῖον
τὸν ποιητὴν καὶ αὐτόν φασι περὶ τὸν οἶνον ἀκρατῶς
ἔχειν. καὶ Ἀλέξανδρος δὲ ὁ Μακεδὼν ἐπὶ Καλανῷ τῷ
Βραγμᾶνι, τῷ Ἰνδῶν σοφιστῇ, ὅτε ἑαυτὸν ἐκεῖνος
κατέπρησεν, ἀγῶνα μουσικῆς καὶ ἱππέων καὶ ἀθλη-
τῶν διέθηκε. χαριζόμενος δὲ τοῖς Ἰνδοῖς καί τι ἐπι-
χώριον αὐτῶν ἀγώνισμα ἐς τιμὴν τοῦ Καλανοῦ συγ-
κατηρίθμησε τοῖς ἄθλοις τοῖς προειρημένοις. οἰνοπο-
σίας γοῦν ἀγωνίαν προύθηκε, καὶ ἦν τῷ μὲν τὰ πρῶτα
φερομένῳ τάλαντον τὸ γέρας, τῷ δὲ δευτέρῳ τριά-
κοντα μναῖ, τῷ γε μὴν τρίτῳ δέκα. ὁ δὲ τὰ νικη-
τήρια ἀναθησάμενος ἐν αὐτοῖς ἦν Πρόμαχος. καὶ ἐκ
Διονυσίου δὲ τῇ τῶν Χοῶν ἑορτῇ προύκειτο ἄθλον
τῷ πιόντι πλεῖστον στέφανος χρυσοῦς. καὶ ἐνίκησε
Ξενοκράτης ὁ Χαλκηδόνιος, καὶ τὸν στέφανον λαβών,
ὅτε ἐπανήει μετὰ τὸ δεῖπνον, τῷ Ἑρμῇ τῷ πρὸ τῶν
θυρῶν ἑστῶτι ἐπέθηκεν αὐτὸν κατὰ τὸ ἔθος τῶν ἔμ-
προσθεν ἡμερῶν· καὶ γὰρ καὶ τοὺς ἀνθινοὺς καὶ τοὺς
ἐκ τῆς μυρρίνης καὶ τὸν ἐκ τοῦ κιττοῦ καὶ τὸν ἐκ τῆς
δάφνης ἐνταῦθα ἀνέπαυσε καὶ κατέλιπε. καὶ Ἀνά-
χαρσις δὲ πάμπολύ φασιν ἔπιε παρὰ Περιάνδρῳ,

Digitized by Google

τοῦτο μὲν καὶ οἰκοθεν ἑαυτῷ ἐπαγόμενος τὸ ἐφόδιον· Σκυθῶν γὰρ ἴδιον τὸ πίνειν ἄκρατον. καὶ Λακύδης δὲ καὶ Τίμων οἱ φιλόσοφοι, καὶ τούτους φασὶ πάμπολυ πιεῖν. καὶ Μυκερῖνος δὲ ὁ Αἰγύπτιος, ὅτε αὐτῷ τὸ ἐκ Βουτοῦς μαντεῖον ἀφίκετο προλέγον τὴν τοῦ βίου στενοχωρίαν, εἶτα ἐβουλήθη σοφίσασθαι τὸ λόγιον ἐκεῖνος, διπλασιάζων τὸν χρόνον καὶ ταῖς ἡμέραις προστιθεὶς τὰς νύκτας, διετέλει καὶ αὐτὸς ἀγρυπνῶν καὶ πίνων ἅμα. τίθει μετὰ τούτων καὶ Ἄμασιν τὸν Αἰγύπτιον, εἴ τῳ Ἡρόδοτος ἱκανὸς τεκμηριῶσαι. καὶ Νικοτέλην δὲ τὸν Κορίνθιον οὐ χρὴ ἀπὸ τούτων τάττειν, καὶ Σκόπαν τὸν Κρέοντος υἱόν. καὶ Ἀντίοχον τὸν βασιλέα φασὶν οἰνεραστὴν γενέσθαι. διὰ ταῦτά τοι καὶ τὴν βασιλείαν αὐτῷ διώκουν Ἀριστός τε καὶ Θεμίσων οἱ Κύπριοι, αὐτὸς δὲ διὰ τὴν πολυποσίαν ἐπεγέγραπτο τῇ ἀρχῇ ἄλλως. καὶ ὁ Ἐπιφανὴς δὲ κληθεὶς Ἀντίοχος ὁ Ῥωμαίοις δοθεὶς ὅμηρος καὶ οὗτος ἀκρατῶς ἐδίψη οἴνου πίνειν. καὶ ὁ ὁμώνυμος δὲ τούτου Ἀντίοχος ὁ ἐν Μήδοις πρὸς Ἀρσάκην πολεμήσας καὶ οὗτος ἦν τοῦ πίνειν δοῦλος. καὶ ὁ Μέγας δὲ καλούμενος Ἀντίοχος καὶ οὗτος σὺν τούτοις τετάχθω. καὶ Ἄγρωνα δὲ τὸν Ἰλλυριῶν βασιλέα ἀπέκτεινεν ἡ πρὸς τὸν οἶνον ἄδικος ὁρμή, καὶ αὐτῷ πλευρῖτιν ἐνεργάσατο. καὶ ἕτερος Ἰλλυριῶν βασιλεὺς Γέντιος πίνειν καὶ οὗτος εἴθιστο ἀκρατῶς. τόν γε μὴν Καππαδόκων βασιλέα Ὀροφέρνην τί τοῦτον ἐάσομεν, καὶ ἐκεῖνον πιεῖν γενόμενον δεινόν; εἰ δὲ χρὴ καὶ γυναικῶν μνημονεῦσαι, ἄτοπον μὲν γυνὴ φιλοπότις, καὶ πολυπότις ἔτι πλέον, εἰρήσθω δ' οὖν καὶ περὶ τούτων. Κλεὼ φασιν ἐς Ἄμιλλαν ἰοῦσα οὐ γυναιξὶ μόναις ἀλλὰ καὶ τοῖς ἀνδράσι τοῖς συμπόταις δεινοτάτη πιεῖν ἦν, καὶ ἐκράτει πάντων, αἰσχι-

Digitized by Google

στόν γε τοῦτο φερομένη τὸ νικητήριον ὥς γε ἐμοὶ κριτῇ.

Ἡ Πλάτωνος δόξα καὶ ὁ τῆς κατ' αὐτὸν ἀρετῆς 42
λόγος καὶ ἐς Ἀρκάδας ἀφίκετο καὶ Θηβαίους, καὶ
οὐν καὶ ἐδεήθησαν αὐτοῦ πρέσβεις ἀποστείλαντες σὺν
τῇ ἀνωτάτω σπουδῇ ἀφικέσθαι σφίσι τὸν ἄνδρα οὐκ
ἐπὶ μόνῃ τῇ τῶν νέων προστασίᾳ, οὐδ' ἵνα αὐτοῖς
συγγένηται ἐπὶ τοῖς λόγοις τοῖς κατὰ φιλοσοφίαν,
ἀλλὰ γὰρ καὶ τὸ ἔτι τούτων μεῖζον νομοθέτην αὐτὸν
ἐκάλουν. οὔκουν ἔμελλον ἀτυχήσειν τοῦ ἀνδρός·
καὶ γὰρ ἤσθη ὁ τοῦ Ἀρίστωνος τῇ κλήσει, καὶ δὴ καὶ
ἔμελλεν ὑπακούσεσθαι. ἤρετο μέντοι τοὺς ἥκοντας
πῶς ἔχουσι πρὸς τὸ ἴσον ἔχειν ἅπαντες; ἐπεὶ δὲ
ἔμαθε παρ' αὐτῶν ὅτι καὶ πάνυ ἀλλοτρίως, οὐδὲ πεί-
σειν αὐτοὺς τιμᾶν τὴν ἰσονομίαν, ἀπείπατο τὴν πρὸς
αὐτοὺς ἐπιδημίαν.

Πενέστατοι ἐγένοντο οἱ ἄριστοι τῶν Ἑλλήνων, 43
Ἀριστείδης ὁ Λυσιμάχου καὶ Φωκίων ὁ Φώκου καὶ
Ἐπαμεινώνδας ὁ Πολύμνιδος καὶ Πελοπίδας ὁ Θηβαῖος
καὶ Λάμαχος ὁ Ἀθηναῖος καὶ Σωκράτης ὁ Σωφρονί-
σκου καὶ Ἐφιάλτης δὲ ὁ Σοφωνίδου καὶ ἐκεῖνος.

Θέωνος τοῦ ζωγράφου πολλὰ μὲν καὶ ἄλλα ὁμο- 44
λογεῖ τὴν χειρουργίαν ἀγαθὴν οὖσαν ἀτὰρ οὖν καὶ
τόδε τὸ γράμμα. ὁπλίτης ἐστὶν ἐκβοηθῶν, ἄφνω τῶν
πολεμίων ἐσβαλλόντων καὶ θηούντων ἅμα καὶ κειρόν-
των τὴν γῆν· ἐναργῶς δὲ καὶ πάνυ ἐκθύμως ὁ νεανίας
ἔοικεν ὁρμῶντι ἐς τὴν μάχην, καὶ εἶπες ἂν αὐτὸν
ἐνθουσιᾶν, ὥσπερ ἐξ Ἄρεος μανέντα. γοργὸν μὲν
αὐτῷ βλέπουσιν οἱ ὀφθαλμοί, τὰ δὲ ὅπλα ἁρπάσας
ἔοικεν ἢ ποδῶν ἔχει ἐπὶ τοὺς πολεμίους ἄττειν. προ-
βάλλεται δὲ ἐντεῦθεν ἤδη τὴν ἀσπίδα, καὶ γυμνὸν
ἐπισείει τὸ ξίφος φονῶντι ἐοικὼς καὶ σφαγὴν βλέπων

Digitized by Google

καὶ ἀπειλῶν δι' ὅλου τοῦ σχήματος ὅτι μηδενὸς φείσεται. καὶ πλέον οὐδὲν περιείργασται τῷ Θέωνι, οὐ λοχίτης οὐ ταξίαρχος οὐ λοχαγὸς οὐχ ἱππεὺς οὐ τοξότης, ἀλλ' ἀπέχρησέν οἱ καὶ ὁ εἷς ὁπλίτης οὗτος πληρῶσαι τὴν τῆς εἰκόνος ἀπαίτησιν. οὐ πρότερόν γε μὴν ὁ τεχνίτης ἐξεκάλυψε τὴν γραφὴν οὐδὲ ἔδειξε τοῖς ἐπὶ τὴν θέαν συνειλεγμένοις πρὶν ἢ σαλπιγκτὴν παρεστήσατο καὶ προσέταξεν αὐτῷ τὸ παρορμητικὸν ἐμπνεῦσαι μέλος διάτορόν τε καὶ γεγωνὸς ὅτι μάλιστα καὶ οἷον ἐς τὴν μάχην ἐγερτήριον. ἅμα τε οὖν τὸ μέλος ἠκούετο τραχὺ καὶ φοβερόν, οἷον ἐς ὁπλιτῶν ἔξοδον ταχέως ἐκβοηθούντων μελῳδοῦσι σάλπιγγες, καὶ ἐδείκνυτο ἡ γραφή, καὶ ὁ στρατιώτης ἐβλέπετο, τοῦ μέλους ἐναργεστέραν τὴν φαντασίαν τοῦ ἐκβοηθοῦντος ἔτι καὶ μᾶλλον παραστήσαντος.

Γ

Φέρε οὖν καὶ τὰ καλούμενα Τέμπη τὰ Θετταλικὰ διαγράψωμεν τῷ λόγῳ καὶ διαπλάσωμεν· ὡμολόγηται γὰρ καὶ ὁ λόγος, ἐὰν ἔχῃ δύναμιν φραστικήν, μηδὲν ἀσθενέστερον ὅσα βούλεται δεικνύναι τῶν ἀνθρώπων τῶν κατὰ χειρουργίαν δεινῶν. ἔστι δὴ χῶρος μεταξὺ κείμενος τοῦ τε Ὀλύμπου καὶ τῆς Ὄσσης. ὄρη δὲ ταῦτά ἐστιν ὑπερύψηλα καὶ οἷόν ὑπό τινος θείας φροντίδος διεσχισμένα, καὶ μέσον δέχεται χωρίον, οὗ τὸ μὲν μῆκος ἐπὶ τετταράκοντα διήκει σταδίους, τό γε μὴν πλάτος τῇ μέν ἐστι πλέθρου, τῇ δὲ καὶ μεῖζον ὀλίγῳ. διαρρεῖ δὲ μέσου αὐτοῦ ὁ καλούμενος Πηνειός. ἐς τοῦτον δὲ καὶ οἱ λοιποὶ ποταμοὶ

Digitized by Google

συρρέουσι, καὶ ἀνακοινοῦνται τὸ ὕδωρ αὐτῷ, καὶ ἐργάζονται τὸν Πηνειὸν ἐκεῖνοι μέγαν. διατριβὰς δ' ἔχει ποικίλας καὶ παντοδαπὰς ὁ τόπος οὗτος, οὐκ ἀνθρωπίνης χειρὸς ἔργα, ἀλλὰ φύσεως αὐτόματα ἐς κάλλος τότε φιλοτιμησαμένης, ὅτε ἐλάμβανε γένεσιν ὁ χῶρος. κιττὸς μὲν γὰρ πολὺς καὶ εὖ μάλα λάσιος ἐνακμάζει καὶ τέθηλε καὶ δίκην τῶν εὐγενῶν ἀμπέλων κατὰ τῶν ὑψηλῶν δένδρων ἀνέρπει καὶ συμπέφυκεν αὐτοῖς, πολλὴ δὲ σμίλαξ πρὸς αὐτὸν τὸν πάγον ἀνατρέχει καὶ ἐπισκιάζει τὴν πέτραν· καὶ ἐκείνη μὲν ὑπολανθάνει, ὁρᾶται δὲ τὸ γλοάζον πᾶν, καὶ ἔστιν ὀφθαλμῶν πανήγυρις. ἐν αὐτοῖς δὲ τοῖς λείοις καὶ καθημένοις ἄλση τέ ἐστι ποικίλα καὶ ὑποδρομαὶ συνεχεῖς, ἐν ὥρᾳ θέρους καταφυγεῖν ὁδοιπόροις ἥδιστα καταγώγια, ἃ καὶ δίδωσιν ἀσμένως ψυχάσαι. διαρρέουσι δὲ καὶ κρῆναι συχναί, καὶ ἐπιρρεῖ νάματα ὑδάτων ψυχρῶν καὶ πιεῖν ἡδίστων. λέγεται δὲ τὰ ὕδατα ταῦτα καὶ τοῖς λουσαμένοις ἀγαθὸν εἶναι καὶ ἐς ὑγίειαν αὐτοῖς συμβάλλεσθαι. κατᾴδουσι δὲ καὶ ὄρνιθες ἄλλος ἄλλῃ διεσπαρμένοι, καὶ μάλιστα οἱ μουσικοί, καὶ ἑστιῶσιν εὖ μάλα τὰς ἀκοάς, καὶ παραπέμπουσιν ἀπόνως καὶ σὺν ἡδονῇ, διὰ τοῦ μέλους τὸν κάματον τῶν παριόντων ἀφανίσαντες. παρ' ἑκάτερα δὲ τοῦ ποταμοῦ αἱ διατριβαί εἰσιν αἱ προειρημέναι καὶ αἱ ἀνάπαυλαι. διὰ μέσων δὲ τῶν Τεμπῶν ὁ Πηνειὸς ποταμὸς ἔρχεται, σχολῇ καὶ πράως προϊὼν ἐλαίου δίκην, πολλὴ δὲ κατ' αὐτοῦ ἡ σκιὰ ἐκ τῶν παραπεφυκότων δένδρων καὶ τῶν ἐξηρτημένων κλάδων τίκτεται, ὡς ἐπὶ πλεῖστον τῆς ἡμέρας αὐτὴν προήκουσαν ἀποστέγειν τὴν ἀκτῖνα καὶ παρέχειν τοῖς πλέουσι πλεῖν κατὰ ψῦχος. πᾶς δὲ ὁ περιοικος λεὼς συνίασιν ἄλλοι ἄλλοις, καὶ θύουσι καὶ συνουσίας ποιοῦνται καὶ συμπίνουσιν. ἅτε οὖν

Digitized by Google

πολλῶν ὄντων τῶν θυόντων καὶ τῶν καθαγιζόντων συνεχῶς, εἰκότως καὶ τοῖς βαδίζουσι καὶ τοῖς πλέουσιν ὀσμαὶ συμπαρομαρτοῦσιν ἥδισται· οὕτως ἄρα ἡ τιμὴ ἡ διαρκὴς ἡ περὶ τὸ κρεῖττον ἐκθεοῖ τὸν τόπον. ἐνταῦθά τοί φασι παῖδες Θετταλῶν καὶ τὸν Ἀπόλλωνα τὸν Πύθιον καθήρασθαι κατὰ πρόσταγμα τοῦ Διός, ὅτε τὸν Πύθωνα τὸν δράκοντα κατετόξευσεν φυλάττοντα τοὺς Δελφούς, τῆς Γῆς ἔτι ἐχούσης τὸ μαντεῖον. στεφανωσάμενον οὖν ἐκ ταύτης τῆς δάφνης τῆς Τεμπικῆς καὶ λαβόντα κλάδον ἐς τὴν δεξιὰν χεῖρα ἐκ τῆς αὐτῆς δάφνης ἐλθεῖν ἐς Δελφοὺς καὶ παραλαβεῖν τὸ μαντεῖον τὸν Διὸς καὶ Λητοῦς παῖδα. ἔστι δὲ καὶ βωμὸς ἐν αὐτῷ τῷ τόπῳ, ἐν ᾧ καὶ ἐστεφανώσατο καὶ τὸν κλάδον ἀφεῖλε. καὶ ἔτι καὶ νῦν δι' ἔτους ἐνάτου οἱ Δελφοὶ παῖδας εὐγενεῖς πέμπουσι καὶ ἀρχιθέωρον ἕνα σφῶν αὐτῶν. οἱ δὲ παραγενόμενοι καὶ μεγαλοπρεπῶς θύσαντες ἐν τοῖς Τέμπεσιν ἁπίασι πάλιν στεφάνους ἀπὸ τῆς αὐτῆς δάφνης διαπλέξαντες, ἀφ' ἧσπερ οὖν καὶ τότε ὁ θεὸς ἐστεφανώσατο. καὶ τὴν ὁδὸν ἐκείνην ἔρχονται, ἣ καλεῖται μὲν Πυθιάς, φέρει δὲ διὰ Θετταλίας καὶ Πελασγίας καὶ τῆς Οἴτης καὶ τῆς Αἰνιάνων χώρας καὶ τῆς Μηλιέων καὶ Δωριέων καὶ Λοκρῶν τῶν Ἑσπερίων. οὗτοι δὲ καὶ παρακέμπουσιν αὐτοὺς σὺν αἰδοῖ καὶ τιμῇ οὐδὲν ἧττον ἥπερ οὖν ἐκεῖνοι, οἳ τοὺς ἐξ Ὑπερβορέων τὰ ἱερὰ κομίζοντας τῷ αὐτῷ θεῷ τούτῳ τιμῶσι. καὶ μὴν καὶ τοῖς Πυθίοις ἐκ ταύτης τῆς δάφνης τοὺς στεφάνους τοῖς νικῶσι διδόασιν. ὑπὲρ μὲν οὖν τῶν ἐν Θετταλίᾳ Τεμπῶν καὶ ἐμοὶ νῦν τοσαῦτα εἰρήσθω.

2 Ἀναξαγόρᾳ τις τῷ Κλαζομενίῳ σπουδάζοντι πρὸς τοὺς ἑταίρους προσελθὼν ἔφη τεθνηκέναι οἱ τοὺς δύο παῖδας οὕσπερ οὖν εἶχε μόνους ὁ Ἀναξαγόρας.

Digitized by Google

ὃ δὲ μηδὲν διαταραχθεὶς εἶπεν 'ἤδειν θνητοὺς γεγεννηκώς.'

Ξενοφῶντι θύοντι ἦκέ τις ἐκ Μαντινείας ἄγγελος, λέγων τὸν υἱὸν αὐτοῦ τὸν Γρύλλον τεθνάναι· κἀκεῖνος ἀπέθετό μὲν τὸν στέφανον, διετέλει δὲ θύων. ἐπεὶ δὲ ὁ ἄγγελος προσέθηκε τῷ πρότερον λόγῳ καὶ ἐκεῖνον τὸν λέγοντα ὅτι νικῶν μέντοι τέθνηκε, πάλιν ὁ Ξενοφῶν ἐπέθετο τῇ κεφαλῇ τὸν στέφανον. ταῦτα μὲν οὖν δημώδη καὶ ἐς πολλοὺς ἐκπεφοίτηκεν.

Δίων δὲ ὁ Ἱππαρίνου μὲν παῖς Πλάτωνος δὲ ὁμιλητὴς ἔτυχε μὲν χρηματίζων ὑπέρ τινων δημοσίων καὶ κοινῶν πραγμάτων, ὁ δὲ παῖς αὐτοῦ ἐκ τοῦ τέγους κατενεχθεὶς ἐς τὴν αὐλὴν τὸν βίον κατέστρεψεν. οὐδὲν οὖν ἐπὶ τούτοις μετεβάλετο ὁ Δίων, ἀλλ' ὅπερ οὖν ἐξ ἀρχῆς ἔπραττε, τοῦτο καὶ δρῶν διετέλεσεν.

Ἀντίγονόν γε μήν φασι τὸν δεύτερον ἐπεί τινες τὸν υἱὸν αὐτῷ ἐκ τῆς παρατάξεως ἐκόμισαν νεκρόν, εἶδε μὲν αὐτόν, οὐδὲν δὲ τρέψας τοῦ χρωτός, οὐδὲ μὴν ἐπιδακρύσας, ἐπαινέσας δὲ ὡς ἀγαθὸν στρατιώτην, θάπτειν προσέταξεν.

Κράτης ὁ Θηβαῖος τά τε ἄλλα μεγαλόφρων ὢν πεφώραται καὶ καταφρονητικὸς τῶν ὑπὸ τοῦ πλήθους θαυμαζομένων, ἀτὰρ οὖν καὶ χρημάτων καὶ πατρίδος. ὅτι μὲν οὖν τῆς οὐσίας ἀπέστη τοῖς Θηβαίοις, τοῦτο μὲν καὶ ἐς πάντας ἐξεφοίτησε· τὸ δὲ ἕτερον αὐτοῦ οὐ πᾶσι γνώριμον· ἔστι δὲ ἐκεῖνο. ἀπαλλαττόμενος τῶν Θηβῶν οἰκισθεισῶν πάλιν ἔφη 'οὐ δέομαι πόλεως, ἣν Ἀλέξανδρος κατασκάψει ἄλλος.'

Δημοχάρης ὁ τοῦ Δημοσθένους ἀδελφιδοῦς ἐπιδεῖξαι βουλόμενος ὅτι τῆς ἐκ τῶν πολλῶν κακοφημίας ὑπερφρονεῖ, θεασάμενός τινας καθεζομένους ἐν ἰατρείῳ ψογεροὺς καὶ κακῶς ἀγορεύειν ἐκ παντὸς τρό-

Digitized by Google

που διψῶντας 'τί φατε ὑμεῖς' εἶπε 'Δυσμενίδαι;' τὸ ἦθος αὐτῶν ἅμα ἐκκαλύψας διὰ τούτου τοῦ ὀνόματος.

8 Φρύνιχον Ἀθηναῖοι στρατηγὸν εἵλοντο οὔτε κατὰ σπουδὰς οὔτε κατὰ τὴν τοῦ γένους ἀξίαν οὔτε μὴν ὅτι ἦν πλούσιος· πολλάκις γὰρ καὶ ἐκ τούτων ἐθαυμάζοντο ἐν ταῖς Ἀθήναις, καὶ τῶν ἄλλων προηροῦντο. ἀλλ' ἐπεὶ τοῖς πυρριχισταῖς ἔν τινι τραγῳδίᾳ ἐπιτήδεια μέλη καὶ πολεμικὰ ἐξεπόνησεν, οὕτως ἄρα κατεκτήσατο τὸ θέατρον καὶ ἐκράτησε τῶν παρόντων, ὥστε παραχρῆμα αὐτὸν εἵλοντο στρατηγεῖν, πιστεύσαντες ὅτι τῶν πολεμικῶν ἔργων ἡγήσεται καλῶς καὶ ἐς δέον, ὅπου μὴ ἀπᾴδοντα τοῖς ἐνόπλοις ἀνδράσιν εἰργάσατο τὰ ἐν τῷ δράματι μέλη τε καὶ ποιήματα.

9 Ἐρῶντι ἀνδρί τις οὐκ ἐρῶν ἐπειγούσης τῆς μάχης καὶ συνάγοντος τοῦ πολέμου οὐκ ἂν συμμίξειεν. ὁ γὰρ ἀνέραστος φεύγει καὶ ἀποδιδράσκει τὸν ἐρωτικόν, ἅτε βέβηλος καὶ ἀτέλεστος τῷ θεῷ καὶ τοσοῦτον ἀνδρεῖος, ὅσον αὐτῷ καὶ ἡ ψυχὴ χωρεῖ καὶ τὸ σῶμα ῥώμης ἔχει· δέδοικε δὲ τὸν ἕτερον, ἅτε ἐκ θεοῦ κατόχως ἐνθουσιῶντα, καὶ οὐ μὰ Δία τοῦτο τὸ κοινὸν ἐξ Ἄρεος ἀλλ' ἐξ Ἔρωτος μανέντα. οἱ μὲν γὰρ ἐκ τοῦ ἑτέρου τῶν θεῶν κατειλημμένοι, ὧν ἕνα φησὶν Ὅμηρος ὅμοια τῷ Ἄρει μαίνεσθαι, ἀλλ' ἐκεῖνοί γε ἐξ ἑνὸς περιειλημμένοι δαίμονος εὖ καὶ καλῶς ἀγωνίζονται τοσοῦτον, ὅσον ἐνθουσιᾶν αὐτοὺς ἅπαξ· οἱ δὲ Ἔρωτος βάκχοι πολεμοῦντες καὶ ὑπὸ τῆς Ἄρεος ὁρμῆς καὶ ὑπὸ τῆς Ἔρωτος ἐκκαύσεως διπλῆν τὴν λατρείαν ὑπομένοντες εἰκότως κατὰ τὴν Κρητῶν ἔννοιαν κατορθοῦσι διπλᾶ. οὔκουν τῷ ἐξ Ἄρεος καὶ Ἔρωτος φρονοῦντι αἰτιάσαιτο ἄν τις εἰ μὴ ὑπομένοι ὁπλίτης ἀνταγωνίσασθαι ὑφ' ἑνὶ τεταγμένος θεῷ, ἀλλ' οὐχ ὑπὸ τοῖς δύο.

Digitized by Google

Περὶ τῶν ἐν Λακεδαίμονι ἐφόρων πολλὰ μὲν καὶ 10
ἄλλα εἰπεῖν καλὰ ἔχω, ἃ δ' οὖν προῄρημαι, ταῦτα
νῦν ἐρῶ. ὅτε τις τῶν παρ' αὐτοῖς καλῶν πλούσιον
ἐραστὴν προείλετο χρηστοῦ πένητος, ἐπέβαλον αὐτῷ
χρήματα, κολάζοντες ὡς ἔοικε τὴν φιλοχρηματίαν τῇ 5
τῶν χρημάτων ζημίᾳ. ἄλλον δέ τινα ἄνδρα καλὸν
κἀγαθὸν οὐδενὸς ἐρῶντα τῶν καλῶς πεφυκότων καὶ
τοῦτον ἐζημίωσαν, ὅτι χρηστὸς ὢν οὐδενὸς ἦρα· δῆ-
λον γὰρ ὡς ὅμοιον ἂν ἑαυτῷ κἀκεῖνον ἀπέφηνεν,
ἴσως δ' ἂν καὶ ἄλλον. δεινὴ γὰρ ἡ τῶν ἐραστῶν 10
πρὸς τὰ παιδικὰ εὔνοια ἀρετὰς ἐνεργάσασθαι, ὅταν
αὐτοὶ σεμνοὶ ὦσιν· ἐπεί τοι Λακωνικὸς καὶ οὗτος
νόμος, ὅταν ἁμάρτῃ μειράκιον, τῇ μὲν ἀφελείᾳ τοῦ τρό-
που καὶ τῷ νεαρῷ τῆς ἡλικίας συγγινώσκουσι, τὸν δὲ
ἐραστὴν ὑπὲρ αὐτοῦ κολάζουσιν, ἐπιγνώμονας αὐτοὺς 15
καὶ ἐξεταστὰς ὧν ἐκεῖνοι πράττουσι κελεύοντες εἶναι.

Οἱ περιπατητικοὶ φασι μεθ' ἡμέραν θητεύουσαν 11
τὴν ψυχὴν τῷ σώματι περιπλέκεσθαι καὶ μὴ δύνασθαι
καθαρῶς τὴν ἀλήθειαν θεωρεῖν· νύκτωρ δὲ διαλυ-
θεῖσαν τῆς περὶ τοῦτο λειτουργίας καὶ σφαιρωθεῖσαν 20
ἐν τῷ περὶ τὸν θώρακα τόπῳ μαντικωτέραν γίνεσθαι,
ἐξ ὧν τὰ ἐνύπνια.

Οὔκ εἰσι θρυπτικοὶ πρὸς τοὺς ἐραστὰς οἱ ἐν Λα- 12
κεδαίμονι καλοὶ οὐδὲ ἀλαζόνες, ἐπεὶ τοὐναντίον ἢ
παρὰ τοῖς ἄλλοις ὡραίοις τὰ ἐκ τούτων καταμαθεῖν 25
ἐστιν. αὐτοὶ γοῦν δέονται τῶν ἐραστῶν εἰσπνεῖν αὐ-
τοῖς· Λακεδαιμονίων δέ ἐστιν αὕτη ἡ φωνή, ἐρᾶν
δεῖν λέγουσα. Σπαρτιάτης δὲ ἔρως αἰσχρὸν οὐκ οἶ-
δεν· εἴτε γὰρ μειράκιον ἐτόλμησεν ὕβριν ὑπομεῖναι
εἴτε ἐραστὴς ὑβρίσαι, ἀλλ' οὐδετέροις ἐλυσιτέλησε 30
τῇ Σπάρτῃ ἐγκαταμεῖναι· ἢ γὰρ τῆς πατρίδος ἀπηλ-
λάγησαν ἢ καὶ τὸ ἔτι θερμότερον τοῦ βίου αὐτοῦ.

Digitized by Google

ἥκιστα. εἴ τις Λοκρῶν τῶν Ἐπιζεφυρίων νοσῶν ἔπιεν οἶνον ἄκρατον, μὴ προστάξαντος τοῦ θεραπεύοντος, εἰ καὶ περιεσώθη, θάνατος ἡ ζημία ἦν αὐτῷ, ὅτι μὴ προστάχθὲν αὐτῷ ᾧ δὲ ἔπιεν.

38 Νόμος καὶ οὗτος Μασσαλιώτικός, γυναῖκας μὴ ὁμιλεῖν οἴνῳ, ἀλλ' ὑδροποτεῖν πᾶσαν γυναικῶν ἡλικίαν. λέγει δὲ Θεόφραστος καὶ παρὰ Μιλησίοις τὸν νόμον τοῦτον ἰσχύειν, καὶ πείθεσθαι αὐτῷ τὰς Μιλησίων γυναῖκας. τί δὲ οὐκ ἂν εἴποιμι καὶ τὸν Ῥωμαίων νόμον; καὶ πῶς οὐκ ὀφλήσω δικαίως ἀλογίαν, εἰ τὰ μὲν Λοκρῶν καὶ Μασσαλιωτῶν καὶ τὰ Μιλησίων διὰ μνήμης ἐθέμην, τὰ δὲ τῆς ἐμαυτοῦ πατρίδος ἐάσω; οὐκοῦν καὶ Ῥωμαίοις ἦν ἐν τοῖς μάλιστα ὁ νόμος ὅδε ἐρρωμένος. οὔτε ἐλευθέρα γυνὴ ἔπιεν ἂν οἶνον οὔτε οἰκέτις, οὔτε μὴν τῶν εὖ γεγονότων οἱ ἐφ' ἥβης μέχρι πέντε καὶ τριάκοντα ἐτῶν.

39 Κρῆτες δὲ τοὺς παῖδας τοὺς ἐλευθέρους μανθάνειν ἐκέλευον τοὺς νόμους μετά τινος μελῳδίας, ἵνα ἐκ τῆς μουσικῆς ψυχαγωγῶνται καὶ εὐκολώτερον αὐτοὺς τῇ μνήμῃ διαλαμβάνωσι, καὶ ἵνα μή τι τῶν κεκωλυμένων πράξαντες ἀγνοίᾳ πεποιηκέναι ἀπολογίαν ἔχωσι. δεύτερον δὲ μάθημα ἔταξαν τοὺς τῶν θεῶν ὕμνους μανθάνειν· τρίτον τὰ τῶν ἀγαθῶν ἀνδρῶν ἐγκώμια.

40 Πᾶν μὲν ὅσον ἄλογόν ἐστιν ἀλλοτρίως πρὸς οἶνον πέφυκε, μάλιστα δὲ τῶν ζῴων ἐκεῖνα, ὅσα στεμφύλων ἢ γιγάρτων ὑπερπλησθέντα μεθύει. καὶ οἱ κόρακες δὲ τὴν καλουμένην οἰνοῦτταν βοτάνην ὅταν φάγωσι, καὶ οἱ κύνες δὲ καὶ αὐτοὶ βακχεύονται. πίθηκος δὲ καὶ ἐλέφας ἐὰν οἴνου πίωσιν, ὁ μὲν τῆς ἀλκῆς ἐπιλανθάνεται ὁ ἐλέφας, ὁ δὲ τῆς πανουργίας· καί εἰσιν αἱρεθῆναι πάνυ ἀσθενεῖς.

Digitized by Google

Φιλοπόται δὲ λέγονται γενέσθαι Διονύσιος ὁ Σι- 41
κελίας τύραννος, καὶ Νυσαῖος καὶ οὗτος τύραννος,
καὶ Ἀπολλοκράτης ὁ Διονυσίου τοῦ τυράννου υἱός,
καὶ Ἱππαρῖνος Διονυσίου καὶ οὗτος, καὶ Τιμόλαος
ὁ Θηβαῖος καὶ Χαρίδημος ὁ Ὠρείτης καὶ Ἀρκαδίων
καὶ Ἐρασίξενος καὶ Ἀλκέτας ὁ Μακεδὼν καὶ Διότι-
μος ὁ Ἀθηναῖος. οὗτός τοι καὶ χώνη ἐπεκαλεῖτο·
ἐντιθέμενος γὰρ τῷ στόματι χώνην ἀδιαλείπτως ἐχώ-
ρει τὸν ἐσχεόμενον οἶνον. Κλεομένης δὲ ὁ Λακεδαι-
μόνιος οὐ μόνον φασὶν ὅτι πολυπότης ἦν, ἀλλὰ γὰρ
περιτιθέασιν αὐτῷ καὶ τόδε δήπου τὸ Σκυθικὸν κα-
κόν, ὅτι ἀκρατοπότης ἐγένετο. καὶ Ἴωνα δὲ τὸν Χῖον
τὸν ποιητὴν καὶ αὐτόν φασι περὶ τὸν οἶνον ἀκρατῶς
ἔχειν. καὶ Ἀλέξανδρος δὲ ὁ Μακεδὼν ἐπὶ Καλανῷ τῷ
Βραχμᾶνι, τῷ Ἰνδῶν σοφιστῇ, ὅτε ἑαυτὸν ἐκεῖνος
κατέπρησεν, ἀγῶνα μουσικῆς καὶ ἱππέων καὶ ἀθλη-
τῶν διέθηκε. χαριζόμενος δὲ τοῖς Ἰνδοῖς καί τι ἐπι-
χώριον αὐτῶν ἀγώνισμα ἐς τιμὴν τοῦ Καλανοῦ συγ-
κατηρίθμησε τοῖς ἄθλοις τοῖς προειρημένοις. οἰνοπο-
σίας γοῦν ἀγωνίαν προύθηκε, καὶ ἦν τῷ μὲν τὰ πρῶτα
φερομένῳ τάλαντον τὸ γέρας, τῷ δὲ δευτέρῳ τριά-
κοντα μναῖ, τῷ γε μὴν τρίτῳ δέκα. ὁ δὲ τὰ νικη-
τήρια ἀναθησάμενος ἐν αὐτοῖς ἦν Πρόμαχος. καὶ ἐκ
Διονυσίου δὲ τῇ τῶν Χοῶν ἑορτῇ προύκειτο ἄθλον
τῷ πιόντι πλεῖστον στέφανος χρυσοῦς. καὶ ἐνίκησε
Ξενοκράτης ὁ Χαλκηδόνιος, καὶ τὸν στέφανον λαβών,
ὅτε ἐπανήῃει μετὰ τὸ δεῖπνον, τῷ Ἑρμῇ τῷ πρὸ τῶν
θυρῶν ἑστῶτι ἐπέθηκεν αὐτὸν κατὰ τὸ ἔθος τῶν ἔμ-
προσθεν ἡμερῶν· καὶ γὰρ καὶ τοὺς ἀνθινοὺς καὶ τοὺς
ἐκ τῆς μυρρίνης καὶ τὸν ἐκ τοῦ κιττοῦ καὶ τὸν ἐκ τῆς
δάφνης ἐνταῦθα ἀνέπαυσε καὶ κατέλιπε. καὶ Ἀνά-
χαρσις δὲ πάμπολύ φασιν ἔπιε παρὰ Περιάνδρῳ,

Digitized by Google

τοῦτο μὲν καὶ οἰκοθεν ἑαυτῷ ἐπαγόμενος τὸ ἐφόδιον· Σκυθῶν γὰρ ἴδιον τὸ πίνειν ἄκρατον. καὶ Λακύδης δὲ καὶ Τίμων οἱ φιλόσοφοι, καὶ τούτους φασὶ πάμπολυ πιεῖν. καὶ Μυκερῖνος δὲ ὁ Αἰγύπτιος, ὅτε αὐτῷ τὸ ἐκ Βουτοῦς μαντεῖον ἀφίκετο προλέγον τὴν τοῦ βίου στενοχωρίαν, εἶτα ἐβουλήθη σοφίσασθαι τὸ λόγιον ἐκεῖνος, διπλασιάζων τὸν χρόνον καὶ ταῖς ἡμέραις προστιθεὶς τὰς νύκτας, διετέλει καὶ αὐτὸς ἀγρυπνῶν καὶ πίνων ἅμα. τίθει μετὰ τούτων καὶ Ἄμασιν τὸν Αἰγύπτιον, εἴ τῳ Ἡρόδοτος ἱκανὸς τεκμηριῶσαι. καὶ Νικοτέλην δὲ τὸν Κορίνθιον οὐ χρὴ ἀπὸ τούτων τάττειν, καὶ Σκόπαν τὸν Κρέοντος υἱόν. καὶ Ἀντίοχον τὸν βασιλέα φασὶν οἰνεραστὴν γενέσθαι. διὰ ταῦτά τοι καὶ τὴν βασιλείαν αὐτῷ διῴκουν Ἀριστός τε καὶ Θεμίσων οἱ Κύπριοι, αὐτὸς δὲ διὰ τὴν πολυποσίαν ἐπεγέγραπτο τῇ ἀρχῇ ἄλλως. καὶ ὁ Ἐπιφανὴς δὲ κληθεὶς Ἀντίοχος ὁ Ῥωμαίοις δοθεὶς ὅμηρος καὶ οὗτος ἀκρατῶς ἐδίψη οἴνου πίνειν. καὶ ὁ ὁμώνυμος δὲ τούτου Ἀντίοχος ὁ ἐν Μήδοις πρὸς Ἀρσάκην πολεμήσας καὶ οὗτος ἦν τοῦ πίνειν δοῦλος. καὶ ὁ Μέγας δὲ καλούμενος Ἀντίοχος καὶ οὗτος σὺν τούτοις τετάχθω. καὶ Ἄγρωνα δὲ τὸν Ἰλλυριῶν βασιλέα ἀπέκτεινεν ἡ πρὸς τὸν οἶνον ἄδικος ὁρμή, καὶ αὐτῷ πλευρῖτιν ἐνεργάσατο. καὶ ἕτερος Ἰλλυριῶν βασιλεὺς Γέντιος πίνειν καὶ οὗτος εἴθιστο ἀκρατῶς. τόν γε μὴν Καππαδόκων βασιλέα Ὀροφέρνην τί τοῦτον ἐάσομεν, καὶ ἐκεῖνον πιεῖν γενόμενον δεινόν; εἰ δὲ χρὴ καὶ γυναικῶν μνημονεῦσαι, ἄτοπον μὲν γυνὴ φιλοπότις, καὶ πολυπότις ἔτι πλέον, εἰρήσθω δ' οὖν καὶ περὶ τούτων. Κλεὼ φασιν ἐς Ἄμιλλαν ἰοῦσα οὐ γυναιξὶ μόναις ἀλλὰ καὶ τοῖς ἀνδράσι τοῖς συμπόταις δεινοτάτη πιεῖν ἦν, καὶ ἐκράτει πάντων, αἴσχι-

Digitized by Google

στόν γε τοῦτο φερομένη τὸ νικητήριον ὡς γε ἐμοὶ κριτῇ.

Ἡ Πλάτωνος δόξα καὶ ὁ τῆς κατ' αὐτὸν ἀρετῆς 42
λόγος καὶ ἐς Ἀρκάδας ἀφίκετο καὶ Θηβαίους, καὶ
οὖν καὶ ἐδεήθησαν αὐτοῦ πρέσβεις ἀποστείλαντες σὺν 5
τῇ ἀνωτάτω σπουδῇ ἀφικέσθαι σφίσι τὸν ἄνδρα οὐκ
ἐπὶ μόνῃ τῇ τῶν νέων προστασίᾳ, οὐδ' ἵνα αὐτοῖς
συγγένηται ἐπὶ τοῖς λόγοις τοῖς κατὰ φιλοσοφίαν,
ἀλλὰ γὰρ καὶ τὸ ἔτι τούτων μεῖζον νομοθέτην αὐτὸν
ἐκάλουν. οὔκουν ἔμελλον ἀτυχήσειν τοῦ ἀνδρός· 10
καὶ γὰρ ἥσθη ὁ τοῦ Ἀρίστωνος τῇ κλήσει, καὶ δὴ καὶ
ἔμελλεν ὑπακούσεσθαι. ἤρετο μέντοι τοὺς ἥκοντας
πῶς ἔχουσι πρὸς τὸ ἴσον ἔχειν ἅπαντες; ἐπεὶ δὲ
ἔμαθε παρ' αὐτῶν ὅτι καὶ πάνυ ἀλλοτρίως, οὐδὲ πεί-
σει αὐτοὺς τιμᾶν τὴν ἰσονομίαν, ἀπείπατο τὴν πρὸς 15
αὐτοὺς ἐπιδημίαν.

Πενέστατοι ἐγένοντο οἱ ἄριστοι τῶν Ἑλλήνων, 43
Ἀριστείδης ὁ Λυσιμάχου καὶ Φωκίων ὁ Φώκου καὶ
Ἐπαμεινώνδας ὁ Πολύμνιδος καὶ Πελοπίδας ὁ Θηβαῖος
καὶ Λάμαχος ὁ Ἀθηναῖος καὶ Σωκράτης ὁ Σωφρονί- 20
σκου καὶ Ἐφιάλτης δὲ ὁ Σοφωνίδου καὶ ἐκεῖνος.

Θέωνος τοῦ ζωγράφου πολλὰ μὲν καὶ ἄλλα ὁμο- 44
λογεῖ τὴν χειρουργίαν ἀγαθὴν οὖσαν ἀτὰρ οὖν καὶ
τόδε τὸ γράμμα. ὁπλίτης ἐστὶν ἐκβοηθῶν, ἄφνω τῶν
πολεμίων ἐσβαλλόντων καὶ δῃούντων ἅμα καὶ κειρόν- 25
των τὴν γῆν· ἐναργῶς δὲ καὶ πάνυ ἐκθύμως ὁ νεανίας
ἔοικεν ὁρμῶντι ἐς τὴν μάχην, καὶ εἴπες ἂν αὐτὸν
ἐνθουσιᾶν, ὥσπερ ἐξ Ἄρεος μανέντα. γοργὸν μὲν
αὐτῷ βλέπουσιν οἱ ὀφθαλμοί, τὰ δὲ ὅπλα ἁρπάσας
ἔοικεν ἢ ποδῶν ἔχει ἐπὶ τοὺς πολεμίους ἅττειν. προ- 30
βάλλεται δὲ ἐντεῦθεν ἤδη τὴν ἀσπίδα, καὶ γυμνὸν
ἐπισείει τὸ ξίφος φονῶντι ἐοικὼς καὶ σφαγὴν βλέπων

Digitized by Google

καὶ ἀπειλῶν δι' ὅλου τοῦ σχήματος ὅτι μηδενὸς φείσεται. καὶ πλέον οὐδὲν περιείργαστται τῷ Θέωνι, οὐ λοχίτης οὐ ταξίαρχος οὐ λοχαγὸς οὐχ ἱππεὺς οὐ τοξότης, ἀλλ' ἀπέχρησέν οἱ καὶ ὁ εἷς ὁπλίτης οὗτος πληρῶσαι τὴν τῆς εἰκόνος ἀπαίτησιν. οὐ πρότερόν γε μὴν ὁ τεχνίτης ἐξεκάλυψε τὴν γραφὴν οὐδὲ ἔδειξε τοῖς ἐπὶ τὴν θέαν συνειλεγμένοις πρὶν ἢ σαλπιγκτὴν παρεστήσατο καὶ προσέταξεν αὐτῷ τὸ παρορμητικὸν ἐμπνεῦσαι μέλος διάτορόν τε καὶ γεγωνὸς ὅτι μάλιστα καὶ οἷον ἐς τὴν μάχην ἐγερτήριον. ἅμα τε οὖν τὸ μέλος ἠκούετο τραχὺ καὶ φοβερόν, οἷον ἐς ὁπλιτῶν ἔξοδον ταχέως ἐκβοηθούντων μελῳδοῦσι σάλπιγγες, καὶ ἐδείκνυτο ἡ γραφή, καὶ ὁ στρατιώτης ἐβλέπετο, τοῦ μέλους ἐναργεστέραν τὴν φαντασίαν τοῦ ἐκβοηθοῦντος ἔτι καὶ μᾶλλον παραστήσαντος.

Γ

Φέρε οὖν καὶ τὰ καλούμενα Τέμπη τὰ Θετταλικὰ διαγράψωμεν τῷ λόγῳ καὶ διαπλάσωμεν· ὡμολόγηται γὰρ καὶ ὁ λόγος, ἐὰν ἔχῃ δύναμιν φραστικήν, μηδὲν ἀσθενέστερον ὅσα βούλεται δεικνύναι τῶν ἀνδρῶν τῶν κατὰ χειρουργίαν δεινῶν. ἔστι δὴ χῶρος μεταξὺ κείμενος τοῦ τε Ὀλύμπου καὶ τῆς Ὄσσης. ὄρη δὲ ταῦτά ἐστιν ὑπερύψηλα καὶ οἷον ὑπό τινος θείας φροντίδος διεσχισμένα, καὶ μέσον δέχεται χωρίον, οὗ τὸ μὲν μῆκος ἐπὶ τετταράκοντα διήκει σταδίους, τό γε μὴν πλάτος τῇ μέν ἐστι πλέθρου, τῇ δὲ καὶ μεῖζον ὀλίγῳ. διαρρεῖ δὲ μέσου αὐτοῦ ὁ καλούμενος Πηνειός. ἐς τοῦτον δὲ καὶ οἱ λοιποὶ ποταμοὶ

Digitized by Google

συρρέουσι, καὶ ἀνακοινοῦνται τὸ ὕδωρ αὐτῷ, καὶ ἐργάζονται τὸν Πηνειὸν ἐκεῖνοι μέγαν. διατριβὰς δ' ἔχει ποικίλας καὶ παντοδαπὰς ὁ τόπος οὗτος, οὐκ ἀνθρωπίνης χειρὸς ἔργα, ἀλλὰ φύσεως αὐτόματα ἐς κάλλος τότε φιλοτιμησαμένης, ὅτε ἐλάμβανε γένεσιν ὁ χῶρος. κίττὸς μὲν γὰρ πολὺς καὶ εὖ μάλα λάσιος ἐνακμάζει καὶ τέθηλε καὶ δίκην τῶν εὐγενῶν ἀμπέλων κατὰ τῶν ὑψηλῶν δένδρων ἀνέρπει καὶ συμπέφυκεν αὐτοῖς, πολλὴ δὲ σμίλαξ πρὸς αὐτὸν τὸν πάγον ἀνατρέχει καὶ ἐπισκιάζει τὴν πέτραν· καὶ ἐκείνη μὲν ὑπολανθάνει, ὁρᾶται δὲ τὸ χλοάζον πᾶν, καὶ ἔστιν ὀφθαλμῶν πανήγυρις. ἐν αὐτοῖς δὲ τοῖς λείοις καὶ καθημένοις ἄλση τέ ἐστι ποικίλα καὶ ὑποδρομαὶ συνεχεῖς, ἐν ὥρᾳ θέρους καταφυγεῖν ὁδοιπόροις ἥδιστα καταγώγια, ἃ καὶ δίδωσιν ἀσμένως ψυχάσαι. διαρρέουσι δὲ καὶ κρῆναι συχναί, καὶ ἐπιρρεῖ νάματα ὑδάτων ψυχρῶν καὶ πιεῖν ἡδίστων. λέγεται δὲ τὰ ὕδατα ταῦτα καὶ τοῖς λουσαμένοις ἀγαθὸν εἶναι καὶ ἐς ὑγίειαν αὐτοῖς συμβάλλεσθαι. κατᾴδουσι δὲ καὶ ὄρνιθες ἄλλος ἄλλῃ διεσπαρμένοι, καὶ μάλιστα οἱ μουσικοί, καὶ ἑστιῶσιν εὖ μάλα τὰς ἀκοάς, καὶ παραπέμπουσιν ἀπόνως καὶ σὺν ἡδονῇ, διὰ τοῦ μέλους τὸν κάματον τῶν παριόντων ἀφανίσαντες. παρ' ἑκάτερα δὲ τοῦ ποταμοῦ αἱ διατριβαί εἰσιν αἱ προειρημέναι καὶ αἱ ἀνάπαυλαι. διὰ μέσων δὲ τῶν Τεμπῶν ὁ Πηνειὸς ποταμὸς ἔρχεται, σχολῇ καὶ πράως προϊὼν ἐλαίου δίκην, πολλὴ δὲ κατ' αὐτοῦ ἡ σκιὰ ἐκ τῶν παραπεφυκότων δένδρων καὶ τῶν ἐξηρτημένων κλάδων τίκτεται, ὡς ἐπὶ πλεῖστον τῆς ἡμέρας αὐτὴν προήκουσαν ἀποστέγειν τὴν ἀκτῖνα καὶ παρέχειν τοῖς πλέουσι πλεῖν κατὰ ψῦχος. πᾶς δὲ ὁ περιοικος λεὼς συνίασιν ἄλλοι ἄλλοις, καὶ θύουσι καὶ συνουσίας ποιοῦνται καὶ συμπίνουσιν. ἅτε οὖν

Digitized by Google

πολλῶν ὄντων τῶν θυόντων καὶ τῶν καθαγιζόντων συνεχῶς, εἰκότως καὶ τοῖς βαδίζουσι καὶ τοῖς πλέουσιν ὁσμαὶ συμπαρομαρτοῦσιν ἥδισται· οὕτως ἄρα ἡ τιμὴ ἡ διαρκὴς ἡ περὶ τὸ κρεῖττον ἐκθεοῖ τὸν τόπον. ἐνταῦθά τοί φασι παῖδες Θετταλῶν καὶ τὸν Ἀπόλλωνα τὸν Πύθιον καθήρασθαι κατὰ πρόσταγμα τοῦ Διός, ὅτε τὸν Πύθωνα τὸν δράκοντα κατεστόξευσεν φυλάττοντα τοὺς Δελφούς, τῆς Γῆς ἔτι ἐχούσης τὸ μαντεῖον. στεφανωσάμενον οὖν ἐκ ταύτης τῆς δάφνης τῆς Τεμπικῆς καὶ λαβόντα κλάδον ἐς τὴν δεξιὰν χεῖρα ἐκ τῆς αὐτῆς δάφνης ἐλθεῖν ἐς Δελφοὺς καὶ παραλαβεῖν τὸ μαντεῖον τὸν Διὸς καὶ Λητοῦς παῖδα. ἔστι δὲ καὶ βωμὸς ἐν αὐτῷ τῷ τόπῳ, ἐν ᾧ καὶ ἐστεφανώσατο καὶ τὸν κλάδον ἀφεῖλε. καὶ ἔτι καὶ νῦν δι' ἔτους ἐνάτου οἱ Δελφοὶ παῖδας εὐγενεῖς πέμπουσι καὶ ἀρχιθέωρον ἕνα σφῶν αὐτῶν. οἱ δὲ παραγενόμενοι καὶ μεγαλοπρεπῶς θύσαντες ἐν τοῖς Τέμπεσιν ἀπίασι πάλιν στεφάνους ἀπὸ τῆς αὐτῆς δάφνης διαπλέξαντες, ἀφ' ἧσπερ οὖν καὶ τότε ὁ θεὸς ἐστεφανώσατο. καὶ τὴν ὁδὸν ἐκείνην ἔρχονται, ἣ καλεῖται μὲν Πυθιάς, φέρει δὲ διὰ Θετταλίας καὶ Πελασγίας καὶ τῆς Οἴτης καὶ τῆς Αἰνιάνων χώρας καὶ τῆς Μηλιέων καὶ Δωριέων καὶ Λοκρῶν τῶν Ἑσπερίων. οὗτοι δὲ καὶ παραπέμπουσιν αὐτοὺς σὺν αἰδοῖ καὶ τιμῇ οὐδὲν ἧττον ἥπερ οὖν ἐκεῖνοι, οἳ τοὺς ἐξ Ὑπερβορέων τὰ ἱερὰ κομίζοντας τῷ αὐτῷ θεῷ τούτῳ τιμῶσι. καὶ μὴν καὶ τοῖς Πυθίοις ἐκ ταύτης τῆς δάφνης τοὺς στεφάνους τοῖς νικῶσι διδόασιν. ὑπὲρ μὲν οὖν τῶν ἐν Θετταλίᾳ Τεμπῶν καὶ ἐμοὶ νῦν τοσαῦτα εἰρήσθω.

2 Ἀναξαγόρᾳ τις τῷ Κλαζομενίῳ σπουδάζοντι πρὸς τοὺς ἑταίρους προσελθὼν ἤρη τεθνηκέναι οἱ τοὺς δύο παῖδας οὕσπερ οὖν εἶχε μόνους ὁ Ἀναξαγόρας.

Digitized by Google

ὁ δὲ μηδὲν διαταραχθεὶς εἶπεν 'ἤδειν θνητοὺς γεγεννηκώς.'

Ξενοφῶντι θύοντι ἦκέ τις ἐκ Μαντινείας ἄγγελος, λέγων τὸν υἱὸν αὐτοῦ τὸν Γρύλλον τεθνάναι· κἀκεῖνος ἀπέθετό μὲν τὸν στέφανον, διετέλει δὲ θύων. ἐπεὶ δὲ ὁ ἄγγελος προσέθηκε τῷ πρότερον λόγῳ καὶ ἐκεῖνον τὸν λέγοντα ὅτι νικῶν μέντοι τέθνηκε, πάλιν ὁ Ξενοφῶν ἐπέθετο τῇ κεφαλῇ τὸν στέφανον. ταῦτα μὲν οὖν δημώδη καὶ ἐς πολλοὺς ἐκπεφοίτηκεν.

Δίων δὲ ὁ Ἱππαρίνου μὲν παῖς Πλάτωνος δὲ ὁμιλητὴς ἔτυχε μὲν χρηματίζων ὑπέρ τινων δημοσίων καὶ κοινῶν πραγμάτων, ὁ δὲ παῖς αὐτοῦ ἐκ τοῦ τέγους κατενεχθεὶς ἐς τὴν αὐλὴν τὸν βίον κατέστρεψεν. οὐδὲν οὖν ἐπὶ τούτοις μετεβάλετο ὁ Δίων, ἀλλ' ὅπερ οὖν ἐξ ἀρχῆς ἔπραττε, τοῦτο καὶ δρῶν διετέλεσεν.

Ἀντίγονόν γε μήν φασι τὸν δεύτερον ἐπεί τινες τὸν υἱὸν αὐτῷ ἐκ τῆς παρατάξεως ἐκόμισαν νεκρόν, εἶδε μὲν αὐτόν, οὐδὲν δὲ τρέψας τοῦ χρωτός, οὐδὲ μὴν ἐπιδακρύσας, ἐπαινέσας δὲ ὡς ἀγαθὸν στρατιώτην, θάπτειν προσέταξεν.

Κράτης ὁ Θηβαῖος τά τε ἄλλα μεγαλόφρων ὢν πεφώραται καὶ καταφρονητικὸς τῶν ὑπὸ τοῦ πλήθους θαυμαζομένων, ἀτὰρ οὖν καὶ χρημάτων καὶ πατρίδος. ὅτι μὲν οὖν τῆς οὐσίας ἀπέστη τοῖς Θηβαίοις, τοῦτο μὲν καὶ ἐς πάντας ἐξεφοίτησε· τὸ δὲ ἕτερον αὐτοῦ οὐ πᾶσι γνώριμον· ἔστι δὲ ἐκεῖνο. ἀπαλλαττόμενος τῶν Θηβῶν οἰκισθεισῶν πάλιν ἔφη 'οὐ δέομαι πόλεως, ἣν Ἀλέξανδρος κατασκάψει ἄλλος.'

Δημοχάρης ὁ τοῦ Δημοσθένους ἀδελφιδοῦς ἐπιδεῖξαι βουλόμενος ὅτι τῆς ἐκ τῶν πολλῶν κακοφημίας ὑπερφρονεῖ, θεασάμενός τινας καθεζομένους ἐν ἰατρείῳ ψογερούς καὶ κακῶς ἀγορεύειν ἐκ παντὸς τρό-

Digitized by Google

που διψῶντας 'τί φατε ὑμεῖς' εἶπε 'Δυσμενίδαι;' τὸ ἦθος αὐτῶν ἅμα ἐκπαλύψας διὰ τούτου τοῦ ὀνόματος.

8 Φρύνιχον Ἀθηναῖοι στρατηγὸν εἵλοντο οὔτε κατὰ σπουδὰς οὔτε κατὰ τὴν τοῦ γένους ἀξίαν οὔτε μὴν ὅτι ἦν πλούσιος· πολλάκις γὰρ καὶ ἐκ τούτων ἐθαυμάζοντο ἐν ταῖς Ἀθήναις, καὶ τῶν ἄλλων προηροῦντο. ἀλλ' ἐπεὶ τοῖς πυρριχισταῖς ἔν τινι τραγῳδίᾳ ἐπιτήδεια μέλη καὶ πολεμικὰ ἐξεπόνησεν, οὕτως ἄρα κατεκτήσατο τὸ θέατρον καὶ ἐκράτησε τῶν παρόντων, ὥστε παραχρῆμα αὐτὸν εἵλοντο στρατηγεῖν, πιστεύσαντες ὅτι τῶν πολεμικῶν ἔργων ἡγήσεται καλῶς καὶ ἐς δέον, ὅπου μὴ ἀπᾴδοντα τοῖς ἐνόπλοις ἀνδράσιν εἰργάσατο τὰ ἐν τῷ δράματι μέλη τε καὶ ποιήματα.

9 Ἐρῶντι ἀνδρί τις οὐκ ἐρῶν ἐπειγούσης τῆς μάχης καὶ συνάγοντος τοῦ πολέμου οὐκ ἂν συμμίξειεν. ὁ γὰρ ἀνέραστος φεύγει καὶ ἀποδιδράσκει τὸν ἐρωτικόν, ἅτε βέβηλος καὶ ἀτέλεστος τῷ θεῷ καὶ τοσοῦτον ἀνδρεῖος, ὅσον αὐτῷ καὶ ἡ ψυχὴ χωρεῖ καὶ τὸ σῶμα ῥώμης ἔχει· δέδοικε δὲ τὸν ἕτερον, ἅτε ἐκ θεοῦ κατόχως ἐνθουσιῶντα, καὶ οὐ μὰ Δία τοῦτο τὸ κοινὸν ἐξ Ἄρεος ἀλλ' ἐξ Ἔρωτος μανέντα. οἱ μὲν γὰρ ἐκ τοῦ ἑτέρου τῶν θεῶν κατειλημμένοι, ὧν ἕνα φησὶν Ὅμηρος ὅμοια τῷ Ἄρει μαίνεσθαι, ἀλλ' ἐκεῖνοί γε ἑξ ἑνὸς περιειλημμένοι δαίμονος εὖ καὶ καλῶς ἀγωνίζονται τοσοῦτον, ὅσον ἐνθουσιᾶν αὐτοὺς ἅπαξ· οἱ δὲ Ἔρωτος βάκχοι πολεμοῦντες καὶ ὑπὸ τῆς Ἄρεος ὁρμῆς καὶ ὑπὸ τῆς Ἔρωτος ἐκκαύσεως διπλῆν τὴν λατρείαν ὑπομένοντες εἰκότως κατὰ τὴν Κρητῶν ἔννοιαν κατορθοῦσι διπλᾶ. οὔκουν τῷ ἐξ Ἄρεος καὶ Ἔρωτος φονῶντι αἰτιάσαιτο ἄν τις εἰ μὴ ὑπομένοι ὁπλίτης ἀνταγωνίσασθαι ὑφ' ἑνὶ τεταγμένος θεῷ, ἀλλ' οὐχ ὑπὸ τοῖς δύο.

Digitized by Google

Περὶ τῶν ἐν Λακεδαίμονι ἐφόρων πολλὰ μὲν καὶ ἄλλα εἰπεῖν καλὰ ἔχω, ἃ δ' οὖν προῄρημαι, ταῦτα νῦν ἐρῶ. ὅτε τις τῶν παρ' αὐτοῖς καλῶν πλούσιον ἐραστὴν προείλετο χρηστοῦ πένητος, ἐπέβαλον αὐτῷ χρήματα, κολάζοντες ὡς ἔοικε τὴν φιλοχρηματίαν τῇ τῶν χρημάτων ζημίᾳ. ἄλλον δέ τινα ἄνδρα καλὸν κἀγαθὸν οὐδενὸς ἐρῶντα τῶν καλῶς πεφυκότων καὶ τοῦτον ἐζημίωσαν, ὅτι χρηστὸς ὢν οὐδενὸς ἦρα· δῆλον γὰρ ὡς ὅμοιον ἂν ἑαυτῷ κἀκεῖνον ἀπέφηνεν, ἴσως δ' ἂν καὶ ἄλλον. δεινὴ γὰρ ἡ τῶν ἐραστῶν πρὸς τὰ παιδικὰ εὔνοια ἀρετὰς ἐνεργάσασθαι, ὅταν αὐτοὶ σεμνοὶ ὦσιν· ἐπεί τοι Λακωνικὸς καὶ οὗτος νόμος, ὅταν ἁμάρτῃ μειράκιον, τῇ μὲν ἀφελείᾳ τοῦ τρόπου καὶ τῷ νεαρῷ τῆς ἡλικίας συγγινώσκουσι, τὸν δὲ ἐραστὴν ὑπὲρ αὐτοῦ κολάζουσιν, ἐπιγνώμονας αὐτοὺς καὶ ἐξεταστὰς ὧν ἐκεῖνοι πράττουσι κελεύοντες εἶναι.

Οἱ περιπατητικοί φασι μεθ' ἡμέραν θηεύουσαν τὴν ψυχὴν τῷ σώματι περιπλέκεσθαι καὶ μὴ δύνασθαι καθαρῶς τὴν ἀλήθειαν θεωρεῖν· νύκτωρ δὲ διαλυθεῖσαν τῆς περὶ τοῦτο λειτουργίας καὶ σφαιρωθεῖσαν ἐν τῷ περὶ τὸν θώρακα τόπῳ μαντικωτέραν γίνεσθαι, ἐξ ὧν τὰ ἐνύπνια.

Οὐκ εἰσι θρυπτικοὶ πρὸς τοὺς ἐραστὰς οἱ ἐν Λακεδαίμονι καλοὶ οὐδὲ ἀλαζόνες, ἐπεὶ τοὐναντίον ἢ παρὰ τοῖς ἄλλοις ὡραίοις τὰ ἐκ τούτων καταμαθεῖν ἐστιν. αὐτοὶ γοῦν δέονται τῶν ἐραστῶν εἰσπνεῖν αὐτοῖς· Λακεδαιμονίων δέ ἐστιν αὕτη ἡ φωνή, ἐρᾶν δεῖν λέγουσα. Σπαρτιάτης δὲ ἔρως αἰσχρὸν οὐκ οἶδεν· εἴτε γὰρ μειράκιον ἐτόλμησεν ὕβριν ὑπομεῖναι εἴτε ἐραστὴς ὑβρίσαι, ἀλλ' οὐδετέροις ἐλυσιτέλησε τῇ Σπάρτῃ ἐγκαταμεῖναι· ἢ γὰρ τῆς πατρίδος ἀπηλλάγησαν ἢ καὶ τὸ ἔτι θερμότερον τοῦ βίου αὐτοῦ.

Digitized by Google

13 Ὅτι φιλοινότατον ἔθνος τὸ τῶν Ταπύρων τοσοῦτον, ὥστε ζῆν αὐτοὺς ἐν οἴνῳ, καὶ τὸ πλεῖστον τοῦ βίου ἐν τῇ πρὸς αὐτὸν ὁμιλίᾳ καταναλίσκειν. καὶ οὐ μόνον ἐς πόμα καταχρῶνται αὐτῷ, ἀλλὰ γὰρ καὶ χρῖμά ἐστιν αὐτοῖς ὁ οἶνος, ὥσπερ ἄλλοις τὸ ἔλαιον.

14 Βυζαντίους δὲ δεινῶς οἰνόφλυγας ὄντας ἐνοικεῖν τοῖς καπηλείοις λόγος ἔχει, τῶν οἰκιῶν τῶν ἰδίων καὶ τῶν δωμάτων ἐξοικισθέντας, καὶ τοῖς ξένοις τοῖς ἐνεπιδημοῦσι τῇ πόλει ἀπομισθώσαντας αὐτά, καὶ οὐ μόνον ἐκείνων, ἀλλὰ καὶ τῶν γυναικῶν αὐτοῖς ἀποστάντας, ὡς ἐν ταὐτῷ τοὺς Βυζαντίους διπλῆν αἰτίαν φέρεσθαι καὶ οἰνοφλυγίας καὶ προαγωγείας. ἅτε δὲ ὑπὸ τῆς μέθης καὶ τοῦ οἴνου διαῤῥέοντες, αὐλοῦ μὲν ἀκούοντες χαίρουσι, καὶ τὸ ἔργον αὐτοῖς αὐλεῖσθαί ἐστι· σάλπιγγα δὲ οὐδὲ ἀρχὴν ὑπομένουσι. καὶ ἐκ τούτων ἔξεστι νοεῖν ὅτι καὶ πρὸς ὅπλα καὶ πρὸς πολέμους ἀλλοτριώτατα διάκεινται Βυζάντιοι. διὰ ταῦτά τοι καὶ Λεωνίδης ὁ στρατηγὸς αὐτῶν ἐν πολιορκίᾳ ἰσχυρᾷ, ἐπεὶ τῶν πολεμίων τοῖς τείχεσι προσβαλόντων ἐκεῖνοί γε τὰς φρουρὰς ἐκλιπόντες διημέρευον ἐν ταῖς συνήθεσι διατριβαῖς, προσέταξε τὰ καπηλεῖα ἐπὶ τῶν τειχῶν διασκηνωθῆναι αὐτοῖς. καὶ τοῦτο τὸ σόφισμα ἀνέπεισεν αὐτοὺς ὀψὲ καὶ βραδέως τὴν τάξιν μὴ καταλιπεῖν, ἅτε τῆς προφάσεως αὐτοῖς περιῃρημένης. λέγει δὲ ταῦτα ὑπὲρ αὐτῶν Δάμων. ὁμολογεῖν δὲ τούτοις ἔοικε καὶ ὁ Μένανδρος, ὅταν λέγῃ

μεθύσους τοὺς ἐμπόρους
ποιεῖ τὸ Βυζάντιον· ὅλην ἐπίνομεν
τὴν νύκτα.

15 Καὶ Ἀργεῖοι δὲ καὶ Τιρύνθιοι κεκωμᾴδηνται καὶ οὗτοι ἀκρατέστερον τῷ οἴνῳ προσιόντες. τό γε μὴν ὑπὲρ τῶν Θρᾳκῶν, ἀλλὰ τοῦτο μὲν καὶ διαβεβόηται

Digitized by Google

ἤδη καὶ διατεθρύληται, ὡς εἰσὶ πιεῖν δεινότατοι. οὐ διαπεφεύγασι δὲ ταύτην τὴν αἰτίαν οὐδὲ Ἰλλυριοί, ἀλλ' ἐκεῖνοί γε προσειλήφασι κἀκεῖνο τὸ ἐπίκλημα, ὅτι ἐφεῖται τοῖς ἐν τῷ συνδείπνῳ παροῦσι ξένοις προπίνειν ταῖς γυναιξίν, ἕκαστον ᾗ ἂν βούληται, κἂν μηδὲν προσήκῃ ἡ γυνὴ αὐτῷ.

Εἶτα τίς ἀμείνων ἦν στρατηγεῖν; Δημήτριος ὁ πολιορκητὴς ἢ Τιμόθεος ὁ Ἀθηναῖος; ἐγὼ μὲν ἐρῶ τὸν τῶν ἀμφοτέρων τρόπον· ἔνεστι δ' ὑμῖν προτιμῆσαι τὸν ἕτερον. Δημήτριος μὲν βίᾳ καὶ πλεονεξίᾳ καὶ λυπῶν τὰ μέγιστα καὶ ἀδικῶν ἥρει τὰς πόλεις μηχανὰς προσάγων καὶ κατασείων καὶ ὑπορύττων τὰ τείχη, Τιμόθεος δὲ πείθων καὶ διδάσκων λόγῳ ὅτι λυσιτελέστερόν ἐστι τῶν Ἀθηναίων ἀκούειν.

Ἐπολιτεύσαντο οὖν καὶ φιλόσοφοι, μηδ' αὐτὸ τοῦτο μόνον τὴν διάνοιαν ἀγαθοὶ γενόμενοι ἐφ' ἡσυχίας κατεβίωσαν. ἐπηνώρθωσαν γὰρ τὰ κοινὰ Ζάλευκος μὲν τὰ ἐν Λοκροῖς, Χαρώνδας δὲ τὰ ἐν Κατάνῃ καὶ τὰ ἐν Ῥηγίῳ, ὅτε ἐκ Κατάνης ἔφευγε. Ταραντίνοις δὲ ἐγένετο ἀγαθὸν Ἀρχύτας, Σόλων δὲ Ἀθηναίοις, Βίας δὲ καὶ Θαλῆς τὴν Ἰωνίαν πολλὰ ὤνησαν, Χίλων δὲ Λακεδαιμονίους, Μυτιληναίους γε μὴν Πιττακός, Κλεόβουλος δὲ Ῥοδίους. καὶ Ἀναξίμανδρος δὲ ἠγήσατο τῆς ἐς Ἀπολλωνίαν ἐκ Μιλήτου ἀποικίας. ἀλλὰ καὶ Ξενοφῶν στρατιώτης ἀγαθὸς ἦν καὶ ἀμείνων στρατηγός, ὅτε Κύρῳ συνανέβη· καὶ Κῦρος μὲν καὶ οἱ σὺν αὐτῷ ἀπέθανον, καλούσης δὲ τῆς χρείας τὸν δυνησόμενον σῶσαι τοὺς Ἕλληνας καὶ ἀγαγεῖν τὴν ὀπίσω ἐς τὰ οἰκεῖα, οὗτος ἐκεῖνος ἦν. Πλάτων δὲ ὁ Ἀρίστωνος Δίωνα κατήγαγεν ἐς Σικελίαν, καὶ δι' ὧν αὐτῷ συνεβούλευε καὶ ἐδίδασκε, διὰ τούτων τὴν τυραννίδα τὴν Διονυσίου κατέλυσε. Σωκράτης δὲ

Digitized by Google

τῇ μὲν Ἀθηναίων πολιτείᾳ οὐκ ἠρέσκετο· τυραννικὴν γὰρ καὶ μοναρχικὴν ἑώρα τὴν δημοκρατίαν οὖσαν· καὶ διὰ ταῦτα οὔτε ἐπεψήφισεν Ἀθηναίοις τὸν τῶν δέκα στρατηγῶν θάνατον, ἀλλ' οὐδὲ τοῖς τριάκοντα ἐκοινώνει τῶν ἀσεβημάτων. ἔνθα δὲ ἐχρῆν ὑπὲρ τῆς πατρίδος ἀγωνίζεσθαι, ἀλλ' ἐνταῦθά γε ἀπροφάσιστος ἐκεῖνος στρατιώτης ἦν. ἐστρατεύσατο γοῦν ἐπὶ Δήλιον, καὶ ἐς Ἀμφίπολιν καὶ ἐς Ποτίδαιαν. Ἀριστοτέλης δὲ τὴν ἑαυτοῦ πατρίδα οὐ τὸ λεγόμενον δὴ τοῦτο ἐς γόνυ πεσοῦσαν ἀλλ' ἐπὶ στόμα ἀνέστησεν αὖθις. Δημήτριος δὲ ὁ Φαληρεὺς καὶ Ἀθήνησιν ἐπιφανέστατα ἐπολιτεύσατο, ἔστ' αὐτὸν ὁ συνήθης Ἀθηναίοις φθόνος ἐξέωσε· καὶ ἐν Αἰγύπτῳ δὲ συνὼν τῷ Πτολεμαίῳ νομοθεσίας ἦρξε. τίς δὲ ἀντιφήσει καὶ Περικλέα τὸν Ξανθίππου φιλόσοφον γενέσθαι καὶ Ἐπαμεινώνδαν τὸν Πολύμνιδος καὶ Φωκίωνα τὸν Φώκου καὶ Ἀριστείδην τὸν Λυσιμάχου καὶ Ἐφιάλτην τὸν Σοφωνίδου καὶ ἔτι κάτω τοῦ χρόνου Καρνεάδην καὶ Κριτόλαον, εἴ γε ἐς τὴν Ῥώμην ἀφίκοντο ἐκεῖνοι ὑπὲρ τῶν Ἀθηναίων πρεσβεύοντες, καὶ αὐτοῖς σωτηρίαν εὕραντο; οἵπερ οὖν ἐς τοσοῦτον ἐνέτρεψαν τὴν σύγκλητον βουλήν, ὡς εἰκεῖν αὐτοὺς ' ἔπεμψαν Ἀθηναῖοι πρεσβεύοντας οὐ τοὺς πείσοντας ἀλλὰ γὰρ τοὺς βιασομένους ἡμᾶς δρᾶσαι ὅσα θέλουσιν.' ἐγὼ δὲ πολιτείαν φαίην ἂν καὶ τὸ Περσαίου, εἴ γε Ἀντίγονον ἐπαίδευσε, καὶ τὸ Ἀριστοτέλους, ἐπεὶ καὶ αὐτὸς σὺν Ἀλεξάνδρῳ τῷ Φιλίππου νέῳ ὄντι φιλοσοφῶν ἦν δῆλος. καὶ Λῦσις δὲ ὁ γνώριμος ὁ Πυθαγόρου καὶ αὐτὸς Ἐπαμεινώνδαν ἐξεπαίδευσεν. εἴ τις οὖν ἀπράκτους λέγει τοὺς φιλοσόφους, ἀλλὰ εὐήθη γε αὐτοῦ καὶ ἀνόητα ταῦτα· ἐγὼ μὲν γὰρ τὴν σὺν αὐτοῖς ἀπραγμοσύνην καὶ τὸν τῆς ἡσυχίας ἔρωτα κἂν ἁρπάσαιμι ἐπιδραμών.

Digitized by Google

Περιηγεῖται τινα Θεόπομπος συνουσίαν Μίδου 18
τοῦ Φρυγὸς καὶ Σιληνοῦ, νύμφης δὲ παῖς ὁ Σιληνὸς
οὗτος, θεοῦ μὲν ἀφανέστερος τὴν φύσιν, ἀνθρώπου
δὲ κρείττων, ἐπεὶ καὶ ἀθάνατος ἦν. πολλὰ μὲν οὖν
καὶ ἄλλα ἀλλήλοις διελέχθησαν, καὶ ὑπὲρ τούτων δὲ 5
ὁ Σιληνὸς ἔλεγε πρὸς τὸν Μίδαν. τὴν μὲν Εὐρώπην
καὶ τὴν Ἀσίαν καὶ τὴν Λιβύην νήσους εἶναι, ἃς πε-
ριρρεῖν κύκλῳ τὸν Ὠκεανόν, ἤπειρον δὲ εἶναι μόνην
ἐκείνην τὴν ἔξω τούτου τοῦ κόσμου. καὶ τὸ μὲν μέ-
γεθος αὐτῆς ἄπειρον διηγεῖτο. τρέφειν δὲ τὰ ἄλλα 10
ζῷα μεγάλα, καὶ τοὺς ἀνθρώπους δὲ τῶν ἐνταυθοῖ
διπλασίονας τὸ μέγεθος, καὶ χρόνον ζῆν αὐτοὺς οὐχ
ὅσον ἡμεῖς, ἀλλὰ καὶ ἐκεῖνον διπλοῦν. καὶ πολλὰς
μὲν εἶναι καὶ μεγάλας πόλεις καὶ βίων ἰδιότητας, καὶ
νόμους αὐτοῖς τετάχθαι ἐναντίως κειμένους τοῖς παρ' 15
ἡμῖν νομιζομένοις. δύο δὲ εἶναι πόλεις ἔλεγε μεγέθει
μεγίστας, οὐδὲν δὲ ἀλλήλαις ἐοικέναι· καὶ τὴν μὲν
ὀνομάζεσθαι Μάχιμον, τὴν δὲ Εὐσεβῆ. τοὺς μὲν οὖν
Εὐσεβεῖς ἐν εἰρήνῃ τε διάγειν καὶ πλούτῳ βαθεῖ, καὶ
λαμβάνειν τοὺς καρποὺς ἐκ τῆς γῆς χωρὶς ἀρότρων 20
καὶ βοῶν, γεωργεῖν δὲ καὶ σπείρειν οὐδὲν αὐτοῖς
ἔργον εἶναι. καὶ διατελοῦσιν (ἦ δ' ὅς) ὑγιεῖς καὶ
ἄνοσοι, καὶ καταστρέφουσι τὸν ἑαυτῶν βίον γελῶντες
εὖ μάλα καὶ ἡδόμενοι. οὕτω δὲ ἀναμφιλόγως εἰσὶ δί-
καιοι, ὡς μηδὲ τοὺς θεοὺς πολλάκις ἀπαξιοῦν ἐπι- 25
φοιτᾶν αὐτοῖς. οἱ δὲ τῆς Μαχίμου πόλεως μαχιμώ-
τατοί τέ εἰσι καὶ αὐτοὶ καὶ γίνονται μεθ' ὅπλων, καὶ
ἀεὶ πολεμοῦσι, καὶ καταστρέφονται τοὺς ὁμόρους, καὶ
παμπόλλων ἐθνῶν μία πόλις κρατεῖ αὕτη. εἰσὶ δὲ οἱ
οἰκήτορες σὺν ἐλάττοις διακοσίων μυριάδων. ἀπο- 30
θνήσκουσι δὲ τὸν μὲν ἄλλον χρόνον νοσήσαντες· σπά-
νιον δὲ τοῦτο, ἐπεὶ τά γε πολλὰ ἐν τοῖς πολέμοις ἢ

Digitized by Google

λίθοις ἢ ξύλοις παιόμενοι· ἄτρωτοι γάρ εἰσι σιδήρῳ. χρυσοῦ δὲ ἔχουσι καὶ ἀργύρου ἀφθονίαν, ὡς ἀτιμότερον εἶναι παρ' αὐτοῖς τὸν χρυσὸν τοῦ παρ' ἡμῖν σιδήρου. ἐπιχειρῆσαι δέ ποτε καὶ διαβῆναι τούτους ἐς τάσδε τὰς ἡμεδαπὰς νήσους ἔλεγε, καὶ διαπλεύσαντάς γε τὸν Ὠκεανὸν μυριάσι χιλίαις ἀνθρώπων ἕως Ὑπερβορέων ἀφικέσθαι. καὶ πυθομένους τῶν παρ' ἡμῖν τούτους εἶναι τοὺς εὐδαιμονεστάτους, καταφρονῆσαι ὡς φαύλως καὶ ταπεινῶς πράττοντας, καὶ διὰ ταῦτα ἀτιμάσαι προελθεῖν περαιτέρω. τὸ δὲ ἔτι θαυμασιώτερον προσετίθει. μέροπάς τινας οὕτω καλουμένους ἀνθρώπους οἰκεῖν παρ' αὐτοῖς ἔφη πόλεις πολλὰς καὶ μεγάλας, ἐπ' ἐσχάτῳ δὲ τῆς χώρας αὐτῶν τόπον εἶναι καὶ ὀνομάζεσθαι Ἄνοστον, ἐοικέναι δὲ χάσματι, κατειλῆφθαι δὲ οὔτε ὑπὸ σκότους οὔτε ὑπὸ φωτός, ἀέρα δὲ ἐπικεῖσθαι ἐρυθήματι μεμιγμένον θολερῷ. δύο δὲ ποταμοὺς περὶ τοῦτον τὸν τόπον ῥεῖν, καὶ τὸν μὲν Ἡδονῆς καλεῖσθαι τὸν δὲ Λύπης· καὶ παρ' ἑκάτερον τούτων ἑστηκέναι δένδρα τὸ μέγεθος πλατάνου μεγάλης. φέρειν δὲ καρποὺς τὰ μὲν παρὰ τὸν τῆς Λύπης ποταμὸν τοιαύτην ἔχοντας τὴν φύσιν. ἐάν τις αὐτῶν ἀπογεύσηται, τοσοῦτον ἐκβάλλει δακρύων, ὥστε κατατήκεσθαι πάντα τὸν ἑαυτοῦ βίον τὸν λοιπὸν θρηνοῦντα, καὶ οὕτω τελευτᾶν. τὰ δὲ ἕτερα τὰ παραπεφυκότα τῷ τῆς Ἡδονῆς ποταμῷ ἀντίπαλον ἐκφέρειν καρπόν. ὃς γὰρ ἂν γεύσηται τούτων, τῶν μὲν ἄλλων τῶν πρότερον ἐπιθυμιῶν παύεται, ἀλλὰ καὶ εἴ του ἦρα καὶ αὐτοῦ λαμβάνει λήθην, καὶ γίνεται κατὰ βραχὺ νεώτερος καὶ τὰς φθανούσας ἡλικίας καὶ τὰς ἤδη διελθούσας ἀναλαμβάνει ὀπίσω. τὸ μὲν γὰρ γῆρας ἀπορρίψας ἐπὶ τὴν ἀκμὴν ὑποστρέφει, εἶτα ἐπὶ τὴν τῶν μειρακίων ἡλικίαν ἀναχωρεῖ,

Digitized by Google

εἶτα παῖς γίνεται, εἶτα βρέφος, καὶ ἐπὶ τούτοις ἐξαναλώθη. καὶ ταῦτα εἴ τῳ πιστὸς ὁ Χῖος λέγων, πεπιστεύσθω· ἐμοὶ δὲ δεινὸς εἶναι δοκεῖ μυθολόγος καὶ ἐν τούτοις καὶ ἐν ἄλλοις δέ.

19

Λέγεται τὴν διαφορὰν Ἀριστοτέλους πρὸς Πλάτωνα τὴν πρώτην ἐκ τούτων γενέσθαι. οὐκ ἠρέσκετο τῷ βίῳ αὐτοῦ ὁ Πλάτων οὐδὲ τῇ κατασκευῇ τῇ περὶ τὸ σῶμα. καὶ γὰρ ἐσθῆτι ἐχρῆτο περιέργῳ ὁ Ἀριστοτέλης καὶ ὑποδέσει, καὶ κουρὰν δὲ ἐκείρετο καὶ ταύτην ἀήθη Πλάτωνι, καὶ δακτυλίους δὲ πολλοὺς φορῶν ἐκαλλύνετο ἐπὶ τούτῳ· καὶ μωκία δέ τις ἦν αὐτοῦ περὶ τὸ πρόσωπον, καὶ ἄκαιρος στωμυλία λαλοῦντος κατηγόρει καὶ αὕτη τὸν τρόπον αὐτοῦ. πάντα δὲ ταῦτα ὡς ἔστιν ἀλλότρια φιλοσόφου, δῆλον. ἅπερ οὖν ὁρῶν ὁ Πλάτων οὐ προσίετο τὸν ἄνδρα, προετίμα δὲ αὐτοῦ Ξενοκράτην καὶ Σπεύσιππον καὶ Ἀμύκλαν καὶ ἄλλους, τῇ τε λοιπῇ δεξιούμενος αὐτοὺς τιμῇ καὶ οὖν καὶ τῇ κοινωνίᾳ τῶν λόγων. ἀποδημίας δὲ γενομένης ποτὲ τῷ Ξενοκράτει ἐς τὴν πατρίδα, ἐπέθετο τῷ Πλάτωνι ὁ Ἀριστοτέλης, χορόν τινα τῶν ὁμιλητῶν τῶν ἑαυτοῦ περιστησάμενος, ὧν ἦν Μνάσων τε ὁ Φωκεὺς καὶ ἄλλοι τοιοῦτοι. ἐνόσει δὲ τότε ὁ Σπεύσιππος, καὶ διὰ ταῦτα ἀδύνατος ἦν συμβαδίζειν τῷ Πλάτωνι. ὁ δὲ Πλάτων ὀγδοήκοντα ἔτη ἐγεγόνει, καὶ ὁμοῦ τι διὰ τὴν ἡλικίαν ἐπελελοίπει τὰ τῆς μνήμης αὐτόν. ἐπιθέμενος οὖν αὐτῷ καὶ ἐπιβουλεύων ὁ Ἀριστοτέλης, καὶ φιλοτίμως πάνυ τὰς ἐρωτήσεις ποιούμενος καὶ τρόπον τινὰ καὶ ἐλεγκτικῶς, ἀδικῶν ἅμα καὶ ἀγναμονῶν ἦν δῆλος· καὶ διὰ ταῦτα ἀποστὰς ὁ Πλάτων τοῦ ἔξω περιπάτου, ἔνδον ἐβάδιζε σὺν τοῖς ἑταίροις. τριῶν δὲ μηνῶν διαγενομένων ὁ Ξενοκράτης ἀφίκετο ἐκ τῆς ἀποδημίας, καὶ καταλαμβάνει τὸν Ἀριστοτέλη

Digitized by Google

βαδίζοντα οὗ κατέλιπε τὸν Πλάτωνα. ὁρῶν δὲ αὐτὸν μετὰ τῶν γνωρίμων οὐ πρὸς Πλάτωνα ἀναχωροῦντα ἐκ τοῦ περιπάτου, ἀλλὰ καθ' ἑαυτὸν ἀπιόντα ἐς τὴν πόλιν, ἤρετό τινα τῶν ἐν τῇ περιπάτῳ ὅπου ποτὲ εἴη ὁ Πλάτων· ὑπώπτευε γὰρ αὐτὸν μαλακίζεσθαι. ὃ δὲ ἀπεκρίνατο 'ἐκεῖνος μὲν οὐ νοσεῖ, ἐνοχλῶν δὲ αὐτὸν Ἀριστοτέλης παραχωρῆσαι πεποίηκε τοῦ περιπάτου, καὶ ἀναχωρήσας ἐν τῷ κήπῳ τῷ ἑαυτοῦ φιλοσοφεῖ.' ὁ δὲ Ξενοκράτης ἀκούσας παραχρῆμα ἦκε πρὸς Πλάτωνα, καὶ κατέλαβε διαλεγόμενον τοῖς σὺν ἑαυτῷ· ἦσαν δὲ μάλα συχνοὶ καὶ ἄξιοι λόγου καὶ οἱ μάλιστα δοκοῦντες τῶν νέων ἐπιφανεῖς. ἐπεὶ δὲ ἐπαύσατο τῆς ὁμιλίας, ἠσπάσατό τε ὡς τὸ εἰκὸς τὸν Ξενοκράτην φιλανθρώπως καὶ αὖ πάλιν ὁ Ξενοκράτης ἐκεῖνον ὁμοίως. διαλυθείσης δὲ τῆς συνουσίας οὐδὲν οὔτε εἰπὼν πρὸς τὸν Πλάτωνα ὁ Ξενοκράτης οὔτε ἀκούσας, συναγαγὼν τοὺς ἑταίρους τῷ Σπευσίππῳ πάνυ ἰσχυρῶς ἐπέπληξε παραχωρήσαντι τοῦ περιπάτου Ἀριστοτέλει, αὐτός τε ἐπέθετο τῷ Σταγειρίτῃ κατὰ τὸ καρτερόν, καὶ ἐς τοσοῦτον προῆλθε φιλοτιμίας, ὡς ἐξελάσαι αὐτὸν καὶ ἀποδοῦναι τὸ σύνηθες χωρίον τῷ Πλάτωνι.

20 Λυσάνδρῳ τῷ Σπαρτιάτῃ ἐς Ἰωνίαν ἀφικομένῳ οἱ κατὰ τὴν Ἰωνίαν ξένοι πολλὰ μὲν καὶ ἄλλα ἀπέπεμψαν ἀτὰρ οὖν καὶ βοῦν καὶ πλακοῦντα. ὃ δὲ ἀπιδὼν ἐς τὸν πλακοῦντα ἤρετο 'τί βούλεται τὸ πέμμα ἐκεῖνο εἶναι;' ὁ δὲ κομίζων ἀπεκρίνατο ὅτι ἐκ μέλιτος καὶ τυροῦ καὶ ἄλλων τινῶν ἐσκεύασται. ὁ δὲ Λύσανδρος 'ἀλλὰ τοῦτο μὲν' εἶπε 'τοῖς Εἵλωσι δότε· ἐλευθέρου γὰρ οὐκ ἔστι βρῶμα.' τὸν δὲ βοῦν προσέταξε κατὰ τὰ πάτρια σκευασθῆναι, καὶ ἐδείπνησεν ἡδέως.

Digitized by Google

εἶτα παῖς γίνεται, εἶτα βρέφος, καὶ ἐπὶ τούτοις ἐξαναλώθη. καὶ ταῦτα εἰ τῷ πιστὸς ὁ Χῖος λέγων, πεπιστεύσθω· ἐμοὶ δὲ δεινὸς εἶναι δοκεῖ μυθολόγος καὶ ἐν τούτοις καὶ ἐν ἄλλοις δέ.

19

Λέγεται τὴν διαφορὰν Ἀριστοτέλους πρὸς Πλάτωνα τὴν πρώτην ἐκ τούτων γενέσθαι. οὐκ ἠρέσκετο τῷ βίῳ αὐτοῦ ὁ Πλάτων οὐδὲ τῇ κατασκευῇ τῇ περὶ τὸ σῶμα. καὶ γὰρ ἐσθῆτι ἐχρῆτο περιέργῳ ὁ Ἀριστοτέλης καὶ ὑποδέσει, καὶ κουρὰν δὲ ἐκείρετο καὶ ταύτην ἀήθη Πλάτωνι, καὶ δακτυλίους δὲ πολλοὺς φορῶν ἐκαλλύνετο ἐπὶ τούτῳ· καὶ μακία δέ τις ἦν αὐτοῦ περὶ τὸ πρόσωπον, καὶ ἄκαιρος στωμυλία λαλοῦντος κατηγόρει καὶ αὕτη τὸν τρόπον αὐτοῦ. πάντα δὲ ταῦτα ὡς ἔστιν ἀλλότρια φιλοσόφου, δῆλον. ἅπερ οὖν ὁρῶν ὁ Πλάτων οὐ προσίετο τὸν ἄνδρα, προετίμα δὲ αὐτοῦ Ξενοκράτην καὶ Σπεύσιππον καὶ Ἀμύκλαν καὶ ἄλλους, τῇ τε λοιπῇ δεξιούμενος αὐτοὺς τιμῇ καὶ οὖν καὶ τῇ κοινωνίᾳ τῶν λόγων. ἀποδημίας δὲ γενομένης ποτὲ τῷ Ξενοκράτει ἐς τὴν πατρίδα, ἐπέθετο τῷ Πλάτωνι ὁ Ἀριστοτέλης, χορόν τινα τῶν ὁμιλητῶν τῶν ἑαυτοῦ περιστησάμενος, ὧν ἦν Μνάσων τε ὁ Φωκεὺς καὶ ἄλλοι τοιοῦτοι. ἐνόσει δὲ τότε ὁ Σπεύσιππος, καὶ διὰ ταῦτα ἀδύνατος ἦν συμβαδίζειν τῷ Πλάτωνι. ὁ δὲ Πλάτων ὀγδοήκοντα ἔτη ἐγεγόνει, καὶ ὁμοῦ τι διὰ τὴν ἡλικίαν ἐπελελοίπει τὰ τῆς μνήμης αὐτόν. ἐπιθέμενος οὖν αὐτῷ καὶ ἐπιβουλεύων ὁ Ἀριστοτέλης, καὶ φιλοτίμως πάνυ τὰς ἐρωτήσεις ποιούμενος καὶ τρόπον τινὰ καὶ ἐλεγκτικῶς, ἀδικῶν ἅμα καὶ ἀγναμονῶν ἦν δῆλος· καὶ διὰ ταῦτα ἀποστὰς ὁ Πλάτων τοῦ ἔξω περιπάτου, ἔνδον ἐβάδιζε σὺν τοῖς ἑταίροις. τριῶν δὲ μηνῶν διαγενομένων ὁ Ξενοκράτης ἀφίκετο ἐκ τῆς ἀποδημίας, καὶ καταλαμβάνει τὸν Ἀριστοτέλη

Digitized by Google

βαδίζοντα οὗ κατέλιπε τὸν Πλάτωνα. ὁρῶν δὲ αὐτὸν μετὰ τῶν γνωρίμων οὐ πρὸς Πλάτωνα ἀναχωροῦντα ἐκ τοῦ περιπάτου, ἀλλὰ καθ' ἑαυτὸν ἀπιόντα ἐς τὴν πόλιν, ἤρετό τινα τῶν ἐν τῇ περιπάτῳ ὅπου ποτὲ εἴη ὁ Πλάτων· ὑπώπτευε γὰρ αὐτὸν μαλακίζεσθαι. ὃ δὲ ἀπεκρίνατο 'ἐκεῖνος μὲν οὐ νοσεῖ, ἐνοχλῶν δὲ αὐτὸν Ἀριστοτέλης παραχωρῆσαι πεποίηκε τοῦ περιπάτου, καὶ ἀναχωρήσας ἐν τῷ κήπῳ τῷ ἑαυτοῦ φιλοσοφεῖ.' ὁ δὲ Ξενοκράτης ἀκούσας παραχρῆμα ἦκε πρὸς Πλάτωνα, καὶ κατέλαβε διαλεγόμενον τοῖς σὺν ἑαυτῷ· ἦσαν δὲ μάλα συχνοὶ καὶ ἄξιοι λόγου καὶ οἱ μάλιστα δοκοῦντες τῶν νέων ἐπιφανεῖς. ἐπεὶ δὲ ἐπαύσατο τῆς ὁμιλίας, ἠσπάσατό τε ὡς τὸ εἰκὸς τὸν Ξενοκράτην φιλανθρώπως καὶ αὖ πάλιν ὁ Ξενοκράτης ἐκεῖνον ὁμοίως. διαλυθείσης δὲ τῆς συνουσίας οὐδὲν οὔτε εἰπὼν πρὸς τὸν Πλάτωνα ὁ Ξενοκράτης οὔτε ἀκούσας, συναγαγὼν τοὺς ἑταίρους τῷ Σπευσίππῳ πάνυ ἰσχυρῶς ἐπέπληξε παραχωρήσαντι τοῦ περιπάτου Ἀριστοτέλει, αὐτός τε ἐπέθετο τῷ Σταγειρίτῃ κατὰ τὸ καρτερόν, καὶ ἐς τοσοῦτον προῆλθε φιλοτιμίας, ὡς ἐξελάσαι αὐτὸν καὶ ἀποδοῦναι τὸ σύνηθες χωρίον τῷ Πλάτωνι.

20 Λυσάνδρῳ τῷ Σπαρτιάτῃ ἐς Ἰωνίαν ἀφικομένῳ οἱ κατὰ τὴν Ἰωνίαν ξένοι πολλὰ μὲν καὶ ἄλλα ἀπέπεμψαν ἀτὰρ οὖν καὶ βοῦν καὶ πλακοῦντα. ὃ δὲ ἀπιδὼν ἐς τὸν πλακοῦντα ἤρετο 'τί βούλεται τὸ πέμμα ἐκεῖνο εἶναι;' ὁ δὲ κομίζων ἀπεκρίνατο ὅτι ἐκ μέλιτος καὶ τυροῦ καὶ ἄλλων τινῶν ἐσκεύασται. ὁ δὲ Λύσανδρος 'ἀλλὰ τοῦτο μὲν' εἶπε 'τοῖς Ἕλλωσι δότε· ἐλευθέρου γὰρ οὐκ ἔστι βρῶμα.' τὸν δὲ βοῦν προσέταξε κατὰ τὰ πάτρια σκευασθῆναι, καὶ ἐδείπνησεν ἡδέως.

Digitized by Google

Ἐπανῆει ποτὲ ἐκ διδασκαλείου παῖς ἔτι ὢν Θεμι- 21
στοκλῆς. εἶτα προσιόντος Πεισιστράτου ὁ παιδαγω-
γὸς ἔφη τῷ Θεμιστοκλεῖ μικρὸν ἐκχωρῆσαι τῆς ὁδοῦ
προσάγοντος τοῦ τυράννου. ὃ δὲ καὶ πάνυ ἐλευθε-
ρίως ἀπεκρίνατο 'αὕτη γὰρ' εἶπεν 'αὐτῷ οὐχ ἱκανὴ 5
ὁδός;' οὕτως ἄρα εὐγενές τι καὶ μεγαλόφρον ἐνεφαί-
νετο τῷ Θεμιστοκλεῖ καὶ ἐξ ἐκείνου.

Ὅτε ἑάλω τὸ Ἴλιον, οἰκτείραντες οἱ Ἀχαιοὶ τὰς 22
τῶν ἁλισκομένων τύχας καὶ πάνυ Ἑλληνικῶς τοῦτο
ἐκήρυξαν, ἕκαστον τῶν ἐλευθέρων ἓν ὅ τι καὶ βού- 10
λεται τῶν οἰκείων ἀποφέρειν ἀράμενον. ὁ οὖν Αἰνείας
τοὺς πατρῴους θεοὺς βαστάσας ἔφερεν, ὑπεριδὼν
τῶν ἄλλων. ἡσθέντες οὖν ἐπὶ τῇ τοῦ ἀνδρὸς εὐσε-
βείᾳ οἱ Ἕλληνες καὶ δεύτερον αὐτῷ κτῆμα συνεχώ-
ρησαν λαβεῖν· ὃ δὲ τὸν πατέρα πάνυ σφόδρα γεγη- 15
ρακότα ἀναθέμενος τοῖς ὤμοις ἔφερεν. ὑπερεκλαγέντες
οὖν καὶ ἐπὶ τούτῳ οὐχ ἧκιστα, πάντων αὐτῷ τῶν
οἰκείων κτημάτων ἀπέστησαν, ὁμολογοῦντες ὅτι πρὸς
τοὺς εὐσεβεῖς τῶν ἀνθρώπων καὶ τοὺς θεοὺς καὶ τοὺς
γειναμένους δι' αἰδοῦς ἄγοντας καὶ οἱ φύσει πολέμιοι 20
ἥμεροι γίνονται.

Καλὰ μὲν οὖν Ἀλεξάνδρου τὰ ἐπὶ Γρανίκῳ καὶ 23
τὰ ἐπὶ Ἰσσῷ καὶ ἡ πρὸς Ἀρβήλοις μάχη καὶ Δαρεῖος
ἡττημένος καὶ Πέρσαι δουλεύοντες Μακεδόσι· καλὰ
δὲ καὶ τὰ τῆς ἄλλης ἁπάσης Ἀσίας νενικημένης, καὶ 25
Ἰνδοὶ δὲ καὶ οὗτοι Ἀλεξάνδρῳ πειθόμενοι· καλὸν δὲ
καὶ τὸ πρὸς τῇ Τύρῳ καὶ τὰ ἐν Ὀξυδράκαις καὶ τὰ
ἄλλα αὐτοῦ. τί γὰρ δεῖ νῦν στενοχωρίᾳ λόγου περι-
λαμβάνειν τοσαύτην ἀνδρὸς ἐς ὅπλα ἀρετήν; ἔστω δὲ
καὶ τῆς Τύχης Ἀλέξανδρον ἀγαπώσης τὰ πλεῖστα, εἴ 30
τις εἴη δύσερις. καλὸς δ' οὖν Ἀλέξανδρος μὴ ἡττώ-
μενος τῆς Τύχης, μηδὲ πρὸς τὴν ἐξ αὐτῆς ἐς αὐτὸν

Digitized by Google

προθυμίαν ἀπαγορεύων. ἐκεῖνα δὲ οὐκέτι καλὰ Ἀλεξάνδρου. δίου μηνός φασι πέμπτῃ ἔπινε παρὰ Μηδίῳ, εἶτα ἕκτῃ ἐκάθευδεν ἐκ τοῦ πότου, καὶ τοσοῦτον ἐκείνης τῆς ἡμέρας ἔζησεν, ὅσον ἀναστὰς χρηματίσαι τοῖς ἡγεμόσιν ὑπὲρ τῆς αὔριον πορείας, λέγων ὅτι ἔσται πρωί. καὶ ἑβδόμῃ εἱστιᾶτο παρὰ Περδίκκᾳ, καὶ ἔπινε πάλιν, καὶ ὀγδόῃ ἐκάθευδε. πέμπτῃ δὲ ἐπὶ δέκα τοῦ αὐτοῦ μηνὸς καὶ ταύτῃ ἔπινε, καὶ τῇ ἑπομένῃ τὰ εἰθισμένα ἔδρα τὰ ἐκ τοῦ πότου. παρὰ Βαγώᾳ δὲ ἐδείπνησε τετράδι μετὰ εἰκάδα· ἀπεῖχε δὲ τῶν βασιλείων ὁ Βαγώα οἶκος δέκα σταδίους· εἶτα τῇ τρίτῃ ἐκάθευδε. δυοῖν οὖν θάτερον, ἢ Ἀλέξανδρος κακῶς τοσαύτας τοῦ μηνὸς ἡμέρας ἑαυτὸν ζημιοῖ διὰ τὸν οἶνον, ἢ οἱ ταῦτα ἀναγράψαντες ψεύδονται. ἔξεστι δὲ ἐκ τούτων ἐννοεῖν καὶ τοῦ λοιποῦ χρόνου τὰ ὅμοια αὐτοὺς λέγοντας, ὧν καὶ Εὐμένης ὁ Καρδιανὸς καὶ ἐκεῖνός ἐστι.

24 Ξενοφῶντι ἔμελε τῶν τε ἄλλων σπουδαίων, καὶ οὖν καὶ ὅπλα καλὰ ἔχειν. νικῶντι γὰρ ἔλεγε τοὺς πολεμίους τὴν καλλίστην στολὴν ἁρμόττειν, καὶ ἀποθνήσκοντα ἐν τῇ μάχῃ κεῖσθαι καλῶς ἐν καλῇ τῇ πανοπλίᾳ· τῷ γὰρ ἀνδρὶ τῷ γενναίῳ ταῦτα εἶναι τὰ ἐντάφια τὰ ὡς ἀληθῶς κοσμοῦντα αὐτόν. λέγεται οὖν ὁ τοῦ Γρύλλου τὴν μὲν ἀσπίδα Ἀργολικὴν ἔχειν, τὸν δὲ θώρακα Ἀττικόν, τὸ δὲ κράνος Βοιωτουργές, τὸν δὲ ἵππον Ἐπιδαύριον. φιλοκάλου δὲ ἔγωγε ἂν φαίην εἶναι ἀνδρὸς τὰ τοιαῦτα καὶ ἀξιοῦντος ἑαυτὸν τῶν καλῶν.

25 Ὁ Λεωνίδης ὁ Λακεδαιμόνιος καὶ οἱ σὺν αὐτῷ τριακόσιοι τὸν μαντευόμενον αὐτοῖς θάνατον εἵλοντο ἐν Πύλαις, καὶ ὑπὲρ τῆς Ἑλλάδος εὖ καὶ καλῶς ἀγωνισάμενοι τέλους ἔτυχον εὐκλεοῦς, καὶ δόξαν ἑαυτοῖς ἀθάνατον ἀπέλιπον καὶ φήμην ἀγαθὴν δι' αἰῶνος.

Digitized by Google

Πίνδαρος ὁ Μέλανος υἱός, Ἀλυάττου δὲ θυγα- 26
τριδοῦς τοῦ Λυδοῦ, διαδεξάμενος τὴν Ἐφεσίων τυ-
ραννίδα πρὸς μὲν τὰς τιμωρίας πικρὸς ἦν καὶ ἀπαρ-
αίτητος, τά γε μὴν ἄλλα ἐδόκει φιλόπατρις εἶναι καὶ
σώφρων, καὶ τοῦ μὴ δουλεῦσαι τὴν πατρίδα τοῖς 5
βαρβάροις πολλὴν πρόνοιαν ἔθετο. ἔδειξε ταῦτα οὕ-
τως ἔχειν ἐκεῖνα δήπου. ἐπεὶ γὰρ Κροῖσος ὁ πρὸς
μητρὸς αὐτοῦ θεῖος καταστρεφόμενος τὴν Ἰωνίαν καὶ
πρὸς τὸν Πίνδαρον πρεσβείαν ἀπέστειλεν, ἀξιῶν
Ἐφεσίους ὑπ' αὐτῷ γενέσθαι,** ὡς δ' οὐκ ἐπείσθη, 10
ἐπολιόρκει τὴν πόλιν Κροῖσος. ἐπεὶ δέ τις τῶν πύρ-
γων ἀνετράπη ὁ κληθεὶς ὕστερον Προδότης, καὶ ἐν
ὀφθαλμοῖς ἑωρᾶτο τὸ δεινόν, συνεβούλευεν ὁ Πίν-
δαρος Ἐφεσίοις ἐκδήσαντας ἐκ τῶν πυλῶν καὶ τῶν
τειχῶν θώμιγγας συνάψαι τοῖς κίοσι τοῦ τῆς Ἀρτέ- 15
μιδος νεώ, οἰονεὶ τὴν πόλιν ἀνάθημα ἐῶντας εἶναι
τῇ Ἀρτέμιδι, ἀσυλίαν διὰ τούτων ἐπινοῶν τῇ Ἐφέσῳ·
ὃ δὲ συνεβούλευε προσελθόντας δεῖσθαι τοῦ Λυδοῦ.
προβαλλομένων δὲ τὴν ἱκετηρίαν τῶν Ἐφεσίων γε-
λάσαντά φασι τὸν Κροῖσον καὶ δεξάμενον πράως τὸ 20
στρατηγηθὲν τοῖς μὲν Ἐφεσίοις συγχωρῆσαι τὴν μετ'
ἐλευθερίας ἀσφάλειαν, τῷ δὲ Πινδάρῳ προστάξαι
τῆς πόλεως ἀπαλλάττεσθαι. ὃ δὲ οὐκ ἀντεῖπε, τῶν
φίλων δὲ τοὺς συναπαίρειν αὐτῷ βουληθέντας παρα-
λαβών, τὸν υἱὸν καὶ τῆς οὐσίας τὸ πλεῖστον τῇ πόλει 25
παρακαταθέμενος καὶ ἕνα τῶν συνήθων Πασικλέα
ἀποδείξας ἐπίτροπον καὶ τοῦ παιδὸς καὶ τῶν χρημά-
των, ἀπῆρεν ἐς Πελοπόννησον, τυραννικοῦ βίου φυ-
γὴν αὐθαίρετον ἀλλαξάμενος ὑπὲρ τοῦ μὴ ποιῆσαι
τὴν πατρίδα ὑποχείριον Λυδοῖς. 30

Πέπυσμαι καὶ τοῦτον τὸν λόγον· εἰ δὲ ἀληθής 27
ἐστιν, οὐκ οἶδα· ὃ δ' οὖν πέπυσμαι, ἐκεῖνό ἐστι.

Digitized by Google

Πλάτων ὁ Ἀρίστωνος ὑπὸ πενίας φασὶ καταπονούμενος ἔμελλεν ἐπὶ στρατείαν ἀποδημῆσαι· καταληφθεὶς δὲ ὑπὸ Σωκράτους ὠνούμενος ὅπλα ὁ Πλάτων, ἀνεστάλη τῆς ὁρμῆς, διαλεχθέντος αὐτῷ τοῦ Σωκράτους ἃ εἰκὸς ἦν καὶ πείσαντος φιλοσοφίας ἐπιθυμῆσαι.

28 Ὁρῶν ὁ Σωκράτης τὸν Ἀλκιβιάδην τετυφωμένον ἐπὶ τῷ πλούτῳ καὶ μέγα φρονοῦντα ἐπὶ τῇ περιουσίᾳ καὶ ἔτι πλέον ἐπὶ τοῖς ἀγροῖς, ἤγαγεν αὐτὸν ἔς τινα τῆς πόλεως τόπον ἔνθα ἀνέκειτο πινάκιον ἔχον γῆς περίοδον, καὶ προσέταξε τῷ Ἀλκιβιάδῃ τὴν Ἀττικὴν ἐνταῦθ' ἀναζητεῖν. ὡς δ' εὗρε, προσέταξεν αὐτῷ τοὺς ἀγροὺς τοὺς ἰδίους διαθρῆσαι. τοῦ δὲ εἰπόντος 'ἀλλ' οὐδαμοῦ γεγραμμένοι εἰσίν' 'ἐπὶ τούτοις οὖν' εἶπε 'μέγα φρονεῖς, οἷπερ οὐδὲν μέρος τῆς γῆς εἰσιν;'

29 Διογένης ὁ Σινωπεὺς συνεχῶς ἐπέλεγεν ὑπὲρ ἑαυτοῦ ὅτι τὰς ἐκ τῆς τραγῳδίας ἀρὰς αὐτὸς ἐκπληροῖ καὶ ὑπομένει· εἶναι γὰρ

πλάνης ἄοικος πατρίδος ἐστερημένος
πτωχὸς δυσείμων βίον ἔχων ἐφήμερον.

καὶ ὅμως ἐπὶ τούτοις μέγα ἐφρόνει οὐδὲν ἧττον ἢ Ἀλέξανδρος ἐπὶ τῇ τῆς οἰκουμένης ἀρχῇ, ὅτε καὶ Ἰνδοὺς ἐλὼν ἐς Βαβυλῶνα ὑπέστρεψεν.

30 Ἀμοιβεὺς ὁ κιθαρῳδὸς σωφρονέστατος ἐλέγετο καὶ γυναῖκα ὡραιοτάτην ἔχων μὴ ὁμιλεῖν αὐτῇ· καὶ Διογένης ὁ τῆς τραγῳδίας ὑποκριτὴς τὴν ἀκόλαστον κοίτην ἀπείπατο παντελῶς πᾶσαν. Κλειτόμαχος δὲ ὁ παγκρατιαστὴς εἴ ποτε καὶ κύνας εἶδε συμπλεκομένους, ἀπεστρέφετο· καὶ ἐν συμποσίῳ εἴ τις ἀφροδίσιος λόγος παρερρύη, ἀναστὰς ἀπηλλάττετο.

Νικίας ὁ ζωγράφος τοσαύτην περὶ τὸ γράφειν

Digitized by Google

σκουδὴν εἶχεν, ὡς ἐπιλαθέσθαι πολλάκις αὐτὸν τροφὴν προσενέγκασθαι προστετηκότα τῇ τέχνῃ.

Ἀλέξανδρος ὁ Φιλίππου, παῖς ὢν οὔπω πρόσηβος, ἐμάνθανε κιθαρίζειν. τοῦ δὲ διδάσκοντος κροῦσαι κελεύσαντος χορδήν τινα σὺν μέλει καὶ ἣν ἀπήτει τὰ κιθαρίσματα, 'καὶ τί διοίσει' ἔφη 'ἐὰν ταύτην κρούσω;' ἑτέραν δείξας. ὃ δὲ οὐδὲν ἔφη διαφέρειν τῷ μέλλοντι βασιλεύσειν ἀλλὰ τῷ ἐπὶ τέχνῃ κιθαρίσειν μέλλοντι. ἔδεισε δὲ ἄρα οὗτος τὸ τοῦ Λίνου πάθος. τὸν γὰρ Ἡρακλῆ ὁ Λῖνος ἔτι παῖδα ὄντα κιθαρίζειν ἐπαίδευεν· ἀμουσότερον δὲ ἀπτομένου τοῦ ὀργάνου, ἐχαλέπηνε πρὸς αὐτὸν ὁ Λῖνος. ὃ δὲ ἀγανακτήσας ὁ Ἡρακλῆς τῷ πλήκτρῳ τοῦ Λίνου καθίκετο καὶ ἀπέκτεινεν αὐτόν. 32

Σάτυρος ὁ αὐλητὴς Ἀρίστωνος τοῦ φιλοσόφου πολλάκις ἠκροᾶτο, καὶ κηλούμενος ἐκ τῶν λεγομένων ἐπέλεγεν 33

εἰ μὴ ἐγὼ τάδε τόξα φαεινῷ ἐν πυρὶ θείην,
τοὺς αὐλοὺς αἰνιττόμενος, καὶ τρόπον τινὰ τὴν τέχνην ἐκφαυλίζων παραβολῇ τῇ πρὸς φιλοσοφίαν.

Ὅτι Λάκωσι καὶ Ῥωμαίοις νόμος ἦν μὴ ἐξεῖναί τινι ὀψωνεῖν μήτε ἃ βούλεται μήτε ὅσα βούλεται· προσέταττον γὰρ διά τε τῶν ἄλλων σωφρονεῖν τοὺς πολίτας καὶ διὰ τῆς τραπέζης οὐχ ἥκιστα. 34

Λόγος δέ τις διαῤῥεῖ καὶ οὗτος Ἀττικός, ὃς λέγει πρότερον ἐν Ἀκαδημείᾳ μηδὲ γελάσαι ἐξουσίαν εἶναι· ὕβρει γὰρ καὶ ῥᾳθυμίᾳ ἐπειρῶντο τὸ χωρίον ἄβατον φυλάττειν. 35

Ἀριστοτέλης ὅτε ἀπέλιπε τὰς Ἀθήνας δέει τῆς κρίσεως, πρὸς τὸν ἐρόμενον αὐτὸν 'τίς ἐστιν ἡ τῶν Ἀθηναίων πόλις;' ἔφη 'παγκάλη· ἀλλ' ἐν αὐτῇ 36

ὄγχνη ἐπ' ὄγχνῃ γηράσκει, σῦκον δ' ἐπὶ σύκῳ,

Digitized by Google

τοὺς συκοφάντας λέγων. καὶ πρὸς τὸν ἐρόμενον διατί ἀπέλιπε τὰς Ἀθήνας, ἀπεκρίνατο ὅτι οὐ βούλεται Ἀθηναίους δὶς ἁμαρτεῖν ἐς φιλοσοφίαν, τὸ περὶ Σωκράτην πάθος αἰνιττόμενος καὶ τὸν καθ' ἑαυτὸν κίνδυνον.

37 Νόμος ἐστὶ Κείων, οἱ πάνυ παρ' αὐτοῖς γεγηρακότες, ὥσπερ ἐπὶ ξένια παρακαλοῦντες ἑαυτοὺς ἢ ἐπί τινα ἑορταστικὴν θυσίαν, συνελθόντες καὶ στεφανωσάμενοι πίνουσι κώνειον, ὅταν ἑαυτοῖς συνειδῶσιν ὅτι πρὸς τὰ ἔργα τὰ τῇ πατρίδι λυσιτελοῦντα ἄχρηστοί εἰσιν, ὑποληρούσης ἤδη τι αὐτοῖς καὶ τῆς γνώμης διὰ τὸν χρόνον.

38 Ὅτι ἐν Ἀθήναις εὑρεθῆναι λέγουσι πρῶτον τὴν ἐλαίαν καὶ τὴν συκῆν, ἃ καὶ πρῶτα ἡ γῆ ἀνέβακε. δίκας τε δοῦναι καὶ λαβεῖν εὗρον Ἀθηναῖοι πρῶτοι. καὶ ἀγῶνα τὸν διὰ τῶν σωμάτων πρῶτοι ἐπενόησαν, καὶ ἀπεδύσαντο καὶ ἠλείψαντο. καὶ ἵππους ἔζευξε πρῶτος Ἐριχθόνιος.

39 Ὅτι βαλάνους Ἀρκάδες, Ἀργεῖοι δ' ἀπίους, Ἀθηναῖοι δὲ σῦκα, Τιρύνθιοι δὲ ἀχράδας δεῖπνον εἶχον, Ἰνδοὶ καλάμους, Καρμανοὶ φοίνικας, κέγχρον δὲ Μαιῶται καὶ Σαυρομάται, τέρμινθον δὲ καὶ κάρδαμον Πέρσαι.

40 Ὅτι οἱ συγχορευταὶ Διονύσου Σάτυροι ἦσαν οἱ ὑπ' ἐνίων Τίτυροι ὀνομαζόμενοι. ἔσχον δὲ τὸ ὄνομα ἐκ τῶν τερετισμάτων, οἷς χαίρουσι. Σάτυροι δὲ ἀπὸ τοῦ σεσηρέναι. Σιληνοὶ δὲ ἀπὸ τοῦ σιλλαίνειν· τὸν δὲ σίλλον φόγον λέγουσι μετὰ παιδιᾶς δυσαρέστου. ἐσθὴς δ' ἦν τοῖς Σιληνοῖς ἀμφίμαλλοι χιτῶνες. αἰνίττεται δὲ ἡ στολὴ τὴν ἐκ τοῦ Διονύσου φυτείαν καὶ τῶν οἰναρίδων δάση.

Ὅτι τὸ πολυκαρπεῖν οἱ ἀρχαῖοι ἀνόμαζον φλύειν.

Digitized by Google

ἐντεῦθεν τὸν Διόνυσον Φλεῶνα ἐκάλουν καὶ Προ-
-τρύγαιον καὶ Σταφυλίτην καὶ Ὀμφακίτην καὶ ἑτέρως
πως διαφόρως.

Ἐλέγη καὶ Κελαινὴ Προίτου θυγατέρες. μάχλους 42
δὲ αὐτὰς ἡ τῆς Κύπρου βασιλὶς εἰργάσατο, ἐπὶ μέ- 5
ρους δὲ τῆς Πελοποννήσου ἕδραμόν φασι γυμναὶ
μαινόμεναι, ἐξεφοίτησαν δὲ καὶ ἐς ἄλλας χώρας τῆς
Ἑλλάδος, παράφοροι οὖσαι ὑπὸ τῆς νόσου. ἀκούω
δὲ ὅτι καὶ ταῖς Λακεδαιμονίων γυναιξὶν ἐνέπεσέ τις
οἶστρος βακχικὸς καὶ ταῖς τῶν Χίων. καὶ αἱ τῶν 10
Βοιωτῶν δὲ ὡς ἐνθεώτατα ἐμάνησαν καὶ ἡ τραγῳδία
βοᾷ. μόνας δὲ ἀφηνιάσαι τῆς χορείας ταύτης λέγουσι
τοῦ Διονύσου τὰς Μινύου θυγατέρας Λευκίππην καὶ
Ἀρσίππην καὶ Ἀλκιθόην. αἴτιον δὲ ὅτι ἐπόθουν
τοὺς γαμέτας, καὶ διὰ τοῦτο οὐκ ἐγένοντο τῷ θεῷ 15
μαινάδες. ὃ δὲ ὀργίζεται, καὶ αἱ μὲν περὶ τοὺς ἱστοὺς
εἶχον, καὶ ἐπονοῦντο περὶ τὴν Ἐργάνην εὖ μάλα φι-
λοτίμως· ἄφνω δὲ κιττοί τε καὶ ἄμπελοι τοὺς ἱστοὺς
περιεῖρπον, καὶ τοῖς ταλάροις ἐνεφώλευον δράκοντες,
ἐκ δὲ τῶν ὀρόφων ἔσταζον οἶνου καὶ γάλακτος σταγό- 20
νες. τὰς δὲ οὐδὲ ταῦτα ἀνέπειθεν ἐλθεῖν ἐς τὴν λα-
τρείαν τοῦ δαίμονος. ἐνταῦθά τοι καὶ πάθος εἰργά-
σαντο ἔξω Κιθαιρῶνος, οὐ μεῖον τοῦ ἐν Κιθαιρῶνι·
τὸν γὰρ τῆς Λευκίππης παῖδα ἔτι ἁπαλὸν ὄντα καὶ
νεαρὸν διεσπάσαντο οἷα νεβρὸν τῆς μανίας ἀρξάμεναι 25
αἱ Μινυάδες, εἶτα ἐντεῦθεν ἐπὶ τὰς ἐξ ἀρχῆς ἦξαν
μαινάδας· αἳ δὲ ἐδίωκον αὐτὰς διὰ τὸ ἄγος. ἐκ δὴ
τούτων ἐγένοντο ὄρνιθες, καὶ ἡ μὲν ἤμειψε τὸ εἶδος
ἐς κορώνην, ἡ δὲ ἐς νυκτερίδα, ἡ δὲ ἐς γλαῦκα.

Ἐν Συβάρει κιθαρῳδοῦ ᾄδοντος ἐν τῇ ἀγωνίᾳ, 43 30
ἣν ἐπετέλουν τῇ Ἥρᾳ, στασιασάντων ὑπὲρ αὐτοῦ
τῶν Συβαριτῶν καὶ τὰ ὅπλα λαβόντων ἐπ' ἀλλήλους,

Digitized by Google

φοβηθεὶς ὁ κιθαρῳδὸς σὺν αὐτῇ στολῇ κατέφυγεν ἐς τὸν τῆς Ἥρας βωμόν· οἱ δὲ οὐδὲ ἐνταῦθα ἐφείσαντο τοῦ κιθαρῳδοῦ. ὀλίγῳ δὲ ὕστερον αἷμα ἔβόκει ἐν τῷ τῆς Ἥρας νεῷ ἀναβρύειν οὐδὲν ἔλαττον πηγῆς ἀενάου, Συβαρῖται δὲ ἔπεμψαν ἐς Δελφούς. ἡ δὲ Πυθία ἀπεκρίνατο

βαίν' ἀπ' ἐμῶν τριπόδων, ἔτι τοι φόνος ἀμφὶ χέρεσσι
πουλὺς ἀποστάζων ἀπὸ λαΐνου οὐδοῦ ἐρύκει.
οὔ σε θεμιστεύσω· Μουσῶν θεράποντα κατέκτας
Ἥρης πρὸς βωμοῖσι, θεῶν τίσιν οὐκ ἀλεείνας.
τοῖς δὲ κακῶς ῥέξασι δίκης τέλος οὐχὶ χρονιστὸν
οὐδὲ παραιτητόν, οὐδ' εἰ Διὸς ἔγγονοι εἶεν·
ἀλλ' αὐτῶν κεφαλῇσι καὶ ἐν σφετέροισι τέκεσσιν
εἰλεῖται, καὶ πῆμα δόμοις ἐπὶ πήματι βαίνει.

ἡ δὲ δίκη οὐκ ἐβράδυνε· Κροτωνιάταις γὰρ ἐναντία ὅπλα θέμενοι ἀνάστατοι ὑπ' ἐκείνων ἐγένοντο, καὶ ἡ πόλις αὐτῶν ἠφανίσθη.

44 Νεανίσκοι τρεῖς ἐς Δελφοὺς ἀφικόμενοι θεωροὶ συμπολῖται κακούργοις περιτυγχάνουσιν. ὁ οὖν εἷς ἀπέδρα τοὺς λῃστάς, ὁ δὲ δεύτερος αὐτῶν συνεπλάκη τῷ λοιπῷ τῶν κακούργων, τῶν ἄλλων προαναλωθέντων, καὶ τοῦ μὲν λῃστοῦ ἥμαρτεν, ὥσε δὲ τὸ ξίφος κατὰ τοῦ φίλου. τῷ ἀποδράντι οὖν ἡ Πυθία ἀνεῖλε τάδε

ἀνδρὶ φίλῳ θνήσκοντι παρὼν πέλας οὐκ ἐβοήθεις.
οὔ σε θεμιστεύσω· περικαλλέος ἔξιθι νηοῦ·

τῷ ἑτέρῳ δὲ

ἔκτεινας τὸν ἑταῖρον ἀμύνων· οὔ σ' ἐμίανεν
αἷμα, πέλεις δὲ χέρας καθαρώτερος ἢ πάρος ἦσθα.

Digitized by Google

Φιλίππῳ φασὶ χρηστήριον ἐκπεσεῖν ἐν Βοιωτοῖς 45
ἐν Τροφωνίου, φυλάττεσθαι δεῖν τὸ ἅρμα. ἐκεῖνον
οὖν δέει τοῦ χρησμοῦ λόγος ἔχει μηδέποτε ἀναβῆναι
ἅρμα. διπλοῦς οὖν ἐπὶ τούτοις διαῤῥεῖ λόγος. ὃ μὲν
γάρ φησι τὸ τοῦ Παυσανίου ξίφος, ᾧ τὸν Φίλιππον 5
διεχρήσατο, ἅρμα ἔχειν ἐπὶ τῆς λαβῆς διαγεγλυμ-
μένον ἐλεφάντινον· ὁ δὲ ἕτερος, τὴν Θηβαϊκὴν πε-
ριελθόντα λίμνην τὴν καλουμένην Ἅρμα ἀποσφαγῆναι.
ὁ μὲν πρῶτος λόγος δημώδης, ὃ δὲ οὐκ ἐς πάντας
ἐξεφοίτησεν. 10

Σταγειριτῶν νόμος οὗτος καὶ πάντη Ἑλληνικός. 46
ὃ μὴ κατέθου φησί, μὴ λάμβανε.

Τιμόθεον τὰ μὲν πρῶτα ἐπήνουν Ἀθηναῖοι· ἐπεὶ 47
δὲ ἔδοξεν ἁμαρτεῖν ἃ ἔδοξεν, ἡ φθάνουσα αὐτὸν
ἀνδραγαθία ἀλλ' οὐδὲ ὀλίγον ἔσωσεν, οὐδὲ μὴν αἱ 15
τῶν προγόνων ἀρεταί. Θεμιστοκλῆς δὲ οὐδὲν ὤνητο
οὔτε ἐκ τῆς ναυμαχίας τῆς περὶ Σαλαμῖνα οὔτε ἐκ
τῆς πρεσβείας τῆς ἐς Σπάρτην· λέγω δὲ ἣν ἐπρέ-
σβευσε κλέπτων τὴν τῶν Ἀθηναίων τείχισιν. ἔφυγε
γὰρ κἀκεῖνος οὐ τὰς Ἀθήνας μόνον, ἀλλὰ καὶ τὴν 20
Ἑλλάδα πᾶσαν. καὶ Παυσανίαν δὲ τὸν Λακεδαιμό-
νιον οὐδὲν ὤνησεν ἡ ἐν Πλαταιαῖς νίκη· ὑπὲρ δὲ ὧν
ἐν Βυζαντίῳ ἐκαινούργει, ὑπὲρ τούτων διέφθειρε καὶ
τὴν χάριν τὴν ἐπὶ τοῖς πρώτοις. Φωκίωνα δὲ ἡ εὐ-
φημία ἡ καλοῦσα αὐτὸν Χρηστὸν οὐδὲν ὠφέλησεν, 25
οὐδὲ τὰ πέντε καὶ ἑβδομήκοντα ἔτη, ἅπερ οὖν διε-
βίωσεν, οὐδὲν ἀδικήσας τοὺς Ἀθηναίους ἔμβραχυ·
ἐπεὶ δὲ ἔδοξεν Ἀντιπάτρῳ τὸν Πειραιᾶ προδιδόναι,
Ἀθηναῖοι κατέγνωσαν αὐτοῦ θάνατον.

Digitized by Google

Δ

Λέγει τις νόμος Λευκανῶν, ἐὰν ἡλίου δύντος ἀφίκηται ξένος καὶ παρελθεῖν ἐθελήσῃ ἐς στέγην τινός, εἶτα μὴ δέξηται τὸν ἄνδρα, ζημιοῦσθαι αὐτὸν καὶ ὑπέχειν δίκας τῆς κακοξενίας ἐμοὶ δοκεῖν καὶ τῷ ἀφικομένῳ καὶ τῷ Ξενίῳ Διί.

Ὅτι Σαρδανεῖς τοὺς ἀπὸ τῆς Ἰλλυρίδος ἀκούω τρὶς μόνον λούεσθαι παρὰ πάντα τὸν ἑαυτῶν βίον, ἐξ ὠδίνων καὶ γαμοῦντας καὶ ἀποθανόντας.

Ἰνδοὶ οὔτε δανείζουσιν οὔτε ἴσασι δανείζεσθαι. ἀλλ᾽ οὐδὲ θέμις ἄνδρα Ἰνδὸν οὔτε ἀδικῆσαι οὔτε ἀδικηθῆναι. διὸ οὐδὲ ποιοῦνται συγγραφὴν ἢ παρακαταθήκην.

Νόμος ἐστὶ Σαρδῶος, τοὺς ἤδη γεγηρακότας τῶν πατέρων οἱ παῖδες ῥοπάλοις τύπτοντες ἀνήρουν καὶ ἔθαπτον, αἰσχρὸν ἡγούμενοι τὸν λίαν ὑπέργηρων ὄντα ζῆν ἔτι, ὡς πολλὰ ἁμαρτάνοντος τοῦ σώματος τοῦ διὰ τὸ γῆρας πεπονηκότος. τῶν δὲ αὐτῶν ἐστι νόμος τοιοῦτος. ἀργίας ἦσαν δίκαι, καὶ τὸν εἰκῇ ζῶντα ἔδει κρίνεσθαι καὶ διδόναι τὰς εὐθύνας ἀποδεικνύντα ὁπόθεν ζῇ.

Ἀσσύριοι τὰς ὡραίας γάμου παρθένους ἀθροίσαντες ἐς τινα πόλιν ἀγορὰν αὐτῶν προκηρύττουσι καὶ ἕκαστος ἣν ἂν πρίηται ἀπάγει νύμφην.

Βύβλιος ἀνὴρ ἐν ὁδῷ περιτυχὼν οὐδὲν ὧν μὴ κατέθετο ἀναιρεῖται· οὐ γὰρ ἡγεῖται τὸ τοιοῦτον εὕρημα ἀλλὰ ἀδίκημα.

Δερβίκκαι τοὺς ὑπὲρ ἑβδομήκοντα ἔτη βεβιωκότας ἀποκτείνουσι, τοὺς μὲν ἄνδρας καταθύοντες, ἀπάγχοντες δὲ τὰς γυναῖκας.

Digitized by Google

Κόλχοι δὲ τοὺς νεκροὺς ἐν βύρσαις θάπτουσι, καὶ καταρράψαντες ἐκ τῶν δένδρων ἐξαρτῶσι.

Λυδοῖς ἦν ἔθος πρὸ τοῦ συνοικεῖν τὰς γυναῖκας ἀνδράσιν ἑταιρεῖν, ἅπαξ δὲ καταζευχθείσας σωφρονεῖν· τὴν δὲ ἁμαρτάνουσαν ἐς ἕτερον συγγνώμης τυχεῖν ἀδύνατον ἦν.

Νικόστρατον τὸν κιθαριστὴν λόγος τις περίεισι λέγων Λαοδόκῳ τῷ κιθαρῳδῷ διαφερόμενον ὑπὲρ μουσικῆς εἰπεῖν ὅτι ἆρα ἐκεῖνος μέν ἐστιν ἐν μεγάλῃ τῇ τέχνῃ μικρός, αὐτὸς δὲ ἐν μικρᾷ μέγας. οὐ μόνον δὲ ἆρα ἐστὶ σεμνὸν οἰκίαν αὐξῆσαι καὶ πλοῦτον, ἀλλὰ γὰρ καὶ τέχνην, εἴ γέ τι δεῖ προσέχειν Νικοστράτῳ εὖ καὶ καλῶς τοῦτο εἰπόντι.

Πολύγνωτος ὁ Θάσιος καὶ Διονύσιος ὁ Κολοφώνιος γραφέε ἦστην. καὶ ὁ μὲν Πολύγνωτος ἔγραφε τὰ μεγάλα, καὶ ἐν τοῖς τελείοις εἰργάζετο τὰ ἄθλα· τὰ δὲ τοῦ Διονυσίου πλὴν τοῦ μεγέθους τὴν τοῦ Πολυγνώτου τέχνην ἐμιμεῖτο ἐς τὴν ἀκρίβειαν, πάθος καὶ ἦθος καὶ σχημάτων χρῆσιν καὶ ἱματίων λεπτότητας καὶ τὰ λοιπά.

Ἀκούω κεῖσθαι νόμον Θήβησι προστάττοντα τοῖς τεχνίταις καὶ τοῖς γραφικοῖς καὶ τοῖς πλαστικοῖς ἐς τὸ κρεῖττον τὰς εἰκόνας μιμεῖσθαι. ἀπειλεῖ δὲ ὁ νόμος τοῖς ἐς τὸ χεῖρόν ποτε ἢ πλάσασιν ἢ γράψασι ζημίαν τὸ τίμημα δρᾶν.

Εὐεργεσιῶν ἀπεμνήσθησαν καὶ χάριτας ὑπὲρ αὐτῶν ἀπέδοσαν Θησεὺς μὲν Ἡρακλεῖ. Ἀιδωνέως γὰρ αὐτὸν τοῦ Μολοττῶν βασιλέως δήσαντος, ὅτε ἐπὶ τὴν γυναῖκα αὐτοῦ ἦλθε μετὰ Πειρίθου ἁρπασόμενος αὐτὴν ὁ Θησεύς (οὐχ ἑαυτῷ σπουδάζων τὸν γάμον, ἀλλὰ γὰρ τῇ τοῦ Πειρίθου χάριτι τοῦτο δράσας) Ἡρακλῆς

Digitized by Google

ἐς τοὺς Μολοττοὺς ἀφικόμενος ἐρρύσατο τὸν Θησέα, καὶ διὰ ταῦτα ἐκεῖνος αὐτῷ βωμὸν ἀνέστησε. καὶ οἱ ἑπτὰ ἐπὶ Θήβας Πρώνακτι καὶ ἐκεῖνοι χάριτας ἀπέδοσαν. διὰ γὰρ αὐτοὺς ἀπολομένου τοῦ Πρώνακτος τὸν ἀγῶνα ἔθεσαν ἐπ' αὐτῷ, ὃν οἱ πολλοὶ οἴονται ἐπ' Ἀρχεμόρῳ τεθῆναι ἐξ ἀρχῆς. καὶ Ἡρακλῆς δὲ ἀπέδωκε χάριτας Νέστορι. Νηλέως γὰρ αὐτὸν οὐ βουλομένου καθῆραι, οἱ μὲν ἄλλοι παῖδες σύμψηφοι ἦσαν τῷ Νηλεῖ, ὁ δὲ Νέστωρ οὐχί. καὶ διὰ ταῦτα ἑλὼν τὴν Πύλον Ἡρακλῆς τὸν μὲν Νηλέα καὶ τοὺς ἄλλους αὐτοῦ παῖδας ἀπέκτεινεν, οὐ μόνον δὲ ἐφείσατο Νέστορος, ἀλλὰ καὶ τὴν βασιλείαν τὴν πατρῴαν ἔχειν ἔδωκε. καὶ Ἀθηναῖοι δὲ πανδημεὶ τοῖς Ἡρακλέους ἀπογόνοις ἀπέτισαν χάριτας. ἐπεὶ γὰρ καὶ ἐκείνων ὁ προπάτωρ εὐεργέτης ἐγένετο τοῦ Θησέως, οἱ Ἀθηναῖοι διὰ ταῦτα κατήγαγον αὐτοὺς ἐς Πελοπόννησον. καὶ Ἡρακλῆς δὲ ἀπέδωκε χάριτας τοῖς ἐκ Κλεωνῶν τριακοσίοις καὶ ἑξήκοντα. τούτοις γὰρ ἐπὶ τοὺς Μολιονίδας συστρατεύσασιν αὐτῷ καὶ ἀποθανοῦσιν εὖ καὶ καλῶς ἀπέστη τῶν ἐν Νεμέᾳ τιμῶν, ἃς ἔλαβε παρὰ τῶν Νεμέων, ὅτε τὸν ἐκχωριάζοντα αὐτοῖς καὶ λυμαινόμενον αὐτῶν τὰ ἔργα ἐχειρώσατο λέοντα. καὶ Μενεσθεὺς δὲ ὁ Πετεῶο περὶ τοὺς Τυνδαρίδας οὐκ ἐγένετο ἀχάριστος. ἐκβαλόντες γὰρ ἐκεῖνοι τοὺς Θησέως υἱοὺς καὶ τὴν μητέρα τὴν Θησέως Αἴθραν αἰχμάλωτον λαβόντες ἔδωκαν τὴν βασιλείαν τῷ Μενεσθεῖ. διὰ ταῦτα πρῶτος ὁ Μενεσθεὺς Ἄνακτάς τε καὶ Σωτῆρας ὠνόμασε. καὶ Δαρεῖος δὲ ὁ Ὑστάσπου παρὰ Συλοσῶντος λαβὼν ἱμάτιον ἔτι ἰδιώτης ὤν, ὅτε ἐγκρατὴς ἐγένετο τῆς βασιλείας, ἔδωκεν αὐτῷ τῆς πατρίδος τὴν ἀρχὴν τῆς Σάμου, χρύσεα χαλκείων φαίη τις ἄν.

Ὅτι ἡνίκα ἐβούλοντο Λακεδαιμόνιοι τὴν Ἀθη-

Digitized by Google

ναίων ἀφανίσαι πόλιν, ἠρώτησαν τὸν θεόν· καὶ ἀπε-
κρίνατο τὴν κοινὴν ἑστίαν τῆς Ἑλλάδος μὴ κινεῖν.

Οὐκ ἦν ἄρα τοῖς κακοῖς οὐδὲ τὸ ἀποθανεῖν κέρ- 7
δος, ἐπεὶ μηδὲ τότε ἀναπαύονται· ἀλλ' ἢ παντελῶς
ἀμοιροῦσι ταφῆς, ἢ καὶ ἐὰν φθάσωσι ταφέντες, ὅμως 5
καὶ ἐκ τῆς τελευταίας τιμῆς καὶ τοῦ κοινοῦ πάντων
σωμάτων ὅρμου καὶ ἐκεῖθεν ἐκπίπτουσι. Λακεδαι-
μόνιοι γοῦν Παυσανίαν μηδίσαντα οὐ μόνον λιμῷ
ἀπέκτειναν, ἀλλὰ γὰρ καὶ τὸν νεκρὸν ἐξέβαλον αὐτοῦ
ἐκτὸς τῶν ὅρων, φησὶν Ἐπιτιμίδης. 10

Εἶτα τίς οὐκ οἶδε τὰς τῆς τύχης μεταβολὰς ὀξυρ- 8
ρόπους καὶ ταχείας; Λακεδαιμόνιοι γοῦν Θηβαίων
ἄρξαντες αὐτοὶ πάλιν ὑπ' ἐκείνων οὕτως ἐχειρώθη-
σαν, ὡς τοὺς Θηβαίους μὴ μόνον ἐς Πελοπόννησον
ἀφικέσθαι, ἀλλὰ γὰρ καὶ τὸν Εὐρώταν διελθεῖν καὶ 15
τὴν τῶν Λακεδαιμονίων τεμεῖν χώραν. καὶ ὀλίγου
καὶ τὴν πόλιν κατέλαβον, εἰ μὴ Ἐπαμεινώνδας ἔδεισε
μὴ Πελοποννήσιοι πάντες συμπνεύσωσι καὶ ὑπὲρ τῆς
Σπάρτης ἀγωνίσωνται.

Διονύσιος ὁ τύραννος κατεστὰς ὑπὸ Καρχηδονίων 20
ἐς πολιορκίαν, οὐδεμιᾶς αὐτῷ σωτηρίας ὑποφαινομέ-
νης, αὐτὸς μὲν ἄθυμος ἦν καὶ ὑπενενόει δρασμόν. τῶν
δὲ ἑταίρων αὐτῷ τις, Ἐλλοπίδης ὄνομα, προσελθὼν
ἔφατο 'ὦ Διονύσιε, καλὸν ἐντάφιον ἡ τυραννίς.'
αἰδεσθεὶς οὖν ἐπὶ τούτῳ ἀνερρώσθη τὴν γνώμην, 25
καὶ σὺν ὀλίγοις παμπόλλας μυριάδας κατηγωνίσατο,
ἀλλὰ καὶ τὴν ἀρχὴν μείζω ἐποίησεν.

Καὶ Ἀμύντας δὲ ὁ Μακεδὼν ἡττηθεὶς ὑπὸ τῶν
προσοίκων βαρβάρων καὶ ἀποβαλὼν τὴν ἀρχὴν γνώ-
μην μὲν εἶχεν ὡς καὶ ἀπολείψων τὴν χώραν τελέως· 30
ἠγάπα γὰρ εἰ δυνηθείη διασῶσαι αὐτὸν γοῦν μόνον.
ἐπεὶ δὲ ἐν τούτοις ἦν, ἔφατό τις πρὸς αὐτὸν τὴν

Digitized by Google

Ἑλλοπίδου φωνήν. καὶ μικρὸν χῶρον καταλαβὼν καὶ ἀθροίσας ὀλίγους στρατιώτας ἀνεκτήσατο τὴν ἀρχήν.

Ὅτι τὸν Ὦχον οἱ Αἰγύπτιοι τῇ ἐπιχωρίῳ φωνῇ Ὄνον ἐκάλουν, τὸ νωθὲς αὐτοῦ τῆς γνώμης ἐκ τῆς ἀσθενείας τοῦ ζῴου διαβάλλοντες. ἀνθ' ὧν ἐκεῖνος τὸν Ἄπιν πρὸς βίαν κατέθυσεν Ὄνῳ.

Δίων ὁ Ἱππαρίνου, φυγὰς ὢν ὑπὸ Διονυσίου, μετὰ δισχιλίων στρατιωτῶν αὖθις κατεπολέμησε, καὶ ὃ πρότερον αὐτὸς ἦν, τοῦτο ἐκεῖνον εἰργάσατο, φυγάδα.

Συρακόσιοι δὲ ἐννέα τριήρεσι πρὸς ἑκατὸν καὶ πεντήκοντα τὰς τῶν Καρχηδονίων παραταξάμενοι κατὰ πολὺ ἐκράτησαν.

9 Πλάτων ὁ Ἀρίστωνος ἐν Ὀλυμπίᾳ συνεσκήνωσεν ἀγνῶσιν ἀνθρώποις, καὶ αὐτὸς ὢν αὐτοῖς ἀγνώς. οὕτως δὲ αὐτοὺς ἐχειρώσατο καὶ ἀνεδήσατο τῇ συνουσίᾳ, συνεστιώμενός τε αὐτοῖς ἀφελῶς καὶ συνδιημερεύων ἐν πᾶσιν, ὡς ὑπερησθῆναι τοὺς ξένους τῇ τοῦ ἀνδρὸς συντυχίᾳ. οὔτε δὲ Ἀκαδημείας ἐμέμνητο οὔτε Σωκράτους· αὐτό γε μὴν τοῦτο ἐνεφάνισεν αὐτοῖς, ὅτι καλεῖται Πλάτων. ἐπεὶ δὲ ἦλθον ἐς τὰς Ἀθήνας, ὑπεδέξατο αὐτοὺς εὖ μάλα φιλοφρόνως. καὶ οἱ ξένοι 'ἄγε' εἶπον 'ὦ Πλάτων, ἐπίδειξον ἡμῖν καὶ τὸν ὁμώνυμόν σου, τὸν Σωκράτους ὁμιλητήν, καὶ ἐπὶ τὴν Ἀκαδήμειαν ἦγησαι τὴν ἐκείνου, καὶ σύστησον τῷ ἀνδρί, ἵνα τι καὶ αὐτοῦ ἀπολαύσωμεν.' ὃ δὲ ἠρέμα ὑπομειδιάσας, ὥσπερ οὖν καὶ εἰώθει, 'ἀλλ' ἐγώ' φησίν 'αὐτὸς ἐκεῖνός εἰμι.' οἱ δὲ ἐξεπλάγησαν εἰ τὸν ἄνδρα ἔχοντες μεθ' ἑαυτῶν τὸν τοσοῦτον ἠγνόησαν, ἀὐφως αὐτοῦ συγγενομένου καὶ ἀνεπιτηδεύτως αὐτοῖς καὶ δείξαντος ὅτι δύναται καὶ ἄνευ τῶν συνήθων λόγων χειροῦσθαι τοὺς συνόντας.

Digitized by Google

Ὁ Πλάτων τὸν Ἀριστοτέλη ἐκάλει Πῶλον. τί δὲ ἐβούλετο αὐτῷ τὸ ὄνομα ἐκεῖνο; δηλονότι ὡμολόγηται τὸν πῶλον, ὅταν κορεσθῇ τοῦ μητρῴου γάλακτος, λακτίζειν τὴν μητέρα. ἠνίττετο οὖν καὶ ὁ Πλάτων ἀχαριστίαν τινὰ τοῦ Ἀριστοτέλους. καὶ γὰρ ἐκεῖνος μέγιστα ἐς φιλοσοφίαν παρὰ Πλάτωνος λαβὼν σπέρματα καὶ ἐφόδια, εἶτα ὑποπλησθεὶς τῶν ἀρίστων καὶ ἀφνιάσας, ἀντῳκοδόμησεν αὐτῷ διατριβὴν καὶ ἀντιπαρεξήγαγεν ἐν τῷ περιπάτῳ ἑταίρους ἔχων καὶ ὁμιλητάς, καὶ ἐγλίχετο ἀντίπαλος εἶναι Πλάτωνι.

Εἶτα οὐκ ἦν τοῦ δήμου τοῦ Ἀθηναίων θεραπευτικὸς ὁ Ξανθίππου Περικλῆς; ἐμοὶ μὲν δοκεῖ. ὁσάκις γοῦν ἔμελλεν ἐς τὴν ἐκκλησίαν παριέναι, ηὔχετο μηδὲν αὐτῷ ῥῆμα ἐπιπολάσαι τοιοῦτον, ὅπερ οὖν ἔμελλεν ἐκταράττειν τὸν δῆμον, πρόσαντες αὐτῷ γενόμενον καὶ ἀβούλητον δόξαν.

Διογένης ἔλεγε καὶ τὸν Σωκράτην αὐτὸν τρυφῆσαι· περιεργάσθαι γὰρ καὶ τῷ οἰκιδίῳ καὶ τῷ σκιμποδίῳ καὶ ταῖς βλαύταις δὲ αἴσπερ οὖν ἐχρῆτο Σωκράτης ἔστιν ὅτε.

Ὁ Ζεῦξις ὁ Ἡρακλεώτης ὅτε τὴν Ἑλένην ἔγραφε, πολλὰ ἐχρηματίσατο ἐκ τούτου τοῦ γράμματος· οὐ γὰρ εἰκῇ καὶ ὡς ἔτυχε τοὺς βουλομένους ἀνέδην εἴα ὁρᾶν αὐτήν, ἀλλ' ἔδει ῥητὸν ἀργύριον καταβαλεῖν, εἶτα οὕτω θεάσασθαι. ὡς οὖν μίσθωμα τοῦ Ἡρακλεώτου λαμβάνοντος ὑπὲρ τῆς γραφῆς, ἐκάλουν οἱ τότε Ἕλληνες ἐκείνην τὴν Ἑλένην Ἑταίραν.

Ἐπίκουρος ὁ Γαργήττιος ἐκεκράγει λέγων· ᾧ ὀλίγον οὐχ ἱκανόν, ἀλλὰ τούτῳ γε οὐδὲν ἱκανόν.' ἔλεγε δὲ ἑτοίμως ἔχειν καὶ τῷ Διὶ ὑπὲρ εὐδαιμονίας διαγωνίζεσθαι, μάζαν ἔχων καὶ ὕδωρ. ταῦτα μὲν οὖν ἐν-

Digitized by Google

νοῶν ὁ Ἐπίκουρος τί βουλόμενος ἐπῄνει τὴν ἡδονήν, εἰσόμεθα ἄλλοτε.

14 Πολλάκις τὰ κατ' ὀβολὸν μετὰ πολλῶν πόνων συναχθέντα χρήματα κατὰ τὸν Ἀρχίλοχον εἰς πόρνης γυναικὸς ἕντερον καταρρέει. ὥσπερ γὰρ ἐκεῖνον λαβεῖν μὲν ῥᾴδιον συνέχειν δὲ χαλεπόν, οὕτω καὶ τὰ χρήματα. καὶ Ἀναξαγόρας ἐν τῷ περὶ βασιλείας φησὶ χαλεπὸν χρήματα συναγείρασθαι, χαλεπώτερον δὲ φυλακὴν τούτοις περιθεῖναι.

15 Ἱέρωνά φασι τὸν Σικελίας τύραννον τὰ πρῶτα ἰδιώτην εἶναι καὶ ἀνθρώπων ἀμουσότατον, καὶ τὴν ἀγροικίαν ἀλλὰ μηδὲ κατ' ὀλίγον τοῦ ἀδελφοῦ διαφέρειν τοῦ Γέλωνος· ἐπεὶ δὲ αὐτῷ συνηνέχθη νοσῆσαι, μουσικώτατος ἀνθρώπων ἐγένετο, τὴν σχολὴν τὴν ἐκ τῆς ἀρρωστίας ἐς ἀκούσματα πεπαιδευμένα καταθέμενος. ῥωσθεὶς οὖν Ἱέρων συνῆν Σιμωνίδῃ τῷ Κείῳ καὶ Πινδάρῳ τῷ Θηβαίῳ καὶ Βακχυλίδῃ τῷ Ἰουλιήτῃ. ὁ δὲ Γέλων ἄνθρωπος ἄμουσος.

Μουσικώτατον δὲ λέγουσι καὶ Πτολεμαῖον γενέσθαι τὸν δεύτερον καὶ αὐτὸν νοσήσαντα. λέγει δὲ καὶ Πλάτων τὸν Θεάγην φιλοσοφῆσαι δι' οὐδὲν ἄλλο ἢ διὰ τὴν νοσοτροφίαν· εἴργουσα γὰρ αὐτὸν ἐκείνη τῶν πολιτικῶν συνήλασεν ἐς τὸν τῆς σοφίας ἔρωτα. τίς δὲ οὐκ ἂν νοῦν ἔχων συνηύξατο καὶ Ἀλκιβιάδῃ νόσον καὶ Κριτίᾳ καὶ Παυσανίᾳ τῷ Λακεδαιμονίῳ καὶ ἄλλοις; Ἀλκιβιάδῃ μὲν καὶ Κριτίᾳ, ἵνα μὴ ἀποδράντες Σωκράτους ὃ μὲν ὑβριστὴς γένηται καὶ ποτὲ μὲν φιλολάκων, ποτὲ δὲ βοιωτιάζῃ τὸν τρόπον καὶ αὖ πάλιν θετταλίζῃ καὶ τοῖς Μήδων καὶ Περσῶν ἀρέσκηται ἐν Φαρναβάζου γενόμενος· τυραννικώτατος δὲ καὶ φονικώτατος ὁ Κριτίας γενόμενος καὶ τὴν πατρίδα ἐλύπησε πολλὰ καὶ αὐτὸς μισούμενος τὸν βίον κατέστρεψε.

Digitized by Google

Καὶ Στράτων δὲ ὁ Κορυίγου ἐς δέον ἔοικε νοσῆσαι· εὖ γὰρ γένους ἦκων εὖ δὲ καὶ πλούτου οὐκ ἐγυμνάζετο. καμὼν δὲ τὸν σπλῆνα καὶ θεραπείας δεηθεὶς τῆς ἐκ τῶν γυμνασίων, τὰ μὲν πρῶτα ὅσον ἐς τὸ ὑγιᾶναι ἐχρῆτο αὐτοῖς· χωρῶν δὲ ἐς τὸ πρόσω τῆς τέχνης καὶ ἐν ἔργῳ τιθέμενος αὐτήν, Ὀλυμπίασι μὲν ἐνίκησεν ἡμέρᾳ μιᾷ πάλην καὶ παγκράτιον, καὶ τῇ ἑξῆς Ὀλυμπιάδι, καὶ ἐν Νεμέᾳ δέ, καὶ Πυθοῖ καὶ Ἰσθμοῖ.

Δημοκράτης ὁ παλαιστὴς καὶ αὐτὸς νοσήσας τοὺς πόδας, παριὼν ἐς τοὺς ἀγῶνας καὶ στὰς ἐν τῷ σταδίῳ, περιγράφων ἑαυτῷ κύκλον προσέταττε τοῖς ἀντιπαλαισταῖς ἔξω τῆς γραμμῆς αὐτὸν προέλκειν· οἳ δὲ ἡττῶντο ἀδυνατοῦντες. ὃ δὲ εὖ διαβὰς ἐν τῇ στάσει καὶ ἐγκρατῶς, στεφανούμενος ἀπῄει.

Ἐὰν προσέχῃ τις Καλλίᾳ, φιλοπότην αὐτὸν ἐργάσεται ὁ Καλλίας· ἐὰν Ἰσμηνίᾳ, αὐλητήν· ἀλαζόνα, ἐὰν Ἀλκιβιάδῃ· ὀψοποιόν, ἐὰν Κρωβύλῳ· δεινὸν εἰπεῖν, ἐὰν Δημοσθένει· στρατηγικόν, ἐὰν Ἐπαμεινώνδᾳ· μεγαλόφρονα, ἐὰν Ἀγησιλάῳ· χρηστόν, ἐὰν Φωκίωνι· δίκαιον, ἐὰν Ἀριστείδῃ· σοφόν, ἐὰν Σωκράτει.

Ἐδίδασκε Πυθαγόρας τοὺς ἀνθρώπους ὅτι κρειττόνων γεγένηται σπερμάτων ἢ κατὰ τὴν φύσιν τὴν θνητήν· τῆς γὰρ αὐτῆς ἡμέρας καὶ κατὰ τὴν αὐτὴν ὥραν ὤφθη ἐν Μεταποντίῳ φασὶ καὶ ἐν Κρότωνι. καὶ ἐν Ὀλυμπίᾳ δὲ παρέφηνε χρυσοῦν τὸν ἕτερον τῶν μηρῶν. καὶ Μυλλίαν δὲ τὸν Κροτωνιάτην ὑπέμνησεν ὅτι Μίδας ὁ Γορδίου ἐστὶν ὁ Φρύξ. καὶ τὸν ἀετὸν δὲ τὸν λευκὸν κατέψησεν ὑπομείναντα αὐτόν. ἀλλὰ καὶ ὑπὸ τοῦ Κόσα τοῦ ποταμοῦ διαβαίνων προσερρήθη, τοῦ ποταμοῦ εἰπόντος αὐτῷ 'χαῖρε, Πυθαγόρα.'

Digitized by Google

Ἔλεγε δὲ ἱερώτατον εἶναι τὸ τῆς μελίττης φύλλον. Ἔλεγε δὲ ὅτι πάντων σοφώτατον ὁ ἀριθμός, δεύτερος δὲ ὁ τοὺς χρόγμασι τὰ ὀνόματα θέμενος. καὶ τὸν σαυρὸν ἐγενεαλόγει οὐδὲν ἄλλο εἶναι ἢ σύνοδον τῶν τεθνεώτων. ἡ δὲ Ἶρις, ἔφασκεν, ὡς αὐγὴ τοῦ ἡλίου ἐστί. καὶ ὁ πολλάκις ἐμπίπτων τοῖς ὠσὶν ἦχος φανὴ τῶν χρεττόνων. οὐχ οἷόν τε δὲ ἦν διαφθῆσαι ὑπέρ τινος αὐτῷ ἢ τοῖς λεχθεῖσί τι προσερωτῆσαι, ἀλλ' ὡς χρησμῷ θείῳ, οὕτως οἱ τότε προσείχον τοῖς λεγομένοις ὑπ' αὐτοῦ. ἐπιστρεφομένου δὲ τὰς πόλεις αὐτοῦ διέρρει λόγος ὅτι Πυθαγόρας ἀφίκετο οὐ διδάξων ἀλλ' ἰατρεύσων.

Προσέταττε δὲ ὁ αὐτὸς Πυθαγόρας παρδίας ἐκέχεσθαι καὶ ἀλεκτρυόνος λευκοῦ καὶ τῶν θνησιδίων παντὸς μᾶλλον, καὶ μὴ χρῆσθαι βαλανείῳ μηδὲ βαδίζειν τὰς λεωφόρους· ἄδηλον γὰρ εἰ καθαρεύουσι καὶ αὐτὰ ἐκεῖνα.

18 Ὅτε κατῆλθε Πλάτων ἐν Σικελίᾳ πλφύς, πολλὰ ἐπὶ πολλοῖς ἐπιστείλαντος τοῦ Διονυσίου, καὶ ἀνήγαγεν αὐτὸν ἐπὶ τὸ ἅρμα ὁ Διονύσιος, αὐτὸς μὲν ἡνιοχῶν, παραιβάτην δὲ ποιησάμενος τὸν Ἀρίστωνος, τότε δή φασι Συρακόσιον ἄνδρα χαρίεντα καὶ τῶν Ὁμήρου μὴ ἀπαίδευτον, ἡσθέντα τῇ ὄψει τανύῃ ἐπεπεῖν τὰ ἐξ Ἰλιάδος ἐκεῖνα, παρατρέφαντα ὀλίγον

μέγα δ' ἔβραχε φήγινος ἄξων
βριθοσύνῃ· δεινὸν γὰρ ἄγεν βροτὸν ἄνδρα τ' ἄριστον.

Ὅτι ὑπόπτης ὢν ἐς πάντας ὁ Διονύσιος, ὅμως ἐς Πλάτωνα τοσαύτην ἔσχεν αἰδῶ, ὡς ἐκεῖνον μόνον ἰέναι πρὸς αὐτὸν μὴ ἐρευνώμενον, καίτοι Δίωνος υἱὸν ἐπιστάμενος ἑταῖρον ἐς τὰ ἔσχατα εἶναι.

Φίλιππος ὁ Μακεδὼν οὐ μόνον ἐλέγετο τὰ πολέ-

Digitized by Google

μια εἶναι ἀγαθὸς καὶ εἰπεῖν δεινός, ἀλλὰ καὶ παιδείαν ἀνδρειότατα ἐτίμα. Ἀριστοτέλει γοῦν χορηγήσας πλοῦτον ἀνενδεῆ, αἴτιος γέγονε πολλῆς καὶ ἄλλης πολυπειρίας, ἀτὰρ οὖν καὶ τῆς γνώσεως τῆς κατὰ τὰ ζῷα· καὶ τὴν ἱστορίαν αὐτῶν ὁ τοῦ Νικομάχου διὰ τὴν ἐκ Φιλίππου περιουσίαν ἐκαρπώσατο. καὶ Πλάτωνα δὲ ἐτίμησε καὶ Θεόφραστον.

Δημόκριτον τὸν Ἀβδηρίτην λόγος ἔχει τά τε ἄλλα γενέσθαι σοφὸν καὶ δὴ καὶ ἐπιθυμῆσαι λαθεῖν, καὶ ἐν ἔργῳ θέσθαι πάνυ σφόδρα τοῦτο. διὰ ταῦτά τοι καὶ πολλὴν ἐπῆλθε γῆν. ἦκεν οὖν καὶ πρὸς τοὺς Χαλδαίους ἐς Βαβυλῶνα καὶ πρὸς τοὺς μάγους καὶ τοὺς σοφιστὰς τῶν Ἰνδῶν. τὴν παρὰ τοῦ Δαμασίππου τοῦ πατρὸς οὐσίαν ἐς τρία μέρη νεμηθεῖσαν τοῖς ἀδελφοῖς τοῖς τρισί, τἀργύριον μόνον λαβὼν ἐφόδιον τῆς ὁδοῦ, τὰ λοιπὰ τοῖς ἀδελφοῖς εἴασε. διὰ ταῦτά τοι καὶ Θεόφραστος αὐτὸν ἐπῄνει, ὅτι περιῆει κρείττονα ἀγερμὸν ἀγείρων Μενέλεω καὶ Ὀδυσσέως. ἐκεῖνοι μὲν γὰρ ἠλῶντο, αὐτόχρημα Φοινίκων ἐμπόρων μηδὲν διαφέροντες· χρήματα γὰρ ἤθροιζον, καὶ τῆς περιόδου καὶ τοῦ περίπλου ταύτην εἶχον τὴν πρόφασιν.

Ὅτι οἱ Ἀβδηρῖται ἐκάλουν τὸν Δημόκριτον Φιλοσοφίαν, τὸν δὲ Πρωταγόραν Λόγον. κατεγέλα δὲ πάντων ὁ Δημόκριτος καὶ ἔλεγεν αὐτοὺς μαίνεσθαι· ὅθεν καὶ Γελασῖνον αὐτὸν ἐκάλουν οἱ πολῖται. λέγουσι δὲ οἱ αὐτοὶ τὸν Ἱπποκράτην περὶ τὴν πρώτην ἔντευξιν ὑπὲρ τοῦ Δημοκρίτου δόξαν λαβεῖν ὡς μαινομένου· προτούσης δὲ αὐτοῖς τῆς συνουσίας ἐς ὑπερβολὴν θαυμάσαι τὸν ἄνδρα. λέγουσι δὲ Δωριέα ὄντα τὸν Ἱπποκράτην ἀλλ' οὖν τὴν τοῦ Δημοκρίτου χάριν τῇ Ἰάδι φωνῇ συγγράψαι τὰ συγγράμματα.

Ὅτι παιδικὰ ἐγένετο Σωκράτους μὲν Ἀλκιβιάδης,

Digitized by Google

Πλάτωνος δὲ Λίων. ὁ μέντοι Λίων καὶ ἀπώνητό τι τοῦ ἀραστοῦ.

22 Οἱ πάλαι Ἀθηναῖοι ἀλουργῆ μὲν ἠμπείχοντο ἱμάτια, ποικίλους δὲ ἐνέδυνον χιτῶνας· κορύμβους δὲ ἀναδούμενοι τῶν ἐν τῇ κεφαλῇ τριχῶν, χρυσοῦς ἐνείροντες αὐταῖς τέττιγας καὶ κόσμον ἄλλον πρόσθετον περιαπτόμενοι χρυσοῦ προήεσαν. καὶ ὁπλαδίας αὐτοῖς δίφρους οἱ παῖδες ὑπέφερον, ἵνα μὴ καθίζωσιν ἑαυτοὺς εἰκῇ καὶ ὡς ἔτυχε. τοιοῦτοι δὲ ὄντες τὴν ἐν Μαραθῶνι μάχην ἐνίκησαν.

23 Ὅτι Περικλέα καὶ Καλλίαν τὸν Ἱππονίκου καὶ Νικίαν τὸν Περγασῆθεν τὸ ἀσωτεύεσθαι καὶ ὁ πρὸς ἡδονὴν βίος ἐς ἀπορίαν περιέστησεν· ἐπεὶ γὰρ ἐπέλιπε τὰ χρήματα αὐτούς, οἱ τρεῖς κώνειον τελευταίαν πρόποσιν ἀλλήλοις προπιόντες ὥσπερ οὖν ἐκ συμποσίου ἀπελύσαντο.

24 Λεωπρέπης ὁ Κεῖος ὁ τοῦ Σιμωνίδου πατὴρ ἔτυχέ ποτε ἐν παλαίστρᾳ καθήμενος· εἶτα μειράκια πρὸς ἀλλήλους οἰκείως διακείμενα ἤρετο τὸν ἄνδρα πῶς ἂν αὐτοῖς ἡ φιλία διαμένοι μάλιστα. ὃ δὲ εἶπεν ‘ἐὰν ταῖς ἀλλήλων ὀργαῖς ἐξίστασθε καὶ μὴ ὁμόσε χωροῦντες τῷ θυμῷ, εἶτα παροξύνητε ἀλλήλους κατ’ ἀλλήλων.’

25 Θράσυλλος ὁ Αἰξωνεὺς παράδοξον καὶ καινὴν ἐνύσησε μανίαν. ἀπολιπὼν γὰρ τὸ ἄστυ καὶ κατελθὼν ἐς τὸν Πειραιᾶ καὶ ἐνταῦθα οἰκῶν τὰ πλοῖα τὰ καταίροντα ἐν αὐτῷ πάντα ἑαυτοῦ ἐνόμιζεν εἶναι, καὶ ἀπεγράφετο αὐτὰ καὶ αὖ πάλιν ἐξέπεμπε καὶ τοῖς περισωζομένοις καὶ ἐσιοῦσιν ἐς τὸν λιμένα ὑπερέχαιρε· χρόνους δὲ διετέλεσε πολλοὺς συνοικῶν τῷ ἀρρωστήματι τούτῳ. ἐκ Σικελίας δὲ ἀναχθεὶς ὁ ἀδελφὸς αὐτοῦ παρέδωκεν αὐτὸν ἰατρῷ ἰάσασθαι, καὶ ἔπαυσεν

Digitized by Google

αὐτὸν τῆς νόσου οὗτος. ἐμέμνητο δὲ πολλάκις τῆς ἐν μανίᾳ διατριβῆς, καὶ ἔλεγε μηδέποτε ἡσθῆναι τοσοῦτον, ὅσον τότε ἥδετο ἐπὶ ταῖς μηδὲν αὐτῷ προσηκούσαις νανσὶν ἀποσωζομέναις.

Ξάνθος ὁ ποιητὴς τῶν μελῶν (ἐγένετο δὲ οὗτος 26
πρεσβύτερος Στησιχόρου τοῦ Ἰμεραίου) λέγει τὴν Ἠλέκτραν τοῦ Ἀγαμέμνονος οὐ τοῦτο ἔχειν τοὔνομα πρῶτον ἀλλὰ Λαοδίκην. ἐπεὶ δὲ Ἀγαμέμνων ἀνῃρέθη, τὴν δὲ Κλυταιμνήστραν ὁ Αἴγισθος ἔγημε καὶ ἐβασίλευσεν, ἄλεκτρον οὖσαν καὶ καταγηρῶσαν παρθένον Ἀργεῖοι Ἠλέκτραν ἐκάλεσαν διὰ τὸ ἀμοιρεῖν ἀνδρὸς καὶ μὴ πεπειρᾶσθαι λέκτρου.

Ὅτι Παμφάης ὁ Πριηνεὺς Κροίσῳ τῷ Λυδῷ, τοῦ 27
πατρὸς αὐτοῦ περιόντος, τριάκοντα μνᾶς ἐδωρήσατο. παραλαβὼν δὲ τὴν ἀρχὴν μεστὴν ἅμαξαν ἀργυρίου ἀπέπεμψεν αὐτῷ.

Ὅτι Διογένης λαβὼν παρὰ Διοτίμου τοῦ Καρυστίου νόμισμα ὀλίγον ἔφη

σοὶ δὲ θεοὶ τόσα δοῖεν ὅσα φρεσὶ σῇσι μενοινᾷς,
ἄνδρα τε καὶ οἶκον.

ἐδόκει δέ πως ὁ Διότιμος μαλθακώτερος εἶναι.

Φερεκύδης ὁ Σύριος τὸν βίον ἀλγεινότατα ἀνθρώ- 28
πων κατέστρεψε, τοῦ παντὸς αὐτῷ σώματος ὑπὸ φθειρῶν ἀναλωθέντος· καὶ γενομένης αὐτῷ αἰσχρᾶς τῆς ὄψεως τὴν ἐκ τῶν συνήθων ἐξέκλινε συνουσίαν. ὁπότε δέ τις προσελθὼν ἐπυνθάνετο ὅπως διάγοι, διὰ τῆς ὀπῆς τῆς κατὰ τὴν θύραν διείρας τὸν δάκτυλον ψιλὸν γεγονότα τῆς σαρκὸς ἐπέλεγεν οὕτω διακεῖσθαι καὶ τὸ πᾶν αὐτοῦ σῶμα. λέγουσι δὲ Δηλίων παῖδες τὸν θεὸν τὸν ἐν Δήλῳ μηνίσαντα αὐτῷ τοῦτο ποιῆσαι. καθήμενον γὰρ ἐν Δήλῳ μετὰ τῶν μαθητῶν ἄλλα τε πολλὰ φασι περὶ τῆς ἑαυτοῦ σοφίας εἰπεῖν

Digitized by Google

καὶ δὴ καὶ τοῦτο, μηδενὶ τῶν θεῶν θῦσαι, καὶ ὅμως οὐδὲν ἧττον ἡδέως βεβιωκέναι καὶ ἀλύπως, οὐ μεῖον τῶν ἑκατόμβας καταθυόντων. ὑπὲρ ταύτης οὖν τῆς κουφολογίας βαρυτάτην ζημίαν ἐξέτισεν.

29 Οὐ γὰρ δὴ δύναμαι πείθειν ἐμαυτὸν μὴ γελᾶν ἐπ' Ἀλεξάνδρῳ τῷ Φιλίππου, εἴ γε ἀπείρους ἀκούων εἶναί τινας κόσμους λέγοντος Δημοκρίτου ἐν τοῖς συγγράμμασιν ὃ δὲ ἠνιᾶτο μηδὲ τοῦ ἑνὸς καὶ κοινοῦ κρατῶν. πόσον δ' ἂν ἐπ' αὐτῷ Δημόκριτος ἐγέλασεν αὐτός, τί δεῖ καὶ λέγειν, ᾧ ἔργον τοῦτο ἦν;

Ε

1 Ταχὼς ὁ Αἰγύπτιος ἕως μὲν ἐχρῆτο τῇ ἐπιχωρίᾳ διαίτῃ καὶ εὐτελῶς διεβίω, ὑγιεινότατα ἀνθρώπων διῆγεν· ἐπεὶ δὲ ἐς Πέρσας ἀφίκετο καὶ ἐς τὴν ἐκείνων τρυφὴν ἐξέπεσε, τὸ ἄηθες τῶν σιτίων οὐκ ἐνεγκών, ὑπὸ δυσεντερίας τὸν βίον κατέστρεψε, τῆς τρυφῆς ἀλλαξάμενος θάνατον.

2 Ὅτι Φερεκύδης ὁ Πυθαγόρου διδάσκαλος ἐμπεσὼν ἐς τὴν ἀρρωστίαν πρῶτον μὲν ἵδρου ἱδρῶτα θερμὸν ἐξέδη ὅμοιον ὡς μύξαις, ὕστερον δὲ θηριώδη, μετὰ δὲ ἐφθειρίασε. καὶ διαλυομένων τῶν σαρκῶν ἐς τοὺς φθεῖρας ἐπεγένετο τῆξις, καὶ οὕτω τὸν βίον μετήλλαξεν.

3 Ἀριστοτέλης τὰς νῦν Ἡρακλείους στήλας καλουμένας, πρὶν ἢ κληθῆναι τοῦτο, φησὶ Βριάρεω καλεῖσθαι αὐτάς· ἐπεὶ δ' ἐπάθηρε γῆν καὶ θάλατταν Ἡρακλῆς καὶ ἀναμφιλόγως εὐεργέτης ἐγένετο τῶν ἀνθρώπων,

Digitized by Google

τιμῶντες αὐτὸν τὴν μὲν Βριάρεω μνήμην παρ' οὐδὲν ἐποιήσαντο, Ἡρακλείους δὲ προσηγόρευσαν.

Ὅτι ἀναθῆλαι λόγος ἐστὶ Δήλιος φυτὰ ἐν Δήλῳ 4
ἐλαίαν καὶ φοίνικα, ὧν ἁψαμένην τὴν Λητὼ εὐθὺς
ἀποκυῆσαι, τέως οὐ δυναμένην τοῦτο δρᾶσαι. 5

Ἐπαμεινώνδας ἕνα εἶχε τρίβωνα, καὶ αὐτὸν φυ- 5
πῶντα· εἴ ποτε δὲ αὐτὸν ἔδωκεν ἐς γναφεῖον, αὐτὸς
ὑπέμενεν οἴκοι δι' ἀπορίαν ἑτέρου. ἐν δὴ τούτοις τῆς
περιουσίας ὢν, τοῦ Περσῶν βασιλέως πέμψαντος
αὐτῷ πολὺ χρυσίον, οὐ προσήκατο· καὶ εἴ τι ἐγὼ 10
νοῶ, μεγαλοφρονέστερος ἦν τοῦ διδόντος ὁ μὴ λαβών.

Ἄξιον δὲ καὶ τὸ Καλανοῦ τοῦ Ἰνδοῦ τέλος ἐπαινέ- 6
σαι· ἄλλος δ' ἂν εἶπεν ὅτι καὶ ἀγασθῆναι. ἐγένετο
δὲ τοιοῦτον. Καλανὸς ὁ Ἰνδῶν σοφιστὴς μακρὰ χαί-
ρειν φράσας Ἀλεξάνδρῳ καὶ Μακεδόσι καὶ τῷ βίῳ, 15
ὅτε ἐβουλήθη ἀπολῦσαι αὐτὸν ἐκ τῶν τοῦ σώματος
δεσμῶν, ἐνένηστο μὲν ἡ πυρὰ ἐν τῷ καλλίστῳ προ-
αστείῳ τῆς Βαβυλῶνος, καὶ ἦν τὰ ξύλα αὖα καὶ πρὸς
εὐωδίαν εὖ μάλα ἐπίλεκτα κέδρου καὶ θύου καὶ κυ-
παρίττου καὶ μυρσίνης καὶ δάφνης· αὐτὸς δὲ γυμνα- 20
σάμενος γυμνάσιον τὸ εἰωθὸς (ἦν δὲ αὐτὸ δρόμος),
ἀνελθὼν ἐπὶ μέσης τῆς πυρᾶς ἕστη ἐστεφανωμένος
καλάμου κόμῃ. καὶ ὁ μὲν ἥλιος αὐτὸν προσέβαλ-
λεν, ὃ δὲ αὐτὸν προσεκύνει, καὶ τοῦτο ἦν τὸ σύνθημα
ἐς τὸ ἐξάπτειν τὴν πυρὰν τοῖς Μακεδόσι. καὶ τὸ 25
μὲν δέδρατο, ὃ δὲ περιληφθεὶς ὑπὸ τῆς φλογὸς ἀτρέ-
πτως εἱστήκει, καὶ οὐ πρότερον ἀνετράπη πρὶν ἢ
διελύθη. ἐνταῦθά φασιν ἐκπλαγῆναι καὶ τὸν Ἀλέ-
ξανδρον καὶ εἰπεῖν ὅτι μείζονας ἀντιπάλους αὐτοῦ
Καλανὸς κατηγωνίσατο. ὃ μὲν γὰρ πρὸς Πῶρον καὶ 30
Ταξίλην καὶ Δαρεῖον διήθλησεν, ὁ δὲ Καλανὸς πρὸς
τὸν πόνον καὶ τὸν θάνατον.

Digitized by Google

Οἱ μὲν Σκύθαι περὶ τὴν ἑαυτῶν πλανῶνται· Ἀνάχαρσις δὲ ἄτε ἀνὴρ σοφὸς καὶ περαιτέρω προήγαγε τὴν πλάνην. ἦκε γοῦν ἐς τὴν Ἑλλάδα, καὶ ὁ Σόλων ἐθαύμασεν αὐτόν.

8 Τὰ σκώμματα καὶ αἱ λοιδορίαι οὐδέν μοι δοκεῖ
5 δύνασθαι. ἐὰν γὰρ στερρᾶς γνώμης λάβηται, καταλέλυται· ἐὰν δὲ ἀγεννοῦς καὶ ταπεινῆς, ἴσχυσε καὶ οὐ μόνον ἐλύπησε πολλάκις, ἀλλὰ καὶ ἀπέκτεινε. τούτων ἀπόδειξις ἐκεῖνα ἔστω, Σωκράτης μὲν κωμῳδούμενος ἐγέλα, Πολίαγρος δὲ ἀπήγξατο.

9 Ἀριστοτέλης ἀσωτευσάμενος τὰ ἐκ τοῦ πατρὸς χρήματα ὥρμησεν ἐπὶ στρατείαν, εἶτα ἀπαλλάττων κακῶς ἐν τούτῳ φαρμακοπώλης ἀνεφάνη. παρεσρυεὶς δὲ ἐς τὸν Περίπατον καὶ παρακούων τῶν λόγων, ἀμεί-
15 νων πεφυκὼς πολλῶν εἶτα ἕξιν περιεβάλετο, ἣν μετὰ ταῦτα ἐκτήσατο.

10 Νηίτην στόλον Ἀθηναῖοι εἰργάζοντο ἑαυτοῖς ἀεὶ φιλοπόνως. κατὰ χρόνους δὲ τὰ μὲν κατορθοῦντες τὰ δὲ ἡττώμενοι ἀπώλεσαν τριήρεις μὲν ἐν Λιγύπτῳ
20 διακοσίας σὺν τοῖς πληρώμασι, περὶ Κύπρον δὲ πεντήκοντα καὶ ἑκατόν, ἐν Σικελίᾳ τετταράκοντα καὶ διακοσίας, ἐν δὲ Ἑλλησπόντῳ διακοσίας. ὁπλῖται δὲ ἀπώλοντο αὐτοῖς ἐν Σικελίᾳ μυριάδες τέτταρες, χίλιοι δὲ ἐν Χαιρωνείᾳ.

11 Ὁ Θρᾳκῶν βασιλεὺς (τὸ δὲ ὄνομα λεγέτω ἄλλος),
25 ὅτε ὁ Ξέρξης ἐπὶ τὴν Ἑλλάδα ἐστράτευσεν, ἐς Ῥοδόπην τὸ ὄρος ἀπέβα, τοῖς δὲ ἓξ παισὶν αὐτοῦ συνεβούλευε μὴ στρατεύειν ἐπὶ τὴν Ἑλλάδα. οἱ δὲ οὐκ ἐπείσθησαν· ὑποστρέψαντας δὲ αὐτοὺς πάντας ἐξετύ-
30 φλωσε, μὴ ποιήσας Ἑλληνικά.

12 Οὐ δύναμαι δὲ Ἀθηναίων μὴ οὐ φιλεῖν ταῦτα. ἐκκλησίας οὔσης Ἀθηναίοις παρελθὼν ὁ Δημάδης

Digitized by Google

ἐψηφίσατο θεὸν τὸν Ἀλέξανδρον τρισκαιδέκατον. τῆς δὲ ἀσεβείας ὁ δῆμος τὸ ὑπερβάλλον μὴ ἐνεγκών, ζημίαν ἐτιμήσαντο τῷ Δημάδῃ ταλάντων ἑκατόν, ὅτι θνητὸν δὴ τὸν Ἀλέξανδρον ὄντα ἐνέγραψε τοῖς Ὀλυμπίοις.

Ἦσαν δὲ ἄρα Ἀθηναῖοι δεινῶς ἐς τὰς πολιτείας 13
εὐτράπελοι καὶ ἐκιτήδειοι πρὸς τὰς μεταβολὰς παντὸς μᾶλλον. βασιλείαν μὲν γὰρ ἤνεγκαν σωφρόνως ἐπὶ Κέκροπος καὶ Ἐρεχθέως καὶ Θησέως καὶ τῶν Κοδριδῶν κάτω, τυραννίδος δὲ ἐπειράθησαν ἐπὶ τῶν Πεισιστρατιδῶν, ἀριστοκρατίᾳ δὲ ἐχρήσαντο μέχρι τῶν τετρακοσίων· εἶτα ὕστερον δέκα τῶν πολιτῶν καθ' ἕκαστον ἔτος ἦρχον τῆς πόλεως, τελευταῖον δὲ ἐγένετο ἀναρχία περὶ τὴν τῶν τριάκοντα κατάστασιν. ταύτην δὲ τὴν οὕτως ἀγχίστροφον μεταβολὴν τοῦ τρόπου εἰ ἐπαινεῖν χρή, ἀλλὰ ἔγωγε τοῦτο οὐκ οἶδα.

Νόμος καὶ οὗτος Ἀττικός. ὃς ἂν ἀτάφῳ περιτύχῃ 14
σώματι ἀνθρώπου, πάντως ἐπιβάλλειν αὐτῷ γῆν, θάπτειν δὲ πρὸς δυσμὰς βλέποντας. καὶ τοῦτο δὲ ἦν φυλαττόμενον παρ' αὐτοῖς. βοῦν ἀρότην καὶ ὑπὸ ζυγὸν πονήσαντα σὺν ἀρότρῳ ἢ καὶ σὺν τῇ ἁμάξῃ, μηδὲ τοῦτον θύειν, ὅτι καὶ οὗτος εἴη ἂν γεωργὸς καὶ τῶν ἐν ἀνθρώποις καμάτων κοινωνός.

Ὅτι δικαστήρια ἦν Ἀττικὰ περὶ μὲν τῶν ἐκ προ- 15
νοίας ἀποκτεινάντων ἐν Ἀρείῳ πάγῳ, περὶ δὲ τῶν ἀκουσίως ἐπὶ Παλλαδίῳ· περὶ δὲ τῶν κτεῖναι μὲν ὁμολογούντων, ἀμφισβητούντων δὲ ὅτι δικαίως, ἐπὶ Δελφινίῳ ἐγίνοντο αἱ εὐθῦναι.

Ὅτι ἐκ τοῦ τῆς Ἀρτέμιδος στεφάνου πέταλον χρυ- 16
σοῦν ἐκπεσὸν ἀνείλετο παιδίον, οὐ μὴν ἔλαθεν. οἱ οὖν δικασταὶ παίγνια καὶ ἀστραγάλους προύθηκαν τῷ παιδὶ καὶ τὸ πέταλον· ὃ δὲ καὶ αὖθις ἐπὶ τὸν χρυσὸν

Digitized by Google

κατηνέχθη. καὶ διὰ ταῦτα ἀπέκτειναν αὐτὸν ὡς θεοσύλην, οὐ δόντες συγγνώμην τῇ ἡλικίᾳ, ἀλλὰ τιμωρησάμενοι διὰ τὴν πρᾶξιν.

17 Ὅτι τοσοῦτον ἦν Ἀθηναίοις δεισιδαιμονίας, εἴ τις πρινίδιον ἐξέκοψεν ἐξ ἠρῴου, ἀπέκτεινον αὐτόν. ἀλλὰ καὶ Ἀτάρβην, ὅτι τοῦ Ἀσκληπιοῦ τὸν ἱερὸν στρουθὸν ἀπέκτεινε πατάξας, οὐκ ἀργῶς τοῦτο Ἀθηναῖοι παρεῖδον, ἀλλ' ἀπέκτειναν Ἀτάρβην, καὶ οὐκ ἔδοσαν οὔτε ἀγνοίας συγγνώμην οὔτε μανίας, πρεσβύτερα τούτων ἀμφοτέρων τὰ τοῦ θεοῦ ποιησάμενοι. ἐλέγετο γὰρ ἀκουσίως οἱ δὲ μεμηνὼς τοῦτο δρᾶσαι.

18 Ἡ ἐξ Ἀρείου πάγου βουλὴ ἐπεί τινα φαρμακίδα συνέλαβον καὶ ἔμελλον θανατώσειν, οὐ πρότερον αὐτὴν ἀπέκτειναν πρὶν ἢ ἀπεκύησεν· ὅτε γὰρ συνελήφθη, ἔκυε. τὸ ἀναίτιον οὖν βρέφος ἀναλύοντες τῆς καταδίκης, τὴν αἰτίαν μόνην ἐδικαίωσαν τῷ θανάτῳ.

19 Αἰσχύλος ὁ τραγῳδὸς ἐκρίνετο ἀσεβείας ἐπί τινι δράματι. ἑτοίμων οὖν ὄντων Ἀθηναίων βάλλειν αὐτὸν λίθοις, Ἀμεινίας ὁ νεώτερος ἀδελφὸς διακαλυψάμενος τὸ ἱμάτιον ἔδειξε τὸν πῆχυν ἔρημον τῆς χειρός. ἔτυχε δὲ ἀριστεύων ἐν Σαλαμῖνι ὁ Ἀμεινίας ἀποβεβληκὼς τὴν χεῖρα, καὶ πρῶτος Ἀθηναίων τῶν ἀριστείων ἔτυχεν. ἐπεὶ δὲ εἶδον οἱ δικασταὶ τοῦ ἀνδρὸς τὸ πάθος, ὑπεμνήσθησαν τῶν ἔργων αὐτοῦ, καὶ ἀφῆκαν τὸν Αἰσχύλον.

20 Ταραντίνων πολιορκουμένων ὑπὸ Ἀθηναίων καὶ μελλόντων ἁλῶναι λιμῷ οἱ Ῥηγῖνοι ἐψηφίσαντο μίαν ἡμέραν ἐν ταῖς δέκα νηστεύειν καὶ ἐκείνης τὰς τροφὰς ἐκχωρῆσαι Ταραντίνοις. ἀποστάντων οὖν αὐτῶν ἐσώθησαν, καὶ μεμνημένοι τοῦ πάθους ἑορτὴν ἄγουσι τὴν καλουμένην Νηστείαν οἱ Ταραντῖνοι.

21 Λέγει τις λόγος τὴν φήμην τὴν κατὰ τῆς Μηδείας

Digitized by Google

ἐψηφίσατο θεὸν τὸν Ἀλέξανδρον τρισκαιδέκατον. τῆς δὲ ἀσεβείας ὁ δῆμος τὸ ὑπερβάλλον μὴ ἐνεγκών, ζημίαν ἐτιμήσαντο τῷ Δημάδῃ ταλάντων ἑκατόν, ὅτι θνητὸν δὴ τὸν Ἀλέξανδρον ὄντα ἐνέγραψε τοῖς Ὀλυμπίοις.

Ἦσαν δὲ ἄρα Ἀθηναῖοι δεινῶς ἐς τὰς πολιτείας 13
αὐτράπελοι καὶ ἐπιτήδειοι πρὸς τὰς μεταβολὰς παντὸς μᾶλλον. βασιλείαν μὲν γὰρ ἤνεγκαν σωφρόνως ἐπὶ Κέκροπος καὶ Ἐρεχθέως καὶ Θησέως καὶ τῶν Κοδριδῶν κάτω, τυραννίδος δὲ ἐπειράθησαν ἐπὶ τῶν Πεισιστρατιδῶν, ἀριστοκρατίᾳ δὲ ἐχρήσαντο μέχρι τῶν τετρακοσίων· εἶτα ὕστερον δέκα τῶν πολιτῶν καθ' ἕκαστον ἔτος ἦρχον τῆς πόλεως, τελευταῖον δὲ ἐγένετο ἀναρχία περὶ τὴν τῶν τριάκοντα κατάστασιν. ταύτην δὲ τὴν οὕτως ἀγχίστροφον μεταβολὴν τοῦ τρόπου εἰ ἐπαινεῖν χρή, ἀλλὰ ἔγωγε τοῦτο οὐκ οἶδα.

Νόμος καὶ οὗτος Ἀττικός. ὃς ἂν ἀτάφῳ περιτύχῃ 14
σώματι ἀνθρώπου, πάντως ἐπιβάλλειν αὐτῷ γῆν, θάπτειν δὲ πρὸς δυσμὰς βλέποντας. καὶ τοῦτο δὲ ἦν φυλαττόμενον παρ' αὐτοῖς. βοῦν ἀρότην καὶ ὑπὸ ζυγὸν πονήσαντα σὺν ἀρότρῳ ἢ καὶ σὺν τῇ ἁμάξῃ, μηδὲ τοῦτον θύειν, ὅτι καὶ οὗτος εἴη ἂν γεωργὸς καὶ τῶν ἐν ἀνθρώποις καμάτων κοινωνός.

Ὅτι δικαστήρια ἦν Ἀττικὰ περὶ μὲν τῶν ἐκ προ- 15
νοίας ἀποκτεινάντων ἐν Ἀρείῳ πάγῳ, περὶ δὲ τῶν ἀκουσίως ἐπὶ Παλλαδίῳ· περὶ δὲ τῶν κτεῖναι μὲν ὁμολογούντων, ἀμφισβητούντων δὲ ὅτι δικαίως, ἐπὶ Δελφινίῳ ἐγίνοντο αἱ εὐθῦναι.

Ὅτι ἐκ τοῦ τῆς Ἀρτέμιδος στεφάνου πέταλον χρυ- 16
σοῦν ἐκπεσὸν ἀνείλετο παιδίον, οὐ μὴν ἔλαθεν. οἱ οὖν δικασταὶ παίγνια καὶ ἀστραγάλους προύθηκαν τῷ παιδὶ καὶ τὸ πέταλον· ὃ δὲ καὶ αὖθις ἐπὶ τὸν χρυσὸν

Digitized by Google

κατηνέχθη. καὶ διὰ ταῦτα ἀπέκτειναν αὐτὸν ὡς θεοσύλην, οὐ δόντες συγγνώμην τῇ ἡλικίᾳ, ἀλλὰ τιμωρησάμενοι διὰ τὴν πρᾶξιν.

17 Ὅτι τοσοῦτον ἦν Ἀθηναίοις δεισιδαιμονίας, εἴ τις πρινίδιον ἐξέκοψεν ἐξ ἠρῴου, ἀπέκτεινον αὐτόν. ἀλλὰ καὶ Ἀτάρβην, ὅτι τοῦ Ἀσκληπιοῦ τὸν ἱερὸν στρουθὸν ἀπέκτεινε πατάξας, οὐκ ἀργῶς τοῦτο Ἀθηναῖοι παρεῖδον, ἀλλ' ἀπέκτειναν Ἀτάρβην, καὶ οὐκ ἔδοσαν οὔτε ἀγνοίας συγγνώμην οὔτε μανίας, πρεσβύτερα τούτων ἀμφοτέρων τὰ τοῦ θεοῦ ποιησάμενοι. ἐλέγετο γὰρ ἀκουσίως οἱ δὲ μεμηνὼς τοῦτο δρᾶσαι.

18 Ἡ ἐξ Ἀρείου πάγου βουλὴ ἐπεί τινα φαρμακίδα συνέλαβον καὶ ἔμελλον θανατώσειν, οὐ πρότερον αὐτὴν ἀπέκτειναν πρὶν ἢ ἀπεκύησεν· ὅτε γὰρ συνελήφθη, ἔκυε. τὸ ἀναίτιον οὖν βρέφος ἀναλύοντες τῆς καταδίκης, τὴν αἰτίαν μόνην ἐδικαίωσαν τῷ θανάτῳ.

19 Αἰσχύλος ὁ τραγῳδὸς ἐκρίνετο ἀσεβείας ἐπί τινι δράματι. ἑτοίμων οὖν ὄντων Ἀθηναίων βάλλειν αὐτὸν λίθοις, Ἀμεινίας ὁ νεώτερος ἀδελφὸς διακαλυψάμενος τὸ ἱμάτιον ἔδειξε τὸν πῆχυν ἔρημον τῆς χειρός. ἔτυχε δὲ ἀριστεύων ἐν Σαλαμῖνι ὁ Ἀμεινίας ἀποβεβληκὼς τὴν χεῖρα, καὶ πρῶτος Ἀθηναίων τῶν ἀριστείων ἔτυχεν. ἐπεὶ δὲ εἶδον οἱ δικασταὶ τοῦ ἀνδρὸς τὸ πάθος, ὑπεμνήσθησαν τῶν ἔργων αὐτοῦ, καὶ ἀφῆκαν τὸν Αἰσχύλον.

20 Ταραντίνων πολιορκουμένων ὑπὸ Ἀθηναίων καὶ μελλόντων ἁλῶναι λιμῷ οἱ Ῥηγῖνοι ἐψηφίσαντο μίαν ἡμέραν ἐν ταῖς δέκα νηστεύειν καὶ ἐκείνης τὰς τροφὰς ἐκχωρῆσαι Ταραντίνοις. ἀποστάντων οὖν αὐτῶν ἐσώθησαν, καὶ μεμνημένοι τοῦ πάθους ἑορτὴν ἄγουσι τὴν καλουμένην Νηστείαν οἱ Ταραντῖνοι.

21 Λέγει τις λόγος τὴν φήμην τὴν κατὰ τῆς Μηδείας

Digitized by Google

ψευδῆ εἶναι· μὴ γὰρ αὐτὴν ἀποκτεῖναι τὰ τέκνα ἀλλὰ Κορινθίους. τὸ δὲ μυθολόγημα τοῦτο ὑπὲρ τῆς Κολχίδος καὶ τὸ δρᾶμα Εὐριπίδην φασὶ διαπλάσαι δεηθέντων Κορινθίων, καὶ ἐπικρατῆσαι τοῦ ἀληθοῦς τὸ ψεῦδος διὰ τὴν τοῦ ποιητοῦ ἀρετήν. ὑπὲρ δὲ τοῦ τολμήματός φασι τῶν παίδων μέχρι τοῦ νῦν ἐναγίζουσι τοῖς παισὶ Κορίνθιοι, οἱονεὶ δασμὸν τούτοις ἀποδιδόντες.

ς

'Αθηναῖοι κρατήσαντες Χαλκιδέων κατεκληρούχησαν αὐτῶν τὴν γῆν ἐς δισχιλίους κλήρους, τὴν Ἱππόβοτον καλουμένην χώραν, τεμένη δὲ ἀνῆκαν τῇ Ἀθηνᾷ ἐν τῷ Ληλάντῳ ὀνομαζομένῳ τόπῳ, τὴν δὲ λοιπὴν ἐμίσθωσαν κατὰ τὰς στήλας τὰς πρὸς τῇ βασιλείῳ στοᾷ ἑστηκυίας, αἵπερ οὖν τὰ τῶν μισθώσεων ὑπομνήματα εἶχον. τοὺς δὲ αἰχμαλώτους ἔδησαν, καὶ οὐδὲ ἐνταῦθα ἔσβεσαν τὸν κατὰ Χαλκιδέων θυμόν.

Λακεδαιμόνιοι Μεσσηνίων κρατήσαντες τῶν μὲν γινομένων ἁπάντων ἐν τῇ Μεσσηνίᾳ τὰ ἡμίση ἐλάμβανον αὐτοί, καὶ τὰς γυναῖκας τὰς ἐλευθέρας ἐς τὰ κένθη βαδίζειν ἠνάγκαζον καὶ τοὺς ἀλλοτρίους καὶ μηδέν σφισι προσήκοντας νεκροὺς κλάειν· τοὺς δὲ τῶν ἀνδρῶν ἀπέλιπον γεωργεῖν, οὓς δὲ ἀπέδοντο, οὓς δὲ ἀπέκτειναν.

'Αθηναῖοι δὲ ὕβρισαν καὶ ἐκείνην τὴν ὕβριν· εὐτυχίας γὰρ λαβόμενοι τὴν εὐπραγίαν σωφρόνως οὐκ ἤνεγκαν. τὰς γοῦν παρθένους τῶν μετοίκων σκαθηφορεῖν ἐν ταῖς κομπαῖς ἠνάγκαζον ταῖς ἑαυτῶν

Digitized by Google

κόραις, τὰς δὲ γυναῖκας ταῖς γυναιξί, τοὺς δὲ ἄνδρας σκαφηφορεῖν.

Σικυώνιοι δὲ Πελλήνην ἑλόντες τάς τε γυναῖκας τῶν Πελληνέων καὶ τὰς θυγατέρας ἐπ' οἰκήματος ἔστησαν. ἀγριώτατα ταῦτα, ὦ θεοὶ Ἕλληνιοι, καὶ οὐδὲ ἐν βαρβάροις καλὰ κατά γε τὴν ἐμὴν μνείαν.

Ἐπεὶ τὴν ἐν Χαιρωνείᾳ μάχην ἐνίκησεν ὁ Φίλιππος, ἐπὶ τῷ πραχθέντι αὐτός τε ἥρτο καὶ οἱ Μακεδόνες πάντες. οἱ δὲ Ἕλληνες δεινῶς αὐτὸν κατέπτηξαν, καὶ ἑαυτοὺς κατὰ πόλεις ἐνεχείρισαν αὐτῷ φέροντες. καὶ τοῦτό γε ἔδρασαν Θηβαῖοι καὶ Μεγαρεῖς καὶ Κορίνθιοι καὶ Ἀχαιοὶ καὶ Ἠλεῖοι καὶ Εὐβοεῖς καὶ οἱ ἐν τῇ Ἀκτῇ πάντες. οὐ μὴν ἐφύλαξε τὰς πρὸς αὐτοὺς ὁμολογίας ὁ Φίλιππος, ἀλλ' ἐδουλώσατο πάντας, ἔκδικα καὶ παράνομα δρῶν.

2 Ὁ Ἀρματίδου τοῦ Θεσπιέως παῖς, παραγενόμενος σύμμαχος Ἀθηναίοις μετὰ καὶ ἄλλων πολιτῶν, τὰ μὲν πρῶτα ἐμάχετο εὖ καὶ καλῶς· καταναλωθέντων δὲ αὐτοῦ τῶν ὅπλων ψιλαῖς ταῖς χερσὶ πρὸς καθωπλισμένους ἀγωνιζόμενος, εὐκλεῶς τὸν βίον ἐτελεύτα. πατρόθεν οὖν τὸν νεανίαν προσεῖπον, κυδαίνων αὐτὸν Ὁμηρικῶς. τὸ δὲ ὄνομα αὐτοῦ εἰ τῳ ἐπιμελὲς εἰδέναι, ἀλλαχόθεν εἴσεται.

3 Ὅτι Λακεδαιμόνιοι Ἰσάδαν ἔτι παῖδα ὄντα καὶ μήπω τοῦ νόμου καλοῦντος αὐτὸν ἐς ὅπλα, ὅτι ἐκ τοῦ γυμνασίου ἐκπηδήσας ἠρίστευσεν, ἐστεφάνωσαν μέν, ὅτι δὲ πρὸ τῆς ἀπαιτουμένης ἡλικίας καὶ μὴ τὰ ἐπιχώρια ἔχων ὅπλα ὥρμησεν ἐς τοὺς ἐχθρούς, ἐζημίωσαν.

4 Ὁ μὲν Λύσανδρος ἐτεθνήκει, ὁ δὲ τὴν θυγατέρα αὐτοῦ ἔτι ζῶντος ἐγγυησάμενος, ἐπεὶ καὶ ἡ παῖς ἐρήμη πατρὸς ἀπελείπετο, καὶ ὁ Λύσανδρος μετὰ τὴν

Digitized by Google

τοῦ βίου καταστροφὴν ἀνεφάνη πένης ὤν, ὃ δὲ ἀνεδύετο ὁ ἐγγυησάμενος, οὐδὲ ἔφασκεν ἄξεσθαι γυναῖκα. ἐπὶ τούτοις οἱ ἔφοροι τὸν ἄνδρα ἐξημίωσαν· οὔτε γὰρ Λακωνικὰ ἐφρόνει οὔτε ἄλλως Ἑλληνικά, φίλου τε ἀποθανόντος ἀμνημονῶν καὶ τῶν συνθηκῶν τὸν πλοῦτον προτιμῶν.

Ὅτι Ἀθηναῖοι τοὺς ἐς Ἀρκαδίαν ἀποσταλέντας πρεσβευτὰς, ἐπεὶ ἑτέραν ὁδὸν ἦλθον καὶ οὐ τὴν προστεταγμένην, καίτοι κατορθώσαντας, ὅμως ἀπέκτειναν.

Ἦ γὰρ οὐ καὶ ταῦτα Λακωνικά; νόμος ἐστὶ τοῖς Σπαρτιάταις τὸν παρασχόμενον υἱοὺς τρεῖς ἀτέλειαν ἔχειν φρουρᾶς, τὸν δὲ πέντε πασῶν τῶν λειτουργιῶν ἀφεῖσθαι. γαμεῖν δὲ ἀπροίκους ἔτι. βάνυσον δὲ εἰδέναι τέχνην ἄνδρα Λακεδαιμόνιον οὐκ ἐξῆν. φοινικίδα δὲ ἀμπέχεσθαι κατὰ τὰς μάχας ἀνάγκη ἦν· ἔχειν δὲ τὴν χρόαν καὶ σεμνότητός τι· πρὸς ταύτῃ γε μὴν καὶ τὴν ῥύσιν τοῦ ἐπιγενομένου αἵματος ἐκ τῶν τραυμάτων ἔτι μᾶλλον ἐκπλήττειν τοὺς ἀντιπάλους, βαθυτέρας τῆς ὄψεως γινομένης καὶ φοβερωτέρας μᾶλλον.

Ὅτι οὐκ ἐξῆν ἀνδρὶ Λάκωνι οὐδὲ σκυλεῦσαι τὸν πολέμιον. οἱ δὲ καλῶς ἀγωνισάμενοι καὶ ἀποθανόντες θαλλοῖς ἀνεδοῦντο καὶ κλάδοις ἑτέροις, καὶ δι' ἐπαίνων ἦγοντο· οἱ δὲ τελέως ἀριστεύσαντες καὶ φοινικίδος αὐτοῖς ἐπιβληθείσης ἐνδόξως ἐθάπτοντο.

Ὅτε οἱ Λακεδαιμόνιοι τοὺς ἐκ Ταινάρου ἱκέτας παρασπονδήσαντες ἀνέστησαν καὶ ἀπέκτειναν (ἦσαν δὲ οἱ ἱκέται τῶν εἱλώτων), κατὰ μῆνιν τοῦ Ποσειδῶνος σεισμὸς ἐπιπεσὼν τῇ Σπάρτῃ τὴν πόλιν ἀνδρειότατα κατέσεισεν, ὡς πέντε μόνας ἀπολειφθῆναι οἰκίας ἐξ ἁπάσης τῆς πόλεως.

Ἀρταξέρξην τὸν καὶ Ὦχον ἐπικληθέντα, ὅτε ἐπε-

Digitized by Google

βούλευσεν αὐτῷ Βαγώας ὁ εὐνοῦχος, ὃς ἦν Αἰγύπτιος, φασὶν ἀναιρεθέντα καὶ κατακοπέντα τοῖς αἰλούροις παραβληθῆναι· ἑτάφη δέ τις ἄλλος ἀντ' αὐτοῦ καὶ ἀπεδόθη ταῖς βασιλικαῖς θήκαις. τῷ δὲ Βαγώᾳ οὐκ ἀπέχρησε τὸ ἀποκτεῖναι τὸν Ὦχον, ἀλλὰ γὰρ καὶ ἐκ τῶν μηρῶν αὐτοῦ λαβὰς μαχαιρῶν ἐποίησε, τὸ φονικὸν αὐτοῦ ἐνδεικνύμενος διὰ τούτων. ἐμίσησε δὲ αὐτόν, ἐπεὶ τὸν Ἆπιν ἐν Αἰγύπτῳ γενόμενος ἀπέκτεινε καὶ οὗτος, ὡς ὁ Καμβύσης πρότερον.

9 10 Ἐπεὶ καὶ ἐκ τῶν Ὁμήρου ποιημάτων ἦκεν ἐς Δελφοὺς λέγουσα δόξα παλαιόπλουτον εἶναι τὸ τοῦ Ἀπόλλωνος χωρίον ἐν τοῖς ἔπεσιν ἐκείνοις

οὐδ' ὅσα λάινος οὐδὸς ἀφήτορος ἐντὸς ἐέργει
Φοίβου Ἀπόλλωνος Πυθοῖ ἐνὶ πετρηέσσῃ,

15 τοὺς Δελφοὺς ἐπιχειρῆσαι διασκάπτειν λόγος ἔχει τὰ περὶ τὴν ἑστίαν καὶ τὸν τρίποδα, γενομένων δὲ σεισμῶν περὶ τὸ μαντεῖον ἀνδρικῶν παύσασθαι σωφρονήσαντας.

10 Περικλῆς στρατηγῶν Ἀθηναίοις νόμον ἔγραψεν, 20 ἐὰν μὴ τύχῃ τις ἐξ ἀμφοῖν ὑπάρχων ἀστῶν, τούτῳ μὴ μετεῖναι τῆς πολιτείας. μετῆλθε δὲ ἄρα αὐτὸν ἡ ἐκ τοῦ νόμου νέμεσις. οἱ γὰρ δύο παῖδες, οἵπερ σὺν ἦστην αὐτῷ, Πάραλός τε καὶ Ξάνθιππος, ἀλλὰ οὗτοι μὲν κατὰ τὴν νόσον τὴν δημοσίαν ἀπέθανον, κατε- 25 λείφθη δὲ ὁ Περικλῆς ἐπὶ τοῖς νόθοις, οἵπερ οὖν οὐ μετέσχον τῆς πολιτείας κατὰ τὸν πατρῷον νόμον.

11 Γέλων ἐν Ἱμέρᾳ νικήσας Καρχηδονίους, πᾶσαν ὑφ' ἑαυτὸν τὴν Σικελίαν ἐποιήσατο. εἶτα ἐλθὼν ἐς τὴν ἀγορὰν γυμνὸς ἥφατο ἀποδιδόναι τοῖς πολίταις 30 τὴν ἀρχήν· οἱ δὲ οὐκ ἤθελον, δηλονότι πεπειραμένοι αὐτοῦ δημοτικωτέρου ἢ κατὰ τὴν τῶν μονάρχων

Digitized by Google

ἐξουσίαν. διὰ ταῦτά τοι καὶ ἐν τῷ τῆς Σικελίας Ἥρας νεῷ ἔστηκεν αὐτοῦ εἰκὼν γυμνὸν αὐτὸν δεικνῦσα, καὶ ὡμολόγει τὴν πρᾶξιν τοῦ Γέλωνος τὸ γράμμα.

Διονύσιος δὲ ὁ δεύτερος τὴν ἀρχὴν εἶχεν εὖ μάλα περιπεφραγμένην τοῦτον τὸν τρόπον. ναῦς μὲν ἐκέκτητο οὐκ ἐλάττους τῶν τετρακοσίων, ἑξήρεις καὶ πεντήρεις· πεζῶν δὲ δύναμιν ἐς δέκα μυριάδας, ἵππεις δὲ ἐννεακισχιλίους. ἡ δὲ πόλις τῶν Συρακοσίων λιμέσιν ἐκεκόσμητο μεγίστοις, καὶ τεῖχος αὐτῇ περιεβέβλητο ὑψηλότατον· σκεύη δὲ εἶχεν ἕτοιμα ναυσὶν ἄλλαις πεντακοσίαις, τεθησαύριστο δὲ αὐτῇ καὶ σῖτος ἐς ἑκατὸν μεδίμνων μυριάδας. καὶ ὁπλοθήκη νενησμένη ἀσπίσι καὶ μαχαίραις καὶ δόρασι καὶ κνημῖσι καὶ θώραξι καὶ καταπέλταις· ὁ δὲ καταπέλτης εὕρημα ἦν αὐτοῦ Διονυσίου. εἶχε δὲ καὶ συμμάχους παμπόλλους. καὶ τούτοις ἐπιθαρρῶν ὁ Διονύσιος ἀδάμαντι δεδεμένην ᾤετο τὴν ἀρχὴν κεκτῆσθαι. ἀλλ' οὗτός γε πρώτους μὲν ἀπέκτεινε τοὺς ἀδελφούς· εἶδε δὲ καὶ τοὺς υἱοὺς βιαίως ἀποσφαγέντας καὶ τὰς θυγατέρας καταισχυνθείσας εἶτα ἀποσφαγείσας γυμνάς. οὐδεὶς δὲ τῶν ἀπ' αὐτοῦ ταφῆς τῆς νομιζομένης ἔτυχεν· οἱ μὲν γὰρ ζῶντες κατεκαύθησαν, οἱ δὲ κατατμηθέντες ἐς τὸ πέλαγος ἐξερρίφησαν. τοῦτο δὲ ἀπήντησεν αὐτῷ, Δίωνος τοῦ Ἱππαρίνου ἐπιθεμένου τῇ ἀρχῇ. αὐτὸς δὲ ἐν πενίᾳ μυρίᾳ διάγων κατέστρεψε τὸν βίον γηραιός. λέγει δὲ Θεόπομπος ὑπὸ τῆς ἀκρατοποσίας τῆς ἄγαν αὐτὸν διαφθαρῆναι τὰς ὄψεις, ὡς ἀμυδρὸν βλέπειν· ἀποκαθῆσθαι δὲ ἐν τοῖς κουρείοις καὶ γελωτοποιεῖν. καὶ ἐν τῷ μεσαιτάτῳ τῆς Ἑλλάδος ἀσχημονῶν διετέλει, βίον διαντλῶν ἀλγεινότατον. καὶ ἦν δεῖγμα οὐ τὸ τυχὸν τοῖς ἀνθρώποις ἐς σωφρο-

Digitized by Google

σύνην καὶ τρόπου κόσμον ἡ τοῦ Διονυσίου ἐκ τῶν τηλικούτων ἐς οὕτω ταπεινὰ μεταβολή.

13 Καλῶς τὸ δαιμόνιον ἐπὶ τριγονίαν τυραννίδας μὴ ἄγον, ἀλλὰ ἢ παραχρῆμα ἐκτρῖβον τοὺς τυράννους πίτνος δίκην ἢ παίδων στερίσκον. μνημονεύονται δὲ ὑφ' Ἑλλήνων ἐξ αἰῶνος καὶ ἐς ἐγγόνους διαρκέσαι αἵδε, ἥ τε Ἱέρωνος ἐν Σικελίᾳ καὶ ἡ τῶν Λευκωνιδῶν περὶ Βόσπορον καὶ ἡ τῶν Κυψελιδῶν ἐν Κορίνθῳ.

14 Ἡμερώτατον δὲ Δαρείου τοῦτο τὸ ἔργον ἀκούω τοῦ παιδὸς τοῦ Ὑστάσπου. Ἀρίβαζος ὁ Ὑρκανὸς ἐπεβούλευσεν αὐτῷ μετὰ καὶ ἄλλων ἀνδρῶν οὐκ ἀφανῶν ἐν Πέρσαις· ἦν δὲ ἡ ἐπιβουλὴ ἐν κυνηγεσίῳ. ἅπερ προμαθὼν ὁ Δαρεῖος οὐκ ἔπτηξεν, ἀλλὰ προστάξας αὐτοῖς λαβεῖν τὰ ὅπλα καὶ τοὺς ἵππους, ἐκέλευσεν αὐτοὺς διατείνασθαι τὰ παλτά, καὶ ὁρμὴ ἐνιδὼν 'τί οὖν οὐ δρᾶτε τοῦτο' εἶπεν 'ἐφ' ὃ καὶ ὡρμήσατε;' οἳ δὲ ἰδόντες ἄτρεπτον ἀνδρὸς βλέμμα ἀνεστάλησαν τὴν ὁρμήν. τὸ δέος δὲ αὐτοὺς κατέσχεν οὕτως, ὡς καὶ ἐκβαλεῖν τὰς αἰχμὰς καὶ ἀφάλασθαι τῶν ἵππων καὶ προσκυνῆσαι Δαρεῖον καὶ ἑαυτοὺς παραδοῦναι ὅ τι καὶ βούλοιτο πράττειν. ὃ δὲ διέστησεν ἄλλους ἄλλῃ, καὶ τοὺς μὲν ἐπὶ τὰ τῆς Ἰνδικῆς ὅρια ἀπέπεμψε, τοὺς δὲ ἐπὶ τὰ Σκυθικά. καὶ ἐκεῖνοι ἔμειναν αὐτῷ πιστοί, διὰ μνήμης ἔχοντες τὴν εὐεργεσίαν.

Ζ

1 Σεμίραμιν τὴν Ἀσσυρίαν ἄλλοι μὲν ἄλλως ἄδουσιν, ὡραιοτάτη δὲ ἐγένετο γυναικῶν, εἰ καὶ ἀφελέστερον ἐχρῆτο τῷ κάλλει. ἀφικομένη δὲ πρὸς τὸν τῶν

Digitized by Google

Ἀσσυρίων βασιλέα κλητὴ κατὰ κλέος τῆς ὥρας, ὃ δὲ ἐντυχὼν τῇ ἀνθρώπῳ ἠράσθη αὐτῆς. ἣ δὲ ᾔτησεν ἐκ τοῦ βασιλέως τὴν βασίλειον στολὴν λαβεῖν καὶ πέντε ἡμερῶν τῆς Ἀσίας ἄρξαι, καὶ τὰ ὑπὸ ταύτης προστατ-τόμενα δρᾶσαι. οὐδὲ τῆς αἰτήσεως ἠτύχησεν. ἐπεὶ δὲ ἐκάθισεν αὐτὴν ὁ βασιλεὺς ἐπὶ τοῦ θρόνου, καὶ ἔγνω διὰ χειρὸς καὶ γνώμης ἔχουσα πάντα, προσέταξε τοῖς δορυφόροις αὐτὸν τὸν βασιλέα κτεῖναι· καὶ οὕτω τὴν τῶν Ἀσσυρίων ἀρχὴν κατέσχε. λέγει δὲ ταῦτα Δείνων.

Στράτων ὁ Σιδώνιος λέγεται τρυφῇ καὶ πολυ-τελείᾳ ὑπερβαλέσθαι σπεῦσαι ἀνθρώπους πάντας. καὶ Θεόπομπος ὁ Χῖος παραβάλλει αὐτοῦ τὸν βίον τῇ τῶν Φαιάκων διαίτῃ, ἥνπερ καὶ Ὅμηρος κατὰ τὴν ἑαυτοῦ μεγαλόνοιαν ὥσπερ εἴδιστο ἐξετραγῴδησεν. τούτῳ γε μὴν οὐχ εἷς παρῆν φθόος, κατάδων αὐτοῦ τὸ δεῖκνον καὶ καταθέλγων αὐτόν, ἀλλὰ πολλαὶ μὲν παρῆσαν γυναῖκες μουσουργοὶ καὶ αὐλητρίδες καὶ ἑταῖραι κάλλει διαπρέπουσαι καὶ ὀρχηστρίδες. διεφι-λοτιμεῖτο δὲ ἰσχυρῶς καὶ πρὸς Νικοκλέα τὸν Κύπριον, ἐπεὶ καὶ ἐκεῖνος πρὸς αὐτόν. ἦν δὲ ἡ ἅμιλλα ὑπὲρ οὐδενὸς σπουδαίου, ἀλλ' ὑπὲρ τῶν προειρημένων. καὶ πυνθανόμενοι παρὰ τῶν ἀφικνουμένων τὰ παρ' ἀλλήλοις, εἶτα ἀντεφιλοτιμοῦντο ἑκάτερος ὑπερβαλέ-σθαι τὸν ἕτερον. οὐ μὴν ἐς τὸ παντελὲς ἐν τούτοις διεγένοντο· ἀμφότεροι γὰρ βιαίου θανάτου ἔργον ἐγένοντο.

Ὅτι Ἀρίστιππος ἑταίρων αὐτῷ τινων ὀδυρομένων βαρύτατα πολλὰ μὲν καὶ ἄλλα πρὸς αὐτοὺς εἶπε λύ-πης ἀνασταλτικά, καὶ ταῦτα δὲ ἐν προοιμίοις· ἀλλ' ἔγωγε ἧκω παρ' ὑμᾶς οὐχ ὡς συλλυπούμενος, ἀλλ' ἵνα παύσω ὑμᾶς λυπουμένους.'

Digitized by Google

4 Ὅτι Πιττακὸς πάνυ σφόδρα ἐπῄνει τὴν μύλην, τὸ ἐγκώμιον αὐτῆς ἐκεῖνο ἐπιλέγων, ὅτι ἐν μικρῷ τόπῳ διαφόρως ἔστι γυμνάσασθαι. ἦν δέ τι ἄσμα ἐπιμύλιον οὕτω καλούμενον.

5 Καὶ Λαέρτης δὲ αὐτουργῶν ὑπὸ τοῦ παιδὸς πεφώραται καὶ φυτὸν ξύων, καίτοι γηράσκων βαθύτατα. ὁμολογεῖ δὲ καὶ Ὀδυσσεὺς αὐτὸς πολλὰ εἰδέναι καὶ τεχνίτης αὐτῶν εἶναι,

δρηστοσύνῃ οὐκ ἄν μοι ἐρίσσειεν βροτὸς ἄλλος,
κῦρ' τ' εὖ νηῆσαι, διά τε ξύλα δανὰ κεάσσαι.

καὶ τὴν σχεδίαν δὲ οὐ δεηθεὶς ναυπηγῶν, ἀλλὰ δι' ἑαυτοῦ τὴν ταχίστην εἰργάσατο. καὶ Ἀχιλλεὺς δέ, τρίτος ὢν ἀπὸ τοῦ Διός, αὐτὸς διακόπτει τὰ κρέα, δεῖπνον τοῖς παρὰ τῶν Ἀχαιῶν ἀφικομένοις πρέσβεσιν εὐτρεπίσαι σκεύδων.

6 Χιόνος ποτὲ πιπτούσης ἤρετο ὁ βασιλεὺς τῶν Σκυθῶν τινα γυμνὸν διακαρτεροῦντα εἰ ῥιγοῖ. ὃ δὲ αὐτὸν ἀντήρετο εἰ τὸ μέτωπον ῥιγοῖ. τοῦ δὲ οὐ φήσαντος 'οὐκοῦν' εἶπεν 'οὐδὲ ἐγώ· πᾶς γὰρ μέτωπόν εἰμι.'

7 Δημοσθένης ὁ Δημοσθένους εἰ ἔμελλε τῆς ὑστεραίας ἔσεσθαι ἐκκλησία ἀλλὰ ἐκεῖνός γε διὰ τῆς νυκτὸς ἠγρύπνει πάσης, διαφροντίζων θηλονότι καὶ ἐκμανθάνων ταῦτα ἃ ἔμελλεν ἐρεῖν. ὁ τοίνυν Πυθέας ἐκ τούτων ἐμοὶ δοκεῖν ἐπέσκωπτεν ἐς αὐτόν, ἐπιλέγων αὐτοῦ τὰ ἐνθυμήματα ἐλλυχνίων ὄζειν.

8 Ὅτε Ἡφαιστίων ἀπέθανεν, Ἀλέξανδρος ὅπλα αὐτῷ ἐς τὴν πυρὰν ἐνέβαλε, καὶ χρυσὸν καὶ ἄργυρον τῷ νεκρῷ συνέτηξε καὶ ἐσθῆτα τὴν μέγα τιμίαν ἐν Πέρσαις. ἀπέκειρε δὲ καὶ τοὺς πλοκαμοὺς τοὺς ἑαυτοῦ, Ὁμηρικὸν πάθος δρῶν καὶ μιμούμενος τὸν Ἀχιλ-

Digitized by Google

λέα τὸν ἐκείνου. βιαιότερον δὲ καὶ θερμότερον ἐκείνου ἔδρασεν οὗτος, τὴν τῶν Ἐκβατάνων ἀκρόπολιν περικείρας. μέχρι μὲν οὖν τῆς κόμης τῆς ἑαυτοῦ Ἑλληνικὰ ἐδόκει μοι δρᾶν· ἐπιχειρήσας δὲ τοῖς τείχεσιν, ἀλλ' ἐνταῦθα ἐπένθει βαρβαρικῶς Ἀλέξανδρος ἤδη, καὶ τὰ κατὰ τὴν στολὴν ἤμειψε, θυμῷ καὶ ἔρωτι ἐπιτρέπων πάντα καὶ δακρύοις.

Ὅτι Ἡφαιστίων ἐς Ἐκβάτανα ἀπέθανε. διαρρεῖ δὲ λόγος Ἡφαιστίωνι μὲν ταῦτα εὐτρεπισθῆναι νεκρῷ, Ἀλέξανδρον δὲ αὐτοῖς ἀποθανόντα χρήσασθαι· μὴ γὰρ φθάσαι τὸ ἐπὶ τῷ μειρακίῳ τελεσθὲν πένθος, ἐπιλαβεῖν δὲ τὸν τοῦ Ἀλεξάνδρου θάνατον.

Εἶτα οὐκ ἔστι σωφροσύνη μεγάλη (ἐμοὶ μὲν δοκεῖ), εἴ γε καὶ ἡ Φωκίωνος γυνὴ τὸ Φωκίωνος ἱμάτιον ἐφόρει, καὶ οὐδὲν ἐδεῖτο οὐ κροκωτοῦ οὐ ταραντινιδίου οὐκ ἀναβολῆς οὐκ ἐγκύκλου οὐ κεκρυφάλου οὐ καλύπτρας οὐ βαπτῶν χιτωνίσκων; ἠμπείχετο δὲ πρώτη μὲν τῇ σωφροσύνῃ, δευτέροις γε μὲν τοῖς παροῦσιν.

Τῇ Ξανθίππῃ δὲ ὁ Σωκράτης, ἐπεὶ οὐκ ἠβούλετο τὸ ἐκείνου ἱμάτιον ἐνδύσασθαι καὶ οὕτως ἐπὶ τὴν θέαν τῆς πομπῆς βαδίζειν, ἔφη ὁρᾷς ὡς οὐ θεωρήσουσα θεωρησομένη δὲ μᾶλλον βαδίζεις;

Ῥωμαίων δὲ αἱ πολλαὶ γυναῖκες καὶ τὰ ὑποδήματα ταὐτὰ φορεῖν τοῖς ἀνδράσιν εἰθισμέναι εἰσίν.

Δεῖ τοὺς παῖδας τοῖς ἀστραγάλοις ἐξαπατᾶν, τοὺς δὲ ἄνδρας τοῖς ὅρκοις. οἱ μὲν Λυσάνδρου εἶναι λέγουσι τὸν λόγον, οἱ δὲ Φιλίππου τοῦ Μακεδόνος. ὁποτέρου δ' ἂν ᾖ, οὐκ ὀρθῶς λέγεται κατά γε τὴν ἐμὴν κρίσιν. καὶ ἴσως οὐ παράδοξον εἰ μὴ τὰ αὐτὰ ἀρέσκει ἐμοὶ καὶ Λυσάνδρῳ· ὃ μὲν γὰρ ἐτυράννει, ἐγὼ δὲ ὡς φρονῶ δῆλον ἐξ ὧν μὴ τὸ λεχθὲν ἀρέσκει με.

Digitized by Google

13 Ἀγησίλαος ὁ Λακεδαιμόνιος γέρων ἤδη ὢν ἀνυπόδητος πολλάκις καὶ ἀχίτων προῆγεν, τὸν τρίβωνα περιβαλλόμενος αὐτόν, καὶ ταῦτα ἐωθινὸς ἐν ὥρᾳ χειμερίῳ. ἠτιάσατο δέ τις αὐτὸν ὡς νεανικώτερα τῆς ἡλικίας ἐπιχειροῦντα· ὃ δὲ 'ἀλλ' οἵ γε νέοι' φησὶ 'τῶν πολιτῶν ὥσπερ οὖν πῶλοι πρὸς τὸν τέλειον ἀποβλέπουσιν ἐμέ.

14 Τί δέ; οὐκ ἦσαν καὶ οἱ φιλόσοφοι τὰ πολέμια ἀγαθοί; ἐμοὶ μὲν δοκοῦσιν, εἴ γε Ἀρχύταν μὲν εἵλοντο ἑξάκις στρατηγὸν Ταραντῖνοι, Μέλισσος δὲ ἐναυάρχησε, Σωκράτης δὲ ἐστρατεύσατο τρίς, Πλάτων δὲ καὶ αὐτὸς ἐς Τάναγραν καὶ ἐς Κόρινθον. τὴν δὲ Ξενοφῶντος στρατείαν καὶ στρατηγίαν πολλοὶ μὲν καὶ ἄλλοι ᾄδουσι καὶ αὐτὸς δὲ ὁμολογεῖ ἐν τοῖς περὶ Κύρου λόγοις. Δίων δὲ ὁ Ἱππαρίνου τὴν Διονυσίου τυραννίδα κατέλυσε. καὶ Ἐπαμεινώνδας βοιωταρχῶν ἐν Λεύκτροις ἐνίκησε Λακεδαιμονίους, καὶ τῶν Θηβαίων καὶ τῶν Ἑλλήνων πρῶτος ἐγένετο. πολλὰ δὲ καὶ Ζήνων ὑπὲρ Ἀθηναίων ἐπολιτεύσατο πρὸς Ἀντίγονον. οὐδὲν γὰρ διοίσει εἴτε τις διὰ γνώμης ὤνησέ τινας εἴτε δι' ὅπλων.

15 Ἡνίκα τῆς θαλάττης ἦρξαν Μυτιληναῖοι, τοῖς ἀφισταμένοις τῶν συμμάχων τιμωρίαν ἐκείνην ἐπήρτησαν, γράμματα μὴ μανθάνειν τοὺς παῖδας αὐτῶν μηδὲ μουσικὴν διδάσκεσθαι, πασῶν κολάσεων ἡγησάμενοι βαρυτάτην εἶναι ταύτην, ἐν ἀμουσίᾳ καὶ ἀμαθίᾳ καταβιῶναι.

16 Ὅτι Ῥώμη ὑπὸ Ῥώμου καὶ Ῥωμύλου ἐκτίσθη τῶν Ἄρεος καὶ Σιλουίας παίδων. ἦν δὲ αὕτη μία τῶν Αἰνείου ἀπογόνων.

17 Ὅτε ἐς Σικελίαν ἦκεν Εὔδοξος, χάριν αὐτῷ πολλὴν ὁ Διονύσιος τῆς ἀφίξεως ᾔδει. ὃ δὲ οὐδέν τι

Digitized by Google

πρὸς ταῦτα θωπεύσας οὐδὲ ὑποδραμὼν 'ἀφικόμην' εἶπεν 'ὡσπερανεὶ πρὸς πανδοκέα ἀγαθόν, παρ' ᾧ κατήγετο Πλάτων,' ὁμολογήσας ὅτι μὴ δι' ἐκεῖνον ἀλλὰ διὰ τοῦτον ἀφίκετο.

Αἰγυπτίους φασὶ δεινῶς ἐγκαρτερεῖν ταῖς βασά- 18
νοις, καὶ ὅτι θᾶττον τεθνήξεται ἀνὴρ Αἰγύπτιος στρε- 5
βλούμενος ἢ τἀληθὲς ὁμολογήσει. παρὰ Ἰνδοῖς δὲ αἱ γυναῖκες τὸ αὐτὸ πῦρ ἀποθανοῦσι τοῖς ἀνδράσιν ὑπο-
μένουσι. φιλοτιμοῦνται δὲ περὶ τούτου αἱ γυναῖκες τοῦ ἀνδρός· καὶ ἡ κλήρῳ λαχοῦσα συγκάεται. 10

Σόλων ἐς τὴν ὑπὲρ Σαλαμῖνος μάχην ἐστρατή- 19
γησε, καὶ δύο νεῶν Μεγαρίδων κρατήσας μετεβίβασε στρατηγοὺς Ἀττικοὺς ἐς αὐτάς, καὶ τὰ τῶν πολεμίων ὅπλα τοῖς οἰκείοις περιθεὶς καὶ μεθορμισθεὶς δι' ἀπάτης πολλοὺς τῶν Μεγαρέων κατέκοψεν ἀνόπλους. 15
ἐκράτησε δὲ καὶ τοῖς λόγοις αὐτῶν, οὐ λόγων δεινό-
τητι ἀλλὰ δι' αὐτῶν τῶν ἐλέγχων τὸ πλέον ἐνεγκά-
μενος. ἀρχαίας γὰρ θήκας ἀνοίξας ἀπέδειξε πάντας Ἀθηναίους πρὸς δύσιν κειμένους κατὰ τὸ πάτριον αὐτοῖς ἔθος, τοὺς δὲ Μεγαρεῖς εἰκῇ καὶ ὡς ἔτυχε τε- 20
θαμμένους. ἔκριναν δὲ τὴν δίκην Λακεδαιμόνιοι.

Ἀνὴρ ἐς Λακεδαίμονα ἀφίκετο Χῖος, γέρων ἤδη 20
ὤν, τὰ μὲν ἄλλα ἀλαζών, ἡδεῖτο δὲ ἐπὶ τῷ γήρᾳ, καὶ τὴν τρίχα πολιὰν οὖσαν ἐπειρᾶτο βαφῇ ἀφανίζειν. παρελθὼν οὖν εἶπεν ἐκεῖνα ὑπὲρ ὧν καὶ ἀφίκετο. 25
ἀναστὰς οὖν ὁ Ἀρχίδαμος 'τί ἂν' ἔφη 'οὗτος ὑγιὲς εἶποι, ὃς οὐ μόνον ἐπὶ τῇ ψυχῇ τὸ ψεῦδος, ἀλλὰ καὶ ἐπὶ τῇ κεφαλῇ περιφέρει;' καὶ ἐξέωσε τὰ ὑπ' αὐτοῦ λεχθέντα, διαβάλλων τοῦ Χίου τὸν τρόπον ἐξ ὧν ἐωρᾶτο. 30

Οὐκ ἀπηξίου Καῖσαρ ἐπὶ τὰς Ἀρίστωνος θύρας 21
φοιτᾶν, Πομπήιος δὲ ἐπὶ τὰς Κρατίππου. οὐ γὰρ

Digitized by Google

ἐπεὶ μέγα ἐδύναντο ὑπερεφρύνουν τῶν τὰ μέγιστα αὐτοὺς ὀνῆσαι δυναμένων, ἀλλ' ἐδέοντο αὐτῶν, καίτοι τοσοῦτοι ὄντες τὴν ἀξίωσιν. οὐ γὰρ ἄρχειν, ὡς ἔοικεν, ἀλλὰ καλῶς ἄρχειν ἐβούλοντο.

Η

Ἔλεγε δήπου Σωκράτης περὶ τοῦ δαιμονίου τοῦ συνόντος αὐτῷ πρὸς Θεάγην καὶ Δημόδοκον καὶ πρὸς ἄλλους πολλούς. φωνὴν πολλάκις ἔφασκε θείᾳ πομπῇ συγκεκληρωμένην αὐτῷ, ἣ ὅταν γένηται, ἀεί μοι φησὶ σημαίνει ὃ μέλλω πράττειν τούτου ἀποτροπήν, προτρέπει δὲ οὐδέποτε. καὶ αὖ πάλιν ἐάν τίς μοι φησὶ τῶν φίλων ἀνακοινῶται ὑπέρ του, καὶ ἐπιγένηται ἡ φωνὴ ἐκείνη, πάλιν ἀποτρέπει. καὶ ἐμοὶ μὲν αὕτη συμβουλεύει τοῦτο, ἐγὼ δὲ τῷ συμβουλευομένῳ μοι· καὶ οὐκ ἐῶ πράττειν, ἑπόμενος τῇ θείᾳ προρρήσει. παρείχετο δὲ μάρτυρα Χαρμίδην τὸν Γλαύκωνος· ἀνεκοινώσατο γὰρ αὐτῷ ὅτι μέλλοι ἀσκήσειν στάδιον ἐς Νεμέαν, καὶ εὐθὺς ὑπαρχομένου λέγειν ἡ φωνὴ ἐπεγένετο. καὶ ὁ Σωκράτης τὸν Χαρμίδην διεκώλυεν ἔχεσθαι ὧν εἴχετο, ὃ δ' οὐκ ἐπείσθη· οὐ μὴν ἐς δέον ἀπήντησεν αὐτῷ ἡ σπουδή.

Ἵππαρχος ὁ Πεισιστράτου παῖς πρεσβύτατος ὢν τῶν Πεισιστράτου καὶ σοφώτατος ἦν Ἀθηναίων. οὗτος καὶ τὰ Ὁμήρου ἔπη πρῶτος ἐκόμισεν ἐς τὰς Ἀθήνας, καὶ ἠνάγκασε τοὺς ῥαψῳδοὺς τοῖς Παναθηναίοις αὐτὰ ᾄδειν. καὶ ἐπ' Ἀνακρέοντα δὲ τὸν Τήιον πεντηκόντορον ἔστειλεν, ἵνα αὐτὸν πορεύσῃ ὡς αὐτόν. Σιμωνίδην δὲ τὸν Κεῖον διὰ σπουδῆς ἄγων ἀεὶ περὶ

Digitized by Google

αὐτὸν εἶχε, μεγάλοις δώροις ὡς τὸ εἰκὸς πείθων καὶ μισθοῖς· καὶ γὰρ ὡς ἦν φιλοχρήματος ὁ Σιμωνίδης, οὐδεὶς ἀντιφήσει. ἔργον δὲ ἦν ἄρα τούτῳ τῷ Ἱππάρχῳ ἡ περὶ τοὺς πεπαιδευμένους σπουδή. καὶ ἐβούλετο ὑπὸ προσχήματι τῷ ἑαυτοῦ Ἀθηναίους παιδεύεσθαι, καὶ βελτιόνων αὐτῶν ὄντων ἄρχειν ἔσπευδεν· οὐκ ᾤετο γὰρ δεῖν οὐδενὶ φθονεῖν σοφίας, ἅτε ὢν καλὸς καὶ ἀγαθός. λέγει δὲ Πλάτων ταῦτα, εἰ δὴ ὁ Ἵππαρχος Πλάτωνός ἐστι τῷ ὄντι. 3

Ὅτι Ἀττικὸν τοῦτο τὸ ἔθος, ὅταν ὁ βοῦς ἀποσφαγῇ, τῶν μὲν ἄλλων ἀποψηφίζονται, κρίνοντες ἕκαστον ἐν τῷ μέρει φόνου· καταγινώσκουσι δὲ τῆς μαχαίρας, καὶ λέγουσι ταύτην ἀποκτεῖναι αὐτόν. καὶ ἐν ᾗ ταῦτα ἡμέρᾳ δρῶσι, Διπόλια τὴν ἑορτὴν καλοῦσι καὶ Βουφόνια.

Πολίαρχόν φασι τὸν Ἀθηναῖον ἐς τοσοῦτον προ- 4
ελθεῖν τρυφῆς, ὥστε καὶ κύνας καὶ ἀλεκτρυόνας ἐκεί
νους οἷς ἔχαιρεν ἐκκομίζειν ἀποθανόντας δημοσίᾳ.
καὶ ἐπὶ τὴν ἐκφορὰν αὐτῶν παρεκάλει τοὺς φίλους,
καὶ ἔθαπτεν αὐτοὺς πολυτελῶς, καὶ ἐπιστήματα αὐτοῖς
ἀναστήσας ἐπιγράμματα κατ' αὐτῶν ἐνεκόλαπτεν.

Ὅτι Νηλεὺς ὁ Κόδρου τῆς βασιλείας ἀμοιρήσας 5
ἀπέλιπε τὰς Ἀθήνας διὰ τὸ τὴν Πυθίαν Μέδοντι τὴν
ἀρχὴν περιάψαι ἐς ἀποικίαν στελλόμενος. τῇ Νάξῳ δὲ
προσωρμίσθη οὐχ ἑκών, ἀλλ' ὑπὸ χειμῶνος βιασθείς·
ἀπᾶραι δὲ βουλόμενον καταπνέοντες ἐναντίοι ἄνεμοι
διεκώλυον. ἀποροῦντι δὲ αὐτῷ ὑπὲρ τῶν ἐνεστώτων,
οἱ μάντεις ἔφασαν δεῖν καθαρθῆναι τὸ στρατόπεδον,
ὡς συμπλεόντων πολλῶν οὐ καθαρῶν τὰς χεῖρας.
προσεποιήσατο δὴ καὶ αὐτὸς ἀποκτεῖναί τινα παῖδα
καὶ δεῖσθαι καθαρμοῦ· καὶ αὐτὸς ἀνεχώρησε, καὶ τοὺς
ἄλλους ἔπεισε τοὺς συνειδότας ἑαυτοῖς. οὗ γενομένου

Digitized by Google

ἐπεὶ μέγα ἐδύναντο ὑπερφρύνουν τῶν τὰ μέγιστα αὐτοὺς ὀνῆσαι δυναμένων, ἀλλ' ἐδέοντο αὐτῶν, καίτοι τοσοῦτοι ὄντες τὴν ἀξίωσιν. οὐ γὰρ ἄρχειν, ὡς ἔοικεν, ἀλλὰ καλῶς ἄρχειν ἐβούλοντο.

Η

1 Ἔλεγε δήπου Σωκράτης περὶ τοῦ δαιμονίου τοῦ συνόντος αὐτῷ πρὸς Θεάγην καὶ Δημόδοκον καὶ πρὸς ἄλλους πολλούς. φωνὴν πολλάκις ἔφασκε θείᾳ πομπῇ συγκεκληρωμένην αὐτῷ, ἣ̔περ ὅταν γένηται, ἀεί μοι φησὶ σημαίνει ὃ μέλλω πράττειν τούτου ἀποτροπήν, προτρέπει δὲ οὐδέποτε. καὶ αὖ πάλιν ἐάν τίς μοι φησὶ τῶν φίλων ἀνακοινῶται ὑπέρ του, καὶ ἐπιγένηται ἡ φωνὴ ἐκείνη, πάλιν ἀποτρέπει. καὶ ἐμοὶ μὲν αὕτη συμβουλεύει τοῦτο, ἐγὼ δὲ τῷ συμβουλευομένῳ μοι· καὶ οὐκ ἐῶ πράττειν, ἑπόμενος τῇ θείᾳ προρρήσει. παρεῖχετο δὲ μάρτυρα Χαρμίδην τὸν Γλαύκωνος· ἀνεκοινώσατο γὰρ αὐτῷ ὅτι μέλλοι ἀσκήσειν στάδιον ἐς Νεμέαν, καὶ εὐθὺς ὑπαρχομένου λέγειν ἡ φωνὴ ἐπεγένετο. καὶ ὁ Σωκράτης τὸν Χαρμίδην διεκώλυεν ἔχεσθαι ὧν εἶχετο, ὃ δ' οὐκ ἐπείσθη· οὐ μὴν ἐς δέον ἀπήντησεν αὐτῷ ἡ σπουδή.

Ἵππαρχος ὁ Πεισιστράτου παῖς πρεσβύτατος ὢν τῶν Πεισιστράτου καὶ σοφώτατος ἦν Ἀθηναίων. οὗτος καὶ τὰ Ὁμήρου ἔπη πρῶτος ἐκόμισεν ἐς τὰς Ἀθήνας, καὶ ἠνάγκασε τοὺς ῥαψῳδοὺς τοῖς Παναθηναίοις αὐτὰ ᾄδειν. καὶ ἐπ' Ἀνακρέοντα δὲ τὸν Τήιον πεντηκόντορον ἔστειλεν, ἵνα αὐτὸν πορεύσῃ ὡς αὐτόν. Σιμωνίδην δὲ τὸν Κεῖον διὰ σπουδῆς ἄγων ἀεὶ περὶ

Digitized by Google

αὐτὸν εἶχε, μεγάλοις δώροις ὡς τὸ εἰκὸς πείθων καὶ μισθοῖς· καὶ γὰρ ὡς ἦν φιλοχρήματος ὁ Σιμωνίδης, οὐδεὶς ἀντιφήσει. ἔργον δὲ ἦν ἄρα τούτῳ τῷ Ἱππάρχῳ ἡ περὶ τοὺς πεπαιδευμένους σπουδή. καὶ ἐβούλετο ὑπὸ προσχήματι τῷ ἑαυτοῦ Ἀθηναίους παιδεύεσθαι, καὶ βελτιόνων αὐτῶν ὄντων ἄρχειν ἔσπευδεν· οὐκ ᾤετο γὰρ δεῖν οὐδενὶ φθονεῖν σοφίας, ἅτε ὢν καλὸς καὶ ἀγαθός. λέγει δὲ Πλάτων ταῦτα, εἰ δὴ ὁ Ἵππαρχος Πλάτωνός ἐστι τῷ ὄντι. 3

Ὅτι Ἀττικὸν τοῦτο τὸ ἔθος, ὅταν ὁ βοῦς ἀποσφαγῇ, τῶν μὲν ἄλλων ἀποψηφίζονται, κρίνοντες ἕκαστον ἐν τῷ μέρει φόνου· καταγινώσκουσι δὲ τῆς μαχαίρας, καὶ λέγουσι ταύτην ἀποκτεῖναι αὐτόν. καὶ ἐν ᾗ ταῦτα ἡμέρᾳ δρῶσι, Διιπόλια τὴν ἑορτὴν καλοῦσι καὶ Βουφόνια. 15

Πολίαρχόν φασι τὸν Ἀθηναῖον ἐς τοσοῦτον προ- 4
ελθεῖν τρυφῆς, ὥστε καὶ κύνας καὶ ἀλεκτρυόνας ἐκείνους οἷς ἔχαιρεν ἐκκομίζειν ἀποθανόντας δημοσίᾳ. καὶ ἐπὶ τὴν ἐκφορὰν αὐτῶν παρεκάλει τοὺς φίλους, καὶ ἔθαπτεν αὐτοὺς πολυτελῶς, καὶ ἐπιστήματα αὐτοῖς ἀναστήσας ἐπιγράμματα κατ' αὐτῶν ἐνεκόλαπτεν.

Ὅτι Νηλεὺς ὁ Κόδρου τῆς βασιλείας ἀμοιρήσας 5
ἀπέλιπε τὰς Ἀθήνας διὰ τὸ τὴν Πυθίαν Μέδοντι τὴν ἀρχὴν περιάψαι ἐς ἀποικίαν στελλόμενος. τῇ Νάξῳ δὲ προσωρμίσθη οὐχ ἑκών, ἀλλ' ὑπὸ χειμῶνος βιασθείς· ἀπᾶραι δὲ βουλόμενον καταπνέοντες ἐναντίοι ἄνεμοι διεκώλυον. ἀποροῦντι δὲ αὐτῷ ὑπὲρ τῶν ἐνεστώτων, οἱ μάντεις ἔφασαν δεῖν καθαρθῆναι τὸ στρατόπεδον, ὡς συμπλεόντων πολλῶν οὐ καθαρῶν τὰς χεῖρας. προσεποιήσατο δὴ καὶ αὐτὸς ἀποκτεῖναί τινα παῖδα καὶ δεῖσθαι καθαρμοῦ· καὶ αὐτὸς ἀνεχώρησε, καὶ τοὺς ἄλλους ἔπεισε τοὺς συνειδότας ἑαυτοῖς. οὗ γενομένου

Digitized by Google

καὶ γνωσθέντων ἐκείνων αὐτοὺς μὲν ἀπέλιπεν, οἳ δὲ ᾤκισαν τὴν Νάξον. Νηλεὺς δὲ ἐς τὴν Ἰωνίαν ἀφίκετο, καὶ πρῶτον μὲν ᾤκισε Μίλητον, Κᾶρας ἐξελάσας καὶ Μυγδόνας καὶ Λέλεγας καὶ ἄλλους βαρβάρους, ἀφ' ὧν αἱ δώδεκα πόλεις ἐκλήθησαν ἐν Ἰωνίᾳ. εἰσὶ δὲ αἵδε, Μίλητος Ἔφεσος Ἐρυθραὶ Κλαζομεναὶ Πριήνη Λέβεδος Τέως Κολοφὼν Μυοῦς Φώκαια Σάμος καὶ Χίος. καὶ ἄλλας δὲ πολλὰς ὕστερον ᾤκισε πόλεις ἐν τῇ ἠπείρῳ.

6 Τῶν ἀρχαίων φασὶ Θρᾳκῶν μηδένα ἐπίστασθαι γράμματα· ἀλλὰ καὶ ἐνόμιζον αἴσχιστον εἶναι πάντες οἱ τὴν Εὐρώπην οἰκοῦντες βάρβαροι χρῆσθαι γράμμασιν. οἱ δὲ ἐν τῇ Ἀσίᾳ ὡς λόγος ἐχρῶντο αὐτοῖς μᾶλλον. ἔνθεν τοι καὶ τολμῶσι λέγειν μηδὲ τὸν Ὀρφέα σοφὸν γεγονέναι, Θρᾷκα ὄντα, ἀλλ' ἄλλως τοὺς μύθους αὐτοῦ καταψεύσασθαι. ταῦτα Ἀνδροτίων λέγει, εἴ τῳ πιστὸς ὑπὲρ τῆς ἀγραμματίας καὶ ἀπαιδευσίας Θρᾳκῶν τεκμηριῶσαι.

7 Ἀλέξανδρος ὅτε Δαρεῖον εἶλε, γάμους εἱστία καὶ ἑαυτοῦ καὶ τῶν φίλων. ἐνενήκοντα δὲ ἦσαν οἱ γαμοῦντες καὶ ἰσάριθμοι τούτοις οἱ θάλαμοι. ἦν δὲ ὁ ἀνδρῶν ὁ ὑποδεχόμενος καὶ ἑστιῶν αὐτοὺς ἑκατοντάκλινος· καὶ ἑκάστη κλίνη ἀργυρόκους ἦν, ἡ δὲ αὐτοῦ χρυσόπους, καὶ κεκόσμηντο πᾶσαι ἁλουργοῖς καὶ ποικίλοις ἱματίοις ὑφῆς βαρβαρικῆς μέγα τιμίας. συμπαρέλαβε δὲ ἐς τὸ συμπόσιον καὶ τοὺς ἰδιοξένους, καὶ κατέκλινεν ἀντιπροσώπους ἑαυτῷ. ἐν δὲ τῇ αὐλῇ εἱστιῶντο αἵ τε ἄλλαι δυνάμεις, αἱ πεζαὶ καὶ αἱ ναυτικαὶ καὶ οἱ ἱππεῖς καὶ αἱ πρεσβεῖαι δὲ καὶ οἱ παρεπιδημοῦντες Ἕλληνες. καὶ ἐγένετο τὰ δεῖπνα πρὸς σάλπιγγα, τὸ μὲν συγκλητικὸν μέλος ᾀδούσης, ὅτε αὐτοὺς ἐχρῆν παριέναι ἐπὶ τὴν δαῖτα, τὸ δὲ ἀνακλη-

Digitized by Google

τικόν, ὅτε ἐσήμαινεν ἀπαλλάττεσθαι. πέντε δὲ ἡμέρας καθεξῆς τοὺς γάμους ἔθυεν. ἀφίκοντο δὲ καὶ μουσουργοὶ καὶ ὑποκριταί, οἱ μὲν κωμῳδίας οἱ δὲ τραγῳδίας, πάμπολλοι. ἦσαν δὲ καὶ ἐκ τῆς Ἰνδικῆς θαυματοποιοὶ διαπρέποντες, καὶ ἔδοξαν δὲ αὐτοὶ κρατεῖν τῶν ἄλλων τῶν ἀλλαχόθεν.

Κίμων ὁ Κλεωναῖος ἐξειργάσατό φασι τὴν τέχνην τὴν γραφικὴν ὑποφυομένην ἔτι καὶ ἀτέχνως ὑπὸ τῶν πρὸ αὐτοῦ καὶ ἀπείρως ἐκτελουμένην καὶ τρόπον τινὰ ἐν σπαργάνοις καὶ γάλαξιν οὖσαν. διὰ ταῦτά τοι καὶ μισθοὺς τῶν πρὸ αὐτοῦ πρῶτος ἔλαβεν ἁδροτέρους.

Ἀρχέλαον τὸν Μακεδόνων τύραννον (οὕτω γὰρ καὶ Πλάτων αὐτὸν ὀνομάζει, καὶ οὐ βασιλέα) τὰ παιδικὰ αὐτοῦ Κρατεύας ἐρασθεὶς τῆς τυραννίδος οὐδὲν ἧττον ἅπερ ἐκεῖνος τῶν παιδικῶν ἠράσθη, ἀπέκτεινε τὸν ἐραστήν, ὡς τύραννός τε καὶ εὐδαίμων ἀνὴρ ἐσόμενος. τρεῖς δὲ ἢ τέτταρας ἡμέρας τὴν τυραννίδα κατασχών, πάλιν αὐτὸς ἐπιβουλευθεὶς ὑφ' ἑτέρων ἐτελεύτησεν. εἰη δ' ἂν πρεπωδέστατον ἐπεικεῖν τῷδε τῷ Μακεδονικῷ δράματι τὸ ἔπος ἐκεῖνο

τεύχων ὡς ἑτέρῳ τις ἑῷ κακὸν ἤπατι τεύχει.

Ὅτι διεψεύσατο αὐτῷ φασιν Ἀρχέλαος τῶν θυγατέρων μίαν δώσειν· ὅτε δὲ ἄλλῳ συνῴκισε τὴν παῖδα, ὑπεραγανακτήσας διέφθειρε τὸν Ἀρχέλαον.

Σόλωνα αἱρετὸν Ἀθηναῖοι προείλοντο ἄρχειν αὐτοῖς, οὐ γὰρ κληρωτὸν τοῦτον. ἐπεὶ δὲ ἠρέθη, τά τε ἄλλα ἐκόσμησε τὴν πόλιν, καὶ δὴ καὶ τοὺς νόμους τοὺς νῦν ἔτι φυλαττομένους συνέγραψεν αὐτοῖς. καὶ τότε ἐπαύσαντο Ἀθηναῖοι χρώμενοι τοῖς Δράκοντος· ἐκαλοῦντο δὲ ἐκεῖνοι θεσμοί. μόνους δὲ ἐφύλαξαν τοὺς φονικοὺς αὐτοῦ.

Digitized by Google

11 *Οὐδὲν ἔτι θαυμάσομεν εἰ ἡ τῶν ἀνθρώπων φύσις θνητὴ οὖσα καὶ ἐφήμερος φθείρεσθαι αὐτοὺς ἀναγκάζει, ὅπου καὶ τοὺς ποταμοὺς ὁρῶμεν ἐπιλείποντας, καὶ τῶν ὀρῶν δὲ τὰ ὑψηλότατα ἀκούομεν μειούμενα καὶ ἐκεῖνα. τὴν γοῦν Αἴτνην φασὶν οἱ πλέοντες ἐξ ἐλάττονος ὁρᾶν ἢ πρότου ἐβλέπετο· τὸ δὲ αὐτὸ τοῦτο καὶ τὸν Παρνασσὸν παθεῖν καὶ τὸν Ὄλυμπον τὸν Πιερικόν. οἱ δὲ ἔτι μᾶλλον δοκοῦντες τὴν τῶν ὅλων φύσιν κατεσκέφθαι λέγουσι καὶ κόσμον διαφθείρεσθαι αὐτόν.*

12 *Παράδοξόν γε, οὐ γάρ; ἀλλ' ἀληθές. ἐκπεσόντος Δημοσθένους ἐν Μακεδονίᾳ Αἰσχίνης ὁ Ἀτρομήτου ὁ Κοθωκίδης καὶ ἐνευδοκίμει τοῖς Μακεδόσι καὶ πάμπολυ περιῆν τῶν πρέσβεων τῷ φρονήματι. αἰτία δὲ ἦν ἄρα τούτου τῷ Αἰσχίνῃ ἥ τε πρὸς Φίλιππον φιλία καὶ τὰ ἐξ αὐτοῦ δῶρα καὶ ὅτι πράως καὶ ἡδέως ἤκουεν αὐτοῦ ὁ Φίλιππος, μειλιχίῳ τῷ βλέμματι προσβλέπων καὶ ὑποφαίνων τὴν ἐξ αὐτοῦ εὔνοιαν. ἅπερ οὖν πάντα ἐφολκὰ ἦν ἐς τὴν παρρησίαν τῷ Αἰσχίνῃ καὶ τὴν τῶν λόγων εὕροιαν. οὐ μόνος δὲ τοῦτο ἔπαθε Δημοσθένης ἐν Μακεδονίᾳ, καίτοι δεινότατος ὢν εἰπεῖν, ἀλλὰ καὶ Θεόφραστος ὁ Ἐρέσιος. ἐξέπεσε γὰρ καὶ οὗτος ἐπὶ τῆς ἐξ Ἀρείου πάγου βουλῆς λέγων, καὶ ταύτην ἀπολογίαν προσφέρετο, ὅτι κατεπλάγη τὸ ἀξίωμα τοῦ συνεδρίου. πικρότατα οὖν ἀπήντησε καὶ ἑτοιμότατα πρὸς τοῦτον αὐτοῦ τὸν λόγον ὁ Δημοχάρης εἰπὼν 'ὦ Θεόφραστε, Ἀθηναῖοι ἦσαν ἀλλ' οὐχ οἱ δώδεκα θεοὶ οἱ δικάζοντες.'*

13 *Ἀναξαγόραν τὸν Κλαζομένιόν φασι μήτε γελῶντά ποτε ὀφθῆναι μήτε μειδιῶντα τὴν ἀρχήν. λέγουσι δὲ καὶ Ἀριστόξενον τῷ γέλωτι ἀνὰ κράτος πολέμιον*

Digitized by Google

γενέσθαι· Ἡράκλειτόν τε, ὅτι πάντα τὰ ἐν τῷ βίῳ ἔκλαεν.

Διογένης ὁ Σινωπεὺς ὅτε λοιπὸν ἐνόσει ἐπὶ θα- 14
νάτῳ, ἑαυτὸν φέρων μόνον ἔρριψε κατά τινος γεφυ-
ρίου πρὸς γυμνασίῳ ὄντος, καὶ προσέταξε τῷ παλαι- 5
στροφύλακι, ἐπειδὰν αἴσθηται ἀποκεπνευκότα αὐτόν,
ῥῖψαι ἐς τὸν Ἰλισσόν. οὕτως ἄρα ὀλίγον ἔμελε Διο-
γένει καὶ θανάτου καὶ ταφῆς.

Ἐν Χαιρωνείᾳ τοὺς Ἀθηναίους ἡνίκα ἐνίκησεν ὁ 15
Φίλιππος, ἐπαρθεὶς τῇ εὐπραγίᾳ, ὅμως λογισμοῦ 10
ἐκράτησε καὶ οὐχ ὕβρισε· καὶ διὰ ταῦτα ᾤετο δεῖν
αὐτὸν ὑπομιμνήσκεσθαι ὑπό τινος τῶν παίδων ἔωθεν
ὅτι ἄνθρωπός ἐστι, καὶ προσέταξε τῷ παιδὶ τοῦτο ἔχειν
ἔργον. καὶ οὐ πρότερόν φασιν οὔτε αὐτὸς προῆει,
οὔτε τις τῶν δεομένων αὐτοῦ παρ' αὐτὸν ἐσῄει, πρὶν 15
τοῦτο αὐτῷ τὸν παῖδα ἐκβοῆσαι τρίς.

Σόλων ὁ Ἐξηκεστίδου γέρων ἤδη ὢν ὑπώπτευε 16
Πεισίστρατον τυραννίδι ἐπιθήσεσθαι, ἡνίκα παρῆλθεν
ἐς τὴν ἐκκλησίαν τῶν Ἀθηναίων καὶ ᾖτει φρουρὰν
ὁ Πεισίστρατος. ὁρῶν δὲ τοὺς Ἀθηναίους τῶν μὲν 20
αὐτοῦ λόγων ῥᾳθύμως ἀκούοντας, προσέχοντας δὲ τῷ
Πεισιστράτῳ, ἔφη ὅτι τῶν μέν ἐστι σοφώτερος, τῶν
δὲ ἀνδρειότερος. ὁπόσοι μὲν μὴ γινώσκουσιν ὅτι
φυλακὴν λαβὼν περὶ τὸ σῶμα τύραννος ἔσται, ἀλλὰ
τούτων μέν ἐστι σοφώτερος· ὁπόσοι δὲ γινώσκοντες 25
ὑποσιωπῶσι, τούτων ἀνδρειότερός ἐστιν. ὃ δὲ λα-
βὼν τὴν δύναμιν τύραννος ἦν. καθεζόμενος δὲ Σόλων
πρὸ τῆς οἰκίας, τὴν ἀσπίδα καὶ τὸ δόρυ παραθέμενος
ἔλεγεν ὅτι ἐξώπλισται καὶ βοηθεῖ τῇ πατρίδι ᾗ δύ-
ναται, στρατηγὸς μὲν διὰ τὴν ἡλικίαν οὐκέτι ὤν, εὖ- 30
νους δὲ διὰ τὴν γνώμην. ὅμως οὖν Πεισίστρατος,
εἴτε αἰδοῖ τῇ πρὸς τὸν ἄνδρα καὶ τὴν σοφίαν αὐτοῦ,

Digitized by Google

εἴτε καὶ μνήμῃ τῶν ἐφ' ἡλικίας (λέγεται γὰρ αὐτοῦ παιδικὰ γενέσθαι), οὐδέν γε ἔδρασε κακὸν Σόλωνα. ὁ δ' οὖν Σόλων ὀλίγῳ ὕστερον ὑπέργηρως ὢν τὸν βίον ἐτελεύτησεν, ἐπὶ σοφίᾳ καὶ ἀνδρείᾳ μεγάλην ἀπολιπὼν δόξαν. καὶ ἀνέστησαν αὐτῷ χαλκῆν εἰκόνα ἐν τῇ ἀγορᾷ· ἀλλὰ καὶ ἔθαψαν αὐτὸν δημοσίᾳ παρὰ τὰς πύλας πρὸς τῷ τείχει ἐν δεξιᾷ ἐσιόντων, καὶ περιῳκοδόμητο αὐτῷ ὁ τάφος.

17 Ὅτι Σκύθης ὁ Ἰννῖνος ὁ τῶν Ζαγκλαίων μόναρχος ἀνέβη ἐς Ἀσίαν παρὰ βασιλέα Δαρεῖον. καὶ αὐτὸν ἐνόμισε πάντων ἀνδρῶν δικαιότατον εἶναι, ὅσοι ἐκ τῆς Ἑλλάδος παρ' αὐτὸν ἀνέβησαν, ὅτι παραιτησάμενος βασιλέα ἀφίκετο ἐς Σικελίαν καὶ πάλιν ἐκ Σικελίας παρὰ βασιλέα ὀπίσω. τοῦτο δὲ Δημοκήδης ὁ Κροτωνιάτης οὐκ ἐποίησε, καὶ διὰ τοῦτο Δαρεῖος ὑπὲρ αὐτοῦ φλαύρως ἔλεγεν, ἀπατεῶνα λέγων καὶ ἄνθρωπον κάκιστον. ὁ οὖν Σκύθης ἐν Πέρσαις μέγα ὄλβιος ὢν γήρᾳ κατέστρεψε τὸν βίον.

18 Εὔθυμος ὁ Λοκρὸς τῶν ἐν Ἰταλίᾳ πύκτης ἀγαθὸς ἦν, ῥώμῃ τε σώματος πεπίστευται θαυμασιώτατος γενέσθαι· λίθον γὰρ μεγέθει μέγιστον δεικνύουσι Λοκροί, ὃν ἐκόμισε καὶ ἔθηκε πρὸ τῶν θυρῶν. καὶ τὸν ἐν Τεμέσῃ ἥρωα φόρους πρατόμενον παρὰ τῶν προσοίκων ἔπαυσεν· ἀφικόμενος γὰρ ἐς τὸ ἱερὸν αὐτοῦ, ὅπερ ἄβατον ἦν τοῖς πολλοῖς, διηγωνίσατο πρὸς αὐτόν, καὶ ἠνάγκασεν ὥνπερ ἐσύλησεν ἀποτῖσαι πλείω. ἐντεῦθέν τοι καὶ διέρρευσεν ἡ παροιμία ἡ λέγουσα ἐπὶ τῶν ἀλυσιτελῶς τι κερδαινόντων ὅτι αὐτοῖς ἀφίξεται ὁ ἐν Τεμέσῃ ἥρως. λέγουσι δὲ τὸν αὐτὸν Εὔθυμον καταβάντα ἐπὶ τὸν Καικῖνον ποταμὸν ὃς ἐστι πρὸ τῆς τῶν Λοκρῶν πόλεως ἀφανισθῆναι.

Digitized by Google

Ὅτι τοῦτο ἐπιγέγραπται Ἀναξαγόρᾳ 19

ἐνθάδ' ὁ πλεῖστον ἀληθείας ἐπὶ τέρμα περήσας
οὐρανίου κόσμου κεῖται Ἀναξαγόρας.

Ὅτι καὶ βωμὸς αὐτῷ ἵσταται καὶ ἐπιγέγραπται οἳ μὲν Νοῦ οἳ δὲ Ἀληθείας. 5

Θ

Ἱέρωνά φασι τὸν Συρακόσιον φιλέλληνα γενέσθαι 1
καὶ τιμῆσαι παιδείαν ἀνδρειότατα. καὶ ὡς ἦν προχειρότατος ἐς τὰς εὐεργεσίας λέγουσι· προθυμότερον γὰρ αὐτόν φασι χαρίζεσθαι ἢ τοὺς αἰτοῦντας λαμ- 10
βάνειν. ἦν δὲ καὶ τὴν ψυχὴν ἀνδρειότατος. ἀβασανίστως δὲ καὶ τοῖς ἀδελφοῖς συνεβίωσε τρισὶν οὖσι, πάνυ σφόδρα ἀγαπήσας αὐτοὺς καὶ ὑπ' αὐτῶν φιληθεὶς ἐν τῷ μέρει. τούτῳ φασὶ καὶ Σιμωνίδης συνεβίωσε καὶ Πίνδαρος, καὶ οὐκ ἄκνησέ γε Σιμωνίδης 15
βαρὺς ὢν ὑπὸ γήρως πρὸς αὐτὸν ἀφικέσθαι· ἦν μὲν γὰρ καὶ φύσει φιλάργυρος ὁ Κεῖος, προύτρεπε δὲ αὐτὸν καὶ πλέον ἡ τοῦ Ἱέρωνος φιλοδωρία φασίν.

Ὅτι ἐν Αἰγίνῃ ἐξ Ὀλυμπίας αὐθημερὸν διηγγέλη 2
ἡ νίκη τοῦ Ταυροσθένους τῷ πατρὶ αὐτοῦ ὑπὸ φάσμα- 20
τός φασιν. ἄλλοι δέ φασι περιστερὰν τὸν Ταυροσθένην ἐπαγαγέσθαι ἀπολιποῦσαν τοὺς ἑαυτῆς νεοττοὺς ὑγροὺς ἔτι καὶ ἀπτῆνας, νικήσαντα δὲ ἀφεῖναι τὴν πελειάδα, προσάψαντα πορφύραν αὐτῇ· τὴν δὲ ἐπειγομένην πρὸς τοὺς νεοττοὺς ἀπανθημερίσαι ἐκ 25
Πίσης ἐς Αἴγιναν.

Digitized by Google

8 Ὅτι διέθρυπτε τοὺς ἑταίρους Ἀλέξανδρος, τρυφᾶν ἐπιχωρῶν αὐτοῖς, εἴ γε καὶ Ἄγνων χρυσοῦς ἥλους ἐν ταῖς κρηπῖσιν ἐφόρει. Κλεῖτος δὲ εἵποτε μέλλοι τισὶ χρηματίζειν, ἐπὶ πορφυρῶν εἱμάτων βαδίζων τοὺς δεομένους προσίετο. Περδίκκᾳ δὲ καὶ Κρατερῷ φιλογυμναστοῦσιν ἠκολούθουν διφθέραι σταδιαῖαι τὸ μέγεθος, ὑφ' αἷς περιλαμβάνοντες τόπον εὐμεγέθη ἐν ταῖς καταστρατοπεδείαις ἐγυμνάζοντο. εἵπετο δὲ αὐτοῖς καὶ πολλὴ κόνις δι' ὑποζυγίων ἐς τὰ γυμνάσια λυσιτελὴς οὖσα. Λεοννάτῳ δὲ καὶ Μενελάῳ φιλοθηροῦσιν αὐλαῖαι σταδίων ἑκατὸν ἠκολούθουν. αὐτῷ δὲ Ἀλεξάνδρῳ ἡ μὲν σκηνὴ ἦν κλινῶν ἑκατόν, χρυσοῖ δὲ κίονες πεντήκοντα διειλήφεσαν αὐτὴν καὶ τὸν ὄροφον αὐτῆς ἀνεῖχον, αὐτὸς δὲ ὁ ὄροφος διάχρυσος ἦν καὶ ἐκπεπόνητο ποικίλμασι πολυτελέσι. καὶ πρῶτοι μὲν Πέρσαι πεντακόσιοι οἱ καλούμενοι μηλοφόροι περὶ αὐτὴν ἦσαν εἱστήκεσαν, πορφυρᾶς καὶ μηλίνας ἠσθημένοι στολάς· ἐπ' αὐτοῖς δὲ τοξόται χίλιοι, φλόγινα ἐνδεδυκότες καὶ ὑσγινοβαφῆ· πρὸ δὲ τούτων οἱ ἀργυράσπιδες πεντακόσιοι Μακεδόνες. ἐν μέσῃ δὲ τῇ σκηνῇ χρυσοῦς ἑστήκει δίφρος, καὶ ἐπ' αὐτῷ ἀνάθημα ἦν Ἀλέξανδρος ἐχρημάτιζε, περιεστώτων αὐτῷ πανταχόθεν τῶν σωματοφυλάκων. περιῆει δὲ τὴν σκηνὴν περίβολος, ἔνθα ἦσαν Μακεδόνες χίλιοι καὶ Πέρσαι μύριοι, καὶ οὐδεὶς ἐτόλμα ῥᾳδίως προσελθ[ε]ῖν αὐτῷ· σπιλὶς γὰρ ἦν τὸ ἐξ αὐτοῦ δέος ἀρθ[ε]ὶς φαιδρύνοντας καὶ τύχης ἐς τυραννίδα.

4 Ἱλλυριμπίτης ὁ Σάμιος ἐν Μούσ[ε]ιον ἀνέθηκεν ἄγαλμα τὸν Τήιον καὶ διὰ

11 ἐγκώμιον αὐτῷ καὶ τοὺς ἐκείνου [illegible] δὲ αὐτοῦ ἐφ' ἑτέρῳ. Ἀνακ[illegible] Θεμιστοκλῆν τὸ παιδικὸ Πολ[illegible]

Digitized by Google

μειράκιον τῷ ἐπαίνῳ, καὶ τὸν Ἀνακρέοντα ἡσπάζετο σεμνῶς εὖ μάλα, ἐρῶντα τῆς ψυχῆς, ἀλλ' οὐ τοῦ σώματος. μὴ γάρ τις ἡμῖν διαβαλλέτω πρὸς θεῶν τὸν ποιητὴν τὸν Τήιον, μηδ' ἀκόλαστον εἶναι λεγέτω. ἐζηλοτύπησε δὲ Πολυκράτης ὅτι τὸν Σμερδίην ἐτίμησε, καὶ ἑώρα τὸν ποιητὴν ὑπὸ τοῦ παιδὸς ἀντιφιλούμενον· καὶ ἀπέκειρε τὸν παῖδα ὁ Πολυκράτης, ἐκεῖνον μὲν αἰσχύνων, οἰόμενος δὲ λυπεῖν Ἀνακρέοντα. ὃ δὲ οὐ προσεποιήσατο αἰτιᾶσθαι τὸν Πολυκράτη σωφρόνως καὶ ἐγκρατῶς, μετήγαγε δὲ τὸ ἔγκλημα ἐπὶ τὸ μειράκιον ἐν οἷς ἐπεκάλει τόλμαν αὐτῷ καὶ ἀμαθίαν ὁπλισαμένῳ κατὰ τῶν ἑαυτοῦ τριχῶν. τὸ δὲ ᾆσμα τὸ ἐπὶ τῷ πάθει τῆς κόμης Ἀνακρέων ᾄσατο· ἐμοῦ γὰρ αὐτὸς ἄμεινον ᾄσεται. 5

Θεμιστοκλῆς Ἱέρωνα ἥκοντα ἐς Ὀλυμπίαν Ὀλυμπίων ἀγομένων ἵππους ἄγοντα εἶρξε τῆς ἀγωνίας εἰκὼν τὸν μὴ μεταλαβόντα τοῦ μεγίστου τῶν κινδύνων τῶν παρηγύρεων μεταλαμβάνειν μὴ δεῖν· καὶ ἐπῃνέθη Θεμιστοκλῆς. 6

Ὅτι Περικλῆς ἐν τῷ λοιμῷ τοὺς παῖδας ἀποβαλὼν ἀνδρειότατα τὸν θάνατον αὐτῶν ἤνεγκε, καὶ πάντας Ἀθηναίους εὐθυμότερον ἔπεισε τοὺς τῶν φιλτάτων θανάτους φέρειν. 7

Ἡ Ξανθίππη ἔφη μυρίων μεταβολῶν τὴν πόλιν καὶ αὐτοὺς κατασχουσῶν ἐν πάσαις ὅμοιον τὸ Σωκράτους πρόσωπον καὶ προϊόντος ἐκ τῆς οἰκίας καὶ ἐπανιόντος θεάσασθαι· ἥρμοστο γὰρ πρὸς πάντα ἐπιεικῶς, καὶ ἦν ἵλεως ἀεὶ τὴν διάνοιαν καὶ λύπης ὑπεράνω πάσης καὶ φόβου κρείττων παντός. 8

Ὁ νέος Διονύσιος ἐς τὴν τῶν Λοκρῶν πόλιν παριὼν (εἰ γε Δωρὶς ἡ μήτηρ αὐτοῦ Λοκρὶς ἦν) οἶκον τῶν ἐν τῇ πόλει τὸν μέγιστον καταλαμβάνων, ῥόδοις

Digitized by Google

καὶ ἐρπύλλοις καὶ ἄλλοις ἄνθεσι καταστρωννὺς τὰς τῶν Λοκρῶν θυγατέρας μετεπέμπετο, καὶ συνῆν αὐταῖς ἀκολαστότατα. ὑπὲρ δὴ τούτου ἔτισε δίκην· ἐπειδὴ γὰρ αὐτοῦ ἡ τυραννὶς κατελύθη ὑπὸ Δίωνος, ἐνταῦθα οἱ Λοκροὶ τὴν γυναῖκα τοῦ Διονυσίου καὶ τὰς θυγατέρας κατεπόρνευσαν, καὶ ἀνέδην αὐταῖς ἐνύβριζον πάντες, μάλιστα οἱ προσήκοντες ταῖς παρθένοις ταῖς ὑπὸ Διονυσίου διεφθαρμέναις. ἡνίκα δὲ διακορεῖς ἐγένοντο ὑβρίζοντες, κεντοῦντες αὐτὰς ὑπὸ τοῖς ὄνυξι τοῖς τῶν χειρῶν βελόναις ἀπέκτειναν. τὰ δὲ ὀστᾶ κατέκοψαν ἐν ὅλμοις, καὶ τὰ κρέα τῶν ὀστῶν ἀφελόντες ἐπηράσαντο τοῖς μὴ γευσαμένοις αὐτῶν· εἰ δέ τι περιελείφθη ἐξ αὐτῶν, κατεπόντωσαν. ὁ δὲ ἐν Κορίνθῳ πολλαῖς καὶ ποικίλαις χρησάμενος βίου μεταβολαῖς διὰ τὴν ὑπερβάλλουσαν ἀπορίαν, τελευταῖον δὲ μητραγυρτῶν καὶ κρούων τύμπανα καὶ κατανυλούμενος τὸν βίον κατέστρεψεν.

9 Δημήτριος ὁ Πολιορκητὴς ἦρει τὰς πόλεις, καὶ τῇ ἑαυτοῦ τρυφῇ καταχρώμενος χίλια καὶ διακόσια τάλαντα πρόσοδον ἑαυτῷ περιεποιήσατο καθ' ἕκαστον ἔτος, καὶ ἐκ τούτων ὀλίγα μὲν ἐς τὸ στρατόπεδον ἐδαπάνα, τὰ δὲ λοιπὰ ἐς τὴν ἀκολασίαν τὴν ἑαυτοῦ. μύροις τε ἐρραίνετο αὐτῷ τὸ δάπεδον καὶ καθ' ἑκάστην ἔτους ὥραν τὰ ἐνακμάζοντα τῶν ἀνθῶν ὑπεσπείρετο αὐτῷ, ἵνα κατ' αὐτῶν βαδίζῃ. ἦν δὲ καὶ πρὸς γυναῖκας ἀκόλαστος, καὶ νεανικοῖς ἔρωσιν ἐπεχείρει. ἔμελε δὲ αὐτῷ καὶ καλῷ εἶναι εὐθετίζοντι τὴν τρίχα καὶ ξανθιζομένῳ καὶ ὑπαλειφομένῳ τὸ πρόσωπον παιδέρωτι. καὶ τοῖς ἄλλοις δὲ ἐχρίετο ἀλείμμασι, προσφιλοτιμούμενος τῇ ῥᾳθυμίᾳ.

10 Ὁ Πλάτων, νοσεροῦ χωρίου λεγομένου εἶναι τῆς Ἀκαδημείας, καὶ συμβουλευόντων αὐτῷ τῶν ἰατρῶν

Digitized by Google

ἐς τὸ Λύκειον μετοικῆσαι, οὐκ ἠξίωσεν εἰπὼν ‘ἀλλ’ ἔγωγε οὐκ ἂν οὐδὲ ἐς τὰ τοῦ Ἄθω μετῴκησα ἂν ὑπὲρ τοῦ μακροβιώτερος γενέσθαι.

Παρράσιος ὁ ζωγράφος ὅτι μὲν πορφυρίδα ἐφόρει καὶ χρυσοῦν στέφανον περιέκειτο μαρτυροῦσι καὶ ἄλλοι καὶ τὰ ἐπιγράμματα δὲ ἐπὶ πολλῶν εἰκόνων αὐτοῦ· ἠγωνίσατο δέ ποτε ἐν Σάμῳ, συνέτυχε δὲ ἀντιπάλῳ οὐ κατὰ πολὺ ἐνδεεστέρῳ αὐτοῦ εἶτα ἡττήθη. τὸ δὲ ἐπίγραμμα ἦν αὐτῷ ὁ Αἴας ὑπὲρ τῶν ὅπλων τῶν Ἀχιλλέως ἀγωνισάμενος πρὸς τὸν Ὀδυσσέα. ἡττηθεὶς δὲ εὖ μάλα ἀστείως ἀπεκρίνατο πρὸς τὸν συναχθόμενον αὐτῷ τῶν ἑταίρων ὁ Παρράσιος· ἔφη γὰρ αὐτὸς μὲν ὑπὲρ τῆς ἥττης ὀλίγον φροντίζειν, συνάχθεσθαι δὲ τῷ παιδὶ τοῦ Τελαμῶνος δεύτερον τοῦτο ὑπὲρ τῶν αὐτῶν ἡττηθέντι. κατεῖχε δὲ καὶ σκίπωνα χρυσᾶς ἕλικας ἔχοντα περιερπούσας, χρυσοῖς τε ἀνασπάστοις ἐπέσφιγγε τοὺς ἀναγωγέας τῶν βλαυτῶν. φασὶ δὲ αὐτὸν μήτε ἄκοντα μήτε ἐπικόνως τὰ ἐν τῇ τέχνῃ χειρουργεῖν, πάνυ δὲ εὐθύμως καὶ ῥᾳδίως· καὶ γὰρ καὶ ᾄδε καὶ ὑποκινυρόμενος τὸν κάματον τὸν ἐκ τῆς ἐπιστήμης ἐπειρᾶτο ἐπελαφρύνειν. λέγει δὲ ταῦτα Θεόφραστος. 11

Ὅτι Ῥωμαῖοι Ἀλκαῖον καὶ Φιλίσκον τοὺς Ἐπικουρείους ἐξέβαλον τῆς πόλεως, ὅτι πολλῶν καὶ ἀτόπων ἡδονῶν ἐσηγηταὶ τοῖς νέοις ἐγένοντο. καὶ Μεσσήνιοι δὲ ἐξέωσαν τοὺς Ἐπικουρείους. 12

Διονύσιον τὸν Ἡρακλεώτην, Κλεάρχου τοῦ τυράννου υἱόν, ἀκούω ἐκ τῆς καθ’ ἡμέραν ἀδηφαγίας καὶ τρυφῆς λαθεῖν ἑαυτὸν ὑπερσαρκήσαντα καὶ καταπιανθέντα. τὰ ἐπίχειρα γοῦν τοῦ κατὰ τὸ σῶμα μεγέθους καὶ τοῦ περὶ τὰς σάρκας ὄγκου ἐκαρπώσατο δύσκνοιαν. φάρμακον οὖν αὐτῷ τοῦδε τοῦ πάθους 13

Digitized by Google

συντάξαν φασιν οἱ ἰατροὶ βελόνας λεπτὰς κατασκευάσαι μηκίστας εἶτα ταύτας διὰ τῶν πλευρῶν καὶ τῆς κοιλίας διωθεῖν, ὅταν ἐς ὕπνον τύχῃ βαθύτερον ἐμπεσών. ἦν δὲ ἄρα τοῦτο ἐπιμελὲς ἐκείνοις δρᾶν, ἕστε ὅλη διὰ τῆς πεπωρωμένης καὶ τρόπον τινὰ ἀλλοτρίας αὐτοῦ σαρκὸς διεῖρπεν ἡ βελόνη· ἀλλ' ἐκεῖνός γε ἔκειτο λίθου διαφέρων οὐδέν. εἰ δὲ ἀφίκητο τὸ βέλος ἔνθα λοιπὸν ἦν αὐτῷ τὸ σῶμα ἐρρωμένον καὶ ἴδιον, ἀλλ' οὐκ ἐκ τῆς ἄγαν πιμελῆς ἀλλότριον, τηνικαῦτα καὶ ἐκεῖνος ἠσθάνετο, καὶ ἠγείρετο ἐκ τοῦ ὕπνου. τοὺς δὲ χρηματισμοὺς ἐποιεῖτο τοῖς βουλομένοις αὐτῷ προσιέναι, κιβωτὸν τοῦ σώματος προβαλλόμενος. οἱ δὲ οὐ κιβωτόν φασιν ἀλλὰ πυργίσκον, ἵνα τὰ μὲν λοιπὰ αὐτοῦ μέρη ἀποκρύπτοιτο, τὸ δὲ πρόσωπον μόνον ὑπερέχων διαλέγοιτο, πονηράν, ὦ θεοί, ταύτην ἐκεῖνος τὴν στολὴν περιαμπεχόμενος, καὶ θηρίου φρουρὰν μᾶλλον ἢ ἀνθρώπου ἐσθῆτα.

14 Φιλητᾶν λέγουσι τὸν Κῷον λεπτότατον γενέσθαι τὸ σῶμα. ἐκεῖ τοίνυν ἀνατραπῆναι ῥᾴδιος ἦν ἐκ πάσης προφάσεως, μολίβδου φασὶ πεποιημένα εἶχεν ἐν τοῖς ὑποδήμασι πέλματα, ἵνα μὴ ἀνατρέπηται ὑπὸ τῶν ἀνέμων, εἴ ποτε σκληροὶ κατέπνεον. εἰ δὲ ἦν οὕτως ἀδύνατος, ὥστε μὴ ἀντέχειν πνεύματι, πῶς οἷός τε ἦν τοσοῦτον φορτίον ἐπάγεσθαι; ἐμὲ μὲν οὖν τὸ λεχθὲν οὐ πείθει· ὃ δὲ ἔγνων ὑπὲρ τοῦ ἀνδρός, τοῦτο εἶπον.

15 Ὅτι ποιητικῆς ἁπάσης Ἀργεῖοι τὰ πρῶτα Ὁμήρῳ ἔδωκαν, δευτέρους δὲ αὐτοῦ ἕκαττον πάντας. ποιοῦντες δὲ θυσίαν, ἐπὶ ξένια ἐκάλουν τὸν Ἀπόλλωνα καὶ Ὅμηρον. λέγεται δὲ κἀκεῖνο πρὸς τούτοις, ὅτι ἄρα ἀπορῶν ἐκδοῦναι τὴν θυγατέρα, ἔδωκεν αὐτῇ προῖκα ἔχειν τὰ ἔπη τὰ Κύπρια. καὶ ὁμολογεῖ τοῦτο Πίνδαρος.

Digitized by Google

Τὴν Ἰταλίαν ᾤκησαν πρῶτοι Αὔσονες αὐτόχθονες. 16
πρεσβύτατον δὲ γενέσθαι Μάρην τινὰ καλούμενον, οὗ
τὰ μὲν ἔμπροσθεν λέγουσιν ἀνθρώπῳ ὅμοια, τὰ κατό-
πισθεν δὲ ἵππῳ· αὐτὸ δὲ τοὔνομα εἰς τὴν Ἑλλάδα
φασὶν ἱππομιγὴς δύναται. δοκεῖ δέ μοι πρῶτος ἵπ- 5
που ἀναβῆναι καὶ ἐμβαλεῖν αὐτῷ χαλινόν, εἶτα ἐκ
τούτου διφυὴς πιστευθῆναι. μυθολογοῦσι δὲ αὐτὸν
καὶ βιῶναι ἔτη τρία καὶ εἴκοσι καὶ ἑκατόν, καὶ ὅτι
τρὶς ἀποθανὼν ἀνεβίω τρίς· ἐμοὶ δὲ οὐ πιστὰ δο-
κοῦσιν. ὅτι τὴν Ἰταλίαν φασὶν οἰκῆσαι ἔθνη πάμ- 10
πολλα καὶ ὅσα οὐκ ἄλλην γῆν. τὸ δὲ αἴτιον, διὰ τὴν
τῶν ὡρῶν εὐκρασίαν καὶ τὴν τῆς χώρας ἀρετὴν καὶ
τὸ ἔνυδρον αὐτῆς καὶ τὸ πάμφορον καὶ τὸ εὔβοτον
καὶ ὅτι ποταμοῖς ἐστι κατάρρυτος καὶ ὅτι θάλαττα
ἀγαθὴ παράκειται αὐτῇ ὅρμοις πανταχόθεν διειλημ- 15
μένη καὶ καταγωγαῖς ἀφθόνοις καὶ κατάρσεσιν. ἀλλὰ
καὶ τὸ τῶν οἰκητόρων ἥμερον καὶ πρᾶον ἐπῆρε πολ-
λοὺς ἐς τὴν μετοίκησιν. καὶ ὅτι πόλεις ᾤκησαν τὴν
Ἰταλίαν πάλαι ἑπτὰ καὶ ἐνενήκοντα καὶ ἑκατὸν πρὸς
ταῖς χιλίαις. 20

Κουφότητα ἔοικε κατηγορεῖν οὗτος ὁ λόγος ὁ λέγων 17
περὶ Δημοσθένους ὅτι ἆρα τύφου αὐτὸν ὑπεπλήρουν
καὶ οἱ ὑδροφοροῦντες, εἴ ποτε παριόντος αὐτοῦ ὑπὲρ
αὐτοῦ τι ψιθυρίσαιεν. ὃς γὰρ καὶ ὑπ' ἐκείνων ἐκου-
φίζετο καὶ ἐπαιρόμενος ἦν δῆλος, τίς ἦν, εἴ ποτε ὑπὸ 25
τῆς ἐκκλησίας ἐκροτήθη.

Θεμιστοκλῆς ὁ Νεοκλέους ἑαυτὸν εἴκαζε ταῖς 18
δρυσί, λέγων ὅτι καὶ ἐκείνας ὑπέρχονται οἱ ἄνθρωποι,
καὶ δέονται αὐτῶν, εἰ ὗοι, στέγην τὴν ἐκ τῶν κλάδων
κοθοῦντες· ὅταν δὲ οὔσης εὐδίας παρίωσι, τίλλουσιν 30
αὐτὰς καὶ περικλῶσιν. καὶ αὐτὸς οὖν ἔλεγεν ὑπὸ
τοῦ δήμου τὰ αὐτὰ πάσχειν.

Digitized by Google

Ὁ δὲ αὐτὸς ἔλεγεν, εἴ μοί τις ὁδοὺς δύο δεῖξειε, τὴν μὲν ἐς ᾅδου φέρουσαν, τὴν δὲ ἐπὶ τὸ βῆμα, ἥδιον ἂν τὴν ἑτέραν ἦλθον τὴν εὐθὺ τοῦ ᾅδου.

19 Ἥρίστα ποτὲ Διογένης ἐν καπηλείῳ, εἶτα παριόντα Δημοσθένη ἐκάλει. τοῦ δὲ μὴ ὑπακούσαντος ‘αἰσχύνῃ’ ἔφη, ‘Δημόσθενες, παρελθεῖν ἐς καπηλεῖον; καὶ μὴν ὁ κύριός σου καθ’ ἑκάστην ἡμέραν ἐνθάδε ἔσεισι,’ τοὺς δημότας λέγων καὶ τοὺς καθ’ ἕνα· δηλῶν ὅτι οἱ δημηγόροι καὶ οἱ ῥήτορες δοῦλοι τοῦ πλήθους εἰσί.

20 Πλέων Ἀρίστιππος χειμῶνος ἐπιγενομένου πάνυ σφόδρα ἐταράττετο. ἔφη δέ τις τῶν συμπλεόντων ‘ὦ Ἀρίστιππε, καὶ σὺ δέδοικας, ὡς οἱ πολλοί;’ ὃ δὲ ‘καὶ μάλα γε εἰκότως· ὑμῖν μὲν γὰρ περὶ κακοδαίμονός ἐστι βίου ἡ σκουδὴ καὶ ὁ νῦν κίνδυνος, ἐμοὶ δὲ περὶ εὐδαίμονος.’

1 Θηραμένης ἔτυχεν ἐν οἰκίᾳ τινὶ διατρίβων, εἶτα ἐκεῖ προῆλθεν αὐτῆς, παραχρῆμα ἐκείνη κατηνέχθη. οἱ μὲν οὖν Ἀθηναῖοι ἄλλοι ἀλλαχόθεν αὐτῷ περιφύντες συνήδοντο ἐπὶ τῇ σωτηρίᾳ τῇ παραδόξῳ, ὃ δὲ παρὰ τὴν πάντων ἐλπίδα ἀπεκρίνατο ‘ὦ Ζεῦ, ἐς τίνα με καιρὸν φυλάττεις;’ καὶ μετ’ οὐ πολὺν χρόνον ὑπὸ τῶν τριάκοντα ἀνῃρέθη, πιεῖν κώνειον κατακριθείς.

22 Λέγουσι τοὺς Πυθαγορείους πάνυ σφόδρα περὶ τὴν ἰατρικὴν σκουδάσαι τέχνην. καὶ Πλάτων δὲ φρονίδα ἐς αὐτὴν ἔσχε πλείστην καὶ Ἀριστοτέλης ὁ Νικομάχου καὶ ἄλλοι πολλοί.

23 Ἀριστοτέλης ἐνόσει ποτέ. προσέταξε δὲ αὐτῷ ὁ ἰατρὸς πρόσταγμά τι. καὶ ἐκεῖνος ‘μήτε ὡς βοηλάτην με’ ἔφη ‘θεράπευε μήτε ὡς σκαπανέα, ἀλλὰ διδάξας πρότερον τὴν αἰτίαν, οὕτως ἕξεις ἕτοιμον πρὸς τὸ πείθεσθαι,’ διδάσκων ἐκ τούτων μηδὲν χωρὶς αἰτίας προσφέρειν.

Digitized by Google

Σμινδυρίδης ὁ Συβαρίτης ἐς τοσοῦτον τρυφῆς 24
ἐξώκειλε (καὶ γάρ τοι Συβαρίταις πᾶσιν ἔργον ἦν
τρυφᾶν καὶ τῷ βίῳ διαρρεῖν, ὁ δὲ Σμινδυρίδης καὶ
πλέον)· φύλλοις ῥόδων γοῦν ἐπαναπεσὼν καὶ κοιμη-
θεὶς ἐπ' αὐτῶν ἔξανέστη λέγων φλυκταίνας ἐκ τῆς
εὐνῆς ἔχειν. σχολῇ γ' ἂν οὗτος ἐπὶ χαμεύνης κατε-
κλίθη ἢ στιβάδος ἢ πόας ἐν προσάντει πεφυκυίας ἢ
ταύρου δορᾶς, ὡς ὁ Διομήδης, πρεπούσης στρατιώτῃ
σκληρῷ καὶ γενναίῳ.

ὑπὸ δ' ἔστρωτο ῥινὸν βοὸς ἀγραύλοιο.

Πεισίστρατος ὅτε τῆς ἀρχῆς ἐγκρατὴς ἐγένετο, 25
μετεπέμπετο τοὺς ἐν ταῖς ἀγοραῖς ἀποσχολάζοντας,
καὶ ἐπυνθάνετο τί δή ποτε εἴη τὸ αἴτιον τοῦ ἀλύειν
αὐτούς. καὶ ἐπέλεγεν 'εἰ μέν σοι τέθνηκε ζεῦγος,
παρ' ἐμοῦ λαβὼν ἄπιθι καὶ ἐργάζου· εἰ δὲ ἀπορεῖς
σπερμάτων, παρ' ἐμοῦ σοι γενέσθω,' δεδιὼς μὴ ἡ
σχολὴ τούτων ἐπιβουλὴν τέκῃ.

Ζήνωνα τὸν Κιτιέα δι' αἰδοῦς ἄγαν καὶ σπουδῆς 26
ἦγεν Ἀντίγονος ὁ βασιλεύς. καί ποτε οὖν ὑπερπλη-
σθεὶς οἴνου ἐπεκώμασε τῷ Ζήνωνι, καὶ φιλῶν αὐτὸν
καὶ περιβάλλων ἅτε ἔξοινος ὢν ἠξίου τι αὐτὸν προσ-
τάξαι, ὀμνὺς καὶ νεανιευόμενος σὺν ὅρκῳ μὴ ἀτυχή-
σειν τῆς αἰτήσεως. ὁ δὲ λέγει αὐτῷ 'πορευθεὶς ἔμε-
σον,' σεμνῶς ἅμα καὶ μεγαλοφρόνως τὴν μέθην
ἐλέγξας καὶ φεισάμενος αὐτοῦ, μήποτε διαραγῇ ὑπὸ
πλησμονῆς.

Ἀνδρὶ Λακωνικῷ μὲν χωριτικῷ δὲ ἐπέπληξέ τις 27
πενθοῦντι πάνυ σφόδρα ἐκθύμως. ὁ δὲ ἁπλάστως
ἀπεκρίνατο 'τί πάθω;' φησίν 'οὐ γὰρ ἐγὼ αἴτιος τού-
του, ἃ φύσις δέ μου ἔρει.'

Digitized by Google

εἴτε καὶ μνήμῃ τῶν ἐφ' ἡλικίας (λέγεται γὰρ αὐτοῦ παιδικὰ γενέσθαι), οὐδέν γε ἔδρασε κακὸν Σόλωνα. ὁ δ' οὖν Σόλων ὀλίγῳ ὕστερον ὑπέργηρως ὢν τὸν βίον ἐτελεύτησεν, ἐπὶ σοφίᾳ καὶ ἀνδρείᾳ μεγάλην ἀπολιπὼν δόξαν. καὶ ἀνέστησαν αὐτῷ χαλκῆν εἰκόνα ἐν τῇ ἀγορᾷ· ἀλλὰ καὶ ἔθαψαν αὐτὸν δημοσίᾳ παρὰ τὰς πύλας πρὸς τῷ τείχει ἐν δεξιᾷ ἐσιόντων, καὶ περιῳκοδόμητο αὐτῷ ὁ τάφος.

17 Ὅτι Σκύθης ὁ Ἰνυκῖνος ὁ τῶν Ζαγκλαίων μόναρχος ἀνέβη ἐς Ἀσίαν παρὰ βασιλέα Δαρεῖον. καὶ αὐτὸν ἐνόμισε πάντων ἀνδρῶν δικαιότατον εἶναι, ὅσοι ἐκ τῆς Ἑλλάδος παρ' αὐτὸν ἀνέβησαν, ὅτι παραιτησάμενος βασιλέα ἀφίκετο ἐς Σικελίαν καὶ πάλιν ἐκ Σικελίας παρὰ βασιλέα ὀπίσω. τοῦτο δὲ Δημοκήδης ὁ Κροτωνιάτης οὐκ ἐποίησε, καὶ διὰ τοῦτο Δαρεῖος ὑπὲρ αὐτοῦ φλαύρως ἔλεγεν, ἀπατεῶνα λέγων καὶ ἄνθρωπον κάκιστον. ὁ οὖν Σκύθης ἐν Πέρσαις μέγα ὄλβιος ὢν γήρᾳ κατέστρεψε τὸν βίον.

18 Εὔθυμος ὁ Λοκρὸς τῶν ἐν Ἰταλίᾳ πύκτης ἀγαθὸς ἦν, ῥώμῃ τε σώματος πεπίστευται θαυμασιώτατος γενέσθαι· λίθον γὰρ μεγέθει μέγιστον δεικνύουσι Λοκροί, ὃν ἐκόμισε καὶ ἔθηκε πρὸ τῶν θυρῶν. καὶ τὸν ἐν Τεμέσῃ ἥρωα φόρους πραττόμενον παρὰ τῶν προσοίκων ἔπαυσεν· ἀφικόμενος γὰρ ἐς τὸ ἱερὸν αὐτοῦ, ὅπερ ἄβατον ἦν τοῖς πολλοῖς, διηγωνίσατο πρὸς αὐτόν, καὶ ἠνάγκασεν ὥνπερ ἐσύλησεν ἀποτῖσαι πλείω. ἐντεῦθέν τοι καὶ διέρρευσεν ἡ παροιμία ἡ λέγουσα ἐπὶ τῶν ἀλυσιτελῶς τι κερδαινόντων ὅτι αὐτοῖς ἀφίξεται ὁ ἐν Τεμέσῃ ἥρως. λέγουσι δὲ τὸν αὐτὸν Εὔθυμον καταβάντα ἐπὶ τὸν Καικῖνον ποταμὸν ὃς ἐστι πρὸ τῆς τῶν Λοκρῶν πόλεως ἀφανισθῆναι.

Digitized by Google

Ὅτι τοῦτο ἐπιγέγραπται Ἀναξαγόρᾳ 19

ἐνθάδ' ὁ πλεῖστον ἀληθείας ἐπὶ τέρμα περήσας
οὐρανίου κόσμου κεῖται Ἀναξαγόρας.

Ὅτι καὶ βωμὸς αὐτῷ ἵσταται καὶ ἐπιγέγραπται οἳ μὲν Νοῦ οἳ δὲ Ἀληθείας. 5

Θ

Ἱέρωνά φασι τὸν Συρακόσιον φιλέλληνα γενέσθαι 1
καὶ τιμῆσαι παιδείαν ἀνδρειότατα. καὶ ὡς ἦν προχειρότατος ἐς τὰς εὐεργεσίας λέγουσι· προθυμότερον γὰρ αὐτόν φασι χαρίζεσθαι ἢ τοὺς αἰτοῦντας λαμ- 10
βάνειν. ἦν δὲ καὶ τὴν ψυχὴν ἀνδρειότατος. ἀβασανίστως δὲ καὶ τοῖς ἀδελφοῖς συνεβίωσε τρισὶν οὖσι, πάνυ σφόδρα ἀγαπήσας αὐτοὺς καὶ ὑπ' αὐτῶν φιληθεὶς ἐν τῷ μέρει. τούτῳ φασὶ καὶ Σμωνίδης συνεβίωσε καὶ Πίνδαρος, καὶ οὐκ ἄκνησέ γε Σμωνίδης 15
βαρὺς ὢν ὑπὸ γήρως πρὸς αὐτὸν ἀφικέσθαι· ἦν μὲν γὰρ καὶ φύσει φιλάργυρος ὁ Κεῖος, προύτρεπε δὲ αὐτὸν καὶ πλέον ἡ τοῦ Ἱέρωνος φιλοδωρία φασίν.

Ὅτι ἐν Αἰγίνῃ ἐξ Ὀλυμπίας αὐθημερὸν διηγγέλη 2
ἡ νίκη τοῦ Ταυροσθένους τῷ πατρὶ αὐτοῦ ὑπὸ φάσμα- 20
τός φασιν. ἄλλοι δέ φασι περιστερὰν τὸν Ταυροσθένην ἐπαγαγέσθαι ἀπολιποῦσαν τοὺς ἑαυτῆς νεοττοὺς ὑγροὺς ἔτι καὶ ἀπτῆνας, νικήσαντα δὲ ἀφεῖναι τὴν πελειάδα, προσάψαντα πορφύραν αὐτῇ· τὴν δὲ ἐπειγομένην πρὸς τοὺς νεοττοὺς ἀπαυθημερίσαι ἐκ 25
Πίσης ἐς Αἴγιναν.

Digitized by Google

3 Ὅτι διέθρυπτε τοὺς ἑταίρους Ἀλέξανδρος, τρυφᾶν ἐπιχωρῶν αὐτοῖς, εἴ γε καὶ Ἄγνων χρυσοῦς ἥλους ἐν ταῖς κρηπῖσιν ἐφόρει. Κλεῖτος δὲ εἰπότε μέλλοι τισὶ χρηματίζειν, ἐπὶ πορφυρῶν εἱμάτων βαδίζων τοὺς δεομένους προσίετο. Περδίκκᾳ δὲ καὶ Κρατερῷ φιλογυμναστοῦσιν ἠκολούθουν διφθέραι σταδιαῖαι τὸ μέγεθος, ὑφ' αἷς περιλαμβάνοντες τόπον εὐμεγέθη ἐν ταῖς καταστρατοπεδείαις ἐγυμνάζοντο. εἴπετο δὲ αὐτοῖς καὶ πολλὴ κόνις δι' ὑποζυγίων ἐς τὰ γυμνάσια λυσιτελὴς οὖσα. Λεοννάτῳ δὲ καὶ Μενελάῳ φιλοθηροῦσιν αὐλαῖαι σταδίων ἑκατὸν ἠκολούθουν. αὐτῷ δὲ Ἀλεξάνδρῳ ἡ μὲν σκηνὴ ἦν κλινῶν ἑκατόν, χρυσοῖ δὲ κίονες πεντήκοντα διειλήφεσαν αὐτὴν καὶ τὸν ὄροφον αὐτῆς ἀνεῖχον, αὐτὸς δὲ ὁ ὄροφος διάχρυσος ἦν καὶ ἐκπεπόνητο ποικίλμασι πολυτελέσι. καὶ πρῶτοι μὲν Πέρσαι πεντακόσιοι οἱ καλούμενοι μηλοφόροι περὶ αὐτὴν ἐντὸς εἱστήκεσαν, πορφυρᾶς καὶ μηλίνας ἠσθημένοι στολάς· ἐπ' αὐτοῖς δὲ τοξόται χίλιοι, φλόγινα ἐνδεδυκότες καὶ ὑσγινοβαφῆ· πρὸ δὲ τούτων οἱ ἀργυράσπιδες πεντακόσιοι Μακεδόνες. ἐν μέσῃ δὲ τῇ σκηνῇ χρυσοῦς ἐτίθετο δίφρος, καὶ ἐπ' αὐτῷ καθήμενος Ἀλέξανδρος ἐχρημάτιζε, περιεστώτων αὐτῷ πανταχόθεν τῶν σωματοφυλάκων. περιῄει δὲ τὴν σκηνὴν περίβολος, ἔνθα ἦσαν Μακεδόνες χίλιοι καὶ Πέρσαι μύριοι. καὶ οὐδεὶς ἐτόλμα ῥᾳδίως προσελθεῖν αὐτῷ· πολὺ γὰρ ἦν τὸ ἐξ αὐτοῦ δέος ἀρθέντος ὑπὸ φρονήματος καὶ τύχης ἐς τυραννίδα.

4 Πολυκράτης ὁ Σάμιος ἐν Μούσαις ἦν, καὶ Ἀνακρέοντα ἐτίμα τὸν Τήιον καὶ διὰ σπουδῆς ἦγε, καὶ ἔχαιρεν αὐτῷ καὶ τοῖς ἐκείνου μέλεσιν. οὐκ ἐπαινῶ δὲ αὐτοῦ τὴν τρυφήν. Ἀνακρέων ἐπῄνεσε Σμερδίην θερμότερον τὰ παιδικὰ Πολυκράτους, εἶτα ἤσθη τὸ

Digitized by Google

μειράκιον τῷ ἐπαίνῳ, καὶ τὸν Ἀνακρέοντα ἠσπάζετο σεμνῶς εὖ μάλα, ἐρῶντα τῆς ψυχῆς, ἀλλ' οὐ τοῦ σώματος. μὴ γάρ τις ἡμῖν διαβαλλέτω πρὸς θεῶν τὸν ποιητὴν τὸν Τήιον, μηδ' ἀκόλαστον εἶναι λεγέτω. ἐξηλοτύπησε δὲ Πολυκράτης ὅτι τὸν Σμερδίην ἐτίμησε, καὶ ἑώρα τὸν ποιητὴν ὑπὸ τοῦ παιδὸς ἀντιφιλούμενον· καὶ ἀπέκειρε τὸν παῖδα ὁ Πολυκράτης, ἐκεῖνον μὲν αἰσχύνων, οἰόμενος δὲ λυπεῖν Ἀνακρέοντα. ὃ δὲ οὐ προσεποιήσατο αἰτιᾶσθαι τὸν Πολυκράτη σωφρόνως καὶ ἐγκρατῶς, μετήγαγε δὲ τὸ ἔγκλημα ἐπὶ τὸ μειράκιον ἐν οἷς ἐπεκάλει τόλμαν αὐτῷ καὶ ἀμαθίαν ὀπλισαμένῳ κατὰ τῶν ἑαυτοῦ τριχῶν. τὸ δὲ ᾆσμα τὸ ἐπὶ τῷ πάθει τῆς κόμης Ἀνακρέων ᾄσατω· ἐμοῦ γὰρ αὐτὸς ἄμεινον ᾄσεται. 5

Θεμιστοκλῆς Ἱέρωνα ἥκοντα ἐς Ὀλυμπίαν Ὀλυμπίων ἀγομένων ἵππους ἄγοντα εἶρξε τῆς ἀγωνίας εἰπὼν τὸν μὴ μεταλαβόντα τοῦ μεγίστου τῶν κινδύνων τῶν πανηγύρεων μεταλαμβάνειν μὴ δεῖν· καὶ ἐπῃνέθη Θεμιστοκλῆς. 6

Ὅτι Περικλῆς ἐν τῷ λοιμῷ τοὺς παῖδας ἀποβαλὼν ἀνδρειότατα τὸν θάνατον αὐτῶν ἤνεγκε, καὶ πάντας Ἀθηναίους εὐθυμότερον ἔπεισε τοὺς τῶν φιλτάτων θανάτους φέρειν. 7

Ἡ Ξανθίππη ἔφη μυρίων μεταβολῶν τὴν πόλιν καὶ αὐτοὺς κατασχουσῶν ἐν πάσαις ὅμοιον τὸ Σωκράτους πρόσωπον καὶ προϊόντος ἐκ τῆς οἰκίας καὶ ἐπανιόντος θεάσασθαι· ἥρμοστο γὰρ πρὸς πάντα ἐπιεικῶς, καὶ ἦν ἵλεως ἀεὶ τὴν διάνοιαν καὶ λύπης ὑπεράνω πάσης καὶ φόβου κρείττων παντός. 8

Ὁ νέος Διονύσιος ἐς τὴν τῶν Λοκρῶν πόλιν παριὼν (εἰ γε Δωρὶς ἡ μήτηρ αὐτοῦ Λοκρὶς ἦν) οἶκον τῶν ἐν τῇ πόλει τὸν μέγιστον καταλαμβάνων, ῥόδοις

Digitized by Google

καὶ ἑρπύλλοις καὶ ἄλλοις ἄνθεσι καταστρωννὺς τὰς τῶν Λοκρῶν θυγατέρας μετεπέμπετο, καὶ συνῆν αὐταῖς ἀκολαστότατα. ὑπὲρ δὴ τούτου ἔτισε δίκην· ἐπειδὴ γὰρ αὐτοῦ ἡ τυραννὶς κατελύθη ὑπὸ Δίωνος, ἐνταῦθα οἱ Λοκροὶ τὴν γυναῖκα τοῦ Διονυσίου καὶ τὰς θυγατέρας κατεπόρνευσαν, καὶ ἀνέδην αὐταῖς ἐνύβριζον πάντες, μάλιστα οἱ προσήκοντες ταῖς παρθένοις ταῖς ὑπὸ Διονυσίου διεφθαρμέναις. ἡνίκα δὲ διακορεῖς ἐγένοντο ὑβρίζοντες, κεντοῦντες αὐτὰς ὑπὸ τοῖς ὄνυξι τοῖς τῶν χειρῶν βελόναις ἀπέκτειναν. τὰ δὲ ὀστᾶ κατέκοψαν ἐν ὅλμοις, καὶ τὰ κρέα τῶν ὀστῶν ἀφελόντες ἐπηράσαντο τοῖς μὴ γευσαμένοις αὐτῶν· εἴ δέ τι περιελείφθη ἐξ αὐτῶν, κατεπόντωσαν. ὃ δὲ ἐν Κορίνθῳ πολλαῖς καὶ ποικίλαις χρησάμενος βίου μεταβολαῖς διὰ τὴν ὑπερβάλλουσαν ἀπορίαν, τελευταῖον δὲ μητραγυρτῶν καὶ κρούων τύμπανα καὶ καταυλούμενος τὸν βίον κατέστρεψεν.

9 Δημήτριος ὁ Πολιορκητὴς ἥρει τὰς πόλεις, καὶ τῇ ἑαυτοῦ τρυφῇ καταχρώμενος χίλια καὶ διακόσια τάλαντα πρόσοδον ἑαυτῷ περιεποιήσατο καθ' ἕκαστον ἔτος, καὶ ἐκ τούτων ὀλίγα μὲν ἐς τὸ στρατόπεδον ἐδαπάνα, τὰ δὲ λοιπὰ ἐς τὴν ἀκολασίαν τὴν ἑαυτοῦ. μύροις τε ἐρραίνετο αὐτῷ τὸ δάπεδον καὶ καθ' ἑκάστην ἔτους ὥραν τὰ ἐνακμάζοντα τῶν ἀνθῶν ὑπεσπείρετο αὐτῷ, ἵνα κατ' αὐτῶν βαδίζῃ. ἦν δὲ καὶ πρὸς γυναῖκας ἀκόλαστος, καὶ νεανικοῖς ἔρωσιν ἐπεχείρει. ἔμελε δὲ αὐτῷ καὶ καλῷ εἶναι εὐθετίζοντι τὴν τρίχα καὶ ξανθιζομένῳ καὶ ὑπαλειφομένῳ τὸ πρόσωπον παιδέρωτι. καὶ τοῖς ἄλλοις δὲ ἐχρίετο ἀλείμμασι, προσφιλοτιμούμενος τῇ ῥᾳθυμίᾳ.

10 Ὁ Πλάτων, νοσεροῦ χωρίου λεγομένου εἶναι τῆς Ἀκαδημείας, καὶ συμβουλευόντων αὐτῷ τῶν ἰατρῶν

Digitized by Google

ἐς τὸ Λύκειον μετοικῆσαι, οὐκ ἠξίωσεν εἰπὼν 'ἀλλ' ἔγωγε οὐκ ἂν οὐδὲ ἐς τὰ τοῦ Ἄθω μετῴκησα ἂν ὑπὲρ τοῦ μακροβιώτερος γενέσθαι.

Παρράσιος ὁ ζωγράφος ὅτι μὲν πορφυρίδα ἐφόρει καὶ χρυσοῦν στέφανον περιέκειτο μαρτυροῦσι καὶ ἄλλοι καὶ τὰ ἐπιγράμματα δὲ ἐπὶ πολλῶν εἰκόνων αὐτοῦ· ἠγωνίσατο δέ ποτε ἐν Σάμῳ, συνέτυχε δὲ ἀντιπάλῳ οὐ κατὰ πολὺ ἐνδεεστέρῳ αὐτοῦ εἶτα ἡττήθη. τὸ δὲ ἐπίγραμμα ἦν αὐτῷ ὁ Αἴας ὑπὲρ τῶν ὅπλων τῶν Ἀχιλλέως ἀγωνισάμενος πρὸς τὸν Ὀδυσσέα. ἡττηθεὶς δὲ εὖ μάλα ἀστείως ἀπεκρίνατο πρὸς τὸν συναχθόμενον αὐτῷ τῶν ἑταίρων ὁ Παρράσιος· ἔφη γὰρ αὐτὸς μὲν ὑπὲρ τῆς ἥττης ὀλίγον φροντίζειν, συνάχθεσθαι δὲ τῷ παιδὶ τοῦ Τελαμῶνος δεύτερον τοῦτο ὑπὲρ τῶν αὐτῶν ἡττηθέντι. κατεῖχε δὲ καὶ σκίπωνα χρυσᾶς ἕλικας ἔχοντα περιερπούσας, χρυσοῖς τε ἀνασπάστοις ἐπέσφιγγε τοὺς ἀναγωγέας τῶν βλαυτῶν. φασὶ δὲ αὐτὸν μήτε ἄκοντα μήτε ἐπικόνως τὰ ἐν τῇ τέχνῃ χειρουργεῖν, πάνυ δὲ εὐθύμως καὶ ῥᾳδίως· καὶ γὰρ καὶ ᾠδὲ καὶ ὑποκινυρόμενος τὸν κάματον τὸν ἐκ τῆς ἐπιστήμης ἐπειρᾶτο ἐπελαφρύνειν. λέγει δὲ ταῦτα Θεόφραστος. 11

Ὅτι Ῥωμαῖοι Ἀλκαῖον καὶ Φιλίσκον τοὺς Ἐπικουρείους ἐξέβαλον τῆς πόλεως, ὅτι πολλῶν καὶ ἀτόπων ἡδονῶν ἐσηγηταὶ τοῖς νέοις ἐγένοντο. καὶ Μεσσήνιοι δὲ ἐξέωσαν τοὺς Ἐπικουρείους. 12

Διονύσιον τὸν Ἡρακλεώτην, Κλεάρχου τοῦ τυράννου υἱόν, ἀκούω ἐκ τῆς καθ' ἡμέραν ἀδηφαγίας καὶ τρυφῆς λαθεῖν ἑαυτὸν ὑπερσαρκήσαντα καὶ καταπιανθέντα. τὰ ἐπίχειρα γοῦν τοῦ κατὰ τὸ σῶμα μεγέθους καὶ τοῦ περὶ τὰς σάρκας ὄγκου ἐκαρπώσατο δύσπνοιαν. φάρμακον οὖν αὐτῷ τοῦδε τοῦ πάθους 13

Digitized by Google

συνέταξάν φασιν οἱ ἰατροὶ βελόνας λεπτὰς κατασκευάσαι μηκίστας εἶτα ταύτας διὰ τῶν πλευρῶν καὶ τῆς κοιλίας διωθεῖν, ὅταν ἐς ὕπνον τύχῃ βαθύτερον ἐμπεσών. ἦν δὲ ἄρα τοῦτο ἐπιμελὲς ἐκείνοις δρᾶν, ἕστε ὅλη διὰ τῆς πεπωρωμένης καὶ τρόπον τινὰ ἀλλοτρίας αὐτοῦ σαρκὸς διεῖρπεν ἡ βελόνη· ἀλλ' ἐκεῖνός γε ἔκειτο λίθου διαφέρων οὐδέν. εἰ δὲ ἀφίκπτο τὸ βέλος ἔνθα λοιπὸν ἦν αὐτῷ τὸ σῶμα ἐρρωμένον καὶ ἴδιον, ἀλλ' οὐκ ἐκ τῆς ἄγαν πιμελῆς ἀλλότριον, τηνικαῦτα καὶ ἐκεῖνος ἠσθάνετο, καὶ ἠγείρετο ἐκ τοῦ ὕπνου. τοὺς δὲ χρηματισμοὺς ἐποιεῖτο τοῖς βουλομένοις αὐτῷ προσιέναι, κιβατὸν τοῦ σώματος προβαλλόμενος. οἱ δὲ οὐ κιβωτόν φασιν ἀλλὰ πυργίσκον, ἵνα τὰ μὲν λοιπὰ αὐτοῦ μέρη ἀποκρύπτοιτο, τὸ δὲ πρόσωπον μόνον ὑπερέχων διαλέγοιτο, πονηράν, ὦ θεοί, ταύτην ἐκεῖνος τὴν στολὴν περιαμπεχόμενος, καὶ θηρίου φρουρὰν μᾶλλον ἢ ἀνθρώπου ἐσθῆτα.

14 Φιλητᾶν λέγουσι τὸν Κῷον λεπτότατον γενέσθαι τὸ σῶμα. ἐπεὶ τοίνυν ἀνατραπῆναι ῥᾴδιος ἦν ἐκ πάσης προφάσεως, μολίβδου φασὶ πεποιημένα εἶχεν ἐν τοῖς ὑποδήμασι πέλματα, ἵνα μὴ ἀνατρέπηται ὑπὸ τῶν ἀνέμων, εἴ ποτε σκληροὶ κατέπνεον. εἰ δὲ ἦν οὕτως ἀδύνατος, ὥστε μὴ ἀντέχειν πνεύματι, πῶς οἷός τε ἦν τοσοῦτον φορτίον ἐπάγεσθαι; ἐμὲ μὲν οὖν τὸ λεχθὲν οὐ πείθει· ὃ δὲ ἔγνων ὑπὲρ τοῦ ἀνδρός, τοῦτο εἶπον.

15 Ὅτι ποιητικῆς ἁπάσης Ἀργεῖοι τὰ πρῶτα Ὁμήρῳ ἔδωκαν, δευτέρους δὲ αὐτοῦ ἕτερον πάντας. ποιοῦντες δὲ θυσίαν, ἐπὶ ξένια ἐκάλουν τὸν Ἀπόλλωνα καὶ Ὅμηρον. λέγεται δὲ κἀκεῖνο πρὸς τούτοις, ὅτι ἄρα ἀπορῶν ἐκδοῦναι τὴν θυγατέρα, ἔδωκεν αὐτῇ προῖκα ἔχειν τὰ ἔπη τὰ Κύπρια. καὶ ὁμολογεῖ τοῦτο Πίνδαρος.

Digitized by Google

Τὴν Ἰταλίαν ᾤκησαν πρῶτοι Αὔσονες αὐτόχθονες. 16
πρεσβύτατον δὲ γενέσθαι Μάρην τινὰ καλούμενον, οὗ
τὰ μὲν ἔμπροσθεν λέγουσιν ἀνθρώπῳ ὅμοια, τὰ κατό-
πισθεν δὲ ἵππῳ· αὐτὸ δὲ τοὔνομα εἰς τὴν Ἑλλάδα
φασὶν ἱπποµιγὴς θύναται. δοκεῖ δέ μοι πρῶτος ἵπ- 5
πον ἀναβῆναι καὶ ἐμβαλεῖν αὐτῷ χαλινόν, εἶτα ἐκ
τούτου διφυὴς πιστευθῆναι. μυθολογοῦσι δὲ αὐτὸν
καὶ βιῶναι ἔτη τρία καὶ εἴκοσι καὶ ἑκατόν, καὶ ὅτι
τρὶς ἀποθανὼν ἀνεβίω τρίς· ἐμοὶ δὲ οὐ πιστὰ δο-
κοῦσιν. ὅτι τὴν Ἰταλίαν φασὶν οἰκῆσαι ἔθνη πάμ- 10
πολλα καὶ ὅσα οὐκ ἄλλην γῆν. τὸ δὲ αἴτιον, διὰ τὴν
τῶν ὡρῶν εὐκρασίαν καὶ τὴν τῆς χώρας ἀρετὴν καὶ
τὸ ἔνυδρον αὐτῆς καὶ τὸ πάμφορον καὶ τὸ εὔβοτον
καὶ ὅτι ποταμοῖς ἐστι κατάρρυτος καὶ ὅτι θάλαττα
ἀγαθὴ παράκειται αὐτῇ ὅρμοις πανταχόθεν διειλημ- 15
μένη καὶ καταγωγαῖς ἀφθόνοις καὶ κατάρσεσιν. ἀλλὰ
καὶ τὸ τῶν οἰκητόρων ἦμερον καὶ πρᾶον ἐπῆρε πολ-
λοὺς ἐς τὴν μετοίκησιν. καὶ ὅτι πόλεις ᾤκησαν τὴν
Ἰταλίαν πάλαι ἑπτὰ καὶ ἐνενήκοντα καὶ ἑκατὸν πρὸς
ταῖς χιλίαις. 20

Κουφότητα ἔοικε κατηγορεῖν οὗτος ὁ λόγος ὁ λέγων 17
περὶ Δημοσθένους ὅτι ἄρα τύφου αὐτὸν ὑπεπλήρουν
καὶ οἱ ὑδροφοροῦντες, εἴ ποτε παριόντος αὐτοῦ ὑπὲρ
αὐτοῦ τι ψιθυρίσαιεν. ὃς γὰρ καὶ ὑπ' ἐκείνων ἐκου-
φίζετο καὶ ἐπαιρόμενος ἦν δῆλος, τίς ἦν, εἴ ποτε ὑπὸ 25
τῆς ἐκκλησίας ἐκροτήθη.

Θεμιστοκλῆς ὁ Νεοκλέους ἑαυτὸν εἴκαζε ταῖς 18
δρυσί, λέγων ὅτι καὶ ἐκείνας ὑπέρχονται οἱ ἄνθρωποι,
καὶ δέονται αὐτῶν, εἰ ὗοι, στέγην τὴν ἐκ τῶν κλάδων
ποθοῦντες· ὅταν δὲ οὖσης εὐδίας παρίωσι, τίλλουσιν 30
αὐτὰς καὶ περικλῶσιν. καὶ αὐτὸς οὖν ἔλεγεν ὑπὸ
τοῦ δήμου τὰ αὐτὰ πάσχειν.

Digitized by Google

Ὁ δὲ αὐτὸς ἔλεγεν, εἴ μοί τις ὁδοὺς δύο δείξειε, τὴν μὲν ἐς ᾅδου φέρουσαν, τὴν δὲ ἐπὶ τὸ βῆμα, ἥδιον ἂν τὴν ἑτέραν ἦλθον τὴν εὐθὺ τοῦ ᾅδου.

19 Ἥρίστα ποτὲ Διογένης ἐν καπηλείῳ, εἶτα παριόντα Δημοσθένη ἐκάλει. τοῦ δὲ μὴ ὑπακούσαντος 'αἰσχύνῃ' ἔφη, 'Δημόσθενες, παρελθεῖν ἐς καπηλεῖον; καὶ μὴν ὁ κύριός σου καθ' ἑκάστην ἡμέραν ἐνθάδε ἔσεισι,' τοὺς δημότας λέγων καὶ τοὺς καθ' ἕνα· δηλῶν ὅτι οἱ δημηγόροι καὶ οἱ ῥήτορες δοῦλοι τοῦ πλήθους εἰσί.

20 Πλέων Ἀρίστιππος χειμῶνος ἐπιγενομένου πάνυ σφόδρα ἐταράττετο. ἔφη δέ τις τῶν συμπλεόντων 'ὦ Ἀρίστιππε, καὶ σὺ δέδοικας, ὡς οἱ πολλοί;' ὃ δὲ 'καὶ μάλα γε εἰκότως· ὑμῖν μὲν γὰρ περὶ κακοδαίμονός ἐστι βίου ἡ σπουδὴ καὶ ὁ νῦν κίνδυνος, ἐμοὶ δὲ περὶ εὐδαίμονος.'

1 Θηραμένης ἔτυχεν ἐν οἰκίᾳ τινὶ διατρίβων, εἶτα ἐπεὶ προῆλθεν αὐτῆς, παραχρῆμα ἐκείνη κατηνέχθη. οἱ μὲν οὖν Ἀθηναῖοι ἄλλοι ἀλλαχόθεν αὐτῷ περιφύντες συνήδοντο ἐπὶ τῇ σωτηρίᾳ τῇ παραδόξῳ, ὃ δὲ παρὰ τὴν πάντων ἐλπίδα ἀπεκρίνατο 'ὦ Ζεῦ, ἐς τίνα με καιρὸν φυλάττεις;' καὶ μετ' οὐ πολὺν χρόνον ὑπὸ τῶν τριάκοντα ἀνῃρέθη, πιεῖν κώνειον κατακριθείς.

22 Λέγουσι τοὺς Πυθαγορείους πάνυ σφόδρα περὶ τὴν ἰατρικὴν σπουδάσαι τέχνην. καὶ Πλάτων δὲ φροντίδα ἐς αὐτὴν ἔσχε πλείστην καὶ Ἀριστοτέλης ὁ Νικομάχου καὶ ἄλλοι πολλοί.

23 Ἀριστοτέλης ἐνόσει ποτέ. προσέταξε δὲ αὐτῷ ὁ ἰατρὸς πρόσταγμά τι. καὶ ἐκεῖνος 'μήτε ὡς βοηλάτην με' ἔφη 'θεράπευε μήτε ὡς σκαπανέα, ἀλλὰ διδάξας πρότερον τὴν αἰτίαν, οὕτως ἕξεις ἕτοιμον πρὸς τὸ πείθεσθαι,' διδάσκων ἐκ τούτων μηδὲν χωρὶς αἰτίας προσφέρειν.

Digitized by Google

Σμινδυρίδης ὁ Συβαρίτης ἐς τοσοῦτον τρυφῆς 24
ἐξώκειλε (καὶ γάρ τοι Συβαρίταις πᾶσιν ἔργον ἦν
τρυφᾶν καὶ τῷ βίῳ διαρρεῖν, ὁ δὲ Σμινδυρίδης καὶ
πλέον)· φύλλοις ῥόδων γοῦν ἐπαναπεσὼν καὶ κοιμη-
θεὶς ἐπ' αὐτῶν ἐξανέστη λέγων φλυκταίνας ἐκ τῆς
εὐνῆς ἔχειν. σχολῇ γ' ἂν οὗτος ἐπὶ χαμεύνης κατε-
κλίθη ἢ στιβάδος ἢ πόας ἐν προσάντει πεφυκυίας ἢ
ταύρου δορᾶς, ὡς ὁ Διομήδης, πρεπούσης στρατιώτῃ
σκληρῷ καὶ γενναίῳ.

ὑπὸ δ' ἔστρωτο ῥινὸν βοὸς ἀγραύλοιο.

Πεισίστρατος ὅτε τῆς ἀρχῆς ἐγκρατὴς ἐγένετο, 25
μετεπέμπετο τοὺς ἐν ταῖς ἀγοραῖς ἀποσχολάζοντας,
καὶ ἐπυνθάνετο τί δή ποτε εἴη τὸ αἴτιον τοῦ ἀλύειν
αὐτούς. καὶ ἐπέλεγεν 'εἰ μέν σοι τέθνηκε ζεῦγος,
παρ' ἐμοῦ λαβὼν ἄπιθι καὶ ἐργάζου· εἰ δὲ ἀπορεῖς
σπερμάτων, παρ' ἐμοῦ σοι γενέσθω,' δεδιὼς μὴ ἡ
σχολὴ τούτων ἐπιβουλὴν τέκῃ.

Ζήνωνα τὸν Κιτιέα δι' αἰδοῦς ἄγαν καὶ σπουδῆς 26
ἦγεν Ἀντίγονος ὁ βασιλεύς. καί ποτε οὖν ὑπερπλη-
σθεὶς οἴνου ἐπεκώμασε τῷ Ζήνωνι, καὶ φιλῶν αὐτὸν
καὶ περιβάλλων ἅτε ἐξοινος ὢν ἠξίου τι αὐτὸν προσ-
τάξαι, ὁμνὺς καὶ νεανιευόμενος σὺν ὅρκῳ μὴ ἀτυχή-
σειν τῆς αἰτήσεως. ὃ δὲ λέγει αὐτῷ 'πορευθεὶς ἔμε-
σον,' σεμνῶς ἅμα καὶ μεγαλοφρόνως τὴν μέθην
ἐλέγξας καὶ φεισάμενος αὐτοῦ, μήποτε διαρραγῇ ὑπὸ
πλησμονῆς.

Ἀνδρὶ Λακωνικῷ μὲν χωριτικῷ δὲ ἐπέπληξέ τις 27
πενθοῦντι πάνυ σφόδρα ἐκθύμως. ὃ δὲ ἁπλάστως
ἀπεκρίνατο 'τί πάθω;' φησίν 'οὐ γὰρ ἐγὼ αἴτιος τού-
του, ἀ φύσις δέ μου φέει.'

Digitized by Google

28 Ἐπῄνει Σπαρτιάτης τὸ ἔπος Ἡσιόδου τὸ λέγον οὐδ' ἂν βοῦς ἀπόλοιτ', εἰ μὴ γείτων κακὸς εἴη, ἀκούοντος Διογένους· ὃ δὲ εἶπε· καὶ μὴν Μεσσήνιοι καὶ οἱ βόες αὐτῶν ἀπολώλασι, καὶ ὑμεῖς αὐτῶν ἐστε οἱ γείτονες.

29 Τῆς νυκτὸς ἤδη προηκούσης ἐπάνεισί ποτε ἀπὸ δείπνου Σωκράτης. νεανίσκοι γοῦν ἀκόλαστοι προμαθόντες ἐνελόχησαν ἐπανιόντα, δᾷδας ἔχοντες ἡμμένας καὶ Ἐριννύων πρόσωπα. ἔθος δὲ ἦν αὐτοῖς καὶ ἄλλοις προσπαίζειν διὰ τὴν σχολὴν τὴν ἐπὶ τὰ χείρω. οὓς ἰδὼν ὁ Σωκράτης οὐ διεταράχθη, ἀλλ' ἐπιστὰς ἠρώτα οἷα καὶ τοὺς ἄλλους ἢ ἐν Λυκείῳ ἢ ἐν Ἀκαδημείᾳ.

Ἑορτῆς οὔσης παρὰ τοῖς Ἀθηναίοις ἐφιλοτιμήσατο Ἀλκιβιάδης δῶρα πολλὰ πέμψαι τῷ Σωκράτει. τῆς οὖν Ξανθίππης καταπλαγείσης καὶ τὸν Σωκράτην λαβεῖν αὐτὰ ἀξιούσης, ὃ δὲ ἔφη· ἀλλὰ καὶ ἡμεῖς τῇ φιλοτιμίᾳ τῇ τοῦ Ἀλκιβιάδου παραταξώμεθα μὴ λαβεῖν τὰ πεμφθέντα ἀντιφιλοτιμησάμενοι.' ἐπεὶ δέ τις ἔφη πρὸς αὐτὸν ὅτι μέγα ἐστὶν ὧν ἐπιθυμεῖ τις τούτων τυχεῖν, ὃ δὲ· ἀλλὰ μεῖζόν ἐστι τὸ μηδὲ ἐπιθυμεῖν τὴν ἀρχήν.'

30 Ἀνάξαρχος ὅτε σὺν Ἀλεξάνδρῳ ἐστρατεύετο, χειμῶνος ἐπιγενομένου προμαθὼν ὅτι μέλλει ὁ Ἀλέξανδρος ἐν ἀξύλῳ ποιεῖσθαι χωρίῳ τὴν στρατοπεδείαν, ὅσα εἶχε σκεύη, ταῦτα ἐκρίψας, τοῖς σκευοφόροις ἐπέθηκε ξύλα. ἐπεὶ δὲ ἐς τὸν σταθμὸν ἀφίκοντο, καὶ ἐνέδει ξύλων, Ἀλεξάνδρου μὲν αἱ κλῖναι κατεκάοντο, ἵνα ἑαυτὸν ἀλεᾶναι δυνηθῇ· ἐπεὶ δέ τις παρὰ Ἀναξάρχῳ πῦρ εἶναι ἤγγειλεν, ἀφίκετο παρ' αὐτὸν καὶ ἠλείψατο ἐν τῇ σκηνῇ τοῦ Ἀναξάρχου. καὶ πυθόμενος

Digitized by Google

τὴν προμήθειαν ὑπερεπήνεσε, καὶ ὧν ἐξέρριψε διπλάσιον ἔδωκε ὑπὲρ τῆς τοῦ πυρὸς χρείας.

Ἀθλητὴς Κροτωνιάτης Ὀλυμπιονίκης ἀπιὼν πρὸς 31
τοὺς Ἑλλανοδίκας, ἵνα λάβῃ τὸν στέφανον, ἐπίληπτος
γενόμενος ἀπέθανε κατενεχθεὶς μετὰ πτώματος.

Φρύνην τὴν ἑταίραν ἐν Δελφοῖς ἀνέστησαν οἱ 32
Ἕλληνες ἐπὶ κίονος εὖ μάλα ὑψηλοῦ. οὐκ ἐρῶ δὲ
ἁπλῶς τοὺς Ἕλληνας, ὡς ἂν μὴ δοκοίην δι' αἰτίας
ἄγειν πάντας, οὓς φιλῶ πάντων μάλιστα, ἀλλὰ τοὺς
τῶν Ἑλλήνων ἀκρατεστέρους. τὸ δὲ ἄγαλμα χρυσοῦν
ἦν. καὶ αἱ Κίμωνος δὲ ἵπποι χαλκαῖ καὶ αὗται Ἀθήνησιν εἱκασμέναι ὅτι μάλιστα ταῖς Κίμωνος ἵπποις εἱστήκεσαν.

Μειράκιον Ἐρετρικὸν προσεφοίτησε Ζήνωνι πλείονος χρόνου, ἔστ' ἐς ἄνδρας ἀφίκετο. ὕστερον οὖν 33
ἐς τὴν Ἐρετρίαν ἐπανῆλθε, καὶ αὐτὸν ὁ πατὴρ ἤρετο
ὅ τι ἄρα μάθοι σοφὸν ἐν τῇ τοσαύτῃ διατριβῇ τοῦ
χρόνου. ὃ δὲ δείξειν ἔφη, καὶ οὐκ ἐς μακρὰν ἔδρασε
τοῦτο. χαλεπήναντος γὰρ αὐτῷ τοῦ πατρὸς καὶ τέλος πληγὰς ἐντείναντος, ὃ δὲ τὴν ἡσυχίαν ἀγαγὼν
καὶ ἐγκαρτερήσας τοῦτο ἔφη μεμαθηκέναι, φέρειν
ὀργὴν πατέρων καὶ μὴ ἀγανακτεῖν.

Διογένης ἐς Ὀλυμπίαν ἐλθὼν καὶ θεασάμενος ἐν 34
τῇ πανηγύρει Ῥοδιακούς τινας νεανίσκους πολυτελῶς
ἠσθημένους, γελάσας 'τῦφος' ἔφη 'τοῦτό ἐστιν.' εἶτα
περιτυχὼν Λακεδαιμονίοις ἐν ἐξωμίσι φαύλαις καὶ
ῥυπώσαις 'ἄλλος' εἶπεν 'οὗτος τῦφος.'

Ὁ δὲ Σωκράτης ἰδὼν τὸν Ἀντισθένη τὸ διερρω- 35
γὸς τοῦ ἱματίου μέρος ἀεὶ ποιοῦντα φανερὸν, 'οὐ
παύσῃ' ἔφη 'ἐγκαλλωπιζόμενος ἡμῖν;'

Ψάλτης Ἀντιγόνῳ ἐπεδείκνυτο. τοῦ δὲ πολλάκις 36
λέγοντος 'τὴν νήτην ἐπίσφιγξον,' εἶτα πάλιν 'τὴν

Digitized by Google

μέσην,' ὃ δὲ ἀγανακτήσας ἔφη 'μὴ γένοιτό σοι οὕτω κακῶς, ὦ βασιλεῦ, ὡς ἐμοῦ ταῦτα ἀκριβοῦν μᾶλλον.'

37 Ἀνάξαρχος ὁ ἐπικληθεὶς Εὐδαιμονικὸς κατεγέλα Ἀλεξάνδρου ἑαυτὸν ἐκθεοῦντος. ἐπεὶ δὲ ἐνόσησέ ποτε Ἀλέξανδρος, εἶτα προσέταξεν αὐτῷ ὁ ἰατρὸς φόφημα σκευασθῆναι, γελάσας ὁ Ἀνάξαρχος 'τοῦ μέντοι θεοῦ ἡμῶν' εἶπεν 'ἐν τρυβλίῳ αἱ ἐλπίδες κεῖνται.'

38 Ὁ μὲν Ἀλέξανδρος ἐς τὴν Ἴλιον ἦλθεν. ἀνασκοποῦντι δὲ αὐτῷ φιλοπόνως τῶν τις Τρώων προσελθὼν τὴν λύραν ἐδείκνυεν Ἀλεξάνδρου. ὃ δὲ ἔφη 'προτιμησαίμην ἂν μᾶλλον ἰδεῖν τὴν Ἀχιλλέως.' ὑπέρευγε τοῦτο Ἀλέξανδρος· ἐπόθει γὰρ κτῆμα ἀγαθοῦ στρατιώτου, ᾧ συνῇδεν ἐκεῖνος τὰ τῶν ἀγαθῶν ἀνδρῶν κλέα. τοῦ δὲ Πάριδος τί ἄρα ἦσεν ἡ λύρα, εἰ μὴ μέλη μοιχικὰ καὶ οἷα αἱρεῖν γυναῖκας καὶ θέλγειν;

39 Πῶς δὲ οὐκ ἂν φαίη τις γελοίους ἅμα καὶ παραδόξους τούσδε τοὺς ἔρωτας; τὸν μὲν Ἥρου, ὅτι πλατάνου ἠράσθη. νεανίσκος δὲ Ἀθήνησι τῶν εὖ γεγονότων πρὸς τῷ πρυτανείῳ ἀνδριάντος ἑστῶτος τῆς Ἀγαθῆς Τύχης θερμότατα ἠράσθη. κατεφίλει γοῦν τὸν ἀνδριάντα περιβάλλων, εἶτα ἐκμανεὶς καὶ οἰστρηθεὶς ὑπὸ τοῦ πόθου, παρελθὼν ἐς τὴν βουλὴν καὶ λιτανεύσας ἕτοιμος ἦν πλείστων χρημάτων τὸ ἄγαλμα πρίασθαι. ἐπεὶ δὲ οὐκ ἔπειθεν, ἀναδήσας πολλαῖς ταινίαις καὶ στεφανώσας τὸ ἄγαλμα καὶ θύσας καὶ κόσμον αὐτῷ περιβαλὼν πολυτελῆ εἶτα ἑαυτὸν ἀπέκτεινε, μυρία προκλαύσας. Γλαύκης δὲ τῆς κιθαρῳδοῦ οἱ μέν φασιν ἐρασθῆναι κύνα, οἱ δὲ κριόν, οἱ δὲ χῆνα. καὶ ἐν Σόλοις δὲ τῆς Κιλικίας παιδὸς Ξενοφῶντος ἠράσθη κύων, ἄλλου δὲ ὡραίου μειρακίου ἐν Σπάρτῃ κολοιός.

40 Ὅτι Καρχηδόνιοι δύο κυβερνήτας ἐσῆγον ἐς τὴν

Digitized by Google

ναῦν, ἄτοπον λέγοντες εἶναι δύο μὲν πηδάλια ἔχειν, τὸν δὲ λυσιτελέστατον τοῖς ἐμπλέουσι καὶ τὴν ἀρχὴν ἔχοντα τῆς νεὼς ἔρημον εἶναι καὶ μόνον διαδόχου καὶ κοινωνοῦ.

41 Ἔν τινί φασι συνδείπνῳ παρῆν Σιμωνίδης ὁ Κεῖος καὶ Παυσανίας ὁ Λακεδαιμόνιος. προσέταξεν οὖν ὁ Παυσανίας τῷ Σιμωνίδῃ σοφόν τι εἰπεῖν, ὃ δὲ γελάσας ὁ Κεῖος 'μέμνησο' εἶπεν 'ἄνθρωπος ὤν.' τοῦτο παραχρῆμα μὲν ἐξεφαύλισε Παυσανίας καὶ παρ' οὐδὲν ἔθετο, ὑποτυφόμενος ἤδη ἐς τὸν τοῦ μηδίζειν ἔρωτα, καὶ μεγαλοφρονῶν ἐπὶ τῇ πρὸς βασιλέα ξενίᾳ, ἴσως δὲ καὶ ὑπὸ τοῦ οἴνου παραφερόμενος. ἐπεὶ δὲ ἦν πρὸς τῇ Χαλκιοίκῳ, καὶ διεπάλαιε τῷ λιμῷ καὶ ἔμελλεν ἀποθνήσκειν ἀνθρώπων ἀλγεινότατα, ἀλλὰ τηνικαῦτα ἐμνήσθη τοῦ Σιμωνίδου καὶ ἐξεβόησεν ἐς τρὶς 'ὦ ξένε Κεῖε, μέγα τι ἄρα χρῆμα ἦν ὁ λόγος σου, ἐγὼ δὲ ὑπ' ἀνοίας οὐδὲν αὐτὸν ᾤμην εἶναι.'

42 Ἀρταξέρξου ἀποκτείναντος τὸν πρεσβύτερον υἱὸν Δαρεῖον ἐπιβουλεύοντα, ὁ δεύτερος ἀξιοῦντος τοῦ πατρὸς σπασάμενος τὸν ἀκινάκην ἑαυτὸν πρὸ τῶν βασιλείων ἀπέκτεινεν.

Ι

1 Φερενίκη τὸν υἱὸν ἦγεν ἐς Ὀλύμπια ἀθλεῖν. κωλυόντων δὲ αὐτὴν τῶν Ἑλλανοδικῶν τὸν ἀγῶνα θεάσασθαι, παρελθοῦσα ἐδικαιολογήσατο πατέρα μὲν Ὀλυμπιονίκην ἔχειν καὶ τρεῖς ἀδελφοὺς καὶ αὐτὴ παῖδα Ὀλυμπίων ἀγωνιστήν· καὶ ἐξενίκησε τὸν δῆ-

Digitized by Google

μον καὶ τὸν εἰργοντα νόμον τῆς θέας τὰς γυναῖκας, καὶ ἐθεάσατο Ὀλύμπια.

2 Εὐβώταν τὸν Κυρηναῖον ἰδοῦσα Λαῒς ἠράσθη αὐτοῦ θερμότατα, καὶ περὶ γάμου λόγους προσήνεγ-
5 κεν. ὃ δὲ φοβηθεὶς τὴν ἐξ αὐτῆς ἐπιβουλὴν ὑπέσχετο ταῦτα δράσειν· οὐ μὴν ὡμίλησεν αὐτῇ ὁ Εὐβώτας, σωφρόνως διαβιώσας. ἡ δὲ ὑπόσχεσις αὐτοῦ μετὰ τὴν ἀγωνίαν ἦν. νικήσας οὖν ἵνα μὴ δόξῃ διαφθεῖραι τὰς ὁμολογίας τὰς πρὸς τὴν ἄνθρωπον, εἰκόνα γρα-
10 ψάμενος τῆς Λαΐδος ἐς τὴν Κυρήνην ἐκόμισε, λέγων ἄγειν Λαΐδα καὶ μὴ παραβῆναι τὰς συνθήκας. ἀνθ' ὧν ἡ γυνὴ ἡ νόμῳ γημαμένη αὐτῷ παμμέγιστον ἀνδριάντα ἐν Κυρήνῃ ἀνέστησεν, αὐτὸν ἀμειβομένη τῆς σωφροσύνης.

3
15 Τὰ τῶν περδίκων νεόττια ἐπειδὰν τάχιστα τοὺς πόδας ἔξω ποιήσῃ τοῦ λέμματος, ἐντεῦθεν ἤδη δρομικώτατά ἐστι. τὰ δὲ τῶν νηττῶν νεόττια παραχρῆμα ἐξ ᾠδίνων νήχεται. καὶ οἱ τῶν λεόντων δὲ σκύμνοι καταγράφουσι τοῖς ὄνυξι τὰς μήτρας τῶν μητέρων
20 πρὸς φῶς ἐπειγόμενοι.

4 Ἀλέξανδρος ὁ Φιλίππου τρὶς τετρακόσια στάδια ἐφεξῆς μεθ' ὅπλων ὁδοιπορήσας, συμβαλὼν τοῖς πολεμίοις, πρὶν ἀναπαῦσαι τὸ στρατόπεδον, ἐκράτησε τῶν ἐχθρῶν.

5
25 Φρύγιος οὗτος ὁ λόγος· ἔστι γὰρ Αἰσώπου τοῦ Φρυγός. ὁ δὲ λόγος φησὶ τὴν ὗν ἐὰν αὐτῆς τις ἅψηται, βοᾶν καὶ μάλα γε εἰκότως· οὔτε γὰρ ἔρια ἔχει ὑς οὔτε γάλα οὔτε ἄλλο τι πλὴν τῶν κρεῶν. παραχρῆμα οὖν ὀνειροπολεῖν τὸν θάνατον, εἰδυῖαν ἐς ὅ
30 τι τοῖς χρησομένοις αὐτῇ πέφυκε λυσιτελὴς εἶναι. ἐοίκασι δὲ τῇ ὑὶ τῇ Αἰσώπου οἱ τύραννοι ὑποπτεύ-

Digitized by Google

οντες καὶ δεδοικότες πάντα· ἴσασι γὰρ ὅτι ὥσπερ οὖν αἱ ὗς ὀφείλουσι καὶ ἐκεῖνοι τὴν ψυχὴν πᾶσιν.

Ἐκωμῳδοῦντο ἐς λεπτότητα Σαννυρίων ὁ κωμῳδίας ποιητὴς καὶ Μέλητος ὁ τραγῳδίας ποιητὴς καὶ Κινησίας κυκλίων χορῶν καὶ Φιλητᾶς ποιητὴς ἑξαμέτρων. Ἀρχέστρατος δὲ ὁ μάντις ὑπὸ πολεμίων ἁλοὺς καὶ ἐπὶ ζυγὸν ἀναβληθεὶς ὀβολοῦ ὁλκὴν εὑρέθη ἔχων, ὥς φασι. καὶ Πανάρετος δὲ λεπτότατος ἦν· διετέλεσε μέντοι ἄνοσος. λέγουσι δὲ καὶ Ἱππώνακτα τὸν ποιητὴν οὐ μόνον γενέσθαι μικρὸν τὸ σῶμα ἀλλὰ καὶ λεπτόν. ἀλλὰ καὶ Φιλιππίδης, καθ' οὗ λόγος ἐστὶν Ὑπερίδῃ, λεπτότατος ἦν. ὅθεν καὶ τὸ πάνυ κατισχνῶσθαι τὸ σῶμα περιλιππιδῶσθαί φασιν ἔλεγον. μάρτυς Ἄλεξις. 6

Οἰνοπίδης ὁ Χῖος ἀστρολόγος ἀνέθηκεν ἐν Ὀλυμπίοις τὸ χαλκοῦν γραμματεῖον, ἐγγράψας ἐν αὐτῷ τὴν ἀστρολογίαν τῶν ἐνὸς δεόντων ἑξήκοντα ἐτῶν, φήσας τὸν μέγαν ἐνιαυτὸν εἶναι τοῦτον. 7

Ὅτι Μέτων ὁ Λευκονοεὺς ἀστρολόγος ἀνέστησε στήλας, καὶ τὰς τοῦ ἡλίου τροπὰς κατεγράψατο, καὶ τὸν μέγαν ἐνιαυτὸν ὡς ἔλεγεν εὗρε, καὶ ἔφατο αὐτὸν ἐνὸς δέοντα εἴκοσιν ἐτῶν.

Ἀριστοτέλης ὁ Κυρηναῖος ἔλεγε μὴ δεῖν εὐεργεσίαν παρά τινος προσίεσθαι· ἢ γὰρ ἀποδιδόναι πειρώμενον πράγματα ἂν ἔχειν ἢ μὴ ἀποδιδόντα ἀχάριστον φαίνεσθαι. 8

Φιλόξενος λίχνος ἦν καὶ γαστρὸς ἥττων. λοπάδος οὖν ποτε ἑψομένης ἐν καπηλείῳ τέως μὲν εὐφραίνετο καὶ ἑαυτὸν εἱστία τῇ ὀσμῇ· ἐπεὶ δὲ αὐτῷ ἐπετείνετο ἡ ὄρεξις καὶ ἡττᾶτο τῆς φύσεως (κακῆς γε οὔσης, ὦ θεοί), τηνικαῦτα οὐκ ἐνεγκὼν προσέταξε τὸν παῖδα πρίασθαι τὴν λοπάδα. ἐπεὶ δὲ ἔφατο πωλεῖν αὐτὴν 9

Digitized by Google

τὸν κάπηλον πολλοῦ, 'ταύτῃ μᾶλλον ἡδίων ἔσται' φησίν, 'εἰ πλείονος αὐτὴν ὠνήσομαι.' χρὴ δὲ καὶ τῶν τοιούτων μνημονεύειν, οὐκ ἐς ζῆλον αὐτῶν, ἀλλ' ὥστε φεύγειν αὐτά.

10 5 Ὅτε ὑπήρχετο ἡ γραφικὴ τέχνη καὶ ἦν τρόπον τινὰ ἐν γάλαξι καὶ σπαργάνοις, οὕτως ἄρα ἀτέχνως εἴκαζον τὰ ζῷα, ὥστε ἐπιγράφειν αὐτοῖς τοὺς γραφέας 'τοῦτο βοῦς, ἐκεῖνο ἵππος, τοῦτο δένδρον.'

11 10 Ἤλγει τὸν ὦμον Διογένης ἢ τρωθεὶς οἶμαι ἢ ἐξ ἄλλης τινὸς αἰτίας. ἐπεὶ δὲ ἐδόκει σφόδρα ἀλγεῖν, τῶν τις ἀχθομένων αὐτῷ κατεκερτόμει λέγων 'τί οὖν οὐκ ἀποθνήσκεις, ὦ Διόγενες, καὶ σαυτὸν ἀπαλλάττεις κακῶν;' ὃ δὲ εἶπε 'τοὺς εἰδότας ἃ δεῖ πράττειν ἐν τῷ βίῳ καὶ ἃ δεῖ λέγειν, τούτους γε ζῆν προσήκει,' 15 ὧν καὶ αὐτὸς ὡμολόγει εἶναι. 'σοὶ μὲν οὖν' ἔφη 'οὐκ εἰδότι τά τε λεκτέα καὶ τὰ πρακτέα ἀποθανεῖν ἐν καλῷ ἐστιν· ἐμὲ δὲ τὸν ἐπιστήμονα ἐκείνων πρέπει ζῆν.

12 Ἀρχύτας ἔλεγεν 'ὥσπερ ἔργον ἐστὶν εὑρεῖν ἰχθὺν ἄκανθαν μὴ ἔχοντα, οὕτω καὶ ἄνθρωπον μὴ κεκτη- 20 μένον τι δολερὸν καὶ ἀκανθῶδες.

13 Αἰτιᾶται Κριτίας Ἀρχίλοχον ὅτι κάκιστα ἑαυτὸν εἶπεν. 'εἰ γὰρ μὴ' φησὶν 'ἐκεῖνος τοιαύτην δόξαν ὑπὲρ ἑαυτοῦ ἐς τοὺς Ἕλληνας ἐξήνεγκεν, οὐκ ἂν ἐπυθόμεθα ἡμεῖς οὔτε ὅτι Ἐνιποῦς υἱὸς ἦν τῆς δούλης, 25 οὔθ' ὅτι καταλιπὼν Πάρον διὰ πενίαν καὶ ἀπορίαν ἦλθεν ἐς Θάσον, οὔθ' ὅτι ἐλθὼν τοῖς ἐνταῦθα ἐχθρὸς ἐγένετο, οὔτε μὴν ὅτι ὁμοίως τοὺς φίλους καὶ τοὺς ἐχθροὺς κακῶς ἔλεγε. πρὸς δὲ τούτοις' ἦ δ' ὃς 'οὔτε ὅτι μοιχὸς ἦν ἠδειμεν ἂν εἰ μὴ παρ' αὐτοῦ μαθόντες, 30 οὔτε ὅτι λάγνος καὶ ὑβριστής, καὶ τὸ ἔτι τούτων αἴσχιον, ὅτι τὴν ἀσπίδα ἀπέβαλεν. οὐκ ἀγαθὸς ἄρα ἦν ὁ Ἀρχίλοχος μάρτυς ἑαυτῷ, τοιοῦτον κλέος ἀπο-

Digitized by Google

λιπὼν καὶ τοιαύτην ἑαυτῷ φήμην.' ταῦτα οὐκ ἐγὼ Ἀρχίλοχον αἰτιῶμαι, ἀλλὰ Κριτίας.

Σωκράτης ἔλεγεν ὅτι ἡ ἀργία ἀδελφὴ τῆς ἐλευ- 14
θερίας ἐστί. καὶ μαρτύριον ἔλεγεν ἀνδρειοτάτους καὶ ἐλευθεριωτάτους Ἰνδοὺς καὶ Πέρσας, ἀμφοτέρους δὲ πρὸς χρηματισμὸν ἀργοτάτους εἶναι· Φρύγας δὲ καὶ Λυδοὺς ἐργαστικωτάτους, δουλεύειν δέ.

Τὰς Ἀριστείδου θυγατέρας ἔτι αὐτοῦ περιόντος 15
ἐμνηστεύοντο οἱ τῶν Ἑλλήνων δοκοῦντες διαφέρειν. ἔβλεπον δὲ ἄρα οὐκ ἐς τὸν βίον Ἀριστείδου, οὐδὲ ἐθαύμαζον αὐτοῦ τὴν δικαιοσύνην, ἐπεὶ τούτων γε εἰ ἦσαν ζηλωταί, κἂν μετὰ ταῦτα ἐπέμειναν τῇ μνηστείᾳ. νῦν δὲ ὃ μὲν ἀπέθανεν, οἱ δὲ οὐδὲν ἡγήσαντο εἶναι πρᾶγμα κοινὸν πρὸς τὰς κόρας· ἀποθανὼν γὰρ ἐγνώσθη ὁ παῖς Λυσιμάχου ὅτι πένης ἦν. ὅπερ καὶ 15
ἀνέστειλεν ἐκείνους τοὺς κακοδαίμονας ἐνδόξου τε ἅμα καὶ σεμνοτάτου γάμου, παρ' ἐμοὶ κριτῇ. παραπλήσιον δὲ καὶ ἐπὶ Λυσάνδρου· μαθόντες γὰρ αὐτὸν εἶναι πένητα, τὸν γάμον ἀπέδρασαν.

Ἐπεὶ ὁ Ἀντισθένης πολλοὺς προύτρεπεν ἐπὶ φιλο- 16
σοφίαν, οἱ δὲ οὐδὲν αὐτῷ προσεῖχον, τέλος ἀγανακτήσας οὐδένα προσίετο. καὶ Διογένην οὖν ἤλαυνεν ἀπὸ τῆς συνουσίας αὐτοῦ. ἐπεὶ δὲ ἦν λιπαρέστερος ὁ Διογένης καὶ ἐνέκειτο, ἐνταῦθα ἤδη καὶ τῇ βακτηρίᾳ καθίζεσθαι αὐτοῦ ἠπείλει· καί ποτε καὶ ἔπαισέ κατὰ τῆς κεφαλῆς. ὃ δὲ οὐκ ἀπηλλάττετο, ἀλλ' ἔτι μᾶλλον ἐνέκειτο φιλοπόνως, ἀκούειν αὐτοῦ διψῶν, καὶ ἔλεγε 'σὺ μὲν παῖε, εἰ βούλει, ἐγὼ δὲ ὑποθήσω τὴν κεφαλήν· καὶ οὐκ ἂν οὕτως ἐξεύροις βακτηρίαν σκληράν, ὥστε με ἀπελάσαι τῶν διατριβῶν τῶν σῶν.' ὃ δὲ ὑπερησπάσατο αὐτόν.

Λέγει Κριτίας Θεμιστοκλέα τὸν Νεοκλέους πρὶν 16

Digitized by Google

ἢ ἄρξασθαι πολιτεύεσθαι, τρία τάλαντα ἔχειν τὴν οὐσίαν τὴν πατρῴαν· ἐπεὶ δὲ τῶν κοινῶν προέστη εἶτα ἔφυγε, καὶ ἐδημεύθη αὐτοῦ ἡ οὐσία, κατεφωράθη ἑκατὸν ταλάντων πλείω οὐσίαν ἔχων. ὁμοίως δὲ καὶ Κλέωνα πρὸ τοῦ παρελθεῖν ἐπὶ τὰ κοινὰ μηδὲν τῶν οἰκείων ἐλεύθερον εἶναι· μετὰ δὲ πεντήκοντα ταλάντων τὸν οἶκον ἀπέλιπε.

18 Δάφνιν τὸν βουκόλον λέγουσιν οἱ μὲν ἐρώμενον Ἑρμοῦ, ἄλλοι δὲ υἱόν· τὸ δὲ ὄνομα ἐκ τοῦ συμβάντος σχεῖν. γενέσθαι μὲν αὐτὸν ἐκ Νύμφης, τεχθέντα δὲ ἐκτεθῆναι ἐν δάφνῃ. τὰς δ' ὑπ' αὐτοῦ βουκολουμένας βοῦς φασιν ἀδελφὰς γεγονέναι τῶν Ἡλίου, ὧν Ὅμηρος ἐν Ὀδυσσείᾳ μέμνηται. βουκολῶν δὲ κατὰ τὴν Σικελίαν ὁ Δάφνις, ἠράσθη αὐτοῦ νύμφη μία, καὶ ὡμίλησε καλῷ ὄντι καὶ νέῳ καὶ πρῶτον ὑπηνήτῃ, ἔνθα τοῦ χρόνου ἡ χαριεστάτη ἐστὶν ἥβη τῶν καλῶν μειρακίων, ὡς πού φησι καὶ Ὅμηρος. συνθήκας δὲ ἐποιήσε μηδεμιᾷ ἄλλῃ πλησιάσαι αὐτόν, καὶ ἐπηπείλησεν ὅτι πεπρωμένον ἐστὶν αὐτὸν στερηθῆναι τῆς ὄψεως, ἐὰν παραβῇ· καὶ εἶχον ὑπὲρ τούτων ῥήτραν πρὸς ἀλλήλους. χρόνῳ δὲ ὕστερον βασιλέως θυγατρὸς ἐρασθείσης αὐτοῦ οἰνωθεὶς ἔλυσε τὴν ὁμολογίαν, καὶ ἐπλησίασε τῇ κόρῃ. ἐκ δὲ τούτου τὰ βουκολικὰ μέλη πρῶτον ᾄσθη, καὶ εἶχεν ὑπόθεσιν τὸ πάθος τὸ κατὰ τοὺς ὀφθαλμοὺς αὐτοῦ. καὶ Στησίχορόν γε τὸν Ἱμεραῖον τῆς τοιαύτης μελοποιίας ὑπάρξασθαι.

19 Εὐρυδάμας ὁ Κυρηναῖος πυγμὴν ἐνίκησεν, ἐκκρουσθεὶς μὲν ὑπὸ τοῦ ἀνταγωνιστοῦ τοὺς ὀδόντας, καταπιὼν δὲ αὐτούς, ἵνα μὴ αἴσθηται ὁ ἀντίπαλος.

20 Ὅτι ὁ Πέρσης ἐπέστειλε πρὸς Ἀγησίλαον, φίλον αὐτὸν ἔχειν. ἀντεπέστειλε δὲ Ἀγησίλαος ὅτι οὐ δυνατὸν φίλον αὐτὸν Ἀγησιλάου ἰδίᾳ εἶναι· εἰ δὲ εἴη

Digitized by Google

Λακεδαιμονιοις κοινῇ φίλος, δῆλον ὅτι καὶ αὐτοῦ ἔσται· ἐφ' ἅπασι γὰρ καὶ ἐκεῖνον ἀριθμεῖσθαι.

Ὅτι τὸν Πλάτωνα ἡ Περικτιόνη ἔφερεν ἐν ταῖς 21
ἀγκάλαις· θύοντος δὲ τοῦ Ἀρίστωνος ἐν Ὑμηττῷ ταῖς
Μούσαις ἢ ταῖς νύμφαις, οἳ μὲν πρὸς τὴν ἱερουργίαν
ἦσαν, ἡ δὲ κατέκλινε Πλάτωνα ἐν ταῖς πλησίον μυρ-
ρίναις δασείαις οὔσαις καὶ πυκναῖς. καθεύδοντι δὲ
ἐσμὸς μελιττῶν ἐν τοῖς χείλεσιν αὐτοῦ καθίσασαι
ὑπῆδον, τὴν τοῦ Πλάτωνος εὐγλωττίαν μαντευόμεναι
ἐντεῦθεν.

Ὅτι Διώξιππος παρόντος Ἀλεξάνδρου καὶ Μακε- 22
δόνων ῥόπαλον λαβών, Κόρραγον τὸν Μακεδόνα
ὁπλίτην καταμονομαχήσας καὶ ἐκκρούσας αὐτοῦ τὸ
ξυστὸν καὶ ἁρπάσας τὸν ἄνδρα σὺν τῇ πανοπλίᾳ,
ἐπιβὰς ἐπὶ τὸν αὐχένα αὐτοῦ κειμένου τὴν μάχαιραν
ἣν ὑπέζωστο ὑφαρπάσας ἀπέκτεινε τὸν ὁπλίτην.
ἐμισήθη δὲ ὑπὸ Ἀλεξάνδρου. ὃ δὲ ἀπογνούς, ὡς
μισηθεὶς ὑπὸ Ἀλεξάνδρου, καὶ ἀθυμήσας ἀπέθανεν.

ΙΑ

Ὅτι Ὀρίκαδμος πάλης ἐγένετο νομοθέτης, καθ' 1
ἑαυτὸν ἐπινοήσας τὸν Σικελὸν τρόπον καλούμενον 20
παλαίειν.

Ὅτι ἦν Ὀροιβαντίου Τροιζηνιου ἔπη πρὸ Ὁμήρου, 2
ὡς φασιν οἱ Τροιζήνιοι λόγοι. καὶ τὸν Φρύγα δὲ Δά-
ρητα, οὗ Φρυγίαν Ἰλιάδα ἔτι καὶ νῦν ἀποσωζομένην
οἶδα, πρὸ Ὁμήρου καὶ τοῦτον γενέσθαι λέγουσι. Με-
λήσανδρος ὁ Μιλήσιος Λαπιθῶν καὶ Κενταύρων μά-
χην ἔγραψεν.

Digitized by Google

3 Ὅτι Ἴκκος ὁ Ταραντῖνος πάλης ὑπῆρξατο, σωφρονέστερον τὸν τῆς ἀθλήσεως χρόνον διαζήσας καὶ κεκολασμένῃ τροφῇ διαβιώσας καὶ ἀφροδίτης ἀμαθὴς διατελέσας.

4 Ἀγαθοκλέα φασὶ τὸν Σικελίας τύραννον γελοιότατα τὴν κεφαλὴν ἀσχημονεῖν. ψιλουμένης γὰρ αὐτῆς, κατὰ μικρὰ ὑπορρεουσῶν αὐτῷ τῶν τριχῶν, ὃ δὲ αἰδούμενος προκάλυμμα κόμης ἐποιήσατο μυρρίνης στέφανον· καὶ ἦν πρόβλημα τῆς ψιλώσεως. ἥδεσαν μέντοι τὸ φαλάκρωμα Συρακόσιοι, καὶ τὴν ἐς αὐτὸν τῶν τριχῶν ἐπιβουλὴν οὐκ ἠγνόουν, ἐσιώπων δὲ διὰ τὸ τῶν τολμημάτων αὐτοῦ καὶ ἀσεβημάτων ἐμμανές.

5 Ἔθυόν τινες ἐν Δελφοῖς. τούτοις ἐπιβουλεύοντες Δελφοὶ ἐς τὰ κανᾶ, ἔνθα ἦν αὐτοῖς ὅ τε λιβανωτὸς καὶ τὰ πόπανα, ἐνέβαλον τῶν ἱερῶν χρημάτων λάθρᾳ. λαβόντες οὖν αὐτοὺς ὡς θεοσύλας ἀπήγαγον ἐπὶ τὴν πέτραν, καὶ κατεκρήμνισαν κατὰ τὸν Δελφικὸν νόμον.

6 Συνέβη τινὰ μοιχὸν ἁλῶναι ἐν Θεσπιαῖς· εἶτα ἤγετο διὰ τῆς ἀγορᾶς δεδεμένος. ἀφείλοντο οὖν αὐτὸν οἱ ἑταῖροι. ἐξήφθη οὖν στάσις, καὶ συνέπεσε γενέσθαι φόνους πολλούς.

7 Ἔλεγεν Ἐτεοκλῆς ὁ Λάκων δύο Λυσάνδρους τὴν Σπάρτην μὴ ἂν ὑπομεῖναι. καὶ Ἀρχέστρατος ὁ Ἀθηναῖος ἔλεγε δύο Ἀλκιβιάδας τὴν τῶν Ἀθηναίων. οὕτως ἄρα αὐτῶν ἑκάτεροι ἦσαν ἀφόρητοι.

8 Ἵππαρχος ἀνῃρέθη ὑπὸ Ἁρμοδίου καὶ Ἀριστογείτονος, ὅτι ἐν τοῖς Παναθηναίοις κομίσαι κανοῦν τῇ θεῷ κατὰ τὸν νόμον τὸν ἐπιχώριον οὐκ εἴασε τὴν ἀδελφὴν τὴν Ἁρμοδίου, καὶ ἴσως ἀξίαν οὖσαν.

9 Οἱ τῶν Ἑλλήνων ἄριστοι πενίᾳ διέζων παρὰ πάντα τὸν βίον. ἐπαινείτωσαν οὖν πλοῦτόν τινες ἔτι μετὰ τοὺς τῶν Ἑλλήνων ἀρίστους, οἷς ἡ πενία παρὰ

Digitized by Google

πάντα τὸν βίον συνεκληρώθη. εἰσὶ δὲ οὗτοι, οἷον Ἀριστείδης ὁ Λυσιμάχου, ἀνὴρ πολλὰ μὲν ἐν πολέμῳ κατορθώσας, καὶ τοὺς φόρους δὲ τοῖς Ἕλλησι τάξας. ἀλλ' οὗτός γε ὁ τοιοῦτος οὐδὲ ἐντάφια ἑαυτῷ κατέλιπεν ἱκανά.

Καὶ Φωκίων δὲ πένης ἦν. Ἀλεξάνδρου δὲ πέμψαντος αὐτῷ τάλαντα ἑκατὸν ἠρώτα 'διὰ τίνα αἰτίαν μοι δίδωσιν;' ὡς δ' εἶπον ὅτι μόνον αὐτὸν Ἀθηναίων ἡγεῖται καλὸν καὶ ἀγαθόν, 'οὐκοῦν' ἔφη 'ἐασάτω με τοιοῦτον εἶναι.'

Καὶ Ἐπαμεινώνδας δὲ ὁ Πολύμνιδος πένης ἦν. Ἰάσονος δὲ αὐτῷ πέμψαντος πεντήκοντα χρυσοῦς, ὃ δὲ 'ἀδίκων' ἔφη 'ἄρχεις χειρῶν.' δανεισάμενος δὲ παρά τινος τῶν πολιτῶν πεντήκοντα δραχμὰς ἐφόδιον ἐς Πελοπόννησον ἐνέβαλε. πυθόμενος δὲ τὸν ὑπασπιστὴν αὐτοῦ χρήματα εἰληφέναι παρά τινος τῶν αἰχμαλώτων 'ἐμοὶ μὲν' εἶπεν 'ἀπόδος τὴν ἀσπίδα, σεαυτῷ δὲ πρίω καπηλεῖον, ἐν ᾧ καταζήσεις· οὐ γὰρ ἔτι κινδυνεύειν ἐθελήσεις, πλούσιος γενόμενος.'

Πελοπίδας δὲ ἐπιτιμώντων αὐτῷ τῶν φίλων ὅτι χρημάτων ἀμελεῖ πράγματος ἐς τὸν βίον λυσιτελοῦς, 'νὴ τὸν Δία' εἶπε 'λυσιτελές, ἀλλὰ Νικομήδει τούτῳ,' δείξας χωλόν τινα καὶ ἀνάπηρον.

Ὅτι Σκηπίων τέτταρα καὶ πεντήκοντα ἔτη βιώσας οὐδὲν οὔτε ἐπρίατο οὔτε ἀπέδοτο· οὕτως ἄρα ὀλίγων ἐδεῖτο. ἀσπίδα δὲ αὐτῷ τινος ἐπιδείξαντος εὖ κεκοσμημένην εἶπεν 'ἀλλὰ τόν γε Ῥωμαῖον ἄνδρα προσήκει ἐν τῇ δεξιᾷ τὰς ἐλπίδας ἔχειν, ἀλλ' οὐκ ἐν τῇ ἀριστερᾷ.'

Ὅτι Ἐφιάλτης ὁ Σοφωνίδου πενέστατος ἦν. δέκα δὲ τάλαντα διδόντων αὐτῷ τῶν ἑταίρων, ὃ δὲ οὐ προσήκατο εἰπὼν 'ταῦτά με ἀναγκάσει αἰδούμενον

Digitized by Google

ὑμᾶς καταχαρίσασθαί τι τῶν δικαίων, μὴ αἰδούμενον δὲ μηδὲ χαριζόμενον ὑμῖν ἀχάριστον δόξαι.'

10 Ζωίλος ὁ Ἀμφιπολίτης ὁ καὶ ἐς Ὅμηρον γράψας καὶ ἐς Πλάτωνα καὶ ἐς ἄλλους, Πολυκράτους μὲν ἀκουστὴς ἐγένετο· οὗτος δὲ ὁ Πολυκράτης καὶ τὴν κατηγορίαν ἔγραψε τὴν κατὰ Σωκράτους. ἐκαλεῖτο δ' ὁ Ζωίλος οὗτος Κύων ῥητορικός. ἦν δὲ τοιοῦτος. τὸ μὲν γένειον αὐτῷ καθεῖτο, κέκαρτο δὲ ἐν χρῷ τὴν κεφαλήν, καὶ θοιμάτιον ὑπὲρ τὸ γόνυ ἦν. ἤρα δὲ ἀγορεύειν κακῶς, καὶ ἀπεχθάνεσθαι πολλοῖς σχολὴν εἶχε, καὶ ψογερὸς ἦν ὁ κακοδαίμων. ἤρετο οὖν αὐτόν τις τῶν πεπαιδευμένων διὰ τί κακῶς λέγει πάντας· ὃ δὲ 'ποιῆσαι γὰρ κακῶς βουλόμενος οὐ δύναμαι.'

11 Ὅτι Διονύσιος ὁ Σικελὸς περὶ τὴν ἰατρικὴν ἐσπούδασε καὶ αὐτός, καὶ ἰᾶτο καὶ ἔτεμνε καὶ ἔκαε καὶ τὰ λοιπά.

12 Πλακοῦντα ὁ Ἀλκιβιάδης μέγαν καὶ ἐσκευασμένον κάλλιστα διέπεμψε Σωκράτει. ὡς οὖν ὑπὸ ἐρωμένου ἐραστῇ πεμφθὲν δῶρον ἐκκαυστικὸν τὸν πλακοῦντα διαγανακτήσασα κατὰ τὸν αὐτῆς τρόπον ἡ Ξανθίππη ῥίψασα ἐκ τοῦ κανοῦ κατεπάτησε. γελάσας δὲ ὁ Σωκράτης 'οὐκοῦν' ἔφη 'οὐδὲ σὺ μεθέξεις αὐτοῦ.' εἰ δέ τις οἴεται περὶ μικρῶν με λέγειν λέγοντα ταῦτα, οὐκ οἶδεν ὅτι καὶ ἐκ τούτων ὁ σπουδαῖος δοκιμάζεται ὑπερφρονῶν αὐτῶν, ἅπερ οὖν οἱ πολλοὶ λέγουσιν εἶναι κόσμον τραπέζης καὶ δαιτὸς ἀναθήματα.

13 Ἄνδρα φασὶ Σικελιώτην οἷον βλέπειν ὀξὺ γενέσθαι ἐν Σικελίᾳ, ὥστε αὐτὸν ἐκ τοῦ Λιλυβαίου ἐς Καρχηδόνα τείναντα τὸν ὀφθαλμὸν μηδὲν τὰς ὄψεις σφάλλεσθαι. καὶ ἀποδεῖξαι λέγουσι τὸν ἀριθμὸν τῶν νεῶν τῶν ἀναγομένων ἐκ Καρχηδόνος· καὶ οὐκ ἐψεύσατο οὐδεμίαν.

Digitized by Google

ΙΒ

Ἀσπασία ἡ Ἑρμοτίμου θυγάτηρ ἡ Φωκαῖς ἐτράφη ἐν ὀρφανίᾳ, τῆς μητρὸς αὐτῆς ἀποθανούσης ἐν ὠδῖσιν. ἐκ δὴ τούτων ἐν πενίᾳ μὲν ἐτράφη ἡ Ἀσπασία, σωφρόνως μέντοι καὶ καρτερῶς. ὄνειρος δὲ αὐτῇ συνεχῶς ἐπεφοίτα καὶ ἐμαντεύετο αὐτῇ χρηστά, τὴν μέλλουσαν αὐτῆς τύχην ὑπαινιττόμενος, ὅτι καλῷ καὶ ἀγαθῷ συνέσται ἀνδρί. παῖς δ' ἔτι οὖσα, γίνεται αὐτῇ κατὰ τοῦ προσώπου φῦμα ὑπ' αὐτὸ τὸ γένειον, καὶ ἦν ἰδεῖν μοχθηρὸν καὶ ἐλύπει τόν τε πατέρα καὶ τὴν παῖδα. δείκνυσιν οὖν αὐτὴν ὁ πατὴρ ἰατρῷ· ὃ δὲ ὑπέσχετο ἰάσασθαι, εἰ λάβοι τρεῖς στατῆρας. ὃ δὲ ἔφατο μὴ ἔχειν, ὁ δὲ ἰατρὸς μηδὲ αὐτὸς εὐπορεῖν φαρμάκου φησί. καὶ ἠνιᾶτο ὥσπερ εἰκὸς ἐπὶ τούτοις ἡ Ἀσπασία καὶ ἀπελθοῦσα ἔξω ἔκλαεν· ἔχουσα δ' ἐν τοῖς γόνασι κάτοπτρον καὶ ὁρῶσα ἑαυτὴν ἐν αὐτῷ σφόδρα ἤλγει. ἀδείπνῳ δὲ οὔσῃ ὑπὸ τῆς ἀνίας ἀφίκετό οἱ εὖ μάλα εὔκαιρος ὕπνος, καὶ ἅμα τῷ ὕπνῳ περιστερὰ παραγίνεται, καὶ γενομένη γυνὴ 'θάρρει' εἶπε 'καὶ μακρὰν χαίρειν εἰποῦσα ἰατροῖς τε αὐτοῖς καὶ φαρμάκοις, σὺ δὲ τῶν τῆς Ἀφροδίτης στεφάνων τῶν ῥοδίνων ὅσοι ἂν ὦσιν ἤδη αὖοι τρίβουσα ἐπίπαττε τῷ φύματι.' ταῦτα ἀκούσασα ἡ παῖς καὶ δράσασα, τὸ φῦμα ἠφανίσθη· καὶ ἡ Ἀσπασία καλλίστη τῶν συμπαρθένων ἦν αὖθις, παρὰ τῆς καλλίστης τῶν θεῶν τὴν ὥραν ἀπολαβοῦσα. καὶ χαρίτων μὲν ἀφθονίαν εἶχεν, ὡς οὐκ ἄλλη παρθένος τῶν τότε· ἦν δὲ καὶ τὴν κόμην ξανθὴ καὶ οὖλη τὰς τρίχας ἠρέμα, ὀφθαλμοὺς δὲ εἶχε μεγίστους, ὀλίγον δὲ ἦν καὶ ἐπίγρυπος, τὰ δὲ ὦτα εἶχε βραχύτατα. ἦν δὲ αὐτῇ καὶ δέρμα ἁπαλόν.

Digitized by Google

ἐφῆκει δὲ ἡ χρόα ἡ κατὰ τοῦ προσώπου ῥόδοις. διὰ ταῦτά τοι οἱ Φωκαεῖς ἔτι παιδίον οὖσαν ἐκάλουν Μιλτώ. ὑπέφαινε δὲ καὶ τὰ χείλη ἐρυθρά, καὶ οἱ ὀδόντες λευκότεροι χιόνος ἦσαν. ἦν δὲ καὶ τὰ σφυρὰ ἀγαθὴ καὶ οἵας Ὅμηρος λέγει τὰς ὡραιοτάτας γυναῖκας κατὰ τὴν ἑαυτοῦ φωνήν, καλλισφύρους ὀνομάζων. φάνημα δὲ εἶχεν ἡδὺ καὶ ἁπαλόν· εἶπεν ἄν τις λαλούσης αὐτῆς ἀκούειν Σειρῆνος. πολυπραγμοσύνης δὲ ἁπάσης γυναικείας καὶ περιεργίας ἀπήλλακτο. ὁ μὲν γὰρ πλοῦτος φιλεῖ χορηγεῖν καὶ τὰ τοιαῦτα, πενομένη δὲ ἐκείνη καὶ τρεφομένη ὑπὸ πατρὶ καὶ αὐτῷ πένητι περίεργον μὲν οὐδὲν οὐδὲ περιττὸν ἐς τὸ εἶδος ἠράνιζεν. ἀφίκετο δέ ποτε παρὰ Κῦρον τὸν Δαρείου καὶ Παρυσάτιδος ἡ Ἀσπασία τὸν ἀδελφὸν Ἀρταξέρξου, οὐχ ἑκοῦσα οὐδὲ ἑκόντος αὐτὴν τοῦ πατρὸς ἀποπέμψαντος, ἀλλὰ γὰρ πρὸς βίαν, οἷα πολλάκις ἀπήντησεν ἢ πόλεων ἁλουσῶν ἢ τυράννων βιασαμένων ἢ σατραπῶν. εἷς οὖν τῶν Κύρου σατραπῶν μετὰ καὶ ἄλλων παρθένων ἀνήγαγεν αὐτὴν πρὸς Κῦρον, καὶ τάχιστα τῶν ἄλλων παλλακίδων προετιμήθη διά τε ἤθους ἀφέλειαν καὶ τοῦ τρόπου τὸ αἰδῆμον καὶ ὅτι ἀπεριέργως καλὴ ἦν. συνεμάχετο δὲ πρὸς τὸ ὑπερφιλεῖσθαι καὶ ὅτι σύνεσιν εἶχε. πολλάκις γοῦν καὶ ὑπὲρ τῶν ἐπειγόντων ἐχρήσατο αὐτῇ συμβούλῳ Κῦρος, καὶ πεισθεὶς οὐ μετέγνω. ὡς δὲ ἦλθε τὸ πρῶτον πρὸς Κῦρον ἡ Ἀσπασία, ἔτυχε μὲν ἀπὸ δείπνου ὢν καὶ πίνειν ἔμελλε κατὰ τὸν τρόπον τὸν Περσικόν· μετὰ γὰρ τὸ ἐμπλησθῆναι τροφῆς οἱ Πέρσαι τῷ τε οἴνῳ καὶ ταῖς προπόσεσιν οὐ μάλα ἀποσχολάζουσιν, ὡς πρὸς ἀντίπαλον τὸν πότον ἀποδυόμενοι. μεσοῦντος οὖν τοῦ πότου τέτταρες παρθένοι παράγονται τῷ Κύρῳ Ἑλληνικαί, ἐν δὲ ταῖς καὶ ἡ Φωκαῖς Ἀσπασία ἦν. ἦσαν

Digitized by Google

δὲ κάλλιστα διεσκευασμέναι· αἱ μὲν γὰρ τρεῖς ὑπὸ τῶν οἰκείων γυναικῶν, αἳ ἔτυχον αὐταῖς συνανελθοῦσαι, διαπεπλεγμέναι τε ἦσαν τὰς κόμας καὶ διαπεποικιλμέναι τὰ πρόσωπα ἐντρίψεσι καὶ φαρμάκοις. ἦσαν δὲ καὶ ὑπὸ τῶν τροφέων δεδιδαγμέναι ὅπως τε ὑποδραμεῖν χρὴ τὸν Κῦρον καὶ τίνα τρόπον θωπεῦσαι, καὶ προσιόντα μὴ ἀποστραφῆναι καὶ ἁπτομένου μὴ δυσχεραῖναι καὶ φιλοῦντος ὑπομεῖναι, ἑταιρικὰ εὖ μάλα μαθήματα καὶ διδάγματα καὶ γυναικῶν καπηλικῶς τῷ κάλλει χρωμένων ἔργα. ἔσπευδον οὖν ἄλλη ἄλλην ὑπερβαλέσθαι τῷ κάλλει. ἡ δὲ Ἀσπασία οὔτε ἐνδῦναι πολυτελῆ χιτῶνα ἐβούλετο, οὔτε περίβλημα περιβαλέσθαι ποικίλον ἠξίου, οὔτε λούσασθαι ὑπέμενεν, ἀνευφημήσασα δὲ θεοὺς πάντας ἐκάλει Ἑλληνίους καὶ Ἐλευθερίους τοὺς αὐτούς, καὶ τὸ τοῦ πατρὸς ὄνομα ἐβόα, καὶ κατηρᾶτο ἑαυτῇ καὶ τῷ πατρί, δουλείαν σαφῆ καὶ ὡμολογημένην ὑπομένειν πιστεύουσα τὴν ἔξω τῆς συνηθείας περὶ τὸ σῶμα στολήν τε ἅμα καὶ περίεργον κατασκευήν. ῥαπισθεῖσα δὲ πρὸς ἀνάγκην ἐνέδυ, καὶ εἶκε τοῖς ἐπιτάγμασιν, ἀλγοῦσα ὅμως ὅτι οὐ παρθενικὰ ἀλλ' ἑταιρικὰ πράττειν ἐβιάζετο. αἱ μὲν οὖν ἄλλαι παρελθοῦσαι ἀντέβλεπον τῷ Κύρῳ καὶ ὑπεμειδίων καὶ φαιδρότητα προσεποιοῦντο· ἡ γε μὴν Ἀσπασία ἑώρα κάτω, καὶ ἐρυθημάτων εὖ μάλα φλογωδῶν ἐνεπίμπλατο αὐτῆς τὸ πρόσωπον, καὶ ἐπεπλήρωντο οἱ ὀφθαλμοὶ δακρύων, καὶ ἐκ παντὸς τοῦ τρόπου δήλη ἦν αἰδουμένη. ἐπεὶ δὲ ἐκέλευσε πλησίον αὐτοῦ τὰς ἀνθρώπους καθίσαι, αἳ μὲν ἐπείσθησαν καὶ πάνυ εὐκόλως, ἡ δὲ Φωκαῖς τῷ προστάγματι οὐδὲν προσεῖχεν, ἕως αὐτὴν ὁ ἀγαγὼν σατράπης πρὸς βίαν ἐκάθισεν. ἁπτομένου δὲ τοῦ Κύρου καὶ διασκοποῦντος τοὺς ὀφθαλμοὺς αὐτῶν καὶ τὰς παρειὰς καὶ

Digitized by Google

τοὺς δακτύλους, αἳ μὲν ἠνείχοντο, ἡ δὲ οὐχ ὑπέμενεν· ἄκρᾳ γὰρ τῇ χειρὶ μόνου τοῦ Κύρου προσαψαμένου ἐξεβόησέ τε καὶ ἔφατο αὐτὸν οἰμώξεσθαι τοιαῦτα δρῶντα. ὑπερήσθη τούτοις ὁ Κῦρος. ἐπανισταμένης τε αὐτῆς καὶ πειρωμένης φεύγειν, ἐπεὶ καὶ τῶν μαζῶν προσήψατο, ἀλλὰ ἐνταῦθα μὲν ὑπερηγάσθη τὴν εὐγένειαν οὐ Περσικῶς ὁ τοῦ Δαρείου, ἀλλὰ καὶ ἀποβλέψας πρὸς τὸν ἀγοραστὴν 'ταύτην μόνην' ἔφη 'ἐλευθέραν καὶ ἀδιάφθορον ἤγαγες· αἱ δὲ λοιπαὶ καπηλικῶς ἔχουσι καὶ τοῦ εἴδους καὶ ἔτι μᾶλλον τοῦ τρόπου.' ἐκ δὴ τούτων ὁ Κῦρος πλέον ταύτην ἠγάπησεν ἢ αἷς ὡμίλησέ ποτε ἀνθρώποις. χρόνῳ δὲ ὕστερον ὑπερηράσθη μὲν ταύτης ὁ Κῦρος, ἀντηρᾶτο δὲ καὶ ὑπ' ἐκείνης, καὶ ἐς τοσοῦτον ἀμφοῖν ἡ φιλία προῆλθεν, ὡς ἐγγὺς ἰσοτιμίας εἶναι καὶ μὴ ἀπᾴδειν Ἑλληνικοῦ γάμου ὁμονοίας τε καὶ σωφροσύνης. ἀφίκετο οὖν τοῦ ἐς Ἀσπασίαν ἔρωτος καὶ ἐς Ἰωνίαν τὸ κλέος καὶ ἐς τὴν Ἑλλάδα πᾶσαν. ἐπεπλήρωτο δὲ καὶ ἡ Πελοπόννησος τῶν ὑπὲρ Κύρου τε καὶ ἐκείνης λόγων, ἀλλὰ καὶ ἐς βασιλέα τὸν μέγαν ἦκεν ἡ δόξα· ἐπεπίστευτο γὰρ δὴ ὅτι γυναικὸς ἄλλης μετ' αὐτὴν οὐκ ἠξίου πειραθῆναι Κῦρος. ἐκ δὴ τούτων ἐσῄει τὴν Ἀσπασίαν μνήμη τῶν ἀρχαίων φασμάτων, περιστερᾶς τε ἐκείνης καὶ τῶν ἐξ αὐτῆς λόγων καὶ ὅσα προεῖπεν ἡ θεός· καὶ ἐπίστευεν αὐτὴν ἐξ ἀρχῆς μελεδωνὸν αὐτῆς γεγονέναι, καὶ ἔθυε τῇ Ἀφροδίτῃ τελεστήρια καὶ χαριστήρια. πρῶτον μὲν οὖν εἴδωλον χρυσοῦν ἀρκούντως μεγέθους ἔχον αὐτῇ κατεσκεύασεν. ἐνενοεῖτο δὲ τὸ ἄγαλμα τοῦτο Ἀφροδίτης εἶναι, καὶ πελειάδα αὐτῇ παρέστησε λιθοκόλλητον· καὶ ἀνὰ πᾶσαν ἡμέραν θυσίαις τε ἱλεοῦτο καὶ εὐφημίαις. ἀπέπεμψε δὲ καὶ Ἑρμοτίμῳ τῷ πατρὶ δῶρα πολλὰ καὶ

Digitized by Google

καλά, καὶ πλούσιον αὐτὸν ἀπέφηνε. σωφροσύνῃ τε διέζη, ὡς αἱ Ἑλληνίδες γυναῖκες λέγουσι καὶ αἱ Περσίδες. ὅρμος ἐκομίσθη ποτὲ Κύρῳ ἐκ Θετταλίας, πεμψαντος τὸν ὅρμον Σκόπα τοῦ νεωτέρου· τῷ δὲ Σκόπᾳ ἐκεκόμιστο ἐκ Σικελίας τὸ δῶρον, ἐδόκει δὲ ὁ ὅρμος θαυμαστῇ τινι τέχνῃ καὶ ποικιλίᾳ ἐξειργάσθαι. πάντων οὖν, οἷς ἔδειξεν αὐτὸν ὁ Κῦρος, θαυμαζόντων, ὑπερησθεὶς τῷ κειμηλίῳ, παραχρῆμα ἐς Ἀσπασίας ἀφίκετο, μεσούσης ἡμέρας, καὶ καταλαβὼν αὐτὴν καθεύδουσαν, ὑποδὺς ὑπὸ θοιμάτιον καὶ παρακλιθεὶς ἠρέμα, ἀψοφητὶ ἔμενεν αὐτὸς μὲν ἀτρεμῶν· ἐκείνη δὲ ἐκάθευδεν. ἐπεὶ δὲ διυπνίσθη καὶ ἐθεάσατο τὸν Κῦρον, περικλακεῖσα αὐτῷ κατὰ τὸν συνήθη τρόπον ἐφιλοφρονεῖτο αὐτόν. ὃ δὲ ἐξελὼν ἐκ τοῦ κιβωτίου τὸν ὅρμον ἔδειξεν, ἐπειπὼν ὅτι ἄξιός ἐστιν οὗτος ἢ θυγατρὸς βασιλέως ἢ μητρός. τῆς δὲ ὁμολογούσης 'ἰδοὺ τοίνυν' φησὶν 'δίδωμί σοι αὐτὸν ἔχειν κτῆμα· καί μοι ὡς ἔχεις περιθεμένη δεῖξον τὸν τράχηλον.' ἡ δὲ οὐχ ἠττήθη τοῦ δώρου, ἀλλ' εὖ μάλα σοφῶς καὶ πεπαιδευμένως ἀπεκρίνατο 'καὶ πῶς' ἔφη 'τολμήσω Παρυσάτιδος δῶρον ἄξιον τῆς τεκούσης σε περιθέσθαι αὐτή; ἀλλὰ τοῦτον μὲν ἀπόπεμψον ἐκείνῃ, Κῦρε· ἐγὼ δέ σοι καὶ ἄνευ τούτου παρέξω καλὸν τὸν τράχηλον.' Ἀσπασία μὲν οὖν μεγαλοφρόνως καὶ ὑπὲρ τὰς γυναῖκας βασιλικῶς τὰ ἐναντία ἔδρασεν ἢπερ εἰώθασι γυναῖκες δρᾶν· φιλόκοσμοι γάρ εἰσι δεινῶς· ὁ δὲ Κῦρος ἡσθεὶς τῇ ἀποκρίσει τὴν μὲν Ἀσπασίαν κατεφίλησεν, αὐτὰ δὲ ἕκαστα καὶ τῶν πραχθέντων καὶ τῶν λεχθέντων ἐς ἐπιστολὴν ἐγγράψας ἀπέπεμψε πρὸς τὴν μητέρα σὺν τῷ ὅρμῳ. καὶ ἡ Παρύσατις λαβοῦσα τὸ δῶρον οὐδὲν ἔλαττον ἥσθη τοῖς ἐπεσταλμένοις ἢ τῷ χρυσῷ· καὶ ὑπὲρ τούτων ἠμείψατο τὴν Ἀσπασίαν μεγάλοις δώροις

Digitized by Google

καὶ βασιλικοῖς· ἡδύφρανε γὰρ αὐτὴν μάλιστα ἐκεῖνο, ὅτι καίτοι πάνυ σφόδρα εὐδοκιμοῦσα παρὰ τῷ παιδὶ αὐτῆς ἡ Ἀσπασία, ὅμως ἐν τῷ φιλεῖσθαι ὑπὸ Κύρου ἐβούλετο τῆς Κῦρον τεκούσης ἡττᾶσθαι. ἐπήνεσε μὲν οὖν Ἀσπασία τὰ δῶρα, οὐ μὴν ἔφατο αὐτῶν δεῖσθαι, ἐπεὶ καὶ χρήματα ἦκεν αὐτῇ μετὰ τῶν δώρων πάμπολλα· ἀπέστειλε δὲ Κύρῳ, ἐπειποῦσα· πολλοὺς ἀνθρώπων τρέφοντί σοι γένοιτο ἂν ταῦτα λυσιτελῆ· ἐμοὶ δὲ σὺ ἀρκεῖς φιλούμενος, καὶ κόσμος μοι εἶ σύ.' καὶ ἐκ τούτων οὖν ὥσπερ εἰκὸς τὸν Κῦρον ἐξέπληξε, καὶ ἀναμφιλόγως ἐθαυμάζετο ἤδε ἡ γυνὴ καὶ διὰ τὸ κάλλος τὸ τοῦ σώματος καὶ ἔτι μᾶλλον διὰ τὴν εὐγένειαν τῆς ψυχῆς. ὅτε δὲ ἀνηρέθη Κῦρος ἐν τῇ πρὸς τὸν ἀδελφὸν μάχῃ, καὶ ἐάλω τὸ στρατόπεδον τοῦ Κύρου, μετὰ καὶ τῶν ἄλλων λαφύρων καὶ αὐτὴ ἐάλω, οὐκ εἰκῇ καὶ ὡς ἔτυχεν ἐμπεσοῦσα ἐς τοὺς πολεμίους, ἀλλ' ἀνεζήτησεν αὐτὴν σὺν πολλῇ τῇ φροντίδι ὁ βασιλεὺς Ἀρταξέρξης· ἤδει γὰρ αὐτῆς τὸ κλέος καὶ τὴν ἀρετήν. ἐπεὶ δὲ αὐτὴν ἤγαγον δεδεμένην, ἠγανάκτει καὶ τοὺς μὲν τοῦτο δράσαντας ἐς δεσμωτήριον ἐνέβαλε, προσέταξε δὲ αὐτῇ δοθῆναι κόσμον πολυτελῆ. ἡ δὲ ἄκουσα καὶ ποτνιωμένη καὶ δακρύουσα ἐπὶ πολλοῖς ἐβιάσθη τὴν ἐκ βασιλέως στολὴν ἐνδῦναι· ἐθρήνει γὰρ ἰσχυρῶς τὸν Κῦρον· ἐνδῦσα δὲ ἐφάνη καλλίστη γυναικῶν, καὶ παραχρῆμα ὁ Ἀρταξέρξης ἐφλέγετο καὶ κατετήκετο, καὶ πρώτην γε τῶν γυναικῶν ἦγε, καὶ ἐς ὑπερβολὴν ἐτίμα δι' ὧν ἔσπευδεν αὐτῇ χαρίζεσθαι, θαρρῶν ὅτι Κύρου μὲν ἀναπείσει ἐπιλαθέσθαι αὐτήν, διδάξει δ' αὐτὸν φιλεῖν οὐδὲν ἐκείνου ἧττον. καὶ ἔτυχε μὲν τῆς ἐλπίδος, ὀψὲ δὲ καὶ βραδέως· δεινὴ γὰρ ἡ ἐς Κῦρον εὔνοια ἐντακεῖσα τῇ Ἀσπασίᾳ δυσέκνιπτον ὡς ὅτι μάλιστα τὸ φίλτρον

Digitized by Google

ἐνείργαστο αὐτῇ. χρόνῳ δὲ ὕστερον Τιριδάτης ὁ εὐνοῦχος ἀποθνήσκει, κάλλιστος τῶν ἐν τῇ Ἀσίᾳ καὶ ὡραιότατος γενόμενος· κατέστρεψε δὲ ἄρα οὗτος τὸν βίον μειρακιούμενος καὶ ἐκ τῆς παιδικῆς ἡλικίας ἀνατρέχων, ἐλέγετο δὲ αὐτοῦ ἐρᾶν ὁ βασιλεὺς ἀνδρειότατα. ἐκ δὴ τούτων ἐπένθει βαρύτατα καὶ δριμύτατα ἤλγει, καὶ δημοσίᾳ κατὰ πᾶσαν τὴν Ἀσίαν πένθος ἦν, χαριζομένων ἁπάντων βασιλεῖ τοῦτο. ἐτόλμα τε οὐδεὶς αὐτῷ προσελθεῖν οὐδὲ παραμυθήσασθαι· καὶ γὰρ ἐπίστευον ἀνιάτως αὐτὸν ἔχειν ἐπὶ τῷ συμβεβηκότι πάθει. τριῶν δὲ ἡμερῶν διελθουσῶν στολὴν ἀναλαβοῦσα ἡ Ἀσπασία πενθικήν, ἀπιόντος τοῦ βασιλέως ἐπὶ λουτρόν, ἔστη θακρύουσα καὶ ὁρῶσα ἐς γῆν· ὃ δὲ ἰδὼν αὐτὴν ἐξεπλάγη καὶ ἤρετο τὴν αἰτίαν τῆς ἀφίξεως. καὶ ἐκείνη φησὶ λυπούμενόν σε, βασιλεῦ, καὶ ἀλγοῦντα ἀφῖγμαι παραμυθήσασθαι, εἴ σοι βουλομένῳ ἐστίν· εἰ δὲ χαλεπαίνεις, ἀπαλλάττομαι ὀπίσω. ὑπερήσθη τῇ κηδεμονίᾳ ὁ Πέρσης, καὶ προσέταξεν ἐς τὸν θάλαμον ἀνελθοῦσαν ἀναμεῖναι αὐτόν· ἣ δὲ ἔδρασε ταῦτα. ἐπεὶ δὲ ἐπανῆλθε, τὴν τοῦ εὐνούχου στολὴν ἐπὶ τῇ μελαίνῃ περιῆψε τῇ Ἀσπασίᾳ· καί πως ἔπρεψεν αὐτῇ καὶ τὰ τοῦ μειρακίου, καὶ ἔτι μᾶλλον τὰ τῆς ὥρας αὐτῇ πρὸς τὸν ἐραστὴν ἐξέλαμψεν. ἐπεὶ δὲ ἅπαξ ἐχειρώθη τούτοις ἐκεῖνος, ἠξίωσεν αὐτήν, ἔστ' ἂν ἀπομαρανθῇ τοῦ πένθους αὐτῷ ἡ ἀκμή, οὕτως ἐσταλμένην ὡς αὐτὸν παριέναι αὐτήν. καὶ ἐκείνη χαριζομένη ἐπείσθη αὐτῷ· καὶ μόνη τῶν κατὰ τὴν Ἀσίαν οὐ γυναικῶν μόνον φασὶν ἀλλὰ καὶ τῶν τοῦ βασιλέως υἱῶν καὶ τῶν συγγενῶν παρεμυθήσατο Ἀρταξέρξην, καὶ τὸ ἐκ τῆς λύπης ἰάσατο πάθος, εἴξαντος τοῦ βασιλέως τῇ κηδεμονίᾳ καὶ τῇ παραμυθίᾳ πεισθέντος συνετῶς.

Digitized by Google

2 [*Οὐδὲὶς οὔτε χλάστης οὔτε γραφεὺς τῶν Διὸς θυγατέρων τὰ εἴδη παρέστησεν ἡμῖν ἀκλισμένα. ὁμολογεῖ δὲ τοῦτο, ὅτι δεῖ τὸν ἐν Μούσαις βίον εἰρηνικόν τε ἅμα καὶ κρᾶτον εἶναι.*]

3 *Ἐπαμεινώνδας ὅτε ἐτρώθη ἐν Μαντινείᾳ παρὰ*
5 *ἐς τὴν σκηνὴν κομισθεὶς ἔτι ἔμπνους Δαΐφαντον ἐπάλλει, ἵνα ἀκοδείξῃ στρατηγόν· οἱ δὲ ἔφασαν τεθνάναι τὸν ἄνδρα. εἶτα Ἰολαΐδαν καλεῖν διὰ ταχέων ἠξίου. ἐκεῖ δὲ καὶ αὐτὸς εἰλέχθη τεθνάναι, συνεβούλευσε διε-*
10 *λύσασθαι πρὸς τοὺς πολεμίους καὶ φιλίαν θέσθαι, ὡς μηκέτι στρατηγοῦ καταλελειμμένου ἐν Θήβαις.*

4 *Φασὶν Αἰγύπτιοι Σέσωστριν παρ' Ἑρμοῦ τὰ νόμιμα ἐκμουσωθῆναι.*

5 *Ὅτι Λαΐς ἡ ἑταίρα, ὥς φησιν Ἀριστοφάνης ὁ Βυ-*
15 *ζάντιος, καὶ Ἀξίνη ἐκαλεῖτο. ἤλεγχε δὲ αὐτῆς τὸ ἐπώνυμον τοῦτο τὴν τοῦ ἤθους ἀγριότητα.*

6 *Ὅτι γελᾶν ἔξεστιν ἐπὶ τοῖς μέγα φρονοῦσι διὰ τοὺς πατέρας, εἴ γε ἐν Ῥωμαίοις μὲν Μαρίου τὸν πατέρα οὐκ ἴσμεν, αὐτὸν δὲ θαυμάζομεν διὰ τὰ ἔργα·*
20 *Κάτωνος δὲ τοῦ πρεσβυτέρου καὶ αὐτοῦ τὸν πατέρα ἀναζητεῖν χρή.*

7 *Ὅτι Ἀλέξανδρος τὸν Ἀχιλλέως τάφον ἐστεφάνωσε καὶ Ἡφαιστίων τὸν τοῦ Πατρόκλου, αἰνιττόμενος ὅτι καὶ αὐτὸς ἦν ἐρώμενος τοῦ Ἀλεξάνδρου, ὥσπερ Ἀχιλ-*
25 *λέως ὁ Πάτροκλος.*

8 *Κλεομένης ὁ Δάκων τῶν ἑταίρων τῶν αὐτοῦ παραλαβὼν Ἀρχωνίδην κοινωνὸν ἐποιεῖτο τῶν πραγμάτων. ἐκώμευεν οὖν, εἰ κατάσχοι, πάντα σὺν τῇ αὐτοῦ κεφαλῇ πράττειν. κατασχὼν οὖν τὴν ἀρχήν,*
30 *ἀποκτείνας τὸν ἑταῖρον αὐτοῦ καὶ ἀποκρίνας τὴν κεφαλὴν καὶ μέλιτι ἐμβαλών, ὁπότε μέλλοι τι πράττειν, τῷ ἀγγείῳ προσκύψας ἔλεγεν ὅσα ἔπραττε, λέγων*

Digitized by Google

μη παρασπονδεῖν μηδὲ ἐπιορκεῖν, βουλεύεσθαι δὲ μετὰ τῆς Ἀρχωνίδου κεφαλῆς.

Τιμησίας ὁ Κλαζομένιος καλῶς ἐξηγήσατο τῶν 9
Κλαζομενίων· ἦν γὰρ τῶν ἀγαθῶν ἀνδρῶν. ὅς γε
μὴν εἴωθε κατισχύειν τῶν τοιούτων φθόνος, καὶ τοῦ 5
Τιμησίου κατεκράτει. καὶ τὰ μὲν πρῶτα ὀλίγον ἔμελε
φθονουμένῳ αὐτῷ, τῆς δὲ πατρίδος αὐτὸν ἐξελάσαι
ἐκεῖνό φασι. παρῆει διὰ διδασκαλείου· οἱ δὲ παῖδες
ἀφεθέντες ὑπὸ τοῦ διδασκάλου ἔπαιζον. γίνεται δὲ
δύο παίδων ὑπὲρ γραμμῆς φιλοτιμία, καὶ ὁ εἷς ἐπώ- 10
μοσεν 'οὕτω ἐγὼ Τιμησίου τὸν ἐγκέφαλον ἐξαράξαι-
μι.' τοῦτο ἐκεῖνος ἀκούσας καὶ ὑπολαβὼν ἀκρατῶς
ἔχειν φθόνου καὶ δεινῶς ὑπὸ τῶν πολιτῶν μεμισῆ-
σθαι, εἴ γε καὶ οἱ παῖδες αὐτὸν μισοῦσι, μήτι γοῦν
οἱ ἄνδρες, ἑκὼν ἀπῆλθε τῆς πατρίδος. 15

Αἰγινῆταί ποτε ἐδυνήθησαν τὰ μέγιστα ἐν τοῖς 10
Ἕλλησιν, εὐπορίαν τινὰ χρημάτων καὶ εὐκαιρίαν λα-
χόντες· δύναμιν γὰρ ναυτικὴν ἔσχον καὶ ἦσαν μέγι-
στοι. ἀλλὰ καὶ ἐν τοῖς Περσικοῖς ἀγαθοὶ ἐγένοντο,
καὶ διὰ ταῦτα καὶ τῶν ἀριστείων ἠξιώθησαν. καὶ 20
πρῶτοι νόμισμα ἔκοψαν τὸ καὶ ἐξ αὐτῶν κληθὲν νό-
μισμα Αἰγιναῖον.

Ὅτι Ῥωμαῖοι ὑπὸ τῷ λόφῳ τῷ Παλλαντίῳ Πυρε- 11
τοῦ καὶ νεὼν καὶ βωμὸν ἱδρύσαντο.

Μοιχὸς ἐν Γορτύνῃ ἁλοὺς ἐπὶ τὰς ἀρχὰς ἤγετο, 12 25
εἶτα ἐλεγχθεὶς ἐστεφανοῦτο ἐρίῳ. ἐνόει δὲ τοῦτο τὸ
στεφάνωμα αὐτῷ ὅτι ἀνανδρός ἐστι καὶ γύννις καὶ
ἐς γυναῖκας μάχλος. καὶ ἐπιπράσκετο δημοσίᾳ καὶ
ἀτιμότατος ἦν καὶ οὐδενός οἱ μετῆν τῶν κοινῶν.

Ἀφίκετο ἐξ Ἑλλησπόντου παρὰ τὴν Ἀττικὴν 13 30
ἑταίραν τὴν Γνάθαιναν ἐραστὴς ἀνὴρ κατὰ κλέος

Digitized by Google

αὐτῆς. παρὰ πότον οὖν πολὺς ἦν λαλῶν, καὶ ἐδόκει φορτικός. ὑπολαβοῦσα οὖν ἡ Γνάθαινα πρὸς αὐτὸν ἔφατο 'εἶτα σὺ μέντοι λέγεις' 'ἦκεν ἐξ Ἑλλησπόντου;' τοῦ δὲ ὁμολογήσαντος 'καὶ πῶς' εἶπεν 'οὐκ ἔγνως τῶν ἐκεῖ πόλεων τὴν πρώτην;' τοῦ δὲ εἰπόντος 'καὶ τίς ἐστιν αὕτη;' ἡ δὲ ἀπεκρίνατο 'Σίγειον.' καὶ ἐμμελῶς διὰ τοῦ ὀνόματος κατεσίγασεν ἄρα αὐτόν.

14 Ὡραιότατοι καὶ ἐρασμιώτατοι λέγονται γενέσθαι Ἑλλήνων μὲν Ἀλκιβιάδης, Ῥωμαίων δὲ Σκηπίων. λέγουσι δὲ Δημήτριον τὸν Πολιορκητὴν ὥρας ἀμφισβητῆσαι. Ἀλέξανδρον δὲ τὸν Φιλίππου ἀπραγμόνως ὡραῖον γενέσθαι λέγουσι· τὴν μὲν γὰρ κόμην ἀνασεσύρθαι αὐτῷ, ξανθὴν δὲ εἶναι· ὑπαναφύεσθαι δέ τι ἐκ τοῦ εἴδους φοβερὸν τῷ Ἀλεξάνδρῳ λέγουσιν.

15 Τὸν Ἡρακλῆ λέγουσι τὰς ἐν τοῖς ἄθλοις σπουδὰς διαναπαύειν ταῖς παιδιαῖς. ἔπαιζε δὲ ἄρα ὁ Διὸς καὶ Ἀλκμήνης μετὰ παιδίων πάνυ σφόδρα. τοῦτό τοι καὶ ὁ Εὐριπίδης ἡμῖν ὑπαινίττεται, ποιήσας τὸν αὐτὸν τοῦτον θεὸν λέγοντα

παίζω· μεταβολὰς γὰρ πόνων ἀεὶ φιλῶ.

λέγει δὲ τοῦτο παιδίον κατέχων. καὶ Σωκράτης δὲ κατελήφθη ποτὲ ὑπὸ Ἀλκιβιάδου παίζων μετὰ Λαμπροκλέους ἔτι νηπίου. Ἀγησίλαος δὲ κάλαμον περιβὰς ἵππευε μετὰ τοῦ υἱοῦ παιδὸς ὄντος, καὶ πρὸς τὸν γελάσαντα εἶπε 'νῦν μὲν σιώπα, ὅταν δὲ γένῃ πατὴρ αὐτός, τότε ἐξαγορεύσεις.' ἀλλὰ καὶ Ἀρχύτας ὁ Ταραντῖνος, πολιτικός τε καὶ φιλόσοφος ἀνὴρ γενόμενος, πολλοὺς ἔχων οἰκέτας, τοῖς αὐτῶν παιδίοις πάνυ σφό-

Digitized by Google

δρα ἐτέρπετο μετὰ τῶν οἰκοτρίβων παίζων· μάλιστα δὲ ἐφίλει τέρπεσθαι αὐτοὶς ἐν τοῖς συμποσίοις.

Λέγεται Ἀλέξανδρος ὁ Φιλίππου ζηλοτυπώτατα 16
πρὸς τοὺς ἑταίρους διατεθῆναι καὶ βασκαίνειν μὲν
πᾶσιν, οὐ μὴν διὰ τὰς αὐτὰς αἰτίας. ἤχθετο γὰρ 5
Περδίκκᾳ μὲν ὅτι ἦν πολεμικός, Λυσιμάχῳ δὲ ἐπεὶ
στρατηγεῖν ἀγαθὸς ἐδόκει, Σελεύκῳ δὲ ἐπεὶ ἀνδρεῖος
ἦν· Ἀντιγόνου δὲ αὐτὸν ἐλύπει τὸ φιλότιμον, Ἀντι-
πάτρου δὲ ἤχθετο τῷ ἡγεμονικῷ, Πτολεμαίου δὲ τὸ
δεξιὸν ὑφεωρᾶτο, Ταρρίου δὲ ἐδεδίει τὸ ἄτακτον, τό 10
γε μὴν νεωτεροποιὸν Πείθωνος.

Ὅτι Δημήτριος τοσούτων ἐθνῶν ἡγεμονεύων 17
ἐφοίτα ἐς Λαμίας τῆς ἑταίρας σὺν τοῖς ὅπλοις καὶ
φορῶν τὸ διάδημα. αἴσχιστον μὲν οὖν ἦν αὐτῷ καὶ
οἰκαδε μεταπέμψασθαι τὴν ἄνθρωπον· ὃ δὲ παρ' 15
ἐκείνην ἐφοίτα φανερῶς. ἀλλ' ἔγωγε Θεόδωρον ἂν
τὸν αὐλητὴν προτιμήσαιμι τοῦ Δημητρίου, ἐπεὶ τὸν
Θεόδωρον μετεπέμπετο ἡ Λάμια, ὃ δὲ ὑπερεῖδε τὴν
κλῆσιν.

Τὸν Φάωνα κάλλιστον ὄντα ἀνθρώπων ἡ Ἀφρο- 18 20
δίτη ἐν θριδακίναις ἔκρυψε. λόγος δὲ ἕτερος ὅτι ἦν
κορθμεὺς καὶ εἶχε τοῦτο τὸ ἐπιτήδευμα. ἀφικνεῖται
δέ ποτε ἡ Ἀφροδίτη διαπλεῦσαι βουλομένη, ὃ δὲ ἀσμέ-
νως ἐδέξατο, οὐκ εἰδὼς ὅστις ἦν, καὶ σὺν πολλῇ τῇ
φροντίδι ἤγαγεν ὅποι ποτὲ ἐβούλετο. ἀνθ' ὧν ἡ θεὸς 25
ἔδωκεν ἀλάβαστρον αὐτῷ, καὶ εἶχεν αὕτη μύρον, ᾧ
χριόμενος ὁ Φάων ἐγένετο ἀνθρώπων κάλλιστος· καὶ
ἤρων γε αἱ γυναῖκες αὐτοῦ αἱ Μυτιληναίων. τά γε
μὴν τελευταῖα ἀπεσφάγη μοιχεύων ἀλούς.

Τὴν ποιήτριαν Σαπφώ, τὴν Σκαμανδρωνύμου 19 30
θυγατέρα, ταύτην καὶ Πλάτων ὁ Ἀρίστωνος σοφὴν

Digitized by Google

ἀναγράφει. πυνθάνομαι δὲ ὅτι καὶ ἑτέρα ἐν τῇ Λέσβῳ ἐγένετο Σαπφώ, ἑταίρα, οὐ ποιήτρια.

20 Λέγει Ἡσίοδος, τὴν ἀηδόνα μόνην ὀρνίθων ἀμοιρεῖν ὕπνου καὶ διὰ τέλους ἀγρυπνεῖν. τὴν δὲ χελιδόνα οὐκ ἐς τὸ παντελὲς ἀγρυπνεῖν καὶ ταύτην, ἀποβεβληκέναι δὲ τοῦ ὕπνου τὸ ἥμισυ. τιμωρίαν δὲ ἄρα ταύτην ἐκτίνουσι διὰ τὸ πάθος τὸ ἐν Θρᾴκῃ κατατολμηθὲν τὸ ἐς τὸ δεῖπνον ἐκεῖνο τὸ ἄθεσμον.

21 Αἱ Λακεδαιμονίων μητέρες, ὅσαι ἐπυνθάνοντο τοὺς παῖδας αὐτῶν ἐν τῇ μάχῃ κεῖσθαι, ἀλλὰ αὗταί γε ἀφικόμεναι τὰ τραύματα αὐτῶν ἐπεσκόπουν τά τε ἔμπροσθεν καὶ τὰ ὄπισθεν. καὶ εἰ ἦν πλείω τὰ ἐναντία, αἳ δὲ γαυρούμεναι καὶ σεμνὸν ἅμα καὶ βλοσυρὸν ὁρῶσαι τοὺς παῖδας ἐς τὰς πατρῴας ἔφερον ταφάς· εἰ δὲ ἑτέρως εἶχον τῶν τραυμάτων, ἐνταῦθα αἰδούμεναι καὶ θρηνοῦσαι καὶ ὡς ἔνι μάλιστα λαθεῖν σπεύδουσαι ἀπηλλάττοντο, καταλιποῦσαι τοὺς νεκροὺς ἐν τῷ πολυανδρίῳ θάψαι, ἢ λάθρᾳ ἐς τὰ οἰκεῖα ἠρία ἐκόμιζον αὐτούς.

22 Τιτόρμῳ φασὶ τῷ βουκόλῳ περιτυχεῖν τὸν Κροτωνιάτην Μίλωνα, μεγαλοφρονοῦντα διὰ τὴν ῥώμην τοῦ σώματος. θεασάμενος οὖν μέγαν τὸν Τίτορμον τὸ σῶμα ἰδεῖν, ἐβούλετο λαβεῖν αὐτοῦ ἰσχύος πεῖραν. ὁ δὲ Τίτορμος ἔλεγε μηδὲν μέγα ἰσχύειν, καταβὰς δὲ ἐς τὸν Εὔηνον καὶ θοιμάτιον ἀποδὺς λίθον λαμβάνει μέγιστον, καὶ πρῶτον μὲν ἕλκει αὐτὸν πρὸς ἑαυτόν, εἶτα ἀπωθεῖ, καὶ δὶς καὶ τρὶς τοῦτο ἐποίησε, καὶ μετὰ ταῦτα αὐτὸν ἦρεν ἕως ἐς τὰ γόνατα, καὶ τέλος ἀράμενος ἐπὶ τῶν ὤμων ἔφερεν ὅσον ἐπ' ὀργυιὰς ὀκτὼ καὶ ἔρριψεν· ὁ δὲ Κροτωνιάτης Μίλων μόλις τὸν λίθον ἐκίνησεν. εἶτα ἐπὶ τὴν ἀγέλην ἦλθε, καὶ στὰς ἐν μέσῳ τὸν μέγιστον ταῦρον ἄγριον ὄντα λαμ-

Digitized by Google

βάνει τοῦ ποδός· καὶ ὃ μὲν ἀποδρᾶναι ἔσπευδεν, οὐ μὴν ἐδύνατο. παριόντα δὲ ἕτερον τῇ ἑτέρᾳ χειρὶ συναρπάσας τοῦ ποδὸς ὁμοίως εἶχε. θεασάμενος δὲ ὁ Μίλων ἐς τὸν οὐρανὸν τὰς χεῖρας τείνας ἔφατο· ὦ Ζεῦ, μὴ τοῦτον Ἡρακλῆ ἡμῖν ἕτερον ἔσπειρας; ἐντεῦθεν ῥηθῆναι λέγουσι τὴν παροιμίαν· ἄλλος οὗτος Ἡρακλῆς.

Ἀνθρώπων ἐγὼ ἀκούω φιλοκινδυνοτάτους εἶναι 23
τοὺς Κελτούς. τῶν ἀσμάτων γοῦν ὑποθέσεις ποιοῦνται τοὺς ἀνθρώπους τοὺς ἀποθανόντας ἐν τῷ πολέμῳ καλῶς. μάχονται δὲ ἐστεφανωμένοι, ἀλλὰ 10
καὶ τρόπαια ἐγείρουσιν, ἅμα τε ἐπὶ τοῖς πεπραγμένοις σεμνυνόμενοι καὶ ὑπομνήματα αὐτῶν τῆς ἀρετῆς ἀπολείποντες Ἑλληνικῶς. οὕτως δὲ αἰσχρὸν νομίζουσι τὸ φεύγειν, ὡς μηδὲ ἐκ τῶν οἰκιῶν κατολισθανουσῶν καὶ συμπιπτουσῶν ἀποδιδράσκειν, ἀλλὰ μηδὲ πιμπρα- 15
μένων αὐτῶν περιλαμβανομένους ὑπὸ τοῦ πυρός. πολλοὶ δὲ καὶ ἐπικλύζουσαν τὴν θάλατταν ὑπομένουσιν. εἰσὶ δὲ καὶ οἳ ὅπλα λαμβάνοντες ἐμπίπτουσι τοῖς κύμασι καὶ τὴν φορὰν αὐτῶν ἐσδέχονται, γυμνὰ τὰ ξίφη καὶ τὰ δόρατα προσείοντες, ὥσπερ οὖν ἢ φοβῆ- 20
σαι δυνάμενοι ἢ τρῶσαι.

Σμινδυρίδην τὸν Συβαρίτην λέγουσιν ἐπὶ τοσοῦ- 24
τον τρυφῆς ἐξοκεῖλαι, ὡς ἐς Σικυῶνα αὐτὸν ἀφικέσθαι μνηστῆρα Ἀγαρίστης τῆς Κλεισθένους, καὶ ἐπάγεσθαι χιλίους μὲν μαγείρους, τοσούτους δὲ ὀρνιθευτάς, καὶ 25
ἁλιεῖς χιλίους.

Ὤνηντο ἄρα καὶ Ὀδυσσεὺς Ἀλκίνου καὶ Ἀχιλλεὺς 25
Χείρωνος καὶ Πάτροκλος Ἀχιλλέως καὶ Ἀγαμέμνων Νέστορος καὶ Τηλέμαχος Μενέλεω καὶ Ἕκτωρ Πολυδάμαντος, ἐν οἷς αὐτῷ προσεῖχε, καὶ οἱ Τρῶες Ἀντή- 30
νορος. καὶ οἱ Πυθαγόρειοι μὲν ὁμιληταὶ Πυθαγόρου ὤνηντο, οἱ Δημοκρίτειοι δὲ συγγενόμενοι Δημοκρίτῳ

Digitized by Google

πολλῶν ἀπήλαυσαν. Σωκράτει δὲ εἰ προσεῖχον οἱ Ἀθηναῖοι, πάντα ἂν ἐγένοντο εὐδαίμονες. καὶ Ἱέρων δὲ ὁ Δεινομένους Σιμωνίδου τοῦ Κείου ἀπήλαυσε καὶ Πολυκράτης Ἀνακρέοντος, καὶ Ξενοφῶντος Πρόξενος καὶ Ἀντίγονος Ζήνωνος. ἵνα δὲ καὶ τῶν ἐμοὶ προσηκόντων οὐδὲν ἧττον ἥπερ καὶ οἱ Ἕλληνες προσήκουσι μεμνῶμαι (διαφέρει δέ μοι καὶ τούτων, εἴ γε Ῥωμαῖός εἰμι), καὶ Λεύκολλος Ἀντιόχου τι ἄνητο τοῦ Ἀσκαλωνίτου καὶ Μαικήνας Ἀρείου καὶ Κικέρων Ἀπολλωνίου καὶ ὁ Σεβαστὸς Ἀθηνοδώρου. Πλάτων δὲ ἐμοῦ καίτοι σοφώτερος ὢν λέγει ὅτι καὶ Ζεὺς εἶχε σύμβουλον· τίνα δὲ καὶ ὅπως, παρ' ἐκείνου μανθάνωμεν.

26 Ποτίστατοι γεγόνασιν ἄνθρωποι ὡς φασι Ξεναγόρας ὁ Ῥόδιος, ὃν ἐκάλουν Ἀμφορέα, καὶ Ἡρακλείδης ὁ πύκτης, καὶ Πρωτέας ὁ Λανίκης μὲν υἱός, Ἀλεξάνδρου δὲ τοῦ βασιλέως σύντροφος. καὶ αὐτὸς δὲ Ἀλέξανδρος λέγεται πλεῖστον πιεῖν ἀνθρώπων.

27 Ἡμερώτατά φασι τὸν Ἡρακλῆ προσενεχθῆναι τοῖς ἑαυτοῦ πολεμίοις· πρῶτον γὰρ τῶν ἐξ αἰῶνος νεκροὺς ὑποσκόνδους ἀποδοῦναι ταφησομένους, εἰωθότων τῶν τότε ὀλιγωρεῖν τῶν ἀνηρημένων καὶ ἀπολείπειν αὐτοὺς κυνῶν δεῖπνον εἶναι.

28 Λεωκόριον Ἀθήνησιν ἐκαλεῖτο τὸ τέμενος τῶν Λεῶ θυγατέρων Πραξιθέας καὶ Θεόπης καὶ Εὐβούλης. ταύτας δὲ ὑπὲρ τῆς πόλεως τῆς Ἀθηναίων ἀναιρεθῆναι λόγος ἔχει, ἐπιδόντος αὐτὰς τοῦ Λεῶ ἐς τὸν χρησμὸν τὸν Δελφικόν. ἔλεγε γὰρ μὴ ἂν ἄλλως σωθῆναι τὴν πόλιν, εἰ μὴ ἐκεῖναι σφαγιασθεῖεν.

29

30 Πλάτων ὁ Ἀρίστωνος ἰδὼν Ἀκραγαντίνους καὶ οἰκοδομοῦντας πολυτελῶς καὶ ὁμοίως δειπνοῦντας εἶπεν ὅτι ἆρα οἱ Ἀκραγαντῖνοι οἰκοδομοῦσι μὲν ὡς

Digitized by Google

ἀεὶ βιωσόμενοι, δειπνοῦσι δὲ ὡς αὔριον τεθνηξόμενοι. λέγει δὲ Τίμαιος ὅτι καὶ ἀργυραῖς ληκύθοις καὶ στλεγγίσιν ἐχρῶντο καὶ ἐλεφαντίνας κλίνας εἶχον ὅλας.

Ταραντίνοις ἐν ἔθει ἦν πίνειν μὲν ἐξ ἐωθινοῦ, μεθύειν δὲ περὶ πλήθουσαν ἀγοράν. ἐς τοσοῦτον δὲ ἄρα Κυρηναῖοι τρυφῆς ἐξώκειλαν, ὥστε Πλάτωνα παρεκάλουν, ἵνα αὐτοῖς γένηται νομοθέτης. τὸν δὲ ἀπαξιῶσαί φασι διὰ τὴν ἐξ ἀρχῆς ῥᾳθυμίαν αὐτῶν. ὁμολογεῖ δὲ καὶ Εὔπολις ἐν τῷ Μαρικᾷ, ὅστις αὐτῶν εὐτελέστατος, σφραγίδας εἶχε δέκα μνῶν. παρῆν δὲ θαυμάζεσθαι καὶ τοὺς διαγλύφοντας τοὺς δακτυλίους.

Φέρε οἶνων Ἑλληνικῶν διὰ σπουδῆς ὄντων ἐν τοῖς πάλαι ὀνόματα καταλέξω ὑμῖν. Πράμνειόν τινα ἐκάλουν, ἱερὸς δὲ ἦν ἄρα οὗτος τῆς Δήμητρος. καὶ Χῖος οἶνος ἐκ τῆς νήσου, καὶ Θάσιος ἄλλος, καὶ Λέσβιος. καὶ ἐπὶ τούτοις Γλυκύς τις ἐκαλεῖτο, πρέπων τῷ ὀνόματι τὴν γεῦσιν, καὶ Κρὴς ἄλλος. καὶ ἐν Συρακούσαις Πόλλιος· ἐκλήθη δὲ ἀπό τινος ἐγχωρίου βασιλέως. ἔπινον δὲ καὶ Κῶον οἶνον, καὶ οὕτως αὐτὸν ἐκάλουν· καὶ Ῥόδιον, κατὰ τὰ αὐτὰ ὀνομάζοντες. τί δέ; οὐκ ἐκεῖνα τοῖς Ἕλλησι τρυφῆς ἀπόδειξις; μύρῳ γὰρ οἶνον μιγνύντες οὕτως ἔπινον, καὶ ὑπερηπάζοντο τὴν τοιαύτην κρᾶσιν· καὶ ἐκαλεῖτο ὁ οἶνος Μυρίνης. μέμνηται δὲ αὐτοῦ Φιλιππίδης ὁ τῆς κωμῳδίας ποιητής.

Πυθαγόρας ὁ Σάμιος λευκὴν ἐσθῆτα ἤσθητο, καὶ ἐφόρει στέφανον χρυσοῦν καὶ ἀναξυρίδας. Ἐμπεδοκλῆς δὲ ὁ Ἀκραγαντῖνος ἁλουργεῖ ἐχρήσατο καὶ ὑποδήμασι χαλκοῖς. Ἱππίαν δὲ καὶ Γοργίαν ἐν πορφυραῖς ἐσθῆσι προϊέναι διαρρεῖ λόγος.

Κινέας ὁ Πύρρου ἰατρός φασι πρὸς τὴν βουλὴν τῶν Ῥωμαίων ἔγραψε δι' ἀπορρήτων, καὶ ἤτει χρή-

Digitized by Google

ματα, καὶ ὑπισχνεῖτο ἀποκτενεῖν φαρμάκοις τὸν Πύρρον. οἱ δὲ οὐ προσήκαντο τὴν ὑπόσχεσιν· δι' ἀρετῆς γὰρ ἴσασι Ῥωμαῖοι ἀγαθοὶ εἶναι, οὐ μὴν διὰ τέχνης καὶ πανουργίας καὶ ἐπιβουλῆς καταγωνίσασθαι τοὺς ἐχθρούς. ἀλλὰ καὶ αὐτῷ τῷ Πύρρῳ τὴν γνώμην τοῦ Κινέου ἔξέφαναν.

34 Ἔρωτες ἡμῖν τῶν ἀρχαίων πολλοὶ μὲν καὶ ἄλλοι ἐς μνήμην ἐδόθησαν, καὶ οὗτοι δὲ οὐχ ἥκιστα. Παυσανίας μὲν γὰρ ἦρα τῆς ἑαυτοῦ γυναικός, Ἀπελλῆς δὲ τῆς Ἀλεξάνδρου παλλακῆς, ἥπερ ὄνομα ἦν Παγκάστη, τὸ δὲ γένος Λαρισσαία ἦν. ταύτῃ καὶ πρώτῃ φασὶν ὁ Ἀλέξανδρος ὠμίλησεν.

35 Ὅτι δύο Περίανδροι, ὃ μὲν σοφὸς ἦν, ὃ δὲ τύραννος. καὶ Μιλτιάδαι τρεῖς, ὁ τὴν Χερρόννησον κτίσας καὶ ὁ Κυψέλου καὶ ὁ Κίμωνος. Σίβυλλαι τέτταρες, ἡ Ἐρυθραία ἡ Σαμία ἡ Λιγυπτία ἡ Σαρδιανή. οἱ δέ φασι καὶ ἑτέρας ἕξ, ὡς εἶναι τὰς πάσας δέκα, ὧν εἶναι καὶ τὴν Κυμαίαν καὶ τὴν Ἰουδαίαν. Βάκιδες τρεῖς, ὁ μὲν Ἐλεώνιος, ὁ δὲ Ἀθηναῖος, ὁ δὲ Ἀρκάς.

36 Ἐοίκασιν οἱ ἀρχαῖοι ὑπὲρ τοῦ ἀριθμοῦ τῶν τῆς Νιόβης παίδων μὴ συνάδειν ἀλλήλοις. Ὅμηρος μὲν ἓξ λέγει ἄρρενας καὶ τοσαύτας κόρας, Λάσος δὲ δὶς ἑπτὰ λέγει, Ἡσίοδος δὲ ἐννέα καὶ δέκα, εἰ μὴ ἄρα οὐκ εἰσὶν Ἡσιόδου τὰ ἔπη, ἀλλ' ὡς πολλὰ καὶ ἄλλα κατέψευσται αὐτοῦ. Ἀλκμὰν δέκα φησί, Μίμνερμος εἴκοσι, καὶ Πίνδαρος τοσούτους.

37 Ἀλέξανδρος ὅτε Βῆσσον ἐδίωκεν, ἐν ἀπορίᾳ γενόμενος τροφῶν, αὐτός τε ἥψατο τῶν καμήλων καὶ ὑποζυγίων ἄλλων καὶ οἱ σὺν αὐτῷ. τῶν τε ξύλων αὐτοὺς ἐπιλιπόντων ὠμὰ τὰ κρέα ἤσθιον. ἐπεκούρει δὲ αὐτοῖς τὸ σίλφιον πολὺ ὄν, ὥστε τὰς σάρκας συνεκπέττειν.

Digitized by Google

Ἐν δὲ τῇ Βακτριανῇ οἱ στρατιῶται τὰς κώμας κατελάμβανον, ὅτι οἰκοῦνται ἐκ τοῦ κάπνου συνιέντες, καὶ τὴν χιόνα ἀφαιροῦντες τῶν θυρῶν.

Οἱ Σακῶν ἵπποι, ἐὰν ἀποβάλῃ τις τὸν δεσπότην, 38
ἐς τὸ ἀναβῆναι αὐτὸν παρέστηκεν. ἐὰν δέ τις γῆμαι 5
βούληται παρθένον, μονομαχεῖ τῇ παιδί. καὶ κρατήσασα μὲν αἰχμάλωτον ἄγεται καὶ κρατεῖ αὐτοῦ καὶ ἄρχει· ἐὰν δὲ νικηθῇ, ἄρχεται. μονομαχοῦσι δὲ ἄχρι νίκης, οὐ μέχρι θανάτου. πενθοῦντες δὲ οἱ Σάκαι ἐς οἴκους τινὰς ὑπάντρους καὶ κατασκίους ἀποκρύ- 10
πτονται.

Περδίκκας ὁ Μακεδὼν ὁ συστρατευσάμενος Ἀλέ- 39
ξάνδρῳ οὕτως ἄρα ἦν εὔτολμος, ὡς ποτε ἐς σπήλαιον παρελθεῖν ἔνθα εἶχεν εὐνὴν λέαινα μόνος· καὶ τὴν μὲν λέαιναν οὐ κατέλαβε, τούς γε μὴν σκύμνους αὐ- 15
τῆς κομίζων προῆλθε, καὶ ἔδοξεν ἐπὶ τούτῳ θαυμάζεσθαι ὁ Περδίκκας. πεπίστευται δὲ οὐ μόνον παρὰ τοῖς Ἕλλησιν ἀλκιμώτατόν τε καὶ θυσμαχώτατον εἶναι θηρίον ἡ λέαινα, ἀλλὰ καὶ παρὰ τοῖς βαρβάροις. φασὶ γοῦν καὶ Σεμίραμιν τὴν Ἀσσυρίαν οὐκ, εἴ ποτε εἶλε 20
λέοντα ἢ πάρδαλιν κατέκτανεν ἢ ἄλλο τι τῶν τοιούτων, ἀλλ' εἰ λεαίνης ἐγκρατὴς ἐγένετο, μέγα ἐφρόνει.

Τά τε ἄλλα ἐφόδια εἵπετο τῷ Ξέρξῃ πολυτελείας 40
καὶ ἀλαζονείας πεπληρωμένα, καὶ οὖν καὶ ὕδωρ ἠκολούθει τὸ ἐκ τοῦ Χοάσπου. ἐκεῖ δ' ἔν τινι ἐρήμῳ 25
τόπῳ ἐδίψησεν, οὐδέπω τῆς θεραπείας ἠκούσης, ἐκηρύχθη τῷ στρατοπέδῳ, εἴ τις ἔχει ὕδωρ ἐκ τοῦ Χοάσπου, ἵνα δῷ βασιλεῖ πιεῖν. καὶ εὑρέθη τις βραχὺ καὶ σεσηπὸς ἔχων. ἔπιεν οὖν τοῦτο ὁ Ξέρξης, καὶ εὐεργέτην τὸν δόντα ἐνόμισεν, ὅτι ἂν ἀπώλετο τῇ 30
δίψῃ, εἰ μὴ ἐκεῖνος εὑρέθη.

Πρωτογένης ὁ ζωγράφος τὸν Ἰάλυσόν φασιν ἑπτὰ 41

Digitized by Google

ἔτεσι διαζωγραφῶν ἐξετέλεσεν. ὃν Ἀπελλῆς ἰδὼν τὰ μὲν πρῶτα ἔστη ἄφωνος, ἐκπλαγεὶς ἐπὶ τῇ παραδόξῳ θέᾳ, εἶτα ἔφη· καὶ ὁ πόνος μέγας καὶ ὁ τεχνίτης· ἀπολείπεταί γε μὴν τῆς χειρουργίας ἡ χάρις, ἧς ὁ ἀνὴρ εἰ τύχοι, ὁ πόνος αὐτοῦ τοῦ οὐρανοῦ ψαύσει.'

42 Κῦρον τὸν Μανδάνης ἔθρεψέ φασι κύων, Τήλεφον δὲ τὸν Αὔγης καὶ Ἡρακλέους ἔλαφος, Πελίαν δὲ τὸν Ποσειδῶνος καὶ Τυροῦς ἵππος· ἀλλὰ καὶ τὸν Ἀλόπης. Ἀλέξανδρον τὸν Πριάμου ὑπὸ ἄρκτου φασὶ τραφῆναι, Αἴγισθον δὲ τὸν Θυέστου καὶ Πελοπίας ὑπὸ αἰγός.

43 Δαρεῖον ἀκούω τὸν Ὑστάσπου φαρετροφόρον Κύρου γενέσθαι. ὁ δὲ τελευταῖος Δαρεῖος, ὁ ὑπὸ Ἀλεξάνδρου νικηθείς, δοῦλος ἦν. Ἀρχέλαος δὲ ὁ Μακεδόνων βασιλεὺς δούλης υἱὸς ἦν τῆς Σμίκης. Μενέλαος ὁ Φιλίππου πάππος ἐς τοὺς νόθους ἐτέλει. ὁ δὲ τούτου υἱὸς Ἀμύντας ὑπηρέτης Ἀερόπου καὶ δοῦλος ἐπεπίστευτο. Περσεὺς δέ, ὃν καθεῖλε Παῦλος ὁ Ῥωμαῖος, Ἀργεῖος μὲν γένος ἦν, ἀδόξου δέ τινος υἱός. Εὐμένης δὲ πατρὸς ἀπόρου καὶ τυμβαύλου πεπίστευται γενέσθαι. Ἀντίγονος ὁ Φιλίππου, ὁ καὶ ἑτερόφθαλμος καὶ ἐκ τούτου Κύκλωψ προσαγορευθείς, αὐτουργὸς ἦν. Πολυσπέρχων δὲ ἐλήστευε. Θεμιστοκλῆς δέ, ὁ τοὺς βαρβάρους καταναυμαχήσας καὶ μόνος συνεὶς τὰς τῶν θεῶν ἐν τοῖς χρησμοῖς φωνάς, Θρᾴττης υἱὸς ἦν, καὶ ἐκαλεῖτο ἡ μήτηρ αὐτοῦ Ἀβρότονον. Φωκίων δὲ ὁ Χρηστὸς ἐπικληθείς, πατρὸς μὲν δοίδυκας ἐργαζομένου ἦν, Δημήτριον δὲ τὸν Φαληρέα οἰκότριβα γενέσθαι λέγουσιν ἐκ τῆς οἰκίας τῆς Τιμοθέου καὶ Κόνωνος. Ὑπερβόλου δὲ καὶ Κλεοφῶντος καὶ Δημάδου, καίτοι προστατῶν γενομένων τοῦ δήμου τῶν Ἀθηναίων, οὐδεὶς ἂν εἴποι ῥᾳδίως τοὺς πατέρας. Καλλικρατίδας γε μὴν καὶ Γύλιππος καὶ

Digitized by Google

Λύσανδρος ἐν Λακεδαίμονι Μόθακες ἐκαλοῦντο. ὄνομα δὲ ἦν ἄρα τοῦτο τοῖς τῶν εὐπόρων δούλοις, οὓς συνεξέπεμπον τοῖς υἱοῖς οἱ πατέρες συναγωνιουμένους ἐν τοῖς γυμνασίοις. ὁ δὲ συγχωρήσας τοῦτο Λυκοῦργος τοῖς ἐμμείνασι τῇ τῶν παίδων ἀγωγῇ πολιτείας Λακωνικῆς μεταλαγχάνει. καὶ Ἐπαμεινώνδας δὲ πατρὸς ἦν ἀφανοῦς. Κλέων δὲ ὁ Σικυωνίων τύραννος καταποντιστὴς ἦν.

Αἱ ἐν Σικελίᾳ λιθοτομίαι περὶ τὰς Ἐπικολὰς 44
ἦσαν, σταδίου μῆκος, τὸ εὖρος δύο πλέθρων. ἦσαν
δὲ ἐν αὐταῖς τοῦ χρόνου τοσοῦτον διατρίψαντες ἄνθρωποι, ὡς καὶ γεγαμηκέναι ἐκεῖ καὶ παιδοποιῆσαι. καί τινες τῶν παίδων ἐκείνων μηδεπώποτε πόλιν ἰδόντες, ὅτε ἐς Συρακούσας ἦλθον καὶ εἶδον ἵππους ὑπεζευγμένους καὶ βόας ἐλαυνομένους, ἔφευγον βοῶντες· οὕτως ἄρα ἐξεπλάγησαν. τὸ δὲ κάλλιστον τῶν ἐκεῖ σπηλαίων ἐπώνυμον ἦν Φιλοξένου τοῦ ποιητοῦ, ἐν ᾧ φασι διατρίβων τὸν Κύκλωπα εἰργάσατο τῶν ἑαυτοῦ μελῶν τὸ κάλλιστον, παρ' οὐδὲν θέμενος τὴν ἐκ Διονυσίου τιμωρίαν καὶ καταδίκην, ἀλλ' ἐν αὐτῇ τῇ συμφορᾷ μουσουργῶν ὁ Φιλόξενος.

Φρύγιοι καὶ ταῦτα ᾄδουσι λόγοι. Μίδου τοῦ 45
Φρυγὸς ἔτι νηπίου καθεύδοντος μύρμηκας ἐσέρπειν ἐς τὸ στόμα, καὶ πάνυ φιλοπόνως καὶ φιλέργως ἐσφέρειν τοὺς πυρούς. Πλάτωνος δὲ μελίττας ἐς τὸ στόμα κηρίον ἐργάζεσθαι. καὶ Πινδάρῳ τῆς πατρῴας οἰκίας ἐκπεσόντι μέλιτται τροφοὶ ἐγένοντο, ὑπὲρ τοῦ γάλακτος παρατιθεῖσαι μέλι.

Διονύσιον δὲ τὸν Ἑρμοκράτους λέγουσι ποταμὸν 46
διαβαίνειν· ἔφερε δὲ αὐτὸν ἵππος. καὶ ὁ μὲν ἵππος κατὰ τοῦ τέλματος ὤλισθεν, ὁ δὲ ἀποκηδήσας τῆς ὄχθης ἐλάβετο καὶ ἀπῆει, ὡς οὐκέτι τὸν ἵππον ὄντα

Digitized by Google

αὐτοῦ ἀπολιπών. ὃ δὲ ἠκολούθησε καὶ χρεμετίσας ἐπέστρεψεν αὐτόν. καὶ ἐκεῖνος ἐλάβετο αὐτοῦ τῆς χαίτης καὶ ἔμελλεν ἀναβαίνειν, καὶ τῇ χειρὶ αὐτοῦ περιπίπτει μελιττῶν πλῆθος. ἔφασαν οὖν οἱ Γαλεῶται πρὸς τὸν Διονύσιον ἐρόμενον ὑπὲρ τούτων, ὅτι ταῦτα μοναρχίαν θηλοῖ.

47 Διονύσιος ἐλαύνει τῆς Σικελίας Δίωνα, τὴν δὲ γυναῖκα αὐτοῦ Ἀρήτην καὶ τὸν ἐξ αὐτοῦ παῖδα ἐφύλαττεν. ὕστερον δὲ τὴν γυναῖκα ἄκουσαν δορυφόρῳ αὐτοῦ πάντων μάλιστα θεραπευτῇ Τιμοκράτει γυναῖκα δίδωσι· Συρακόσιος δὲ τὸ γένος ἦν. Δίων δὲ παραλαβὼν Συρακούσας, ἀποδράντος ἐς Λοκροὺς Διονυσίου, ἐνταῦθα ἡ μὲν Ἀριστομάχη ἡ τοῦ Δίωνος ἀδελφὴ προσεῖπεν αὐτόν. ἡ δὲ Ἀρήτη εἶπετο δι' αἰδοῦς ἐγκαλυπτομένη καὶ οὐ τολμῶσα προσειπεῖν ὡς ἄνδρα, ἐπεὶ βιασθεῖσα τὸν θεσμὸν τῆς πρὸς αὐτὸν σύνῃς οὐ διεφύλαξεν. ἐπεὶ δὲ ὑπὲρ αὐτῆς ἀπελογήσατο ἡ Ἀριστομάχη, τὴν ἐκ τοῦ Διονυσίου ἀνάγκην καταλέξασα, ὁ Δίων προσηγάγετο τὴν γυναῖκα καὶ τὸν παῖδα καὶ ἐς τὴν οἰκίαν ἔπεμψεν.

48 Ὅτι Ἰνδοὶ τῇ παρά σφισιν ἐπιχωρίῳ φωνῇ τὰ Ὁμήρου μεταγράψαντες ᾄδουσιν οὐ μόνοι ἀλλὰ καὶ οἱ Περσῶν βασιλεῖς, εἴ τι χρὴ πιστεύειν τοῖς ὑπὲρ τούτων ἱστοροῦσιν.

49 Φωκίων ὁ τοῦ Φώκου πολλάκις στρατηγήσας κατεγνώσθη θάνατον, καὶ ἦν ἐν τῷ δεσμωτηρίῳ καὶ ἔμελλε πιεῖσθαι τὸ κώνειον. ἐπεὶ δὲ ὤρεξεν ὁ δήμιος τὴν κύλικα, οἱ προσήκοντες ἤροντο εἴ τι λέγοι πρὸς τὸν υἱόν. ὃ δὲ 'ἐπισκήπτω αὐτῷ μηδὲν Ἀθηναίοις μνησικακεῖν ὑπὲρ τῆς παρ' αὐτῶν φιλοτησίας, ἣν νῦν πίνω.' ὅστις δὲ οὐκ ἐπαινεῖ καὶ ὑπερθαυμάζει τὸν ἄνδρα, δοκεῖ μοι μέγα ὁ τοιοῦτος ἐννοεῖν οὐδέν.

Digitized by Google

Λακεδαιμόνιοι μουσικῆς ἀπείρως εἶχον· ἔμελε γὰρ 50
αὐτοῖς γυμνασίων καὶ ὅπλων. εἰ δέ ποτε ἐθεήθησαν
τῆς ἐκ Μουσῶν ἐπικουρίας ἢ νοσήσαντες ἢ παραφρο-
νήσαντες ἢ ἄλλο τι τοιοῦτον δημοσίᾳ παθόντες, μετε-
πέμποντο ξένους ἄνδρας οἷον ἰατροὺς ἢ καθαρτὰς 5
κατὰ πυθόχρηστον. μετεπέμψαντό γε μὴν Τέρπαν-
δρον καὶ Θάλητα καὶ Τυρταῖον καὶ τὸν Κυδωνιάτην
Νυμφαῖον καὶ Ἀλκμᾶνα. καὶ Θουκυδίδης δὲ ὁμολογεῖ
ὅτι μὴ ἐσπουδασμένως περὶ παιδείαν εἶχον, ἐν οἷς
λέγει περὶ Βρασίδου. λέγει γοῦν ὅτι ἦν οὐδὲ ἀδύ- 10
νατος εἰπεῖν, ὡς Λακεδαιμόνιος.

Μενεκράτης ὁ ἰατρὸς ἐς τοσοῦτον προῆλθε τύφου, 51
ὥστε ἑαυτὸν ὀνομάζειν Δία. ἐπέστειλε δέ ποτε ἐπι-
στολὴν Φιλίππῳ τῷ Μακεδόνων βασιλεῖ τοιαύτην.
'Φιλίππῳ Μενεκράτης ὁ Ζεὺς εὖ πράττειν.' ἀντέ- 15
γραψε δὲ καὶ ὁ Φίλιππος 'Φίλιππος Μενεκράτει ὑγι-
αίνειν. συμβουλεύω σοι προσάγειν σεαυτὸν ἐπὶ τοὺς
κατὰ Ἀντίκυραν τόπους.' ἠνίττετο δὲ ἄρα διὰ τού-
των ὅτι παραφρονεῖ ὁ ἀνήρ.

Εἰστία ποτὲ μεγαλοπρεπῶς ὁ Φίλιππος, καὶ δὴ 20
καὶ τοῦτον ἐπὶ θοίνην ἐκάλεσε, καὶ ἰδίᾳ κλίνην αὐτῷ
ἐκέλευσε παρεσκευάσθαι, καὶ κατακλιθέντι θυμια-
τήριον παρέθηκε, καὶ ἐθυμιᾶτο αὐτῷ· οἱ δὲ λοιποὶ
εἰστιῶντο, καὶ ἦν μεγαλοπρεπὴς τὸ δεῖπνον. ὁ τοί-
νυν Μενεκράτης τὰ μὲν πρῶτα ἐνεκαρτέρει, καὶ ἔχαιρε 25
τῇ τιμῇ· ἐπεὶ δὲ κατὰ μικρὸν ὁ λιμὸς περιῆλθεν αὐ-
τόν, καὶ ἠλέγχετο ὅτι ἦν ἄνθρωπος, καὶ ταῦτα εὐήθης,
ἐξαναστὰς ἀπιὼν ᾤχετο, καὶ ἔλεγεν ὑβρίσθαι, ἐμ-
μελῶς πάνυ τοῦ Φιλίππου τὴν ἄνοιαν αὐτοῦ ἐκκαλύ-
ψαντος. 30

Ἰσοκράτης ὁ ῥήτωρ ἔλεγεν ὑπὲρ τῆς Ἀθηναίων 52
πόλεως ὁμοίαν εἶναι ταῖς ἑταίραις. καὶ γὰρ τοὺς

Digitized by Google

ἁλισκομένους ὑπὸ τῆς ὥρας αὐτῶν βούλεσθαι συνεῖναι αὐταῖς, ὅμως δὲ μηδένα εὐτελῶς οὕτω παραφρονεῖν, ὡς ὑπομεῖναι ἂν συνοικῆσαί τινι αὐτῶν. καὶ οὖν καὶ τὴν Ἀθηναίων πόλιν ἐνεπιδημῆσαι μὲν εἶναι ἡδίστην, καὶ κατά γε τοῦτο πασῶν τῶν κατὰ τὴν Ἑλλάδα διαφέρειν· ἐνοικῆσαι δὲ ἀσφαλῆ μηκέτι εἶναι. ἡνίττετο δὲ διὰ τούτων τοὺς ἐπιχωριάζοντας αὐτῇ συκοφάντας καὶ τὰς ἐκ τῶν δημαγωγούντων ἐπιβουλάς.

53 Ἐμὲ δὲ οὐ λέληθεν ὅτι τῶν μεγίστων πολέμων αἱ ἀρχαὶ δοκοῦσί πως εὐκαταφρόνητοι γεγονέναι. τὸν μὲν γὰρ Περσικὸν ἐκ τῆς Μαιανδρίου τοῦ Σαμίου πρὸς Ἀθηναίους διαφορᾶς τὴν ἀρχὴν λαβεῖν φασι, τόν γε μὴν Πελοποννήσιον διὰ τὸ κατὰ Μεγαρέων πινάκιον, τὸν δὲ ἱερὸν καλούμενον ἐκ τῆς ἐσπράξεως τῶν δικῶν τῶν Ἀμφικτυόνων, τὸν δὲ κατὰ Χαιρώνειαν, φιλονεικησάντων Ἀθηναίων πρὸς Φίλιππον καὶ λαβεῖν οὐ θελησάντων.

54 Ἀλέξανδρον Ἀριστοτέλης ὀργιζόμενον πραΰναι βουλόμενος καὶ παῦσαι χαλεπαίνοντα πολλοῖς, ταυτὶ πρὸς αὐτὸν γέγραφεν· ‘ὁ θυμὸς καὶ ἡ ὀργὴ οὐ πρὸς ἥττους, ἀλλὰ πρὸς τοὺς κρείττονας γίνεται· σοὶ δὲ οὐδεὶς ἴσος.’

Ἀριστοτέλης τὰ δέοντα συμβουλεύων Ἀλεξάνδρῳ πολλοῖς ὠφέλημα γέγονεν, ἐξ ὧν καὶ τὴν πατρίδα κατῴκισε κατεσκαμμένην ὑπὸ τοῦ Φιλίππου.

55 Τοὺς ὑπὸ τῶν ἐλεφάντων ἢ ἐν ταῖς θήραις ἢ ἐν ταῖς μάχαις ἀποθανόντας οἱ Λίβυες θάπτουσι διαπρεπῶς, καὶ ὕμνους τινὰς ᾄδουσιν. ἔστι δὲ τοῖς ὕμνοις ἡ ὑποθήκη ἐκείνη. ἀγαθοὺς ἄνδρας εἶναι λέγει τοὺς ἀντιπάλους γενομένους θηρίῳ τοσούτῳ·

Digitized by Google

λέγουσι γὰρ καὶ τὸ ἐνδόξως ἀποθανεῖν ἐντάφιον εἶναι τῷ θαπτομένῳ.

Διογένης ὁ Σινωπεὺς ἔλεγε πολλά, τὴν ἀμαθίαν καὶ τὴν ἀπαιδευσίαν τῶν Μεγαρέων διαβάλλων, καὶ ἐβούλετο Μεγαρέως ἀνδρὸς κριὸς εἶναι μᾶλλον ἢ υἱός. ἠνίττετο δὲ ὅτι τῶν θρεμμάτων ποιοῦνται πρόνοιαν οἱ Μεγαρεῖς, τῶν παίδων δὲ οὐχί. 56

Ἡνίκα Ἀλέξανδρος ὁ Φιλίππου ἐπὶ τὰς Θήβας ἦγε τὴν δύναμιν, οἱ μὲν θεοὶ σημεῖα αὐτοῖς καὶ τέρατα ἀπέστελλον, προσημαίνοντες τὰς περὶ αὐτῶν ὅσον οὐδέπω τύχας· οἱ δὲ ὡς ᾤοντο ἐν Ἰλλυριοῖς Ἀλέξανδρον τεθνάναι, πολλὰ καὶ βλάσφημα ἐς αὐτὸν ἀπερρίπτουν. ἡ μὲν γὰρ ἐν Ὀγχηστῷ λίμνη φοβερὸν ἦχον ἀνέδωκε καὶ συνεχῆ καὶ ταύρου μυκήματι ἐῴκει· ἡ δὲ περὶ τὸν Ἰσμήνιον καὶ αὐτὰ τὰ τείχη ῥέουσα κρήνη καλουμένη Δίρκη καθαρῷ καὶ ἡδεῖ ῥέουσα ὕδατι παρὰ πάντα τὸν πρόσθεν χρόνον, ἄφνω καὶ παρ' ἐλπίδα αἵματος ἀνεπλήσθη. Μακεδόσι δὲ ἐπίστευον Θηβαῖοι ἀπειλεῖν τὸ δαιμόνιον. ἐν δὲ τῷ κατὰ πόλιν νεῷ τῆς Δήμητρος ἀράχνη κατὰ τοῦ προσώπου τοῦ ἀγάλματος ἐξύφαινε τὴν ἑαυτῆς τέχνην. τὸ δὲ τῆς Ἀθηνᾶς τῆς καλουμένης Ἀλαλκομενηίδος ἄγαλμα αὐτομάτως κατεφλέχθη, πυρὸς μὴ προσαχθέντος, καὶ ἄλλα πολλά. 57

Διώξιππος Ὀλυμπιονίκης ἀθλητής, ὁ Ἀθηναῖος, ἐσήλαυνεν ἐς τὰς Ἀθήνας κατὰ τὸν νόμον τῶν ἀθλητῶν. συνέρρει τοίνυν τὰ πλήθη, καὶ ἄλλος ἀλλαχόθεν ἐκπρεμαννύμενος ἐθεῶντο αὐτόν· ἐν δὲ τοῖς καὶ γυνὴ κάλλει διαπρέπουσα ἀπήντησε τῇ θέᾳ. ἰδὼν δὲ αὐτὴν ὁ Διώξιππος παραχρῆμα ἠττήθη τοῦ κάλλους, καὶ διετέλεσεν ἀποβλέπων τὴν ἄνθρωπον καὶ ἐπιστρεφόμενος καὶ ἐς πολλὰς τὸ πρόσωπον ἀλλάττων χρόας. 58

Digitized by Google

ἐκ δὴ τούτων πολλοῖς ἐγένετο κατάφωρος μὴ ἀργῶς ἰδὼν τὴν ἄνθρωπον. μάλιστα δὲ αὐτοῦ τὸ πάθος κατέγνω Διογένης ὁ Σινωπεύς, καὶ πρὸς τοὺς πλησίον 'ὁρᾶτε' εἶπε 'τὸν ἀθλητὴν ὑμῶν τὸν μέγαν ὑπὸ παιδίσκης ἑκπραχηλιζόμενον.'

59 Πυθαγόρας ἔλεγε δύο ταῦτα ἐκ τῶν θεῶν τοῖς ἀνθρώποις δεδόσθαι κάλλιστα, τό τε ἀληθεύειν καὶ τὸ εὐεργετεῖν· καὶ προσετίθει ὅτι καὶ ἔοικε τοῖς θεῶν ἔργοις ἑκάτερον.

60 Συνουσία ποτὲ ἐγένετο Διονυσίῳ τῷ δευτέρῳ καὶ Φιλίππῳ τῷ Ἀμύντου. πολλοὶ μὲν οὖν ὡς τὸ εἰκὸς καὶ ἄλλοι λόγοι ἐπέρρευσαν, ἐν δὲ τοῖς καὶ ἐκεῖνο ἤρετο ὁ Φίλιππος τὸν Διονύσιον, πῶς τοσαύτην παρὰ τοῦ πατρὸς λαβὼν ἀρχὴν εἶτα οὐ διεσώσατο αὐτήν; ὃ δὲ ἀπεκρίνατο οὐκ ἔξω μέλους ὅτι 'τὰ μὲν ἄλλα μοι κατέλιπεν ὁ πατήρ, τὴν δὲ τύχην, ἣ ταῦτα ἐκτήσατο καὶ διεφύλαξεν, οὐκέτι.'

61 Θουρίοις ἐπέπλει Διονύσιος, καὶ τριακοσίας ἦγεν ἐπ' αὐτοὺς ναῦς ὁπλιτῶν πεπληρωμένας· βορρᾶς δὲ ἀντιπνεύσας τὰ σκάφη συνέτριψε, καὶ τὴν δύναμιν αὐτοῦ τὴν ναυτικὴν ἠφάνισεν. ἐκ δὴ τούτων οἱ Θούριοι τῷ βορρᾷ ἔθυσαν, καὶ ἐψηφίσαντο εἶναι τὸν ἄνεμον πολίτην, καὶ οἰκίαν αὐτῷ καὶ κλῆρον ἀπεκλήρωσαν, καὶ καθ' ἕκαστον ἔτος ἐπετέλουν αὐτῷ. οὔκουν Ἀθηναῖοι μόνοι κηδεστὴν αὐτὸν ἐνόμιζον, ἀλλὰ καὶ Θούριοι εὐεργέτην αὐτὸν ἐπέγραψαν. Παυσανίας δέ φησιν ὅτι καὶ Μεγαλοπολῖται.

62 Νόμος καὶ οὗτος Περσικός. ἐάν τις μέλλῃ τι τῶν ἀπορρήτων καὶ τῶν ἀμφιλόγων συμβουλεύειν βασιλεῖ, ἐπὶ πλίνθου χρυσῆς ἕστηκε. καὶ ἐὰν δόξῃ παινεῖν τὰ δέοντα, τὴν πλίνθον λαβὼν ὑπὲρ τῆς βουλῆς μισθὸν ἀπέρχεται· μαστιγοῦται δὲ ὅμως,

Digitized by Google

ὅτι ἀντεῖπε βασιλεῖ. ἀνδρὶ δὲ ἐλευθέρῳ κατά γε τὴν ἐμὴν κρίσιν οὐκ ἀνταξίαν ἀντικρίνειν δεῖ ὑπὲρ τοῦ μισθοῦ τὴν ὕβριν.

63 Ἀρχεδίκης τις ἠράσθη τῆς ἐν Ναυκράτει ἑταίρας. ἡ δὲ ἦν ὑπερήφανος καὶ δεινῶς φορτικὴ καὶ ἀδροὺς ἤτει μισθούς, καὶ λαβοῦσα πρὸς ὀλίγον ἂν ὡμίλησε τῷ δόντι, εἶτα ἀπέκλινεν. ἐρασθεὶς οὖν ὁ νεανίσκος αὐτῆς, καὶ τυχεῖν μὴ δυνάμενος, ἐπεὶ μὴ πάνυ ἦν πλούσιος, ὅναρ αὐτῇ συνεγένετο, καὶ παραχρῆμα ἐπαύσατο τῆς ἐπιθυμίας.

64 Ὁ μὲν Φιλίππου καὶ Ὀλυμπιάδος Ἀλέξανδρος ἐν Βαβυλῶνι τὸν βίον καταστρέψας, νεκρὸς ἔκειτο, ὁ τοῦ Διὸς εἶναι λέγων. καὶ στασιαζόντων περὶ τῆς βασιλείας τῶν περὶ αὐτόν, ταφῆς ἄμοιρος ἦν, ἧς μεταλαγχάνουσι καὶ οἱ σφόδρα πένητες, τῆς φύσεως τῆς κοινῆς ἀπαιτούσης τὸν μηκέτι ζῶντα κατακρύψαι. ἀλλ' οὗτός γε τριάκοντα ἡμέρας κατελέλειπτο ἀκηδής, ἕως Ἀρίστανδρος ὁ Τελμησσεύς, θεόληπτος γενόμενος ἢ ἔκ τινος ἄλλης συντυχίας κατασχεθείς, ἦλθεν ἐς μέσους τοὺς Μακεδόνας καὶ πρὸς αὐτοὺς ἔφη πάντων τῶν ἐξ αἰῶνος βασιλέων εὐδαιμονέστατον Ἀλέξανδρον γεγονέναι, καὶ ζῶντα καὶ ἀποθανόντα· λέγειν γὰρ τοὺς θεοὺς πρὸς αὐτὸν ὅτι ἆρα ἡ ὑποδεξαμένη γῆ τὸ σῶμα, ἐν ᾧ τὸ πρότερον ᾤκησεν ἡ ἐκείνου ψυχή, πανευδαίμων τε ἔσται καὶ ἀπόρθητος δι' αἰῶνος. ταῦτα μαθόντες πολλὴν ἐσεφέροντο φιλονεικίαν, ἕκαστος ἐς τὴν ἰδίαν αὐτοῦ βασιλείαν τὸ ἀγώγιμον τοῦτο ἄγειν ἐπιθυμῶν, ἵνα κειμήλιον ἔχῃ βασιλείας ἀσφαλοῦς καὶ ἀκλινοῦς ὅμηρον. Πτολεμαῖος δέ, εἴ τι χρὴ πιστεύειν, τὸ σῶμα ἐξέκλεψε, καὶ μετὰ σπουδῆς ἐς τὴν Ἀλεξάνδρου πόλιν τὴν κατ' Αἴγυπτον ἐκόμισε. καὶ οἱ μὲν ἄλλοι Μακεδόνες τὴν ἡσυχίαν

Digitized by Google

ἦγον. Περδίκκας δὲ αὐτὸν διώκειν ἐπεχείρησεν. οὐ τοσοῦτον δὲ ἔμελε τούτῳ τῆς ἐς Ἀλέξανδρον πολυωρίας καὶ τῆς ἐς τὸν νεκρὸν ὁσίας, ὅσον τὰ προλεχθέντα ὑπὸ τοῦ Ἀριστάνδρου ἀνέφλεγεν αὐτὸν καὶ ἐξῆπτεν. ἐπεὶ δὲ κατέλαβε τὸν Πτολεμαῖον, ὑπὲρ τοῦ νεκροῦ μάχη καρτερὰ πάνυ σφόδρα ἐγένετο, ἀδελφὴ τρόπον τινὰ τῆς ὑπὲρ τοῦ εἰδώλου τοῦ ἐν Τροίᾳ, ὅπερ Ὅμηρος ᾄδει, λέγων ὑπὲρ Αἰνείου τὸν Ἀπόλλωνα ἐς μέσους ἐμβαλεῖν τοὺς ἥρωας. ἀνέστειλε δὲ τὴν ὁρμὴν τοῦ Περδίκκα ὁ Πτολεμαῖος· εἴδωλον γὰρ ποιησάμενος ὅμοιον Ἀλεξάνδρῳ κατεκόσμησεν ἐσθῆτι βασιλικῇ καὶ ἐνταφίοις ἀξιοζήλοις. εἶτα τοῦτο ἀνακαύσας ἐπὶ μίαν τῶν Περσικῶν ἁμαξῶν, τὸ ἐπ' αὐτῆς κατεσκεύασε φέρτρον μεγαλοπρεπῶς ἀργύρῳ καὶ χρυσῷ καὶ ἐλέφαντι· καὶ τὸ μὲν ὄντως Ἀλεξάνδρου σῶμα λιτῶς καὶ ὡς ἔτυχε προύκεμψε κρυπταῖς ὁδοῖς καὶ ἀτρίπτοις. ὁ δὲ Περδίκκας καταλαβὼν τὸ τοῦ νεκροῦ φάσμα καὶ τὴν διασκευασθεῖσαν ἁρμάμαξαν ἀνεστάλη τοῦ δρόμου, οἰόμενος ἔχειν τὸ ἄθλον· ὀψὲ δὲ ἔμαθεν ἀπατηθείς, ἡνίκα διώκειν οὐκ εἶχε.

ΙΓ

1 Λόγος οὗτος Ἀρκαδικὸς ὑπὲρ τῆς Ἰασίωνος Ἀταλάντης. ταύτην ὁ πατὴρ γενομένην ἐξέθηκεν· ἔλεγε γὰρ οὐ θυγατέρων ἀλλ' ἀρρένων δεῖσθαι. ὁ δὲ ἐκθεῖναι λαβὼν οὐκ ἀπέκτεινεν, ἐλθὼν δὲ ἐπὶ τὸ Παρθένιον ὄρος ἔθηκε πηγῆς πλησίον· καὶ ἦν ἐνταῦθα ὕπαντρος πέτρα, καὶ ἐπέκειτο συννεφὴς δρυμών. καὶ τοῦ μὲν βρέφους κατεψήφιστο θάνατος, οὐ μὴν

Digitized by Google

ὑπὸ τῆς τύχης προυδόθη· ὀλίγῳ γὰρ ὕστερον ὑπὸ κυνηγετῶν ἀφηρημένη τὰ ἑαυτῆς βρέφη ἄρκτος ἦκε, σφριγώντων αὐτῇ τῶν μαζῶν καὶ βαρυνομένων ὑπὸ τοῦ γάλακτος. εἶτα κατά τινα θείαν πομπὴν ἡσθεῖσα τῷ βρέφει ἐθήλασεν αὐτό, καὶ ἅμα τὸ θηρίον ἐκουφίσθη τῆς ὀδύνης καὶ ὦρεξε τροφὴν τῷ βρέφει. καὶ οὖν καὶ αὖθις ἐπαντλοῦσα τοῦ γάλακτος καὶ ἐποχετεύουσα ἐπεὶ τῶν ἑαυτῆς μήτηρ οὐκ ἔμεινε, τῆς μηδὲν οἱ προσηκούσης τροφὸς ἐγένετο. ταύτην οἱ κυνηγέται παρεφύλαττον οἱ ἐξ ἀρχῆς ἐπιβουλεύσαντες τῷ θηρίῳ ἐς τὰ ἔκγονα αὐτῆς, καὶ αὐτὰ ἕκαστα τῶν δρωμένων κατασκεψάμενοι, ἀπελθούσης κατὰ συνήθειαν κατά τε ἄγραν καὶ νομὴν τῆς ἄρκτου, τὴν Ἀταλάντην ὑφείλοντο, καλουμένην τοῦτο οὐδέπω· αὐτοὶ γὰρ ἔθεντο αὐτῇ τὸ ὄνομα. καὶ ἐτρέφετο ὑπ' αὐτοῖς ὀρείᾳ τῇ τροφῇ. κατὰ μικρὸν δὲ αὐτῇ τὰ τοῦ σώματος μετὰ τῆς ἡλικίας ἀνέτρεχε· καὶ ἦρα παρθενίας καὶ τὰς τῶν ἀνδρῶν ὁμιλίας ἔφευγε καὶ ἐρημίαν ἐπόθει, καταλαβοῦσα τῶν ὀρῶν τῶν Ἀρκαδικῶν τὸ ὑψηλότατον, ἔνθα ἦν καὶ αὐλὼν κατάρρυτος καὶ μεγάλαι δρῦς, ἔτι δὲ καὶ πεῦκαι καὶ βαθεῖα ἡ ἐκ τούτων σκιά. τί γὰρ ἡμᾶς λυπεῖ καὶ ἄντρον Ἀταλάντης ἀκοῦσαι, ὡς τὸ τῆς Καλυψοῦς τὸ ἐν Ὁμήρῳ; καὶ ἦν ἐν κοίλῃ τῇ φάραγγι σκήλαιον ἓν καὶ βαθὺ πάνυ, κατὰ πρόσωπον δὲ βαθεῖ κρημνῷ ὠχύρωτο. κιττοὶ δὲ αὐτὸ περιεῖρπον, καὶ ἐνεπλέκοντο οἱ κιττοὶ μαλακοῖς δένδροις καὶ δι' αὐτῶν ἀνεῖρπον. κρόκοι τε ἦσαν περὶ τὸν τόπον ἐν μαλακῇ φυόμενοι καὶ βαθείᾳ τῇ πόᾳ. συνανέτελλε δὲ αὐτοῖς καὶ ὑάκινθος καὶ ἄλλη πολλὴ χρόα ἀνθέων οὐ μόνον ἐς ἑορτὴν ὄψεως συντελεῖν δυναμένων, ἀλλὰ καὶ ὀσμαὶ ἐξ αὐτῶν τὸν ἀέρα τὸν κύκλῳ κατελάμβανον· καὶ παρῆν τῇ τε ἄλλῃ παυηγυρίζειν

Digitized by Google

καὶ κατὰ τὴν εὐωδίαν ἑστιᾶσθαι. δάφναι τε ἦσαν πολλαί, φυτοῦ διὰ τέλους ἀκμάζοντος ἡδεῖαι προσιδεῖν κόμαι· ἄμπελοι δὲ πάνυ σφόδρα εὐθενούντων βοτρύων πρὸ τοῦ ἄντρου τεθηλυῖαι τὸ φιλεργὸν τῆς Ἀταλάντης ἐπεδείκνυντο. ὕδατά τε διατελῆ καὶ ἀεὶ ῥέοντα καὶ καθαρὰ ἰδεῖν καὶ ψυχρά, ὅσον γε ἁφαμένῳ τεκμήρασθαι καὶ καταγνῶναι πιόντι, χύδην καὶ ἀφθόνως ἐπέρρει· τὰ δὲ αὐτὰ ταῦτα καὶ ἐς ἀρδείαν τοῖς δένδροις τοῖς προειρημένοις ἦν ἐπιτήδεια, συνεχῶς ἐπιρρέοντα καὶ ἐς τὸ ἔμβιον αὐτοῖς συμμαχόμενα. ἦν οὖν τὸ χωρίον χαρίτων ἀνάμεστον, καὶ σεμνότατόν τε ἅμα καὶ σώφρονα παρθενῶνα ἐδείκνυεν. ἦν δὲ ἄρα τῇ Ἀταλάντῃ στρωμνὴ μὲν αἱ δοραὶ τῶν τεθηραμένων, τροφὴ δὲ τὰ τούτων κρέα, ποτὸν δὲ τὸ ὕδωρ. στολὴν δὲ ἧσθητο ἀπράγμονα καὶ τοιαύτην, οἵαν μὴ ἀπάδειν τῆς Ἀρτέμιδος· ἔλεγε γὰρ ζηλοῦν αὐτὴν καὶ ἐν τούτῳ καὶ ἐν τῷ παρθένος εἶναι διὰ τέλους ἐθέλειν. ἐπεφύκει δὲ ὠκίστη τοὺς πόδας, καὶ οὐκ ἂν αὐτὴν διέφυγεν οὔτε θηρίον οὔτε ἐπιβουλεύων αὐτῇ ἄνθρωπος· φυγεῖν δ' ἐθέλουσαν, ἀλλ' ἐνταῦθα μὲν οὐκ ἄν τις αὐτὴν κατέλαβεν. ἤρων δὲ αὐτῆς οὐχ ὅσοι μόνον αὐτὴν εἶδον, ἀλλ' ἤδη καὶ ἐκ φήμης ἠρᾶτο. φέρε δὲ καὶ τὸ εἶδος αὐτῆς, εἴ τι μὴ λυπεῖ, διαγράψωμεν· λυπεῖ δὲ οὐδέν, ἐπεὶ καὶ ἐκ τούτων προσγένοιτ' ἂν λόγων τε ἐμπειρία καὶ τέχνη. μέγεθος μὲν γὰρ ἔτι παῖς οὖσα ὑπὲρ τὰς τελείας ἦν γυναῖκας· καλὴ δὲ ἦν, ὡς οὐκ ἄλλη τῶν ἐν Πελοποννήσῳ παρθένων τῶν τότε. ἀρρενωπὸν δὲ καὶ γοργὸν ἔβλεπε, τοῦτο μὲν καὶ ἐκ τῆς θηρείου τροφῆς, ἤδη δὲ καὶ ἐκ τῶν ἐν τοῖς ὄρεσι γυμνασίων. κορικόν τε καὶ ῥαδινὸν οὐδὲν εἶχεν· οὐ γὰρ ἐκ θαλάμου προήει, οὐδὲ ἦν τῶν ὑπὸ μητράσι καὶ τίτθαις τρεφομένων.

Digitized by Google

τὸ δὲ ὑπέρογκον τοῦ σώματος οὐδὲ τοῦτο εἶχε καὶ μάλα γε εἰκότως, ἅτε ἐν τοῖς κυνηγεσίοις καὶ περὶ αὐτὰ τὰ γυμνάσια τὸ πᾶν σῶμα ἐκπονοῦσα. ξανθὴ δὲ ἦν αὐτῆς ἡ κόμη οὔ τι που πολυπραγμοσύνῃ γυναικείᾳ καὶ βαφαῖς ἅμα καὶ φαρμάκοις, ἀλλ' ἦν φύσεως ἔργον ἡ χρόα. περφοίνικτο δὲ καὶ ὑπὸ τῶν ἡλίων αὐτῇ τὸ πρόσωπον, καὶ ἐρυθήματι ἐφῆκει ἄντικρυς. τί δὲ οὕτως ὡραῖον ἂν γένοιτο ἄνθος, ὥσπερ οὖν τὸ πρόσωπον αἰδεῖσθαι πεπαιδευμένης παρθένου; δύο δὲ εἶχεν ἐκπληκτικά, κάλλος ἄμαχον, καὶ σὺν τούτῳ καὶ φοβεῖν ἐδύνατο. οὐδεὶς ἂν ἰδὼν αὐτὴν ἠράσθη ῥᾳθυμος ἄνθρωπος, ἀλλ' οὐδ' ἂν ἐτόλμησεν ἀντιβλέπειν τὴν ἀρχήν· τοσαύτη μετὰ τῆς ὥρας κατέλαμπεν αἰγλη τοὺς ὁρῶντας. δεινὴ δὲ ἦν ἐντυχεῖν τά τε ἄλλα καὶ τῷ σπανίῳ. οὐ γὰρ ἂν αὐτήν τις εὐκόλως εἶδεν· ἀλλ' ἀδοκήτως καὶ ἀπροόπτως ἐπεφάνη διώκουσα θηρίον ἢ ἀμυνομένη τινά, ὥσπερ ἀστὴρ διάττουσα, εἶτα ἀπέκρυπτεν αὐτὴν διαθέουσα ἢ δρυμὸν ἢ λόχμην ἤ τι ἄλλο τῶν ἐν ὄρει δάσος. καὶ οἵ ποτέ οἱ τὴν ὅμορον οἰκοῦντες, μεσούσης τῆς νυκτός, ἐρασταὶ θρασεῖς καὶ κωμασταὶ βαρύτατοι, ἐπεκώμασαν δύο τῶν Κενταύρων, Ὑλαῖός τε καὶ Ῥοῖκος. ἦν δὲ ἄρα ὁ κῶμος αὐτῶν οὔτε αὐληταῖς οὔτε αὐτὰ δὴπου τὰ τῶν μειρακίων τῶν κατὰ πόλιν, ἀλλὰ πεῦκαι μὲν ἦσαν, καὶ ταύτας ἐξάψαντες καὶ ἀναφλέξαντες ἐκ τῆς πρώτης τοῦ πυρὸς φαντασίας ἐξέπληξαν ἂν καὶ δῆμον, μήτι γοῦν μίαν παρθένον. κλάδους δὲ πιτύων νεοδρεπεῖς ἀποκλάσαντες, εἶτα τούτοις διαπλέξαντες ἑαυτοὺς εἰργάζοντο στεφάνους. συνεχῶς δὲ καὶ θαμινὰ ἐπικροτοῦντες τοῖς ὅπλοις διὰ τῶν ὁρῶν, συνεκκάοντες καὶ τὰ δένδρα ἐπὶ τὴν πατδα ἔσπευδον, κακοὶ μνηστῆρες, σὺν ὕβρει καὶ οἴστρῳ τὰ ἕδνα τῶν γάμων

Digitized by Google

προεκπελοῦντες. τὴν δὲ οὐκ ἔλαθεν ἡ ἐπιβουλή· ἰδοῦσα δὲ ἐκ τοῦ ἄντρου τὸ πῦρ καὶ γνωρίσασα οἵτινές ποτε ἄρα ἦσαν οἱ κωμασταί, μηδὲν διαταπεῖσα μηδὲ ὑπὸ τῆς ὄψεως καταπτήξασα τὸ μὲν τόξον ἐκύκλωσεν, ἀφῆκε δὲ τὸ βέλος καὶ ἔτυχε τοῦ πρώτου μάλα εὐκαίρως. καὶ ὃ μὲν ἔκειτο, ἐκήδει δὲ ὁ δεύτερος οὐκέτι κωμαστικῶς ἀλλ' ἤδη πολεμικῶς, ἐκείνῳ μὲν ἐπαμῦναι θέλων, ἑαυτοῦ δὲ ἐμπλῆσαι τὴν ὁρμήν. ἀπήντησε δὲ ἄρα καὶ τούτῳ τιμωρὸς ὁ τῆς κόρης οἰστὸς ὁ ἕτερος. καὶ ὑπὲρ μὲν τῆς Ἰασίωνος Ἀταλάντης τοσαῦτα.

2 Μυτιληναῖος ἀνήρ, Μακαρεὺς ὄνομα, ἱερεὺς τοῦ Διονύσου, ὅσα μὲν οὕτως ἰδεῖν πρᾶος ἦν καὶ ἐπιεικής, ἀνοσιώτατος δὲ ἀνθρώπων τὰ μάλιστα. ξένου δὲ ἥκοντος παρ' αὐτὸν καὶ δόντος αὐτῷ παρακαταθήκην χρυσίου πλῆθος, ἐν τῷ μυχῷ τοῦ ἀνακτόρου τὴν γῆν διασκάψας ὁ Μακαρεὺς κατώρυξε τὸ χρυσίον. χρόνῳ δὲ ἀφικόμενος ὁ ξένος τὸ χρυσίον ἀπῄτει. ὃ δὲ ἐσαγαγὼν ἔνδον, ὡς ἀποδώσων, κατέσφαξε, καὶ τὸ χρυσίον ἀνώρυξεν, ἀντ' αὐτοῦ δὲ τὸν ξένον κατέθετο· καὶ ᾤετο, ὥσπερ τοὺς ἀνθρώπους, λανθάνειν οὕτω καὶ τὸν θεόν. πλὴν οὐκ ἀπήντησε ταῦτα ταύτῃ· πόθεν; χρόνου δὲ ὀλίγου διεληλυθότος, αἱ μὲν τοῦ θεοῦ τριετηρίδες ἀφίκοντο, ὃ δὲ ἔθυε μεγαλοπρεπῶς. καὶ ὃ μὲν περὶ τὴν βακχείαν εἶχεν, οἱ δὲ παῖδες αὐτοῦ, δύο ὄντες, ἔνδον ἀπελείφθησαν ἐν τῇ οἰκίᾳ, καὶ μιμούμενοι τὴν τοῦ πατρὸς ἱερουργίαν τῷ βωμῷ τῷ πατρῴῳ προσῆλθον ἔτι καομένων τῶν ἐμπύρων· καὶ ὁ μὲν νεώτερος παρέσχε τὸν τράχηλον, ὁ δὲ πρεσβύτερος ἠμελημένην εὑρὼν σφαγίδα τὸν ἀδελφὸν ἀπέκτεινεν ὡς ἱερεῖον· οἱ δὲ κατὰ τὴν οἰκίαν ἰδόντες ἀνεβόησαν. ἀκούσασα δὲ ἡ μήτηρ τῆς βοῆς ἐξεπήδησε,

Digitized by Google

καὶ θεασαμένη τὸν μὲν νεκρόν, τὸν δὲ κατέχοντα ἔτι τὴν σφαγίδα ἡμαγμένην, σχίζαν ἁρπάσασα τῶν ἐκ τοῦ βωμοῦ ἡμίκαυτον, ταύτῃ τὸν παῖδα ἀπέκτεινεν. ἦκε δὲ ἀγγελία πρὸς τὸν Μακαρέα, καὶ ἀπολιπὼν τὴν τελετήν, ὡς εἶχε σὺν ὀργῇ καὶ θυμῷ ἐσεπήδησεν ἐς τὴν οἰκίαν, καὶ τῷ θύρσῳ ᾧ κατεῖχε τὴν ἑαυτοῦ γυναῖκα ἔκτεινεν. ἔκπυστα οὖν ἐγένετο τὰ τολμηθέντα ἐς πάντας, καὶ συλληφθεὶς ὁ Μακαρεὺς καὶ στεβλούμενος ὡμολόγησεν ὅσα ἐν τῷ ἀνακτόρῳ ἔδρασεν· ἐν αὐταῖς δὲ ταῖς κολάσεσι τὴν ψυχὴν ἀπέρρηξεν. ὁ δὲ παρανόμως σφαγεὶς διὰ τιμῆς ἦλθε δημοσίᾳ, καὶ ἐτάφη τοῦ θεοῦ προστάξαντος. ἔτισεν οὖν ὁ Μακαρεὺς οὐ μεμπτὴν τὴν δίκην τοῦτο δὴ τὸ ποιητικὸν σὺν τῇ ἑαυτοῦ κεφαλῇ καὶ τῇ τῆς γυναικὸς καὶ οὖν καὶ τῇ τῶν παίδων προσέτι.

Ξέρξης ὁ Δαρείου παῖς τοῦ Βήλου τοῦ ἀρχαίου διασκάψας τὸ μνῆμα πύελον ὑελίνην εὗρεν, ἔνθα ἦν κείμενος ὁ νεκρὸς ἐν ἐλαίῳ. οὐ μὴν πεπλήρωτο ἡ πύελος, ἐνέδει δὲ ἀπὸ τοῦ χείλους ἐς παλαιστὴν ἴσως. παρέκειτο δὲ τῇ πυέλῳ καὶ στήλη βραχεῖα, ἔνθα ἐγέγραπτο τῷ ἀνοίξαντι τὸ μνῆμα καὶ μὴ ἀναπληρώσαντι τὴν πύελον οὐκ ἔστιν ἄμεινον. ἀναγνοὺς δὲ ὁ Ξέρξης ἔδεισε, καὶ προσέταξεν ἐπιχέαι ἔλαιον τὴν ταχίστην· οὐ μὴν πεπλήρωτο. ὃ δὲ πάλιν προσέταξεν ἐπιχέαι. αὔξησιν δὲ οὐκ ἐλάμβανεν, ἕως ἀπεῖπε μάτην ἀναλίσκων τὸ ἐπιχεόμενον. κατακλείσας δὲ τὸν τάφον, ἀπηλλάγη ἀθημονῶν. οὐ διεψεύσατο δὲ ἡ στήλη ὅσα προεῖπεν· ἀθροίσας γὰρ ἑβδομήκοντα μυριάδας ἐπὶ τοὺς Ἕλληνας, κακῶς ἀπήλλαξεν, εἶτα ἐπανελθὼν αἴσχιστα ἀνθρώπων ἀπέθανεν, ἀποσφαγεὶς νύκτωρ ἐν τῇ εὐνῇ ὑπὸ τοῦ υἱοῦ.

Ἀρχέλαος ὁ βασιλεὺς ἑστίασιν παρεσκεύασε πο-

Digitized by Google

λυτελῆ τοῖς ἑταίροις. προϊόντος δὲ τοῦ πότου ζωρότερον πιὼν Εὐριπίδης ὑπήχθη πως κατ' ὀλίγον ἐς μέθην· εἶτα συγκλιθέντα αὐτῷ Ἀγάθωνα τὸν τῆς τραγῳδίας ποιητὴν περιλαβὼν κατεφίλει, τεττεράκοντα ἐτῶν που γεγονότα. τοῦ δὲ Ἀρχελάου κυθομένου εἰ καὶ νῦν ἔτι ἐρώμενος αὐτῷ δοκεῖ εἶναι, ἀπεκρίνατο 'ναὶ μὰ Δία· οὐ γὰρ μόνον τὸ ἔαρ τῶν καλῶν κάλλιστον, ἀλλὰ καὶ τὸ μετόπωρον.'

5 Ἐρασθῆναι πρῶτον γενναίων παιδικῶν λέγουσι
10 Λάιον, ἁρπάσαντα Χρύσιππον τὸν Πέλοπος. καὶ ἐκ τούτου τοῖς Θηβαίοις ἓν τῶν καλῶν ἐδόκει τὸ τῶν ὡραίων ἐρᾶν.

6 Ἐν Ἡραίᾳ τῆς Ἀρκαδίας ἀκούω πεφυκέναι ἀμπέλους, ἐξ ὧν γίνεται οἶνος, ὃς τοῦ λογισμοῦ παράγει
15 καὶ ἔκφρονας τοὺς Ἀρκάδας ποιεῖ, τὰς δὲ γυναῖκας τεκνοποιοὺς τίθησιν.

Ὅτι ἐν Θάσῳ δύο γένη φασὶν οἴναν γίνεσθαι· καὶ τὸν μὲν ἕτερον πινόμενον ἐς ὕπνον κατάγειν εὖ μάλα βαθὺν καὶ διὰ ταῦτα ἡδύν, τὸν δὲ ἕτερον ἀντίπαλον
20 εἶναι τοῦ βίου καὶ ἀργυπνίαν ἐμποιεῖν καὶ ἀνιᾶσθαι παρέχειν.

Ἐν δὲ Ἀχαΐᾳ περὶ Κερυνίαν οἶνος γίνεται, ὃς ταῖς βουλομέναις γυναιξὶν ἀμβλῶσαι συμμάχεται.

7 Ὅτε εἶλε τὴν Θηβαίων πόλιν Ἀλέξανδρος, ἀπέδοτο
25 τοὺς ἐλευθέρους πάντας πλὴν ἱερέων. ἀφῆκε δὲ τῆς πράσεως καὶ τοὺς τοῦ πατρὸς ξένους (ὠμήρευσε γὰρ παρ' αὐτοῖς ὁ Φίλιππος ἔτι παῖς ὤν) καὶ τοὺς συγγενεῖς δὲ τούτων ἀφῆκεν. ἐτίμησε δὲ καὶ τοὺς ἐγγόνους τοὺς τοῦ Πινδάρου, καὶ τὴν οἰκίαν αὐτοῦ μόνην εἴασεν
30 ἑστάναι. ἐφόνευσε δὲ τῶν Θηβαίων ἐς ἑξακισχιλίους, αἰχμάλωτοι δὲ ἐλήφθησαν τρισμύριοι.

8 9 Λύσανδρον τὸν Λακεδαιμόνιον ἐν τῇ Ἰωνίᾳ δια-

Digitized by Google

τρίβοντα τὰ Λυκούργου φασὶ νόμιμα ῥίψαντα ἐπίπονα
ὄντα διατεθρύφθαι τὸν βίον. Λάμια γοῦν ἡ Ἀττικὴ
ἑταίρα εἶπεν 'οἱ ἐκ τῆς Ἑλλάδος λέοντες ἐν Ἐφέσῳ
γεγόνασιν ἀλώπεκες.'

Ἐν μιᾷ ἡμέρᾳ δύο γυναῖκας ἠγάγετο Διονύσιος, 10
Δωρίδα τὴν Λοκρίδα καὶ Ἀριστομάχην τὴν Ἱππαρίνου, 5
Δίωνος δὲ ἀδελφήν· καὶ παρ' ἑκατέρᾳ ἀνεπαύετο ἐν
τῷ μέρει. καὶ ἣ μὲν ἠκολούθει στρατευομένῳ, ἣ δὲ
ἐπανιόντα ὑπεδέχετο.

Λόγος τις ἐς ἐμὲ ἀφίκετο λέγων αἴτιον Ἰσοκράτην 11
γενέσθαι τὸν ῥήτορα τοῖς Πέρσαις καταδουλώσεως, 10
ἧς ἐδουλώσαντο αὐτοὺς Μακεδόνες. τοῦ γὰρ πανη-
γυρικοῦ λόγου, ὃν Ἰσοκράτης ἐν τοῖς Ἕλλησιν ἐπε-
δείξατο, ἐς Μακεδονίαν ἐλθοῦσα ἡ φήμη, πρῶτον
μὲν Φίλιππον ἐπὶ τὴν Ἀσίαν ἀνέστησεν· ἀποθανόντος 15
δὲ ἐκείνου Ἀλέξανδρον τὸν υἱὸν αὐτοῦ τῶν πατρῴων
κληρονόμον τὴν ὁρμὴν τὴν τοῦ Φιλίππου διαθέξασθαι
παρεσκεύασε.

Μέτων ὁ ἀστρονόμος μελλόντων ἐπὶ τὴν Σικελίαν 12
πλεῖν τῶν Ἀθηναίων ἤδη καὶ αὐτὸς εἷς ἦν τοῦ κα- 20
ταλόγου. σαφῶς δὲ ἐπιστάμενος τὰς μελλούσας τύ-
χας τὸν πλοῦν ἐφυλάττετο δεδιὼς καὶ σπεύδων τῆς
ἐξόδου ἑαυτὸν ῥύσασθαι. ἐπεὶ δὲ οὐδὲν ἔπραττεν,
ὑπεκρίνατο μανίαν· καὶ πολλὰ μὲν καὶ ἄλλα ἔδρασε
πιστώσασθαι τὴν τῆς νόσου δόξαν βουλόμενος, ἐν δὲ 25
τοῖς καὶ τὴν συνοικίαν τὴν αὐτοῦ κατέπρησεν· ἐγει-
τνία δὲ αὕτη τῇ Ποικίλῃ. καὶ ἐκ τούτου ἀφῆκαν
αὐτὸν οἱ ἄρχοντες. καί μοι δοκεῖ ὁ Μέτων ἄμεινον
ὑποκρίνασθαι τὴν μανίαν τοῦ Ὀδυσσέως τοῦ Ἰθακη-
σίου· ἐκεῖνον μὲν γὰρ ὁ Παλαμήδης κατεφώρασε, 30
τοῦτον δὲ Ἀθηναίων οὐδείς.

Πτολεμαῖόν φασι τὸν Λάγου καταπλουτίζοντα 13

Digitized by Google

τοὺς φίλους αὐτοῦ ὑπερχαίρειν. ἔλεγε δὲ ἄμεινον εἶναι πλουτίζειν ἢ πλουτεῖν.

14 Ὅτι τὰ Ὁμήρου ἔπη πρότερον διῃρημένα ἦδον οἱ παλαιοί. οἷον ἔλεγον Τὴν ἐπὶ ναυσὶ μάχην καὶ Δολώνειάν τινα καὶ Ἀριστείαν Ἀγαμέμνονος καὶ Νεῶν κατάλογον καὶ Πατρόκλειαν καὶ Λύτρα καὶ Ἐπὶ Πατρόκλῳ ἆθλα καὶ Ὁρκίων ἀφάνισιν. ταῦτα ὑπὲρ τῆς Ἰλιάδος. ὑπὲρ δὲ τῆς ἑτέρας Τὰ ἐν Πύλῳ καὶ Τὰ ἐν Λακεδαίμονι καὶ Καλυψοῦς ἄντρον καὶ Τὰ περὶ τὴν σχεδίαν καὶ Ἀλκίνου ἀπολόγους καὶ Κυκλώπειαν καὶ Νέκυιαν καὶ Τὰ τῆς Κίρκης καὶ Νίκτρα καὶ Μνηστήρων φόνον καὶ Τὰ ἐν ἀγρῷ καὶ Τὰ ἐν Λαέρτου. ὀψὲ δὲ Λυκοῦργος ὁ Λακεδαιμόνιος ἀθρόαν πρῶτος ἐς τὴν Ἑλλάδα ἐκόμισε τὴν Ὁμήρου ποίησιν· τὸ δὲ ἀγώγιμον τοῦτο ἐξ Ἰωνίας, ἡνίκα ἀπεδήμησεν, ἤγαγεν. ὕστερον δὲ Πεισίστρατος συναγαγὼν ἀπέφηνε τὴν Ἰλιάδα καὶ Ὀδύσσειαν.

15 Φασὶ παχύτατον γενέσθαι τὴν διάνοιαν οἱ τῆς κωμῳδίας ποιηταὶ Πολύδωρόν τινα, καὶ ἄλλον Κοκυλίωνα ὄνομα, ὅσπερ τὰ κύματα ἠρίθμει ὑπὸ τῆς ἄγαν ἀνοίας. λόγος δέ τις καὶ Σαννυρίωνα τοιοῦτον γενέσθαι, ὃς ἐν τῇ ληκύθῳ τὴν κλίμακα ἐζήτει. καὶ Κόροιβον δὲ καὶ Μελιτίδην καὶ ἐκείνους ἀνοήτους φασίν.

16 Ἀπολλωνιάται πόλιν οἰκοῦσι γείτονα Ἐπιδάμνου ἐν τῷ Ἰονίῳ κόλπῳ. καὶ ἐν τοῖς πλησίον αὐτῆς χωρίοις ἄσφαλτός ἐστιν ὀρυκτὴ καὶ πίττα τὸν αὐτὸν ἐκ τῆς γῆς ἀνατέλλουσα τρόπον, ὃν καὶ αἱ πλεῖσται πηγαὶ τῶν ὑδάτων. οὐ πόρρω δὲ καὶ τὸ ἀθάνατον δείκνυται πῦρ. ὁ δὲ καόμενος τόπος ἐστὶν ὀλίγος καὶ οὐκ ἐς μέγα διήκει καὶ ἔχει περίβολον οὐ πολύν, ὄζει δὲ θείου καὶ στυπτηρίας. καὶ περὶ αὐτόν ἐστι

Digitized by Google

δένδρα εὐθαλῆ καὶ πόα χλωρά· καὶ τὸ πῦρ πλησίον ἐνακμάζον οὐδὲν λυπεῖ οὔτε τὴν τῶν φυτῶν βλάστην οὔτε τὴν τεθηλυῖαν πόαν. κάεται δὲ τὸ πῦρ καὶ νύκτωρ καὶ μεθ' ἡμέραν, καὶ διέλιπεν οὐδέποτε, ὡς Ἀπολλωνιάται λέγουσι, πρὶν τοῦ πολέμου τοῦ πρὸς Ἰλλυριοὺς συμβάντος αὐτοῖς.

Ὅτι Ἀπολλωνιάται ξενηλασίας ἐποίουν κατὰ τὸν Λακεδαιμόνιον νόμον, Ἐπιδάμνιοι δὲ ἐπιδημεῖν καὶ μετοικεῖν παρεῖχον τῷ βουλομένῳ.

17 Πτήσσει Φρύνιχος ὥς τις ἀλεκτρυὼν παροιμία 10 ἐπὶ τῶν κακῶς τι πασχόντων. ὑποκρινομένου γὰρ Φρυνίχου τοῦ τραγικοῦ τὴν Μιλήτου ἅλωσιν οἱ Ἀθηναῖοι δακρύσαντες ἐξέβαλον δεδοικότα καὶ ὑποπτήσσοντα.

18 Διονύσιος ὁ τῆς Σικελίας τύραννος τραγῳδίαν 15 μὲν ἡσπάζετο καὶ ἐπῄνει καὶ οὖν καὶ δράματα ἐξεπόνησε τραγικά, ἀλλοτρίως δὲ πρὸς τὴν κωμῳδίαν διέκειτο, ὅτι οὐκ ἦν φιλόγελως.

19 Ἔλεγεν ὁ Κλεομένης Λακωνικῶς κατὰ τὸν ἐπι- χώριον τρόπον τὸν Ὅμηρον Λακεδαιμονίων εἶναι ποι- 20 ητήν, ὡς χρὴ πολεμεῖν λέγοντα· τὸν δὲ Ἡσίοδον τῶν Εἱλώτων, λέγοντα ὡς χρὴ γεωργεῖν.

20 Ἀνὴρ Μεγαλοπολίτης ἐξ Ἀρκαδίας, Κερκιδᾶς ὄνομα, ἀποθνήσκων ἔλεγε πρὸς τοὺς οἰκείους ἀθυμουμένους ἡδέως ἀπολύεσθαι τοῦ ζῆν· δι' ἐλπίδος 25 γὰρ ἔχειν συγγενέσθαι τῶν μὲν σοφῶν Πυθαγόρᾳ, τῶν δὲ ἱστορικῶν Ἑκαταίῳ, τῶν δὲ μουσικῶν Ὀλύμπῳ, τῶν δὲ ποιητῶν Ὁμήρῳ. καὶ ἐπὶ τούτοις ὡς λόγος τὴν ψυχὴν ἀπέλιπεν.

21 Ὅτι ἐν Κελαιναῖς τῇ δορᾷ τοῦ Φρυγὸς ἐὰν προσ- 30 αυλῇ τις τὴν ἁρμονίαν τὴν Φρυγίαν, ἡ δορὰ κινεῖται· ἐὰν δὲ ἐς Ἀπόλλωνα, ἀτρεμεῖ καὶ ἔοικε κωφῇ.

Digitized by Google

22 Πτολεμαῖος ὁ Φιλοπάτωρ κατασκευάσας Ὁμήρῳ νεών, αὐτὸν μὲν καλὸν καλῶς ἐκάθισε, κύκλῳ δὲ τὰς πόλεις περιέστησε τοῦ ἀγάλματος, ὅσαι ἀντιποιοῦνται τοῦ Ὁμήρου. Γαλάτων δὲ ὁ ζωγράφος ἔγραψε τὸν μὲν Ὅμηρον αὐτὸν ἐμοῦντα, τοὺς δὲ ἄλλους ποιητὰς τὰ ἐμημεσμένα ἀρυτομένους.

23 Λυκοῦργος ὁ Λακεδαιμόνιος ὁ Εὐνόμου παῖς δικαίους βουληθεὶς ἀποφῆναι Λακεδαιμονίους, ὑπὲρ τούτου γε οὐ καλοὺς τοὺς μισθοὺς ἠρύσατο. ἀπήντησε γὰρ αὐτῷ τὸν ὀφθαλμὸν ἐκκοπῆναι ὑπὸ Ἀλκάνδρου, ὡς μέν τινές φασιν, ἐξ ἐπιβουλῆς λίθῳ βληθείς, ὡς δὲ ἄλλος διαφοιτᾷ λόγος, βακτηρίᾳ παθὼν τὸ πάθος. λέγεται δὲ ὁ λόγος πρὸς τοὺς ἄλλα μὲν θελήσαντας, ἄλλων δὲ τυχόντας. λέγει δὲ Ἔφορος αὐτὸν λιμῷ διακαρτερήσαντα ἐν φυγῇ ἀποθανεῖν.

24 Λυκοῦργος ὁ ῥήτωρ ἔγραψε μὴ ἐλαύνειν τὰς γυναῖκας ἐν τοῖς μυστηρίοις ἐπὶ ζευγῶν, ἢ τῇ δρώσῃ τοῦτο ἐπηρτῆσθαι ζημίαν, ἣν γε ᾧετο τάξας ἀποχρῶσαν. πρώτη τῷ ψηφίσματι ἠπείθησεν ἡ τούτου γυνή, καὶ τὴν ζημίαν ἐξέτισε καταδικασθεῖσα.

Καὶ Περικλῆς ἔγραψε μὴ εἶναι Ἀθηναῖον, ὃς μὴ ἐξ ἀμφοῖν γέγονεν ἀστοῖν. εἶτα ἀποβαλὼν τοὺς γνησίους παῖδας ἐπὶ τῷ νόθῳ Περικλεῖ κατελέλειπτο. δῆλα δὲ ὅτι καὶ Περικλῆς ἐβούλετο μὲν ἕτερα, ἔτυχε δὲ ἑτέρων.

Κλεισθένης δὲ ὁ Ἀθηναῖος τὸ δεῖν ἐξοστρακίζεσθαι πρῶτος ἐσηγησάμενος, αὐτὸς ἔτυχε τῆς καταδίκης πρῶτος.

Ζάλευκος ὁ Λοκρῶν νομοθέτης προσέταξε τὸν μοιχὸν ἁλόντα ἐκκόπτεσθαι τοὺς ὀφθαλμούς. ἃ τοίνυν μηδὲ προσεδόκησε, ταῦτα ὁ δαίμων αὐτῷ παρὰ τὴν δόξαν καὶ τὴν ἐλπίδα ἐπήγαγεν· ὁ γάρ τοι παῖς ἁλοὺς

Digitized by Google

ἐπὶ μοιχείᾳ εἶτα ἔμελλε πείσεσθαι τὰ ἐκ τοῦ πατρῴου νόμου. ἐνταῦθα ἵνα μὴ διαφθαρῇ τὸ ἄπαξ κεκυρωμένον, ὑπέμεινεν αὐτὸς ὁ ἐσηγησάμενος ὑπὲρ τοῦ ἑτέρου τῶν τοῦ παιδὸς ὀφθαλμῶν ἀντιδοῦναι τὸν ἑαυτοῦ, ἵνα μὴ ὁ νεανίσκος τυφλωθῇ τελέως.

Πίνδαρος ὁ ποιητὴς ἀγωνιζόμενος ἐν Θήβαις ἁμα- 25
θέσι περιπεσὼν ἀκροαταῖς ἡττήθη Κορίννης πεντάκις. ἐλέγχων δὲ τὴν ἀμουσίαν αὐτῶν ὁ Πίνδαρος σὺν ἐκάλει τὴν Κόρινναν.

Διογένης ὁ Σινωπεὺς ἔρημος ἦν καὶ μόνος ἀπέρ- 26
ριπτο, καὶ οὔτε τινὰ δι' ἀπορίαν ὑπεδέχετο, οὔτε τις αὐτὸν ἐξένιζε, τὸν ἄνδρα ἐκτρεπόμενος διὰ τὸ τοῦ τρόπου ἐλεγκτικὸν καὶ ὅτι ἦν πρὸς τὰ πραττόμενα καὶ λεγόμενα δυσάρεστος. ἠθύμει οὖν ὁ Διογένης καὶ φύλλων ἄκρα ἤσθιε· ταῦτα γάρ οἱ παρῆν. τοῖς δὲ ἀποπίπτουσι τοῦ ἄρτου θρύμμασι μῦς ἐχρῆτο ἐπιφοιτῶν. ὁ οὖν Διογένης φιλοπόνως κατεσκέψατο τὸ πραττόμενον, καὶ μειδιάσας καὶ ἑαυτοῦ γενόμενος φαιδρότερός τε καὶ ἵλεως εἶπεν· ὁ μὲν μῦς οὗτος τῆς Ἀθηναίων πολυτελείας δεῖται οὐδέν, σὺ δέ, ὦ Διόγενες, ἄχθῃ ὅτι μὴ συνδειπνεῖς Ἀθηναίοις· καὶ ἐπόρισεν ἑαυτῷ εὔκαιρον εὐθυμίαν.

Ὅτι τὸ Σωκράτους σῶμα πεπίστευτο κόσμιον καὶ 27
σωφροσύνης ἐγκρατὲς γεγονέναι καὶ ταύτῃ. ἐνόσουν Ἀθηναῖοι πανδημεί, καὶ οἱ μὲν ἀπέθνησκον, οἱ δὲ ἐπιθανατίως εἶχον· Σωκράτης δὲ μόνος οὐκ ἐνύσησε τὴν ἀρχήν. ὁ τοίνυν τοιούτῳ συνὼν σώματι τίνα ἡγούμεθα εἶχε ψυχήν;

Διογένης ἡνίκα ἀπέλιπε τὴν πατρίδα, εἷς αὐτῷ 28
τῶν οἰκετῶν ἠκολούθει ὄνομα Μάνης, ὃς οὐ φέρων τὴν μετ' αὐτοῦ διατριβὴν ἀπέδρα. προτρεπόντων δέ τινων ζητεῖν αὐτὸν ἔφη· οὐκ αἰσχρὸν Μάνην μὲν

Digitized by Google

μὴ δεῖσθαι Διογένους, Διογένην δὲ Μάνους;' οὗτος δὲ ὁ οἰκέτης ἐς Δελφοὺς ἀλώμενος ὑπὸ κυνῶν διεσπάσθη, τῷ ὀνόματι τοῦ δεσπότου δίκας ἐπίσας ἀνθ' ὧν ἀπέδρα.

29 Ἔλεγεν ὁ Πλάτων τὰς ἐλπίδας ἐγρηγορότων ἀνθρώπων ὀνείρους εἶναι.

30 Ὀλυμπιὰς ἡ Ἀλεξάνδρου πυθομένη ὅτι πολὺν χρόνον ὁ παῖς αὐτῆς ἄταφος μένει, βαρὺ ἀναστένουσα καὶ θρηνοῦσα εὖ μάλα λιγέως 'ὦ τέκνον' εἶπεν, 'ἀλλὰ σὺ μὲν οὐρανοῦ μετασχεῖν βουλόμενος καὶ τοῦτο σπεύδων, νῦν οὐδὲ τῶν κοινῶν θήπου καὶ ἴσων πᾶσιν ἀνθρώποις μετασχεῖν ἔχεις, γῆς τε ἅμα καὶ ταφῆς·' καὶ τὰς ἑαυτῆς τύχας οἰκτείρασα καὶ τὸ τοῦ παιδὸς τετυφωμένον ἐλέγξασα.

31 Ξενοκράτης ὁ Χαλκηδόνιος, ὁ ἑταῖρος Πλάτωνος, τά τε ἄλλα ἦν φιλοικτίρμων καὶ οὐ μόνον φιλάνθρωπος, ἀλλὰ καὶ πολλὰ τῶν ἀλόγων ζῴων ἠλέει. καὶ οὖν ποτε καθημένου ἐν ὑπαίθρῳ, διωκόμενος βιαίως στρουθὸς ὑπὸ ἱέρακος ἐς τοὺς κόλπους αὐτοῦ κατέπτη. ὃ δὲ ἀσμένως ἐδέξατο τὸν ὄρνιν, καὶ διεφύλαξεν ἀποκρύψας, ἕστε ὁ διώκων ἀπῆλθεν. ἐπεὶ δὲ ἠλευθέρωσεν αὐτὸν τοῦ φόβου, ἁπλώσας τὸν κόλπον ἀφῆκε τὸν ὄρνιν, ἐπειπὼν ὅτι μὴ ἐξέθωκε τὸν ἱκέτην.

32 Φησὶ Ξενοφῶν ὅτι Θεοδότῃ τῇ ἑταίρᾳ ἐς λόγους ἀφίκετο Σωκράτης, καλλίστῃ γυναικὶ οὔσῃ. ἀλλὰ καὶ τῇ Καλλιστοῖ ἦλθεν ἐς λόγους, ἣ ἔλεγεν 'ἐγὼ μέν, ὦ Σωφρονίσκου, κρείττων εἰμί σου· σὺ μὲν γὰρ οὐδένα τῶν ἐμῶν δύνῃ ἀποσπάσαι· ἐγὼ δέ, ἐὰν βούλωμαι, τοὺς σοὺς πάντας.' ὃ δὲ 'καὶ μάλα γε εἰκότως· σὺ μὲν γὰρ ἐπὶ τὴν κατάντη αὐτοὺς ἄγεις, ἐγὼ

Digitized by Google

δὲ ἐπὶ τὴν ἀρετὴν ἥκειν βιάζομαι· ὀρθία δὲ ἡ ἄνοδος ἐστι καὶ ἀήθης τοῖς πολλοῖς.'

'Ροδῶπίν φασιν Λίγυπτίων λόγοι ἑταίραν γενέσθαι 33
ὡραιοτάτην. καί ποτε αὐτῆς λουομένης ἡ τὰ παρά-
δοξα καὶ τὰ ἀδόκητα φιλοῦσα ἐργάζεσθαι τύχη πρου-
ξένησεν αὐτῇ οὐ τῆς γνώμης ἀλλὰ τοῦ κάλλους
ἄξια. λουομένης γὰρ καὶ τῶν θεραπαινίδων τὴν
ἐσθῆτα φυλαττουσῶν, ἀετὸς καταπτάς, τὸ ἕτερον τῶν
ὑποδημάτων ἁρπάσας, ἀπιὼν ᾤχετο· καὶ ἐκόμισεν ἐς
Μέμφιν δικάζοντος Ψαμμιτίχου, καὶ ἐς τὸν κόλπον
ἐνέβαλε τὸ ὑπόδημα. ὁ δὲ Ψαμμίτιχος θαυμάσας
τοῦ ὑποδήματος τὸν ῥυθμὸν καὶ τῆς ἐργασίας αὐτοῦ
τὴν χάριν καὶ τὸ πραχθὲν ὑπὸ τοῦ ὄρνιθος προσέ-
ταξεν ἀνὰ πᾶσαν τὴν Λίγυπτον ἀναζητεῖσθαι τὴν
ἄνθρωπον, ἧς τὸ ὑπόδημά ἐστι· καὶ εὑρὼν γαμετὴν
ἠγάγετο.

Ὅτι τὸν Λέοντα ὁ Διονύσιος μετὰ τὴν πρόσταξιν 34
τὴν κατ' αὐτοῦ ἀνευρὼν ἐς τρὶς τοῖς δορυφόροις ἐκέ-
λευσεν ἀπάγειν, καὶ μετέγνω τρίς, καὶ καθ' ἑκάστην
μεταπομπὴν κατεφίλει κλάων καὶ καταρώμενος ἑαυ-
τοῦ, ὅτι ἔλαβε τὸ ξίφος. τελευτῶν ἥττηται τῷ φόβῳ,
καὶ προσέταξεν ἀποσφαγῆναι εἰπὼν ὅτι 'οὐκ ἔστιν,
ὦ Λέον, σοι ζῆν.'

Λέγουσι φυσικοὶ ἄνδρες τὴν ἔλαφον καθάρσεως 35
δεομένην σέσελιν ἐσθίειν, φαλαγγίων δὲ κνήσμασιν
ἐχομένην καρκίνους.

Ὀλυμπιὰς τῇ Φιλίππου θυγατρὶ Εὐρυδίκῃ (ἦν δὲ 36
ἄρα ἐξ Ἰλλυρίδος γυναικὸς τῷ Φιλίππῳ γενομένη)
προσέπεμψε κώνειον καὶ βρόχον καὶ ξίφος· ἡ δὲ
αἱρεῖται τὸν βρόχον.

Γέλων ὁ τῶν Συρακοσίων τύραννος τὴν τῆς ἀρ- 37
χῆς κατάστασιν πραότατα εἶχε· στασιώδεις δέ τινες

Digitized by Google

ἐπεβούλευον αὐτῷ. ἃ πυθόμενος ὁ Γέλων, ἐς ἐκκλησίαν συγκαλέσας τοὺς Συρακοσίους ἐσῆλθεν ὡπλισμένος, καὶ διεξελθὼν ὅσα ἀγαθὰ αὐτοῖς εἰργάσατο, καὶ τὴν ἐπιβουλὴν ἐξεκάλυψε καὶ ἀπεδύσατο τὴν πανοπλίαν, εἰπὼν πρὸς πάντας 'ἰδοὺ τοίνυν ὑμῖν ἐν χιτωνίσκῳ γυμνὸς τῶν ὅπλων παρέστηκα, καὶ δίδωμι χρῆσθαι ὅ τι βούλεσθε.' καὶ ἐθαύμασαν αὐτοῦ τὴν γνώμην οἱ Συρακόσιοι, οἳ δὲ καὶ τοὺς ἐπιβουλεύοντας παρέδοσαν αὐτῷ κολάσαι καὶ τὴν ἀρχὴν ἔδωκαν. ὃ δὲ καὶ τούτους εἴασε τῷ δήμῳ τιμωρήσασθαι. καὶ εἰκόνα αὐτοῦ οἱ Συρακόσιοι ἔστησαν ἐν ἀξώστῳ χιτῶνι· καὶ ἦν τοῦτο τῆς δημαγωγίας αὐτοῦ ὑπόμνημα καὶ τοῖς ἐς τὸν μετὰ ταῦτα αἰῶνα μέλλουσιν ἄρχειν δίδαγμα.

38 Ἰσχυρῶς Ὁμηρον ἐθαύμαζεν Ἀλκιβιάδης, καί ποτε διδασκαλείῳ παίδων προσελθὼν ῥαψῳδίαν Ἰλιάδος ᾔτει. τοῦ δὲ διδασκάλου μηδὲν ἔχειν Ὁμήρου φήσαντος ἐντρίψας αὐτῷ κόνδυλον εὖ μάλα στερεὸν παρῆλθεν, ἐνδειξάμενος ὅτι ἐκεῖνος ἀπαίδευτός ἐστι καὶ τοιούτους ἀποφαίνει τοὺς παῖδας.

Οὗτος ἐπὶ κρίσιν καλούμενος θανατικὴν ἐκ Σικελίας ὑπὸ τῶν Ἀθηναίων οὐχ ὑπήκουσεν εἰπὼν 'εὖηθες τὸν ἔχοντα δίκην ζητεῖν ἀποφυγεῖν, ἐνὸν φυγεῖν.' εἰπόντος δέ τινος 'οὐ πιστεύεις τῇ πατρίδι τὴν περὶ σοῦ κρίσιν;' ὃ δὲ εἶπεν 'οὐδὲ τῇ μητρί· δέδοικα γὰρ μὴ ἀγνοήσασα καὶ σφαλεῖσα τοῦ ἀληθοῦς εἶτα τὴν μέλαιναν ἐμβάλῃ ἀντὶ τῆς λευκῆς ψῆφον.' πυθόμενος οὖν ὅτι θάνατος αὐτοῦ κατεγνώσθη ὑπὸ τῶν πολιτῶν, 'δείξομεν οὖν' εἶπεν 'ὅτι ζῶμεν,' καὶ ὁρμήσας πρὸς τοὺς Λακεδαιμονίους τὸν Δεκελεικὸν ἐξῆψε πόλεμον ἐπὶ τοὺς Ἀθηναίους.

Ἔλεγε δὲ μηδὲν παράδοξον ποιεῖν Λακεδαιμονίους

Digitized by Google

ἀδεῶς ἐν τῷ πολέμῳ ἀποθνήσκοντας· τὴν γὰρ ἐκ τῶν νόμων ταλαιπωρίαν ἀποδιδράσκοντας θάνατον ὑπὲρ τῶν πόνων ὧν ἔχουσι προθύμως ἀλλάττεσθαι.

Εἰώθει δέ φασιν ἐπιλέγειν ταῖς ἑαυτοῦ πράξεσιν ὅτι τὸν τῶν Διοσκούρων ζῇ βίον παρ' ἡμέραν τεθνηκώς τε καὶ ἀναβιούς· εὐημερήσας γὰρ ἐν τῷ δήμῳ ἴσος θεοῖς νομίζεσθαι, κακῶς δὲ ἀπαλλάξας τῶν νεκρῶν μηδὲ ὀλίγον διαφέρειν.

Ἐφιάλτης στρατηγοῦ ὀνειδίσαντος αὐτῷ τινος 39
πενίαν 'τὸ δὲ ἕτερον' ἔφη 'διὰ τί οὐ λέγεις, ὅτι δίκαιός εἰμι;'

Στρεπτῷ κειμένῳ ἐπὶ τῆς γῆς χρυσοῦ Περσικοῦ 40
ὁ Θεμιστοκλῆς παρεστὼς τῷ παιδὶ εἶπεν 'οὐκ ἀναιρήσεις, ὦ παῖ, τὸ εὕρημα τύδε;' δείξας τὸν στρεπτόν· 'οὐ γὰρ σὺ Θεμιστοκλῆς εἶ δήπου.'

Ὅτι ἠτίμασαν αὐτόν ποτε Ἀθηναῖοι, εἶτα ἐπὶ τὴν ἀρχὴν αὖθις παρεκάλουν· ὃ δὲ 'οὐκ ἐπαινῶ τοὺς τοιούτους ἄνδρας, οἵτινες τὴν αὐτὴν ἀμίδα καὶ οἰνοχόην ἔχουσι.'

Πρὸς Εὐρυβιάδην τὸν Λακεδαιμόνιον ἔλεγέ τι 20
ὑπεναντίον, καὶ ἀνέτεινεν αὐτῷ τὴν βακτηρίαν. ὃ δὲ 'πάταξον μέν, ἄκουσον δέ.' ἤδει δὲ ὅτι ἃ μέλλει λέγειν τῷ κοινῷ λυσιτελεῖ.

Ὀδυρομένου τινὸς τῶν μετὰ Φωκίωνος μελλόντων 41
ἀποθνήσκειν εἶπεν ὁ Φωκίων 'εἶτα οὐκ ἀγαπᾷς, ὦ Θούδιππε, μετὰ Φωκίωνος ἀποθνήσκων;

Ἐπαμεινώνδας ἔφευγε δίκην θανάτου ἐπανελθὼν 42
ἐκ τῆς Λακωνικῆς, ὡς ἐπιβαλὼν τῇ βοιωταρχίᾳ τέτταρας μῆνας παρὰ τὸν νόμον. τοὺς μὲν οὖν συνάρχοντας ἐκέλευσεν ἐς αὐτὸν τὴν αἰτίαν ἀναφέρειν ὡς ἐκβιασθέντας, αὐτὸς δὲ παρελθὼν ἐς τὸ δικαστήριον οὐκ ἔφη βελτίονας ἔχειν τῶν ἔργων τοὺς λόγους· εἰ

Digitized by Google

δὲ μή, ἠξίου ἀποκτείνειν αὐτόν, ἐπιγράψαι μέντοι τῇ στήλῃ ὅτι μὴ βουλομένους Θηβαίους ἠνάγκασεν Ἐπαμεινώνδας τὴν μὲν Λακωνικὴν πυρπολῆσαι πεντακοσίους ἐνιαυτοὺς ἀθῆωτον οὖσαν, οἰκίσαι δὲ Μεσσήνην δι' ἐτῶν τριάκοντα καὶ διακοσίων, συντάξαι δὲ καὶ συναγαγεῖν ἐς ταὐτὸν Ἀρκάδας, ἀποδοῦναι δὲ τοῖς Ἕλλησι τὴν αὐτονομίαν. καὶ ἀφῆκαν αὐτὸν αἰδεσθέντες οἱ δικασταί. ἐπανελθόντα δὲ αὐτὸν ἐκ τοῦ δικαστηρίου Μελιταῖον κυνίδιον ἔσαινε. διὸ πρὸς τοὺς παρόντας εἶπε· τοῦτο μὲν ἀποδίδωσιν εὐεργεσίας μοι χάριν, Θηβαῖοι δὲ πολλάκις ὑπ' ἐμοῦ εὖ παθόντες ἔκρινάν με θανάτου.'

43 Ὅτι Τιμόθεος ὁ στρατηγὸς Ἀθηναίων πεπίστευτο εὐτυχὴς εἶναι· καὶ ἔλεγον τὴν τύχην αἰτίαν εἶναι, Τιμόθεον δὲ οὐδενός, κωμῳδοῦντες ἐπὶ τῆς σκηνῆς. καὶ οἱ ζωγράφοι δὲ καθεύδοντα ἐποίουν αὐτόν, εἶτα ὑπὲρ τῆς κεφαλῆς ἀπτῴρητο ἑστῶσα ἡ Τύχη ἕλκουσα ἐς κύρτον τὰς πόλεις.

Πυνθανομένου Θεμιστοκλέους τινὸς κατὰ τί μάλιστα ἥσθη ἐν τῷ βίῳ, ὃ δὲ ἀπεκρίνατο· τὸ θέατρον ἰδεῖν Ὀλυμπίασιν ἐπιστρεφόμενον ἐς ἐμὲ ἐς τὸ στάδιον παριόντα.'

44 Τοὺς αὐτοὺς ἐπιτρόπους ἔσχε Θεμιστοκλῆς καὶ Ἀριστείδης ὁ Λυσιμάχου, καὶ διὰ ταῦτά τοι καὶ συνεστράφησαν καὶ συνεπαιδεύθησαν κοινῷ διδασκάλῳ. ἐστασιαζέτην δὲ ὅμως καὶ ἔτι παῖδες ὄντες, καὶ παρέμενεν αὐτοῖς ἡ φιλονεικία ἀπὸ τῆς πρώτης ἡλικίας καὶ ἐς ἔσχατον γῆρας.

45 Ὅτι Διονύσιος τὴν μητέρα διέφθειρε φαρμάκοις· Λεπτίνην δὲ τὸν ἀδελφὸν σῶσαι δυνάμενος ἐν τῇ ναυμαχίᾳ περιεῖδεν ἀπολλύμενον.

46 Πόλις ἐστὶ τῆς Ἀχαΐας αἱ Πάτραι. παῖς παρ'

Digitized by Google

αὐτοῖς δράκοντα μικρὸν ἐπρίατο, καὶ ἔτρεφε μετὰ πολλῆς τῆς κομιδῆς. αὐξηθέντος δὲ αὐτοῦ ἐλάλει πρὸς αὐτὸν ὡς πρὸς ἀκούοντα, καὶ ἤθυρε μετ' αὐτοῦ καὶ συνεκάθευδεν αὐτῷ. ἐς μέγιστον δὲ μέγεθος ἐλθὼν ὁ δράκων ὑπὸ τῶν πολιτῶν ἐς ἐρημίαν ἀπηλάθη. ὕστερον δὲ ὁ παῖς νεανίας γενόμενος ἀπό τινος θέας ἐπανιών, λῃσταῖς περιπεσὼν μετὰ τῶν συνηλίκων, βοῆς γενομένης ἰδοὺ ὁ δράκων· καὶ τοὺς μὲν διεσκόρπισεν, οὓς δὲ ἀπέκτεινεν, αὐτὸν δὲ περιεσώσατο.

ΙΔ

Ἀριστοτέλης ὁ Νικομάχου, σοφὸς ἀνὴρ καὶ ὢν καὶ εἶναι δοκῶν, ἐπεί τις αὐτοῦ ἀφείλετο τὰς ψηφισθείσας αὐτῷ ἐν Δελφοῖς τιμάς, ἐπιστέλλων πρὸς Ἀντίπατρον περὶ τούτων φησὶν 'ὑπὲρ τῶν ἐν Δελφοῖς ψηφισθέντων μοι καὶ ὧν ἀφῄρημαι νῦν οὕτως ἔχω ὡς μήτε μοι σφόδρα μέλειν ὑπὲρ αὐτῶν μήτε μοι μηδὲν μέλειν.' οὐκ ἂν δὲ εἴη φιλοδοξία ταῦτα, οὐδ' ἂν καταγνοίην ἔγωγε τοιοῦτόν τι Ἀριστοτέλους, ἀλλ' εὖ φρονῶν ᾤετο μὴ ὅμοιον εἶναι ἀρχήν τινα μὴ λαβεῖν καὶ λαβόντα ἀφαιρεθῆναι. τὸ μὲν γὰρ οὐδὲν μέγα, τὸ μὴ τυχεῖν· τὸ δὲ ἀλγεινόν, τὸ τυχόντα εἶτα ἀποστερηθῆναι. 1

Ὅτι τοὺς παραβάντας ὅρκους τῶν βαρβάρων ἐπήνεσεν Ἀγησίλαος, ὅτι τοὺς θεοὺς ἑαυτοῖς ἐχθροὺς ποιησάμενοι ταῖς ἐπιορκίαις, αὐτῷ φίλους καὶ συμμάχους κατεπράξαντο. 2

Τιμόθεος ὁ Κόνωνος πρὸς Ἀριστοφῶντα τὸν Ἀζηνιέα πάντων ἄριστα ἔχοντα λόγον εἶπεν. ἐπεὶ 3

Digitized by Google

γὰρ ἄσωτος ἦν ὁ Ἀριστοφῶν, πικρότατα αὐτοῦ καθίκετο ὁ Τιμόθεος εἰπὼν ᾧ ἱκανὸν οὐδέν, ἀλλὰ τούτῳ γε αἰσχρὸν οὐδέν.

4 Ὅτι Ἀριστείδης ὁ Λοκρὸς ὑπὸ Ταρτησσίας γαλῆς δηχθεὶς καὶ ἀποθνήσκων εἶπεν ‘ὅτι πολὺ ἂν ἥδιον ἦν αὐτῷ δηχθέντι ὑπὸ λέοντος ἢ παρδάλεως ἀποθανεῖν, εἴπερ οὖν ἔδει τινὸς τῷ θανάτῳ προφάσεως ἢ ὑπὸ θηρίου τοιούτου,’ τὴν ἀδοξίαν ἐμοὶ δοκεῖν ἐκεῖνος τοῦ δήγματος πολλῷ βαρύτερον φέρων ἢ τὸν θάνατον αὐτόν.

5 Οὐ μόνοις τοῖς ἀστοῖς ἐχρῶντο Ἀθηναῖοι τοῖς πρὸς τὰς ἀρχὰς καὶ τὰς στρατηγίας ἐπιτηδείοις, ἀλλὰ γὰρ καὶ ξένους προηροῦντο καὶ τὰ κοινὰ αὐτοῖς ἐνεχείριζον, εἴπερ οὖν αὐτοὺς ἀγαθοὺς ὄντας κατέγνωσαν καὶ ἐπιτηδείους ἐς τὰ τοιαῦτα. Ἀπολλόδωρον τὸν Κυζικηνὸν πολλάκις στρατηγὸν εἵλοντο ξένον ὄντα, καὶ Ἡρακλείδην τὸν Κλαζομένιον· ἐνδειξάμενοι γὰρ ὅτι ἄξιοι λόγου εἰσίν, εἶτα οὐκ ἔδοξαν ἀνάξιοι τοῦ Ἀθηναίων ἄρχειν εἶναι. καὶ ὑπὲρ μὲν τούτων ἐπαινεῖν χρὴ τὴν πόλιν μὴ καταχαριζομένην τὰληθὲς τοῖς πολίταις, ἀλλὰ νέμουσαν καὶ τοῖς γένει μὲν μὴ προσήκουσι, δι’ ἀρετὴν δὲ ἀξίοις τιμᾶσθαι.

6 Πάνυ σφόδρα ἐρρωμένως ἐφκει λέγειν ὁ Ἀρίστιππος, παρεγγυῶν τοῖς ἀνθρώποις μήτε τοῖς παρελθοῦσιν ἐπικάμνειν μήτε τῶν ἐπιόντων προκάμνειν· εὐθυμίας γὰρ δεῖγμα τὸ τοιοῦτο καὶ ἴλεω διανοίας ἀπόδειξις. προσέταττε δὲ ἐφ’ ἡμέρᾳ τὴν γνώμην ἔχειν καὶ αὖ πάλιν τῆς ἡμέρας ἐπ’ ἐκείνῳ τῷ μέρει, καθ’ ὃ ἕκαστος ἢ πράττει τι ἢ ἐννοεῖ. μόνον γὰρ ἔφασκεν ἡμέτερον εἶναι τὸ παρόν, μήτε δὲ τὸ φθάνον μήτε τὸ προσδοκώμενον· τὸ μὲν γὰρ ἀπολωλέναι, τὸ δὲ ἄδηλον εἶναι εἴπερ ἔσται.

Digitized by Google

Λακεδαιμόνιος οὗτος ὁ νόμος· ὁ δὲ νόμος ἐκεῖνα 7
λέγει. μηδένα Λακεδαιμονίων ἀνανδρότερον ὁρᾶσθαι
τὴν χρόαν ἢ τὸν ὄγκον τοῦ σώματος ἔχειν ὑπὲρ τὰ
γυμνάσια· ἐδόκει γὰρ τὸ μὲν ἀργίαν ὁμολογεῖν, τὸ δὲ
οὐχ ὁμολογεῖν ἄνδρα. προσεγέγραπτο δὲ τῷ νόμῳ 5
διὰ δέκα ἡμερῶν πάντως τοῖς ἐφόροις τοὺς ἐφήβους
παρίστασθαι γυμνοὺς δημοσίᾳ. καὶ εἰ μὲν ἦσαν εὐ-
παγεῖς καὶ ἐρρωμένοι καὶ ἐκ τῶν γυμνασίων οἱονεὶ
διαγλυφέντες καὶ διατορευθέντες, ἐπῃνοῦντο· εἰ δέ τι
χαῦνον ἦν αὐτοῖς τῶν μελῶν ἢ ὑγρότερον, ὑποιδού- 10
σης καὶ ὑπαναφυομένης διὰ τὴν ῥᾳθυμίαν πιμελῆς,
ἀλλ' ἐνταῦθα μὲν ἐπαίοντο καὶ ἐδικαιοῦντο. ἐτίθεντο
δὲ καὶ φροντίδα οἱ ἔφοροι καθ' ἑκάστην πολυπραγ-
μονεῖν τὰ περὶ τὴν στολήν, εἰ ἕκαστα αὐτῆς μὴ ἀπο-
λείπεται τοῦ κόσμου τοῦ δέοντος. ἔδει δὲ ὀψοποιοὺς 15
ἐν Λακεδαίμονι εἶναι κρέως μόνου· ὁ δὲ παρὰ τοῦτο
ἐπιστάμενος ἐξηλαύνετο τῆς Σπάρτης, ὡς τὰ τῶν
νοσούντων καθάρσια.

Οἱ αὐτοὶ Ναυκλείδην τὸν Πολυβιάδου ὑπερσαρ-
κοῦντα τῷ σώματι καὶ ὑπέρπαχυν διὰ τρυφὴν γενό- 20
μενον ἐς τὴν ἐκκλησίαν τῶν θεωμένων κατήγαγον,
καὶ ἠπείλησαν αὐτῷ φυγῆς προστίμησιν, ἐὰν μὴ τὸν
βίον ὃν ἐβίου τότε ὑπαίτιον ὄντα καὶ Ἰωνικὸν μᾶλλον
ἢ Λακωνικὸν τοῦ λοιποῦ μεθαρμόσηται· φέρειν γὰρ
αὐτοῦ τὸ εἶδος καὶ τὴν τοῦ σώματος διάθεσιν αἰσχύ- 25
νην καὶ τῇ Λακεδαίμονι καὶ τοῖς νόμοις.

Δύο εἰκόνας εἰργάσατο Πολύκλειτος κατὰ τὸ αὐτό, 8
τὴν μὲν τοῖς ὄχλοις χαριζόμενος, τὴν δὲ κατὰ τὸν νό-
μον τῆς τέχνης. ἐχαρίζετο δὲ τοῖς πολλοῖς τὸν τρό-
πον τοῦτον. καθ' ἕκαστον τῶν ἐσιόντων μετετίθει τι 30
καὶ μετεμόρφου, πειθόμενος τῇ ἑκάστου ὑφηγήσει.
προύθηκεν οὖν ἀμφοτέρας· καὶ ἡ μὲν ὑπὸ πάντων

Digitized by Google

ἐκηνείτο, ἡ δὲ ἑτέρα ἐγελᾶτο. ὑπολαβὼν οὖν ἔφη ὁ Πολύκλειτος 'ἀλλὰ ταύτην μὲν ἣν ψέγετε ὑμεῖς ἐποιήσατε, ταύτην δὲ ἣν θαυμάζετε ἐγώ.'

'Ιππόμαχος ὁ αὐλητὴς ἐπεὶ αὐτῷ μαθητὴς αὐλῶν
5 ἥμαρτε μὲν κατὰ τὸ αὔλημα, ἐκηνέθη δὲ ὑπὸ τῶν παρόντων, καθίκετο αὐτοῦ τῇ ῥάβδῳ καὶ ἔφη 'κακῶς ἠὔλησας· οὐ γὰρ ἂν οὗτοί σε ἐκήνουν.'

9 Ξενοκράτης ὁ Χαλκηδόνιος ὑπὸ τοῦ Πλάτωνος ἐς τὸ ἄχαρι σκωπτόμενος οὐδέποτε ἠγανάκτει φασίν,
10 ἀλλὰ καὶ πρὸς τὸν παροξύνοντα αὐτὸν ὑπὲρ τούτου, ἵνα τι ἀποκρίνηται τῷ Πλάτωνι, ὃ δὲ καὶ πάνυ ἐμφρόνως κατασιγάζων τὸν ἄνδρα ἔφατο 'ἀλλὰ τοῦτο ἐμοὶ συμφέρει.'

10 Προείλοντο τοῦ Φωκίωνος Ἀθηναῖοι τὸν Δημάδην
15 στρατηγεῖν. ὃ δὲ προτιμηθεὶς καὶ μέγα φρονῶν, προσελθὼν τῷ Φωκίωνι 'χρῆσόν μοι' ἔφη 'τὴν ὑπαρὰν χλαμύδα, ἣν εἰώθεις φορεῖν παρὰ τὴν στρατηγίαν.' καὶ ὃς 'οὐδέποτε' εἶπεν 'οὐδενὸς ὑπαροῦ σὺ ἀπορήσεις, ἔστ' ἂν ᾖς τοιοῦτος.'

11
20 Φιλίσκος πρὸς Ἀλέξανδρον ἔφη ποτὲ 'δόξης φρόντιζε, ἀλλὰ μὴ ἔσο λοιμὸς καὶ μὴ μεγάλη νόσος ἀλλὰ ὑγίεια,' λέγων τὸ μὲν βιαίως ἄρχειν καὶ πικρῶς καὶ αἱρεῖν πόλεις καὶ ἀπολλύειν δήμους λοιμοῦ εἶναι, τὸ δὲ ὑγιείας προνοεῖσθαι καὶ σωτηρίας τῶν ἀρχομένων
25 εἰρήνης ταῦτα ἀγαθά.

12 Ὅτι ὁ Περσῶν βασιλεὺς ὁδοιπορῶν, ἵνα μὴ ἀλύῃ, φιλύριον εἶχε καὶ μαχαίριον, ἵνα ξέῃ τοῦτο. καὶ τοῦτο εἰργάζοντο αἱ χεῖρες αἱ βασιλικαί· πάντως γὰρ οὐκ εἶχεν οὐ βιβλίον, οὐ διάνοιαν, ἵν' ἢ σκουδαλόν τι καὶ
30 σεμνὸν ἀναγινώσκῃ ἢ γενναῖόν τι καὶ λόγου ἄξιον βουλεύηται.

13 Πολλοῖς καὶ πολλάκις χρῆται τοῖς ἀντιθέτοις ὁ

Digitized by Google

'Αγάθων. ἐπεὶ δέ τις οἷον ἐπανορθούμενος αὐτὸν ἐβούλετο περιαιρεῖν αὐτὰ τῶν ἐκείνου δραμάτων, εἶπεν 'ἀλλὰ σύ γε, γενναῖε, λέληθας σεαυτὸν τὸν 'Αγάθωνα ἐκ τοῦ 'Αγάθωνος ἀφανίζων.' οὕτως ἐκόμα ἐπὶ τούτοις ἐκεῖνος, καὶ ᾤετο τὴν ἑαυτοῦ τραγῳδίαν ταῦτα εἶναι.

Στρατόνικον τὸν κιθαρῳδὸν ὑπεδέξατό τις ἀμφιλαφῶς· ὃ δὲ ὑπερήσθη τῇ κλήσει· καὶ γὰρ ἔτυχεν οὐκ ἔχων καταγωγήν, ἅτε ἐς ξένην ἀφικόμενος. ὑπερησπάζετο γοῦν τὸν ἄνδρα διὰ τὸ πρόχειρον τῆς κοινωνίας τῆς κατὰ τὴν στέγην. ἐπεὶ δὲ καὶ ἄλλον εἶδεν ἐσιόντα καὶ ἄλλον, καὶ τρόπον τινὰ ἄπλειστον αὐτοῦ τὴν οἰκίαν πᾶσι τοῖς καταλύειν προῃρημένοις, ἐντεῦθα ὁ Στρατόνικος ἔφη πρὸς τὸν ἀκόλουθον 'ἀπίωμεν ἐντεῦθεν, ὦ παῖ· ἐοίκαμεν γὰρ ἀντὶ περιστερᾶς ἔχειν φάτταν, ὑπὲρ οἰκίας εὑρόντες πανδοκεῖον.'

Λόγος τις διεφοίτα λέγων τοὺς Σωκράτους λόγους ἐοικέναι τοῖς Παύσωνος γράμμασι. καὶ γάρ τοι καὶ Παύσωνα τὸν ζωγράφον ἐκλαβόντα παρά τινος γράψαι ἵππον καλινδούμενον, τὸν δὲ γράψαι τρέχοντα. ἀγανακτοῦντος οὖν τοῦ τὸ πινάκιον ἐκδόντος ὡς παρὰ τὰς ὁμολογίας γράψαντος, ἀποκρίνασθαι τὸν ζωγράφον ὅτι 'στρέψον τὸ πινάκιον καὶ καλινδούμενος ἔσται σοι ὁ τρέχων.' καὶ τὸν Σωκράτην μὴ σαφῶς διαλέγεσθαι. εἰ γοῦν τις αὐτοὺς στρέψειεν, ὀρθότατα ἔχειν. οὐκ ἐβούλετο δὲ ἄρα ἀπεχθάνεσθαι τούτοις, πρὸς οὓς διελέγετο, καὶ διὰ τοῦτο αἰνιγματώδεις αὐτοὺς παρείχετο καὶ πλαγίους.

Ἱππόνικος ὁ Καλλίου ἐβούλετο ἀνδριάντα ἀναστῆσαι τῇ πατρίδι ἀνάθημα. ἐπεὶ δέ τις συνεβούλευσε παρὰ Πολυκλείτῳ κατασκευάσαι τὸ ἄγαλμα, οὐκ ἔφη προσέξειν τοιούτῳ ἀναθήματι, οὗ τὴν δόξαν οὐχ ὁ

Digitized by Google

ἀναθεὶς ἀλλ' ὁ ποιήσας ἔξει. δῆλον γὰρ ὡς οἱ ὁρῶντες τὴν τέχνην ἔμελλον τὸν Πολύκλειτον ἀλλ' οὐκ ἐκεῖνον ἄγασθαι.

17 Σωκράτης ἔλεγεν Ἀρχέλαον ἐς τὴν οἰκίαν τετρακοσίας μνᾶς ἀναλῶσαι, Ζεῦξιν μισθωσάμενον τὸν Ἡρακλεώτην, ἵνα αὐτὴν καταγράφοι, ἐς ἑαυτὸν δὲ οὐδέν. διὸ πόρρωθεν μὲν ἀφικνεῖσθαι σὺν σπουδῇ πολλῇ τοὺς βουλομένους θεάσασθαι τὴν οἰκίαν· δι' αὐτὸν δὲ Ἀρχέλαον μηδένα ἐς Μακεδόνας στέλλεσθαι, ἐὰν μή τινα ἀναπείσῃ χρήμασι καὶ δελεάσῃ, ὑφ' ὧν οὐκ ἂν αἱρεθῆναι τὸν σπουδαῖον.

18 Ἀνὴρ Χῖος ὀργιζόμενος τῷ οἰκέτῃ ἐγώ σε ἔφη οὐκ ἐς μύλην ἐμβαλῶ, ἀλλ' ἐς Ὀλυμπίαν ἄξω. πολλῷ γὰρ ᾤετο πικροτέραν ὡς τὸ εἰκὸς εἶναι τιμωρίαν ἐκεῖνος ἐν Ὀλυμπίᾳ θεώμενον ὑπὸ τῆς ἀκτῖνος ὀπτᾶσθαι ἢ ἀλεῖν μύλῃ παραδοθέντα.

19 Ἀρχύτας τά τε ἄλλα ἦν σώφρων καὶ οὖν καὶ τὰ ἄκοσμα ἐφυλάττετο τῶν ὀνομάτων. ἐπεὶ δέ ποτε ἐβιάζετό τι εἰπεῖν τῶν ἀπρεπῶν, οὐκ ἐξενικήθη, ἀλλ' ἐσιώπησε μὲν αὐτό, ἐπέγραψε δὲ κατὰ τοῦ τοίχου, δείξας μὲν ὃ εἰπεῖν ἐβιάζετο, οὐ μὴν βιασθεὶς εἰπεῖν.

20 Συβαρίτης ἀνὴρ παιδαγωγὸς (καὶ γὰρ οὖν μετὰ τῶν ἄλλων Συβαριτῶν καὶ αὐτοὶ ἐτρύφων) τοῦ παιδός, ὃν ἦγε διὰ τῆς ὁδοῦ, ἰσχάδι περιτυχόντος καὶ ἀναλομένου, ἐπέπληξεν αὐτῷ ἰσχυρότατα· γελοιότατα δὲ αὐτὸς τὸ εὕρημα παρὰ τοῦ παιδὸς ἁρπάσας κατέτραγεν. ὅτε τοῦτο ἀνελεξάμην ἐν ἱστορίαις Συβαριτικαῖς, ἐγέλασα· ἔδωκα δὲ αὐτὸ ἐς μνήμην, μὴ βασκήνας διὰ φιλανθρωπίαν γελάσαι καὶ ἄλλον.

21 Ὅτι Οἰαγρός τις ἐγένετο ποιητὴς μετ' Ὀρφέα καὶ Μουσαῖον, ὃς λέγεται τὸν Τρωϊκὸν πόλεμον πρῶτος

Digitized by Google

ᾄσαι, μεγίστης οὗτος ὑποθέσεως λαβόμενος καὶ ἐπιτολμήσας ταύτῃ.

Ὅτι Τρύζος τις τύραννος βουλόμενος ἐξελεῖν τὰς 22
συνωμοσίας καὶ τὰς κατ' αὐτοῦ ἐπιβουλὰς ἔταξε τοῖς
ἐπιχωρίοις μηδένα μηδενὶ διαλέγεσθαι μήτε κοινῇ
μήτε ἰδίᾳ. καὶ ἦν τὸ πρᾶγμα ἀμήχανον καὶ χαλεπόν.
ἐσοφίσαντο οὖν τὸ τοῦ τυράννου πρόσταγμα, καὶ
ἀλλήλοις ἔνευον καὶ ἐχειρονόμουν πρὸς ἀλλήλους,
καὶ ἐνεώρων θρυμὺ καὶ αὖ πάλιν γαληναῖον καὶ φαιδρόν· καὶ ἐπὶ τοῖς σκυθρωποῖς καὶ ἀνηκέστοις ἕκαστος
αὐτῶν συνωφρυωμένος ἦν θῆλυς, τὸ τῆς ψυχῆς πάθος
ἐκ τοῦ προσώπου τῷ πλησίον διαθεικνύς. ἐλύπει τὸν
τύραννον καὶ ταῦτα, καὶ ἐπίστευε τέχεσθαί τι αὐτῷ
πάντως κακὸν καὶ τὴν σιωπὴν διὰ τὸ τῶν σχημάτων
ποικίλον. ἀλλ' οὖν ἐκεῖνος καὶ τοῦτο κατέπαυσε.
τῶν τις οὖν ἀχθομένων τῇ ἀμηχανίᾳ καὶ δυσφορούντων καὶ τὴν μοναρχίαν καταλῦσαι διψώντων ἀφίκετο
ἐς τὴν ἀγοράν, εἶτα ἔκλαε στὰς πολλοῖς ἅμα καὶ θαλεροῖς τοῖς δακρύοις. περιέστησαν οὖν αὐτὸν καὶ
περιῆλθον τὸ πλῆθος, καὶ ὀδυρμῷ κἀκεῖνοι συνείχοντο. ἦκεν ἀγγελία παρὰ τὸν τύραννον ὡς οὐδεὶς
αὐτῶν χρῆται νεύματι οὐκέτι, δάκρυα δὲ αὐτοῖς ἐπιχωριάζει. ὃ δὲ ἐπειγόμενος καὶ τοῦτο παῦσαι, μὴ
μόνον τῆς γλώττης καταγινώσκων δουλείαν μηδὲ μόνον τῶν νευμάτων ἀλλ' ἤδη καὶ τοῖς ὀφθαλμοῖς τὴν 25
ἐκ φύσεως ἀποκλείων ἐλευθερίαν, ᾗ ποδῶν εἶχεν
ἀφίκετο σὺν τοῖς δορυφόροις, ἵνα ἀναστείλῃ τὰ δάκρυα. οἱ δὲ οὐκ ἔφθασαν ἰδόντες αὐτὸν καὶ τὰ ὅπλα
τῶν δορυφόρων ἁρπάσαντες τὸν τύραννον ἀπέκτειναν.

Κλεινίας ἀνὴρ ἦν σπουδαῖος τὸν τρόπον, Πυθα- 23
γόρειος δὲ τὴν σοφίαν. οὗτος εἴ ποτε ἐς ὀργὴν προήχθη καὶ εἶχεν αἰσθητικῶς ἑαυτοῦ ἐς θυμὸν ἐξαγο-

Digitized by Google

μένου, παραχρῆμα πρὶν ἢ ἀνάπλεως αὐτῷ ἡ ὀργὴ καὶ ἐπίδηλος γένηται ὅπως διάκειται, τὴν λύραν ἁρμοσάμενος ἐκιθάριζε. πρὸς δὲ τοὺς συνθανομένους τὴν αἰτίαν ἀπεκρίνετο ἐμμελῶς ὅτι 'πραῦνομαι.' δοκεῖ δέ μοι καὶ ὁ ἐν Ἰλιάδι Ἀχιλλεύς, ὁ τῇ κιθάρᾳ προσάδων καὶ τὰ κλέα τῶν προτέρων διὰ τοῦ μέλους ἐς μνήμην ἑαυτῷ ἄγων, τὴν μῆνιν κατευνάζειν· μουσικὸς γὰρ ὢν τὴν κιθάραν πρώτην ἐκ τῶν λαφύρων ἔλαβε.

24 Χρημάτων κατεφρόνησαν καὶ μεγαλοφροσύνην ἐπεδείξαντο ὁρῶντες ἐν πενίᾳ τοὺς πολίτας ὄντας πλουτοῦντες αὐτοὶ ἐν μὲν Κορίνθῳ Θεοκλῆς καὶ Θρασωνίδης ἐν δὲ Μυτιλήνῃ Πρᾶξις. καὶ οὖν καὶ ἄλλοις συνεβούλευον ἐπικουφίσαι τῆς πενίας τὴν ἀνάγκην τοῖς ἀπορουμένοις. ἐπεὶ δὲ οὐκ ἔπειθον, ἀλλ' αὐτοί γε τὰ ἑαυτῶν ἀφῆκαν χρέα, καὶ ὤνηντο οὐκ ἐς ἀργύριον, ἀλλ' ἐς αὐτὴν τὴν ψυχήν· οἱ γὰρ μὴ ἀφεθέντες ἐπιθέμενοι τοῖς δανείσασι, προβαλόμενοι τῆς ὀργῆς τὰ ὅπλα καὶ εὐλογωτάτην χρείαν τὴν ἄμαχον ἐκ τῶν ἐπειγόντων ἀνάγκην ἀπέκτειναν τοὺς δανειστάς.

25 Ἐστασίασάν ποτε πρὸς ἀλλήλους οἱ Χῖοι, ἀνδρειότατα νοσήσαντες νόσον ταύτην βαρυτάτην. ἀνὴρ οὖν ἐν αὐτοῖς πολιτικὸς τὴν φύσιν πρὸς τοὺς σπουδάζοντας τῶν ἑταίρων πάντας ἐκβάλλειν τοὺς ἐναντίους 'μηδαμῶς' ἔφη· 'ἀλλ' ἐπεὶ κεκρατήκαμεν, ὑπολειπώμεθά τινας, ἵνα μὴ τοῦ χρόνου προϊόντος, οὐκ ἔχοντες ἀντιπάλους, ἡμῖν αὐτοῖς ἀρξώμεθα πολεμεῖν.' καὶ εἰπὼν ἔπεισε· καὶ γὰρ ἔδοξε καλῶς λέγειν, ἐπεὶ οὕτως ἔλεγεν.

26 Ἀρκεσίλαον τὸν ἐξ Ἀκαδημείας Ἀνταγόρας ὁ ποιητὴς ἐλοιδορεῖτο προσφθαρεὶς αὐτῷ, καὶ ταῦτα ἐν τῇ ἀγορᾷ· ὃ δὲ σφόδρα μεγαλοφρόνως, ἔνθα ἑώρα μά-

Digitized by Google

λιστα συνεστῶτας πολλούς, ἐνταῦθα ἐπορεύετο διαλεγόμενος, ἵνα ὁ λοιδορῶν ἐν πλείοσιν ἀσχημονῇ. οἱ γοῦν ἀκούοντες ἀπεστρέφοντο καὶ μανίαν ἐπεκάλουν τῷ Ἀνταγόρᾳ.

Ἐγὼ δὲ ἐπαινῶ μάλιστα ἐκείνους, ὅσοι τὰ ὑπο- 27
φυόμενα τῶν κακῶν φθάνοντες ἐκκόπτουσι πρὶν ἢ δυνάμεώς τινος ἐπιλαβέσθαι. Ἀγησίλαος γοῦν συνεβούλευσεν ἀκρίτως ἀποκτείνειν τοὺς συνιόντας νύκτωρ ὑπὸ τὴν τῶν Θηβαίων ἐσβολήν.

Ὠνείδισέ τις τῷ ῥήτορι Πυθέᾳ ὅτι κακός ἐστιν. 28
ὁ δὲ οὐκ ἠρνήσατο· τὸ γὰρ συνειδὸς οὐκ ἐπέτρεπεν αὐτῷ. ἀπεκρίνατο δὲ ἐκεῖνο, ἐλάχιστον χρόνον τῶν πεπολιτευμένων Ἀθήνησι γενέσθαι κακός· μέγα φρονεῖν δῆλον ὅτι μὴ διὰ τέλους ἦν τοιοῦτος, καὶ ἡγούμενος μὴ ἀδικεῖν, ἐπεὶ μὴ τοῖς πονηροτάτοις παρεβάλλετο. εἴηθες δὲ τοῦτο τοῦ Πυθέου· οὐ γὰρ μόνον ὁ ἀδικήσας κακὸς ἀλλὰ καὶ ὁ ἐννοήσας ἀδικῆσαι, παρά γε ἐμοὶ κριτῇ.

Ὅτι Λύσανδρος ἐκόμισεν ἐς Λακεδαίμονα χρή- 29
ματα καὶ ἐδίδαξε τοὺς Λακεδαιμονίους παρανομεῖν ἐς τὸ πρόσταγμα τοῦ θεοῦ τὸ κελεῦον ἄβατον εἶναι χρυσῷ καὶ ἀργύρῳ τὴν Σπάρτην. τῶν οὖν φρονούντων τινὲς διεκώλυον, φρόνημα ἔτι κεκτημένοι Λακωνικὸν καὶ Λυκούργου καὶ τοῦ Πυθίου ἄξιον· οἱ δὲ προσέμενοι διεβλήθησαν, καὶ ἡ ἐξ ἀρχῆς αὐτῶν ἀρετὴ κατὰ μικρὸν ὑπέληξεν.

Ἄννων ὁ Καρχηδόνιος ὑπὸ τρυφῆς ἐν τοῖς ἀνθρώ- 30
πων ὅροις οὐκ ἠξίου διαμένειν, ἀλλ' ἐπενόει φήμας ὑπὲρ ἑαυτοῦ κατασπείρεσθαι κρειττονας ἢ κατὰ τὴν φύσιν, ἥνπερ οὖν ἔλαχεν. ὄρνιθας γάρ τοι τῶν ᾠδικῶν παμπόλλους πριάμενος ἔτρεφεν ἐν σκότῳ αὐτούς, ἵν διδάσκων μάθημα λέγειν 'θεός ἐστιν Ἄννων.'

Digitized by Google

ἐπεὶ δὲ ἐκεῖνοι μίαν φωνὴν ταύτην ἀκούοντες ἐγκρατεῖς ταύτης ἐγένοντο, ἄλλον ἄλλοσε διαφῆκεν, οἰόμενος διαρρεύσειν τῶν ὀρνίθων τὸ ὑπὲρ ἑαυτοῦ μέλος. οἱ δὲ τὸ πτερὸν ἀπολύσαντες ἅπαξ καὶ ἐλευθερίας λαβόμενοι καὶ ἐς ἤθη τὰ σύντροφα αὐτοῖς ἐλθόντες, τὰ οἰκεῖα ἤδον καὶ τὰ τῶν ὀρνίθων ἐμουσούργουν, μακρὰ χαίρειν εἰπόντες Ἕλλησι καὶ μαθήμασι τοῖς ἐν τῇ δουλείᾳ.

31 Πτολεμαῖος ὁ Τρύφων (τοῦτο γὰρ αὐτὸν ἐκάλουν ἐκ τοῦ βίου) γυναικὸς ὡραίας ἐντυχεῖν αὐτῷ βουλομένης ὃ δὲ ἔφη 'ἀπηγόρευσέ μοι ἡ ἀδελφὴ παρὰ γυναικὸς καλῆς λόγον δέξασθαι.' ἡ δὲ ἀτρέπτως πάνυ καὶ ἐμμελῶς 'παρὰ καλοῦ λάβοις ἄν;' εἶπε. καὶ ἐκεῖνος ἀκούσας ἐπήνεσε.

32 Λακεδαιμόνιος ἀνὴρ Τιμανδρίδας ὄνομα ἀποδημήσας τὸν υἱὸν ἀπέλιπε μελεδωνὸν τῆς οἰκίας. εἶτα ἐπανελθὼν χρόνῳ ὕστερον καὶ εὑρὼν τὴν οὐσίαν ποιήσαντα ἧς ἀπέλιπε πλείω, ἔφη πολλοὺς ἀδικεῖσθαι ὑπ' αὐτοῦ θεούς τε καὶ οἰκείους καὶ ξένους· τὰ γὰρ περιττὰ τούτων ἐς ἐκείνους ἀναλίσκεσθαι ὑπὸ τῶν ἐλευθέρων. τὸ δὲ ζῶντα μὲν φαίνεσθαι πένητα, τελευτήσαντα δὲ καταφωραθῆναι πλούσιον, ἀλλὰ τοῦτο τῶν ἐν ἀνθρώποις ἐστὶν αἴσχιστον.

33 Διελέγετο ὑπέρ τινων ὁ Πλάτων, παρὼν δ' ὁ Διογένης ὀλίγον αὐτῷ προσεῖχεν. ἠγανάκτησεν οὖν ἐπὶ τούτοις ὁ Ἀρίστωνος καὶ ἔφη 'ἐπάκουσον τῶν λόγων, κύον.' καὶ ὃς οὐδὲν διαταραχθεὶς 'ἀλλ' ἐγὼ' εἶπεν 'οὐκ ἐπανῆλθον ἐκεῖσε ὅθεν ἐπράθην, ὥσπερ οἱ κύνες,' αἰνιττόμενος αὐτοῦ τὴν ἐς Σικελίαν ὁδόν. εἰώθει δέ φασιν ὁ Πλάτων περὶ Διογένους λέγειν, ὅτι μαινόμενος οὗτος Σωκράτης ἐστίν.

34 Αἰγύπτιοι φασι παρ' Ἑρμοῦ τὰ νόμιμα ἐκμουσω-

Digitized by Google

θῆναι· οὕτω δὲ καὶ ἕκαστοι τὰ παρ' ἑαυτοῖς σεμνύνειν προῄρηνται. δικασταὶ δὲ τὸ ἀρχαῖον παρ' Αἰγυπτίοις οἱ ἱερεῖς ἦσαν. ἦν δὲ τούτων ἄρχων ὁ πρεσβύτατος, καὶ ἐδίκαζεν ἅπαντας. ἔδει δὲ αὐτὸν εἶναι δικαιότατον ἀνθρώπων καὶ ἀφειδέστατον. εἶχε δὲ καὶ ἄγαλμα περὶ τὸν αὐχένα ἐκ σαπφείρου λίθου, καὶ ἐκαλεῖτο τὸ ἄγαλμα Ἀλήθεια. ἐγὼ δὲ ἠξίουν μὴ λίθου πεποιημένην καὶ εἰκασμένην τὴν Ἀλήθειαν περιφέρειν τὸν δικαστήν, ἀλλ' ἐν αὐτῇ τῇ ψυχῇ ἔχειν αὐτήν.

Ὅτι Λαΐς καὶ Ἀξίνη ἐκαλεῖτο. ἤλεγχε δὲ αὐτῆς τὸ ἐπώνυμον τοῦτο τὴν τοῦ ἤθους ἀγριότητα καὶ ὅτι πολὺ ἐπράττετο, καὶ ἔτι μᾶλλον παρὰ τῶν ξένων, ἅτε ἀπαλλαττομένων θᾶττον.

Γελᾶν δὲ ἔξεστιν ἐπὶ τοῖς μέγα φρονοῦσι διὰ τοὺς πατέρας καὶ τοὺς ἄνω τοῦ γένους, εἴ γε Μαρίου μὲν τὸν πατέρα οὐκ ἴσμεν, αὐτὸν δὲ θαυμάζομεν διὰ τὰ ἔργα· καὶ Κάτωνα δὲ καὶ Σέρβιον καὶ Ὀστίλιον καὶ Ῥωμύλον.

Φιλῶ δὲ μήτε τὰ ἀγάλματα, ὅσα ἡμῖν ἡ πλαστικὴ δείκνυσι, μήτε τὰς εἰκόνας ἀργῶς ὁρᾶν· ἔστι γάρ τι τῆς χειρουργίας σοφὸν καὶ ἐν τούτοις. καὶ πολλὰ μὲν καὶ ἄλλα δύναταί τις καταγνῶναι ἔχοντα ταύτῃ, ἐν δὲ τοῖς καὶ ἐκεῖνο. τῶν Μουσῶν οὐδεὶς οὐδέποτε οὔτε γραφικὸς ἀνὴρ οὔτε πλαστικὸς οἷός τε ἐγένετο ψευδίστατα καὶ κίβδηλα καὶ ἀλλότρια τῶν Διὸς θυγατέρων τὰ εἴδη παραστῆσαι ἡμῖν. ἢ τίς οὕτως νεανικῶς ἐμάνη δημιουργός, ὥστε ὠπλισμένας ἐργάσασθαι; ὁμολογεῖ δὲ τοῦτο ὅτι δεῖ τὸν ἐν Μούσαις βίον εἰρηνικόν τε ἅμα καὶ πρᾶον εἶναι καὶ ἄξιον ἐκείνων.

Ἐπαμεινώνδου τοῦ Θηβαίου πολλὰ μὲν καὶ ἄλλα καλὰ οἶδα, ἐν δὲ τοῖς καὶ τόδε. ἔλεγε πρὸς Πελο-

Digitized by Google

πίδαν μὴ πρότερον ἀπαλλάττεσθαι τῆς ἀγορᾶς πρὶν ἢ φίλον τοῖς ἀρχαίοις τινὰ προσποίσαι νεώτερον.

39 Ὁ Περσῶν βασιλεὺς (βούλομαι γάρ τι ὑμῖν καὶ φαιδρὸν εἰπεῖν) στέφανον ἐς μύρον βάψας (διεπέπλεκτο δὲ ῥόδων ὁ στέφανος) ἔπεμψεν Ἀνταλκίδᾳ πρεσβεύοντι ὑπὲρ εἰρήνης πρὸς αὐτόν. ὃ δὲ Δέχομαι μὲν ἔφη τὸ δῶρον καὶ ἐπαινῶ τὴν φιλοφροσύνην, ἀπώλεσας δὲ τὴν ὀσμὴν τῶν ῥόδων καὶ τὴν τῆς φύσεως εὐωδίαν διὰ τὴν ἐκ τῆς τέχνης κιβδηλίαν.

40 Ἀλέξανδρος ὁ Φεραίων τύραννος ἐν τοῖς μάλιστα ἔδοξεν ὠμότατος εἶναι. Θεοδώρου δὲ τοῦ τῆς τραγῳδίας ποιητοῦ ὑποκρινομένου τὴν Μερόπην σφόδρα ἐμπαθῶς, ὃ δὲ ἐς δάκρυα ἐξέπεσεν εἶτα ἐξανέστη τοῦ θεάτρου. ἀπολογούμενος δὲ ἔλεγε τῷ Θεοδώρῳ ὡς οὐ καταφρονήσας οὐδὲ ἀτιμάσας αὐτὸν ᾤχετο, ἀλλ' αἰδούμενος εἰ τὰ μὲν τῶν ὑποκριτῶν πάθη οἷός τε ἦν ἐλεεῖν, τὰ δὲ τῶν ἑαυτοῦ πολιτῶν οὐχί.

41 Ὅτι Ἀπολλόδωρος πλεῖστον ἀνθρώπων πίνων οἶνον οὐκ ἀπεκρύπτετο τὸ ἑαυτοῦ κακόν, οὐδὲ ἐπειρᾶτο περιαμπέχειν τὴν μέθην καὶ τὰ ἐξ αὐτῆς κακά, ἀλλὰ καὶ ἐκ τοῦ οἴνου ὑπαναφλεγόμενος καὶ ὑπεξαπτόμενος ἐγίνετο φονικώτερος, πρὸς τῇ φύσει καὶ τὸ πῶμα ἔχων ἐνδόσιμον.

42 Ξενοκράτης ὁ Πλάτωνος ἑταῖρος ἔλεγε μηδὲν διαφέρειν ἢ τοὺς πόδας ἢ τοὺς ὀφθαλμοὺς εἰς ἀλλοτρίαν οἰκίαν τιθέναι· ἐν ταὐτῷ γὰρ ἁμαρτάνειν τόν τε ἐς ἃ μὴ δεῖ χωρία βλέποντα καὶ ἐς οὓς μὴ δεῖ τόπους παριόντα.

43 Ὁ μὲν Πτολεμαῖός φασιν (ὁπόστος δὲ ἦν οὗτος, ἐᾶν δεῖ) καθῆστο ἐπὶ κύβοις καὶ πεττεύων διετέλει· εἶτά τις αὐτῷ παρεστὼς ἀνεγίνωσκε τῶν κατεγνωσμένων τὰ ὀνόματα καὶ τὰς καταδίκας αὐτῶν προσεπέ-

Digitized by Google

λεγεν, ἵνα ἐκεῖνος παρασημήνηται τοὺς ἀξίους θανάτου. Βερενίκη δὲ ἡ γαμετὴ αὐτοῦ λαβοῦσα τὸ βιβλίον παρὰ τοῦ παιδὸς εἶτα οὐκ εἴασε διαναγνωσθῆναι τὸ πᾶν οὐκέτι, φήσασα πάνυ σφόδρα προσέχοντα τὴν διάνοιαν ὑπὲρ ἀνθρώπου ψυχῆς δεῖν λογίζεσθαι καὶ μὴ πρὸς παιδιᾷ γινόμενον· οὐ γὰρ ὁμοίαν εἶναι τὴν κτῶσιν τῶν κύβων καὶ τὴν τῶν σωμάτων. πρὸς ταῦτα ὁ Πτολεμαῖος ἤσθη, καὶ οὐδέποτε κυβεύων μετὰ ταῦτα ὑπὲρ ἀνθρώπου κρίσεως ἤκουσεν.

44 Λακωνικὸν μειράκιον ἐπρίατο χωρίον ὑπερεύωνον, εἶτα ἐπὶ τὰς ἀρχὰς ἦλθη καὶ ἐξημιώθη. τὸ δὲ αἴτιον τῆς καταδίκης ἐκεῖνο ἦν, ἐπεὶ νέος ὢν τοῦ κερδαίνειν ὀξύτατα ἦρα. ἦν δὲ Λακεδαιμονίων ἐν τοῖς μάλιστα ἀνδρικὸν καὶ τοῦτο, μὴ πρὸς μόνους πολεμίους παρατετάχθαι ἀλλὰ καὶ πρὸς ἀργύριον.

45 Γυναῖκας τῶν Ἑλλήνων ἐπαινοῦμεν Πηνελόπην Ἄλκηστιν καὶ τὴν Πρωτεσίλεω, Ῥωμαίων Κορνηλίαν καὶ Πορκίαν καὶ Κεστιλίαν. ἐδυνάμην δὲ εἰπεῖν καὶ ἄλλας, ἀλλ' οὐ βούλομαι τῶν μὲν Ἑλλήνων εἰπεῖν ὀλίγας, ἐπικλύσαι δὲ τοῖς τῶν Ῥωμαίων ὀνόμασιν, ὡς ἂν μή μέ τις δοκοίη χαρίζεσθαι ἐμαυτῷ διὰ τὴν πατρίδα.

46 Οἱ Μαιάνδρῳ παροικοῦντες Μάγνητες Ἐφεσίοις πολεμοῦντες ἕκαστος τῶν ἱκπέων ἦγεν αὐτῷ συστρατιώτην θηρατὴν κύνα καὶ ἀκοντιστὴν οἰκέτην. ἡνίκα δὲ ἔδει συμμῖξαι, ἐνταῦθα οἱ μὲν κύνες προπηδῶντες ἐτάραττον τὴν παρεμβολήν, φοβεροί τε καὶ ἄγριοι καὶ ἐντυχεῖν ἀμείλικτοι ὄντες· οἱ δὲ οἰκέται προπηδῶντες τῶν δεσποτῶν ἠκόντιζον. ἦν δὲ ἄρα ἐπὶ τῇ φθανούσῃ διὰ τοὺς κύνας ἀταξίᾳ καὶ τὰ παρὰ τῶν οἰκετῶν δρώμενα ἐνεργῆ. εἶτα ἐκ τρίτου ἐπῆσαν αὐτοί.

47 Ὅτι Ζεῦξις ὁ Ἡρακλεώτης ἔγραψε τὴν Ἑλένην.

Digitized by Google

Νικόμαχος οὖν ὁ ζωγράφος ἐξεπλήττετο τὴν εἰκόνα, καὶ τεθηπὼς τὸ γράμμα θῆλυς ἦν. ἤρετο οὖν τις αὐτὸν προσελθὼν τί δὴ παθὼν οὕτω θαυμάζοι τὴν τέχνην; ὃ δὲ 'οὐκ ἄν με ἠρώτησας' εἶπεν, 'εἰ τοὺς ἐμοὺς ὀφθαλμοὺς ἐκέκτησο.' ἐγὼ δ' ἂν φαίην τοῦτο καὶ ἐπὶ τῶν λόγων, ἀλλ' εἴ τις ἔχοι πεπαιδευμένα ὦτα, ὥσπερ οὖν οἱ χειρουργοὶ τεχνικὰ ὄμματα.

48 Ὅτι Φίλιππος τῶν ἐν Μακεδονίᾳ δοκιμωτάτων τοὺς υἱεῖς παραλαμβάνων περὶ τὴν ἑαυτοῦ θεραπείαν εἶχεν, οὔτι πού φασιν ἐνυβρίζων αὐτοῖς οὐδὲ ἐξευτελίζων, ἀλλ' ἐκ τῶν ἐναντίων καρτερικοὺς αὐτοὺς ἐκπονῶν καὶ ἑτοίμους πρὸς τὸ τὰ δέοντα πράττειν ἀποφαίνων. πρὸς δὲ τοὺς τρυφῶντας αὐτῶν καὶ ἐς τὰ ἐπιταττόμενα ῥᾳθύμως ἔχοντας διέκειτό φασι πολεμίως. ἀφθόνητον γοῦν ἐμαστίγωσεν, ὅτι τὴν τάξιν ἐπλιπὼν ἐξετράπετο τῆς ὁδοῦ διψήσας καὶ παρῆλθεν ἐς πανδοκέως. καὶ Ἀρχέδαμον ἀπέκτεινεν, ὅτι προστάξαντος αὐτοῦ ἐν τοῖς ὅπλοις συνέχειν ἑαυτὸν ὃ δὲ ἀπεδύσατο· ἤλπισε γὰρ διὰ τῆς κολακείας καὶ ὑποδρομῆς χειρώσασθαι τὸν βασιλέα, ἅτε ἀνὴρ ἥττων τοῦ κερδαίνειν ὤν.

Digitized by Google

ΕΚ ΤΩΝ ΑΙΛΙΑΝΟΥ

ΑΓΡΟΙΚΙΚΩΝ ΕΠΙΣΤΟΛΩΝ

Digitized by Google

Digitized by Google

Εὐθυκομίδης Βλεπαίφ.

Διαψύχοντί μοι πρὸς τὴν εἴλην τοὺς βότρυς ἡ 1
Μανία προσελθοῦσα ἐθρύπτετο καὶ ὡραϊζομένη πολ-
λοῖς ἔβαλλε τοῖς σκώμμασιν. ἐγὼ δὲ παλαιὸν δή τι
ἐπιτεθυμμένος αὐτῆς διενοούμην τι δρᾶσαι θερμόν.
ὡς οὖν ἄσμενος ἐλαβόμην, πλησιάσας τὰς μὲν φάγας
εἴασα, ἐφερπύσας δὲ καὶ μάλα ἀσμένως τῆς ὥρας
ἐτρύγησα. ταῦτά σοι πρὸς τοῦ Πανὸς μυστήρια τὰ
μεγάλα ἔστω.

Κωμαρχίδης Δρωπαίφ.

Ἡμέρων ὁ μαλακὸς φελλεῖ ἐπέκοψε τὸ σκέλος πάνυ 2
ἰσχυρῶς, καὶ θέρμη ἐπέλαβεν αὐτοῦ, καὶ βουβὼν
ἐπήρθη. βουλοίμην δ' ἂν αὐτὸν ἀναρρωσθῆναι ἢ μοι
μεδίμνους ἰσχάδων ὑπάρξαι τέτταρας. τὴν οἶν τὴν
τὰ μαλακὰ ἔρια, ἣν ἐπαινῶ πρὸς σέ, παρ' ἐμοῦ πρόσ-
ειπε καὶ τῷ βοϊδίῳ καὶ τὴν κύνα, καὶ τὴν Μανίαν καὶ
αὐτὴν χαίρειν κέλευε.

Εὐπειθίδης Τιμωνίδη.

Ἀδικεῖ με ἡ παρὰ σοὶ Σηκύλη παραιρουμένη τῶν 3
δραγμάτων καὶ παρακλέπτουσα. ἐὰν μὲν οὖν παύ-

Digitized by Google

σηται, καλά σοι καὶ μενοῦμεν φίλοι· ἐὰν δὲ ἔχηται ἔργου, δικάσομαί σε βλάβης. καὶ γὰρ ἂν εἰκότως μοι στενάξειε τὰ τῶν προγόνων ἡρία, εἰ Εὐπειθίδης ὁ Κορυδαλλεὺς ἐμαυτὸν περιόψομαι προσελούμενον, καὶ ταῦτα ὑπ' ἀνδρακόδου ἴσως δυοῖν μναῖν ἀξίου.

Ἀνθεμίων Δράκητι.

Τί σοι καλὸν εἴργασται καὶ τί σοι πεκόνηται χρηστόν; ἐγὼ γὰρ ἀμπελίδος ὄρχον ἐλάσας, εἶτα μοσχίδια συκίδων παραφυτεύσας ἀπαλά, καὶ ἐν κύκλῳ περὶ τὸ αὔλιον κατέπηξα ἑλᾶδας. εἶτά μοι δεῖκνον καὶ πίσινον ἔτνος, καὶ τρεῖς ἁδρὰς ἐξεκάναξα κύλικας, καὶ ἅσμενος κατέδαρθον.

Βαίτων Ἀνθεμίωνι.

Τὰ σμήνη μοι τῶν μελιττῶν κενά, καὶ ἀπεφοίτησαν τῆς ἑστίας οὐκ οὖσαι τέως δρακπέτιδες· ἀλλὰ γὰρ καὶ πισταὶ διέμενον καὶ ᾤκουν ὡς οἴκους τοὺς αὐτῶν σίμβλους, καὶ εἶχον λειμῶνα εὔθροσον καὶ δὴ καὶ ἀνθῶν εὔφορον, καὶ εἱστιῶμεν αὐτὰς πανδαισίᾳ· αἳ δὲ ὑπὸ τῆς φιλεργίας τῆς ἄγαν ἀνθειστίων ἡμᾶς πολλῷ καὶ καλῷ τῷ μέλιτι, κούδέποτε τῆσδε τῆς ὠδῖνος τῆς γλυκείας ἦσαν ἄγονοι. νῦν δὲ ᾤχοντο ἀπιοῦσαι, λυπηθεῖσαι πρὸς ἡμῶν οὐδὲ ἕν, οὐ μὰ τὸν Ἀρισταῖον καὶ τὸν Ἀπόλλω αὐτόν. καὶ αἳ μέν εἰσι φυγάδες, ὁ δὲ οἶκος αὐτῶν χῆρός ἐστι, καὶ τὰ ἄνθη τὰ ἐν τῷ λειμῶνι περὶ αὐτὰ γηρᾷ. ἐγὼ δὲ αὐτῶν ὅταν ὑπομνησθῶ τῆς πτήσεως καὶ τῆς εὐχαρίτου χορείας, οὐδὲν ἄλλο ἢ νομίζω θυγατέρας ἀφῃρῆσθαι. ὀργίζομαι μὲν οὖν αὐταῖς· τί γὰρ ἀπέλιπον τροφέα αὐτῶν καὶ ἀτεχνῶς

Digitized by Google

πατέρα καὶ φρουρὸν καὶ μελεδωνὸν οὐκ ἀχάριτον; δεῖ δέ με ἀνιχνεῦσαι τὴν πλάνην αὐτῶν καὶ ὅποι ποτὲ ἀποδρᾶσαι κάθηνται, καὶ τίς αὐτὰς ὑπεδέξατο καὶ τοῦτο· ἔχει γάρ τοι τὰς μηδὲν προσηκούσας. εἶτα εὑρὼν ὀνειδιῶ πολλὰ τὰς ἀγνώμονας καὶ ἀπίστους.

Κάλλαρος Καλλικλεῖ.

Καὶ ποῖ τις ἀποτρέψει τὸ ῥεῦμα, εἰ μήτε ἐς τὴν ὁδὸν ἐμβαλεῖ μήτε ἐς τὴν τῶν γειτόνων διαβήσεται; οὐ γὰρ δήπου κελεύσεις ἡμᾶς ἐκπιεῖν αὐτό. πάλαι μὲν οὖν λέλεκται κακὸν εἶναι γείτων κακός, πεπίστευται δὲ νῦν οὐχ ἥκιστα ἐπὶ σοῦ. ἀλλ' οὐδέν σοι πλέον τῆς βίας· οὐ γὰρ ἀποδωσόμεθά σοι τὸ χωρίον, δικάσεται δὲ πρότερον ὑπὲρ τούτων πρός σε ὁ δεσπότης, ἐάνπερ τὴν διάνοιαν ὑγιαίνῃ.

Δερκύλλος Ὀπώρᾳ.

Οὐχ ὅτι καλὴ λέγεις εἶναι οὐδ' ὅτι πολλοὺς ἐραστὰς λέγεις ἔχειν, διὰ τοῦτο ἐπαινῶ σε· ἴσως μὲν γάρ σε ἐκεῖνοι διὰ τὸ εἶδος θαυμάζουσιν, ἐμὲ δὲ ἀρέσκεις διὰ τὸ ὄνομα, καί σε οὕτως ὡς καὶ τὴν γῆν τὴν πατρῴαν ἐπαινῶ, καὶ τεθαύμακα τὸν οὕτω σε καλέσαντα τῆς ἐπινοίας, ἵνα μὴ μόνοι σε περιμαίνωνται θηλονότι οἱ ἐν τῇ πόλει, ἀλλὰ γὰρ καὶ ἀγροῖκος λεώς. τῆς Ὀπώρας οὖν καταπειράσας τί ἀδικῶ; ἐπεὶ τά τε ἄλλα καὶ ἐφολκὸν ἐς ἔρωτα τὸ ὄνομα, καὶ ταῦτα ἀνδρὶ γεωργίᾳ ζῶντι. ἀπέστειλα οὖν σοι τῆς ὁμωνύμου τῆς ἐν ἀγρῷ σῦκα καὶ βότρυς καὶ τρύγα ἀπὸ ληνῶν· ἦρος δὲ ἀποπέμψω καὶ ῥόδα, τὴν ἐκ τῶν λειμώνων ὀπώραν.

Digitized by Google

Ὀπώρα Δερκύλλῳ.

8 Σὺ μὲν εἴτε σπουδάζεις ἐς τὸ ὄνομα τὸ ἐμὸν εἴτε παίζεις οἶσθα θήπου αὐτός, ἐγὼ δὲ οἷς πέμπεις οὐκ ἀξιῶ πρός με ὠραΐζεσθαι. καλὰ γάρ σου τὰ δῶρα ἀκρόδρυα δυοῖν ὀβολοῖν καὶ ὑβριστὴς οἶνος διὰ νεότητα· πίοι δ' ἂν ἡ Φρυγία αὐτόν· ἐγὼ δὲ Λέσβιον πίνω καὶ Θάσιον καὶ ἀργυρίου δέομαι· ὀπώραν δὲ Ὀπώρᾳ ἀποστέλλειν αὐτόχρημα πῦρ ἐπὶ πῦρ φέρειν ἐστί. κἀκεῖνο δέ σε οὐ χεῖρον εἰδέναι ταύτῃ ἥπερ οὖν καὶ αὐτὴ νοῶ. τοῦ γὰρ χρηματίζεσθαι παρὰ τῶν βουλομένων μοι προσιέναι καὶ τὸ ὄνομα αἴτιον· παιδεύει γάρ με ὅτι καὶ τὸ κάλλος τῶν σωμάτων ὀπώρᾳ ἔοικεν. ἕως οὖν ἀκμάζει, καὶ τὴν ὑπὲρ αὐτοῦ χάριν προσῆκόν ἐστιν ἀνταπολαμβάνειν· ἐὰν δὲ ἀπορρεύσῃ, τί ἂν ἄλλο εἴη τὸ ἡμέτερον ἢ δένδρον καρπῶν ἅμα καὶ φύλλων γυμνόν; καίτοιγε ἐκείνοις μὲν ἡ φύσις δίδωσιν ἀναθῆλαι· ἑταίρας δὲ ὀπώρα μία. δεῖ τοίνυν ἐντεῦθεν ταμιεύεσθαι πρὸς τὸ γῆρας.

Χρέμης Παρμένωνι.

9 Ὀψὲ ἔμαθον ὅτι μοι συνεβούλευες καλῶς, παιδεύων με ἀποδιδράσκειν τὰς ἑταίρας· λαβεῖν γὰρ κεχήνασι καὶ προσποιοῦνται φιλεῖν καὶ ἀποκλείουσι συνεχῶς καὶ τὸ πάντων μοι βαρύτατον πρὶν ὑπερπλησθῆναι καὶ γενέσθαι διακορεῖς οὐ βούλονται συγκαθεύδειν, ἀλλὰ ἀκκίζονται καὶ θρύπτονται, εἶτα μιστυλῶνται πάλιν, καὶ λάθρᾳ μὲν ἁλοῶσι πάντα καὶ καταπίνουσιν ὑπὲρ τοὺς ἐργαστῆρας τοὺς ἐν ἀγορᾷ, παρόντων δὲ ἡμῶν ὠραΐζονται. ἐγὼ δὲ κατὰ χειρὸς ποιῶ πάντα καὶ σπεύδω καταλαβεῖν ἐς δύο τὰ σκέλη

Digitized by Google

ἄρας καὶ ὑποστρέφειν ἐπὶ τὰς αἶγας πάλιν. ἐμέλλησα δ' ἂν τὴν κάκιστα ἀπολουμένην Θηβαΐδα αὐλουμένην πρός με ἀράμενος μέσην εἶτα ῥίψας ἐς τὸ κλινίδιον ἔχεσθαι τῆς σπουδῆς. ἀπόλοιτο δὲ ὁ στρατιώτης ὁ διακωλύσας με· Θρασυλέων, οἶμαι, ἦν ὄνομα αὐτῷ ἢ ἄλλο τι τοιοῦτον συμπεπλεγμένον θηρίῳ.

Φιλέριφος Σιμύλῳ.

Πέπυσμαί σου τὸν ὖν εἶναι λάγνην. τί οὖν αὐτὸν οὐ βίᾳ συλλαβὼν τομίαν εἰργάσω, ὥσπερ εἰώθαμεν τοὺς τράγους ἡμεῖς; τοῦτο γάρ τοι καὶ τὰ ζῷα ἀναπείθει ἡσυχίαν τε ἔχειν καὶ σωφρονεῖν εὖ μάλα. εἰμὶ δὲ ἐγὼ περὶ ταῦτα δήπου δεινός· ἀποφανῶ γὰρ παραχρῆμα ὁλόκληρον, σάξας ἁλῶν καὶ ἐπαλείψας πίτταν· εἶτα ὑγιεινότερος ἔσται Κρότωνος δήπου καὶ κολοκύντης, καὶ ἐρῶν παύσεται καὶ ἐπιτρίβων σοι τὴν οὐσίαν. ἐνόρχην δὲ ἀκόλαστον ὑγιαίνων τρέφοι τίς ἄν;

Λαμπρίας Τρύφῃ.

Ἀγαθὰς διώκειν οἱ νεανίσκοι τρέφουσι κύνας, δρομικωτέρου δὲ λαγὼν οὐδὲ ἀσαρκότερον οὐδεπώποτε ἐθεασάμην· θαῦμα γὰρ ὅπως καὶ κατέλαβον αὐτόν. ἐπεὶ γὰρ ἐθάρρησε καὶ τὸ δέρμα ἀπεδύσατο, φανερὸς τηνικαῦτα ἐγένετο, μᾶλλον δὲ (οὐ γὰρ ὀρθῶς λέγω) ἀφανὴς ἔστι νῦν ἔτι πλέον. σὺ δέ, ὦ Τρύφη, κιχλίζουσα παῦσαι πρός με· ἐὰν γάρ σε, ὦ κακόδαιμον, ὁ πατὴρ ἴδῃ, λήψῃ τι πάντως κακόν. ἐγὼ δὲ αὐτὸν ὑποδέδοικα καίτοι παρόντα ὄντα· σὺ δὲ οὐκ οἶδα ὅπως διατέθρυψαι καὶ καταφρονεῖς αὐτοῦ.

Digitized by Google

Τρύφη Λαμπρίᾳ.

12 Προσπατταλεύσομεν, ὦ Λαμπρία, τοῦ λαγὼ τὴν δοράν, ἵνα σοι τῶν κυνηγεσίων ἄγαλμα ᾖ τοῦτο κατὰ τοὺς μεγάλους ἐκείνους δήπου θηρευτάς. ἔσται δὴ καὶ τὸ σὸν εὔθηρον ἀνάγραπτον. πότερον δὲ αὐτὸς ᾔρηκας ἢ δῶρον εἴληφας; πῶς δὲ καὶ ὤφθη τὴν ἀρχὴν διὰ σμικρότητα; εὔρινοι ἄρα ὄντως ἦσαν αἱ κύνες· οὐ γὰρ ἦν αὐτὸν ἰδεῖν, ἀλλ' ἤσθοντο αὐτοῦ. σὺ δὲ ἐξ οὗ θηρᾶν ἤρξω γέγονας ἡμῖν αὐτόχρημα Ἱππόλυτος. ὅρα δὴ τὴν Ἀφροδίτην μὴ καὶ σοὶ διὰ τὴν ὑπεροψίαν μηνίσῃ.

Καλλιππίδης Κνήμωνι.

13 Ἀγροίκου βίου τά τε ἄλλα ἐστὶ καλὰ καὶ δὴ καὶ τὸ ἥμερον τοῦ τρόπου· ἡ γὰρ ἡσυχία καὶ τὸ ἄγειν σχολὴν τοῖς τῆς γῆς καλὴν πραότητα ἐνεργάζεται. σὺ δὲ οὐκ οἶδ' ὅπως ἀγροῖκος εἶ καὶ γείτοσιν οὐκ ἀγαθὸς πάροικος. βάλλεις γοῦν ἡμᾶς ταῖς βώλοις καὶ ταῖς ἀχράσι καὶ μέγα κέκραγας ἰδὼν ἄνθρωπον ὡς διώκων λύκον, καὶ ἀργαλέος εἶ καὶ τοῦτο δὴ τὸ λεγόμενον ἁλμυρὸν γειτόνημα· ἐγὼ δὲ εἰ μὴ πατρῷον ἀγρὸν ἐγεώργουν, ἄσμενος ἂν αὐτὸν ἀπεδόμην φυγῇ φοβεροῦ γείτονος. ἀλλ', ὦ βέλτιστε Κνήμων, τὸ σκαιὸν τοῦ τρόπου κατάλυσον, μηδέ σε ὁ θυμὸς ἐς λήθην προαγέτω, μὴ καὶ μανεὶς σεαυτὸν λάθῃς. ταῦτά σοι φίλα παρὰ φίλου παραγγέλματα ἔστω καὶ ἴαμα τοῦ τρόπου.

Κνήμων Καλλιππίδῃ.

14 Ἔδει μὲν μηδὲν ἀποκρίνασθαι· ἐπεὶ δὲ εἶ περίεργος καὶ βιάζῃ με ἄκοντά σοι προδιαλέγεσθαι, τοῦτο

Digitized by Google

γοῦν κεκέρδαγκα τὸ δι' ἀγγέλων σοι λαλεῖν, ἀλλὰ μὴ πρὸς αὐτόν σε. ἔστω σοι τοίνυν ἡ ἀπὸ Σκυθῶν λεγομένη ἀπόκρισις αὕτη. ἐγὼ μαίνομαι καὶ φονῶ καὶ μισῶ τὸ τῶν ἀνθρώπων γένος. ἔνθεν τοι βάλλω τοὺς ἐσφοιτῶντας ἐς τὸ χωρίον καὶ βώλοις καὶ λίθοις. μακάριον δὲ ἥγημαι τὸν Περσέα κατὰ δύο τρόπους ἐκεῖνον, ὅτι τε πτηνὸς ἦν καὶ οὐδενὶ συνήντα, ὑπεράνω τε ἦν τοῦ προσαγορεύειν τινὰ καὶ ἀσπάζεσθαι. ζηλῶ δὲ αὐτὸν καὶ τοῦ κτήματος ἐκείνου εὖ μάλα, ᾧ τοὺς συναντῶντας ἐποιει λίθους· οὗπερ οὖν εἴ μοί τις εὐμοιρία κατατυχεῖν ἐγένετο, οὐδὲν ἂν ἦν ἀφθονώτερον λιθίνων ἀνδριάντων, καὶ σὲ δ' ἂν εἰργασάμην τοῦτο πρῶτον. τί γὰρ παθὼν ῥυθμίζεις με καὶ πρᾶον ἀποφῆναι γλίχῃ οὕτως ἐχθρὰ πᾶσι νοοῦντα; ἔνθεν τοι καὶ τοῦ χωρίου τὸ παρὰ τὴν ὁδὸν ἀργὸν εἶασα καὶ τοῦτό μοι τῆς γῆς χῆρόν ἐστι καρπῶν. σὺ δὲ ἕνα σεαυτὸν τῶν ἀναγκαίων ἀποφαίνεις, καὶ σπεύδεις με φίλον ἔχειν μηδὲ ἐμαυτοῦ φίλον ὄντα. τί γὰρ καὶ μαθὼν εἰμὶ ἄνθρωπος;

Καλλιππίδης Κυήμωνι.

Σὺ μὲν τῶν ἀποφράδων διαφέρεις οὐδὲν οὕτως ἄγριος ὢν καὶ μονήρης τὸν τρόπον, δεῖ δέ σε ὅμως καὶ μὴ βουλόμενον ἥμερον ἡμῖν γενέσθαι αἰδοῖ καὶ ταῦτα γειτνιάσεως καὶ θεῶν ὁρίων τιμῇ, οἵπερ οὖν εἰσι κοινοί. θύω τοίνυν τῷ Πανὶ καὶ Φυλασίων τοὺς μάλιστα ἐπιτηδείους ἐς τὴν ἱερουργίαν παρακαλῶ. ἐν δὴ τούτοις καὶ σὲ ἀφικέσθαι βουλοίμην ἄν· σὺ δὲ καὶ ἐμπιὼν καὶ κοινωνήσας σπουδῶν ἔσῃ τι καὶ πραότερος. ὁ γάρ τοι Διόνυσος φιλεῖ τὰς μὲν ὀργὰς μαραίνειν τε καὶ κατακοιμίζειν, τὰς δὲ εὐφροσύνας ἐγείρειν·

Digitized by Google

ἔσται δέ σοι ὁ αὐτὸς οὗτος θεὸς καὶ Παιών, καὶ ἀπολύσει σε τῆς ἀκράτου χολῆς, οἴνῳ σβέσας τὸ τοῦ θυμοῦ ὑπέκπαυμα. καὶ αὐλητρίδος δὲ ἀκούσας ἴσως, ὦ Κνήμων, καὶ ἐς ᾠδὴν ἐμπεσὼν καὶ ἐς μέλος ὑπολισθὼν ἕξεις τι καὶ γαληνὸν ἐν τῇ ψυχῇ· οὐ χεῖρον δ' ἂν εἴη οἰνωμένον σε καὶ μασχάλην ἆραι. εἰ δέ που καὶ μεθύων κόρῃ περιπέσοις ἄβραν ἀνακαλούσῃ ἢ τὴν τίτθην ὑπολειφθεῖσαν εὑρεῖν πειρωμένῃ, τάχα πού τι καὶ θερμὸν δράσεις καὶ νεανικὸν ἔργον. οὐδὲν ἂν ἀπεικὸς εἴη καὶ τοιοῦτό τι πραχθῆναι ἐν τῇ τοῦ Πανὸς θυσίᾳ· καὶ γάρ τοι κἀκεῖνος ἐρωτικὸς εὖ μάλα καὶ οἷος ἐπανίστασθαι παρθένοις. λῦσον δὲ καὶ τὴν ὀφρύν, καὶ τὸ σκυθρωπὸν τοῦτο καὶ σύννεφες χάλασον εὐθυμίᾳ. φίλου ταῦτα παραίνεσις νοοῦντός σοι ἀγαθά.

Κνήμων Καλλιππίδῃ.

Ἵνα σοι καὶ λοιδορήσωμαι ταῦτ' ἀντεπιστέλλω καὶ ἀφῶ τι τῆς ὀργῆς ἐς σέ· μάλιστα γὰρ ἐδεόμην παρόντος, ἵνα σου καὶ αὐτόχειρ γένωμαι. τί γάρ με διαφθεῖραι γλίχῃ, τί δὲ σπεύδεις ἀπολέσαι με ἐς ἑστίασιν καὶ θοίνην παρακαλῶν; πρῶτον μὲν γὰρ τὸ πολλοὺς ὁρᾶν καὶ συνεῖναι πολλοῖς δεινῶς πέφρικα· φεύγω δὲ κοινὴν θυσίαν ὡς οἱ δειλοὶ τοὺς πολεμίους· ὑφορῶμαι δὲ καὶ τὸν οἶνον ὡς ἐπιβουλεῦσαι καὶ ἐπιθέσθαι γνώμῃ δεινῶς καρτερόν, τοὺς δὲ θεοὺς τούς τε ἄλλους καὶ τὸν Πᾶνα ἀσπάζομαί τε καὶ προσαγορεύω παριὼν μόνον, θύω δὲ οὐδέν, οὐδὲ γὰρ αὐτοὺς ἐνοχλεῖν ἐθέλω. σὺ δέ μοι καὶ αὐλητρίδας προσείρεις καὶ ᾠδάς, ὦ καταγέλαστε. ἐπὶ μὲν δὴ τούτοις καινῶς οὐχ ἁψαίμην σου· καλὰ δέ σου κἀκεῖνα, ὀρχήσασθαι καὶ ὁμι-

Digitized by Google

λῆσαι κόρῃ θερμότατα. σὺ μέν μοι δοκεῖς κἂν ἐς πῦρ ἅλασθαι κἂν ἐς μαχαίρας κυβιστῆσαι, ἐμοὶ δὲ μήτε θύων εἶης φίλος μήτε ἄλλως.

Δερκύλλος Αἰσχρέᾳ.

Οὐκ ἐγὼ ἔλεγον ὅτι Πλοῦτον ὁρῶντα ὀξὺ καὶ οὐ 17
τυφλὸν ἀνεῦρες, καὶ καταγελᾷς μου καὶ τῆς γῆς καὶ 5
τῆς Τύχης, ἐπεὶ τῶν χρηστῶν καὶ ἐπιμέλειαν τίθεται; σὺ γοῦν ἀπεδείξω τῶν εὐδαιμόνων ἐκείνων εἷς ὤν, οὓς ἐπὶ Κρόνου φασὶν ἐκ τῆς γῆς αὐτόματα ἔχειν πάντα καὶ κοινωνίαν ἐν αὐτοῖς ἄφθονον πολιτεύεσθαι 10
καὶ ἀφέλειαν τρόπου καὶ ἕνα οἶκον οἰκεῖν τὸν ὑπ' οὐρανῷ τόπον πάντα. Πλουτήσαντι γοῦν σοι τίς οὕτω φιλόμωμος ἢ κακός, ὡς ἄχθεσθαι καὶ ζηλότυπα νοεῖν; μήπω τοσαύτης κακίας ἀναπλησθείη γεωργῶν ἤθη, ὡς ζηλοτυπεῖν τε ἐς πλοῦτον καὶ ὑπὲρ χρημάτων φρο- 15
νεῖν. ἐς ἀγρίας αἶγας τραπείη ταῦτα καὶ ἐς τοὺς ἐν δικαστηρίοις ῥήτορας.

Δημύλος Βλεψίᾳ.

Γεωργίαν καὶ γεωργεῖν ἀπολιπὼν ὁ γείτων Λάχης 18
ἐπέβη νεὼς καὶ πλεῖ τὸν Αἰγαῖον φασι, καὶ ἄλλα πε- 20
λάγη μετρεῖ καὶ ἐπικυματίζει καὶ λάρου βίον ζῇ καὶ ἀνέμοις μάχεται διαφόροις· ἄκρα τε αὐτὸν ἐξ ἄκρας διαλαμβάνει, καὶ περιβλέπων ἁδρὸν κέρδος καὶ περινοῶν πλοῦτον ἀθρόον μακρὰ εἶπε χαίρειν αἰγιδίοις ἐκείνοις καὶ νομευτικῷ τῷ προτέρῳ βίῳ· γλισχρῶς 25
τε καὶ κατ' ὀλίγον ἐκ τῶν ἀγρῶν ἀποζῆν δυνάμενος οὐδὲ ἀρκούμενος τοῖς παροῦσιν Αἰγυπτίους καὶ Σύρους φαντάζεται καὶ περιβλέπει τὸ δεῖγμα, καὶ πολύς

Digitized by Google

ἐστι νὴ Δία τόκους ἐπὶ τόκοις λογιζόμενος καὶ χρήματα ἐπὶ χρήμασιν ἀριθμῶν, καὶ διαφλέγει τὴν διάνοιαν αὐτοῦ καὶ ἐκκάει κέρδος ἀμφοτερόπλουν. χειμῶνας δὲ οὐκ ἐννοεῖ οὐδὲ ἐναντία πνεύματα οὐδὲ τῆς θαλάττης τὸ ἀστάθμητον οὐδὲ τῶν ὡρῶν τὰς ἀκαιρίας. ἡμεῖς δὲ εἰ καὶ μικρὰ κερδαίνομεν μεγάλα πονοῦντες, ἀλλὰ πολὺ ἡ γῆ τῆς θαλάττης ἑδραιότερον, καὶ αὕτη πιστοτέρα βεβαιοτέρας ἔχει τὰς παρ' ἑαυτῆς ἐλπίδας.

Μορμίας Χρέμητι.

Ἐγὼ μὲν ἔθυον γάμους ὁ χρυσοῦς μάτην καὶ περιῄειν ἐστεφανωμένος οὐδὲν δέον, καὶ τούς τε ἔνδον καὶ τοὺς ἔξω θεοὺς ἐκολάκευον· ὁ δὲ παῖς κατήγαγε μὲν τὸ ζεῦγος ἐκ τῶν ἀγρῶν ὡς τὴν νύμφην ἐξ ἄστεος ἐς τὸ πατρῷον χωρίον ἐπανάξων· αὐλητρίδα δὲ λυσάμενος, ἧς ἔτυχεν ἐρῶν, νύμφης στολὴν αὐτῇ περιβαλὼν ἐπανήγαγέ μοι φάτταν ἀντὶ περιστερᾶς, φασίν, ἑταίραν ἀντὶ νύμφης. καὶ τὰ μὲν πρῶτα αἰδουμένη κορικῶς εὖ μάλα καὶ κατὰ τὸν τῶν γαμουμένων νόμον ὑπέκρυπτε τὴν τέχνην· μόλις δὲ ἀπερράγη ἡ σοφία τε αὐτῶν καὶ αἱ κατ' ἐμοῦ μηχαναί. οὐ μὴν ἐς τὸ παντελές μου καταφρονήσουσιν ὥσπερ οὖν πλινθίνου, ἐπεί τοι τὸν μὲν καλὸν νυμφιον ἐς κόρακας ἀποκηρύξω, ἐὰν μὴ τῆς ὑπερβαλλούσης τρυφῆς παυσάμενος σὺν ἐμοὶ ταφρεύῃ καὶ βωλοκοπῇ· τὴν δὲ νύμφην ἀποδώσομαι κἀκείνην ἐπ' ἐξαγωγῇ, ἐὰν μή τι καὶ αὐτὴ τῶν ἔργων τῇ Φρυγίᾳ τε καὶ τῇ Θρᾴττῃ συνεπιλαμβάνῃ.

Digitized by Google

Φαιδρίας Σθένωνι.

Φύεται μὲν ἐν τοῖς ἀγροῖς καλὰ πάντα, κεκόσμηται τε ἡ γῆ τούτοις καὶ τρέφει πάντας· καὶ τὰ μέν ἐστι τῶν καρπῶν διετήσια, τὰ δὲ καὶ πρὸς ὀλίγον ἀντέχοντά ἐστι τρωκτὰ ὡραῖα· πάντων δὲ τούτων θεοὶ μὲν ποιηταί, ἡ γῆ δὲ μήτηρ ἅμα καὶ τροφὸς αὕτη. φύεται δὲ καὶ δικαιοσύνη καὶ σωφροσύνη, καὶ ταῦτα ἐν τοῖς ἀγροῖς δένδρων τὰ κάλλιστα καρπῶν τὰ χρησιμώτατα. μὴ τοίνυν γεωργῶν καταφρόνει· ἔστι γάρ τις καὶ ἐνταῦθα σοφία· γλώττῃ μὲν οὐ ποικιλμένῃ οὐδὲ καλλωπιζομένῃ λόγων δυνάμει, σιγῶσα δὲ εὖ μάλα καὶ δι' αὐτοῦ τοῦ βίου τὴν ἀρετὴν ὁμολογοῦσα. εἰ δὲ σοφώτερα ταῦτα ἐπέσταλταί σοι ἢ κατὰ τὴν τῶν ἀγρῶν χορηγίαν, μὴ θαυμάσῃς· οὐ γάρ ἐσμεν οὔτε Λίβυες οὔτε Λυδοὶ ἀλλ' Ἀθηναῖοι γεωργοί.

Digitized by Google

Digitized by Google

ΑΙΛΙΑΝΟΥ

ΑΠΟΣΠΑΣΜΑΤΙΑ

Digitized by Google

Digitized by Google

ΕΚ ΤΗΣ ΠΟΙΚΙΛΗΣ ΙΣΤΟΡΙΑΣ.

1.

Χρύσιππος ὁ Σολεὺς ἐποιεῖτο τὸν βίον ἐκ πάνυ ὀλίγων, Κλεάνθης δὲ καὶ ἀπὸ ἐλαττόνων.

2.

Πρώτῃ καὶ ὀγδοηκοστῇ Ὀλυμπιάδι φασὶ τὴν Αἴτνην ῥυῆναι, ὅτε καὶ Φιλόνομος καὶ Καλλίας οἱ Κατανταῖοι τοὺς ἑαυτῶν πατέρας ἀράμενοι διὰ μέσης τῆς φλογὸς ἐκόμισαν, τῶν ἄλλων κτημάτων καταφρονήσαντες. ἀνθ' ὧν καὶ ἀμοιβῆς ἔτυχον τῆς ἐκ τοῦ θείου· τὸ γάρ τοι πῦρ θεόντων αὐτῶν διέστη καθ' ὃ μέρος ἐκεῖνοι παρεγίνοντο.

3.

Ὁ Σωκράτης ἐπεὶ τὸ κωνεῖον ἔμελλε πίεσθαι, τῶν ἀμφὶ τὸν Κρίτωνα ἐρομένων αὐτὸν τίνα τρόπον ταφῆναι ἐθέλει, 'ὅπως ἂν ὑμῖν' ἀπεκρίνατο 'ἢ ῥᾷστον.'

4.

Σωκράτης ὁ γενναῖος ἠτιᾶτο τῶν πατέρων ἐκείνους, ὅσοι μὴ παιδεύσαντες αὐτῶν τοὺς υἱεῖς εἶτα ἀπορούμενοι ἦγον ἐπὶ τὰς ἀρχὰς τοὺς νεανίσκους, καὶ

---

3 Stobaeus Serm. XVII, 29.
6 Stobaeus Serm. LXX, 38.
14 Stobaeus Serm. CXXIII, 10.
18 Stobaeus Serm. t. IV. p. 404. Gaisf.

Digitized by Google

ἔκριναν αὐτοὺς ἀχαριστίας, ὅτι οὐ τρέφονται ὑπ' αὐτῶν. ἔφη γὰρ ἀδύνατα ἀξιοῦν τοὺς πατέρας· μὴ γὰρ οἵους τε εἶναι τοὺς μὴ μαθόντας τὰ δίκαια ποιεῖν αὐτά.

5.

πολὺς δὲ καὶ ἀσελγὴς τίκτεται ἐκεῖθι ἄνεμος· γένεσις δὲ αὐτῷ αὐλῶνες βαθεῖς καὶ φάραγγες, δι' ὧν ὠθούμενος ἐκπίπτει λαμπρότατος.

6.

De mulieribus Romanis.

αἳ δεξάμεναι παρὰ Πύρρου τὰ δῶρα ἔφασαν ἡ δὼς αὐταῖς πρέπειν καὶ ἀξία εἶναι τοῦ πέμψαντος Πύρρου· ἀνόσιον δὲ εἶναι αὐταῖς φορεῖν.

7.

ἐπ' ἐλευθερίᾳ τινὲς Ῥωμαίοις φιλωθέντες, εἶτα μέντοι τὴν πίστιν, ἥπερ οὖν δεσμός ἐστι φιλίας, οὐκ ἐτήρησαν.

8.

οὐδεὶς οἰκέτης μνημονεύσεται κάκῃ εἴξας προδοῦναι τὸν δεσπότην.

ΕΚ ΤΟΥ ΠΕΡΙ ΠΡΟΝΟΙΑΣ.

9.

Ἐχρήσατο δὲ Αἰλιανὸς ἐν τῷ περὶ Προνοίας τῷ ἀβασάνιστος ἀντὶ τοῦ ἄνευ ὀδύνης.

---

6 Suidas ἀσέλγεια.
11 Suidas δώς.
15 Suidas φιλωθέντες.
19 Suidas κάκη.
23 Suidas ἀβασάνιστος.

Digitized by Google

10.

De daduche Epicuri praeceptis corrupto.

τῶν ἐξ Ἐλευσῖνος ὀργεώνων εἷς.

χλούνης τε καὶ γύναιθρος ἀνήρ, εἰ δοίημεν αὐτὸν ἄνδρα εἶναι, διὰ τῶν Ἐπικούρου λόγων τὴν ψυχὴν ἐκνευρισθεὶς καὶ θῆλυς γενόμενος. ὁ πρὸς Στρατοκλέα Ἀθήνησι δᾳδουχήσας ὁ χλούνης τε καὶ γύννις, καταγοητευθεὶς καὶ οἷον ἐν δεσμῷ τινι ἀφύκτῳ πεδηθείς.

ἀνήρ τις ἦν (εἰ δοίημεν αὐτὸν ἄνδρα εἶναι) διὰ τῶν Ἐπικούρου λόγων τὴν ψυχὴν ἐκνευρισθεὶς καὶ θῆλυς γενόμενος, ὁ χλούνης τε καὶ γύννις, ὅσπερ ἐπιλαθόμενος ὧθησεν ἑαυτὸν εἰς τὸ μέγαρον φέρων, ἔνθα δήπου τῷ ἱεροφάντῃ μόνῳ παρελθεῖν θεμιτὸν ἦν.

καὶ δᾳδουχήσας Ἀθήνησιν. ὡς Ἀθηναίων φασὶν οἱ ταῦτα ἀκριβοῦντες δόκιμοι. εὔξαντο δὲ καὶ τῇ Βουλαίᾳ καὶ τῇ Κόρῃ διά τε τῶν ἱεροφαντῶν καὶ τοῦ δᾳδούχου σωτηρίαν αὐτοῖς. καὶ δᾳδουχήσας λαμπαδοφορήσας. ὁ πρὸ Στρατοκλέους Ἀθήνησι δᾳδουχήσας, ἐκ τῆς ἡδονῆς, ἣν ἐκεῖνος ὕμνει ὁ χλούνης τε καὶ γύννις.

κακὴν σοφίαν μετιών, καὶ τοὺς ἀθέους Ἐπικούρου λόγους καὶ γύννιδας ἐπασκῶν, κἀκ τῆς ἡδονῆς, ἣν ἐκεῖνος ὕμνει ὁ χλούνης τε καὶ γύννις.

ὅτι δὲ καὶ ἐντομίαν ὁ χλούνης δηλοῖ οὐ μόνον Αἰσχύλος δίδωσι χρῆσιν, ἀλλὰ καὶ Αἰλιανὸς μάλιστα ἐν τοῖς περὶ Προνοίας.

εἶτα μέντοι παρ' οὐδὲν θέμενος τὰ σεμνὰ Εὐμολπιδῶν καὶ Κηρύκων καὶ τῶν ἄλλων γενῶν ἱερῶν τε

---

3 Suidas ὀργεῶνας | 4 id. χλοῦναι | 6 id. ἐκνευρίσας | 9 id. εὐνοῦχος | 17 id. δᾳδουχεῖ | 21 id. γύννις | 24 Eustathius in Od. ι p. 772 | 27 Suidas Εὐμολπίδαι.

Digitized by Google

ὄντων καὶ θεοφιλῶν, ἐπίρρητον δὲ καὶ θῆλυν σοφίαν προελόμενος.

καὶ ὡς οὐ μέλει τῶν ἀνθρωπείων τῷ θεῷ δεῖξαι φλεγόμενος, ὠθεῖ ἑαυτὸν φέρων ἐς τὸ μέγαρον· ἔνθα δήπου τῷ μὲν ἱεροφάντῃ μόνῳ παρελθεῖν θεμιτὸν ἦν κατὰ τὸν τῆς τελετῆς νόμον, ἐκείνῳ δὲ οὐκ ἐξῆν. ἐπεὶ δὲ ἐτολμήθη οἱ τὸ τόλμημα, φρίκη τις αὐτὸν περιέρχεται, καὶ νοσεῖ νόσῳ μακροτάτῃ, καὶ τηκεδὼν αὐτὸν διεδέξατο· καὶ ὅσα ἐτόλμησε βοῶν καὶ λέγων καὶ ὅσα ἐστὶν ἀνθρώπων ἀσεβεστάτων ἐκτραγῳδῶν καὶ εὐχόμενος, τὴν ἐπίρρητόν τε καὶ κατάρατον ψυχὴν ἀπορρῆξαι διψῶντα, μόλις καὶ ὀψὲ τούτου τυχόντα.

11.

De Philemonis comici morte.

οὗτος ἄπηρος ἦν τὸ σῶμα, καὶ μέντοι καὶ τὰς αἰσθήσεις πάσας ἀσινεῖς εὐμοιρίᾳ τινὶ διεσώσατο. ὁμολογοῦσι δήπου καὶ τοῦτο.

πολεμούντων Ἀθηναίων καὶ Ἀντιγόνου Πειραιοῖ διαιτώμενος ὁ Φιλήμων ὄναρ ὁρᾷ κόρας ἐξιούσας ἐννέα τῆς οἰκίας αὐτοῦ. ἐδόκει δὲ ἐρέσθαι αὐτὰς τί βουλόμεναι καταλείπουσιν αὐτόν, αὐτῶν δὲ ᾧστο ἀκοῦσαι λεγουσῶν ἔξω θυρῶν ἰέναι· μὴ γὰρ εἶναι θεμιτὸν μεῖναι αὐτάς. καὶ τὸν μὲν ὄνειρον ἐνταῦθα παύσασθαι, αὐτὸς δὲ διυπνισθεὶς τῷ παιδὶ περιηγεῖται ἃ τε εἶδε καὶ ὅσα ἤκουσε καὶ ἅτινα εἶπεν. εἶτα μέντοι ἔγραψε τὰ λοιπὰ τοῦ δράματος, ὅπερ οὖν ἔτυχε διὰ τῆς παρούσης ἄγων φροντίδος, καὶ ἐπηλυγησάμενος ἡσυχῇ ἔκειτο, κἄτα ὑπεξέσχε. καὶ οἵ γε ἔνδον ᾤοντο καθεύδειν αὐτόν· ἐπεὶ δὲ μακρὸν τοῦτο

---

5 Suidas ἱεροφάντης et μέγαρον | 7 id. φρίκη | 8 id. τηκεδόνι | 12 id. ἀπορρῆξαι.

15 Suidas Φιλήμων.

Digitized by Google

ἦν, ἐκκαλύψαντες τεθνεῶτα ἐθεάσαντο. οὐκοῦν, ὦ Ἐπίκουρε, παρῆσαν δὴ καὶ Φιλήμονι αἱ ἐννέα Μοῦσαι, καὶ ὅτε ἔμελλε τὴν ἐπινησθεισάν οἱ καὶ τελευταίαν ὁδὸν ἰέναι, ᾧχοντο ἀπιοῦσαι. θεοῖς γὰρ οὐδαμῇ θεμιτὸν ὁρᾶν ἔτι νεκρούς, καὶ ἐὰν ὦσι πάνυ φίλοι,

οὐδ' ὅμμα χραίνειν θανασίμοισιν ἐκπνοαῖς.

σὺ δὲ λέγεις αὐτοὺς μὴ ἡμῖν προσέχειν, ὦ μῶρε.

12.

De Monima Milesia.

γυνὴ τὴν ὥραν διαπρεπής, σώφρων τὸν τρόπον.

ὃ δὲ ὁρᾷ τὴν Μιλησίαν καὶ ἐρᾷ αὐτῆς, καὶ πέμπει πειρῶν πεντακισχιλίους καὶ μυρίους αὐτῇ χρυσοῦς, καὶ εἰ πλέον δέοιτο, ἔφατο δώσειν· ἡ δὲ οὐ προσεῖτο τὴν δόσιν, ἑταιρικὸν φάσκουσα εἶναι μίσθωμα τὸ ἑαυτὴν παραβαλεῖν ἀνδρὶ ἀγνῶτι καὶ ὥσπερ ὤνιον τὸ κάλλος ἀποδόσθαι.

διέρρει τοίνυν ὑπὲρ τῆς ἀνθρώπου κλέος σοβαρώτατον.

καὶ ἔδνα ἤτει γενέσθαι, τὸ τοῦ Μενάνδρου, ἵνα τι καὶ παίσω, Τρικορυσία βασίλιννα καὶ αὕτη, δέσποινα εἶναι τοῦ Πόντου ἐθέλουσα.

Μιθριδάτης δὲ τὴν ἀποδημίαν Λευκόλλου ἑαυτῷ κατέγραψεν εὐερμίαν εἶναι.

ἦ δὲ ὡς ἐπύθετο ὡς ἐκ τῶν παρόντων αἵρεσιν ἑκάστῃ δόντος θανάτου ὡς ἔνι μάλιστα ἀλύπου τε καὶ κούφου, τὸ διάθημα ὅπερ οὖν ἐπὶ τῆς κεφαλῆς

---

10 Suidas ὥρα | 11 id. παραβαλεῖν | 13 id. μίσθωμα et προσεῖσθαι | 15 id. ἀγνῶτας | 17 id. διερρύη | 19 id. παίσωμεν | 20 id. τρικορυσία | 22 id. εὐερμία | 24 id. ὡς ἐκ τῶν παρόντων.

Digitized by Google

εἶχε σύμβολον δὴ καὶ μαρτύριον ἀρχῆς, περισπάσασα εἶτα μέντοι τῷ τραχήλῳ περιβάλλει πρὸς τὴν χρείαν τὴν παροῦσαν βρόχον ἀποφήνασα. τὸ δὲ ταραντινίδιον λεπτόν τε ὂν καὶ ἀσθενὲς ἐπεὶ μόνον ἐτάθη, κἄτα ἀπορρήγνυται. ἡ δὲ περιαλγεῖ καί φησιν 'ὦ κατάπτυστόν τε καὶ ἐπίρρητον ῥάκος, οὐδὲ ἐς ταύτην μοι τὴν χρείαν ἐπιτήδειον ἐγένου.' καὶ ῥίψασα αὐτὸ ξίφει ἑαυτὴν διεχρήσατο.

13.

κατά τι πυθόχρηστον ἦκε θεῶν κομίζων ἱερὰ ἐς τὴν μετοίκησιν σεμνὰ ἐφόδια.

14.

παρ' οὐδὲν τιθέμενος τὴν τοῦ ἱεροῦ γράμματος συμβουλήν, ὅπερ οὖν οἷα δήπου ψέλιον τῷ βασιλεῖ τῶν Αἰγυπτίων ἐκ τοῦ νόμου προσήρτητο, ἀναστέλλον τῶν ἀδικημάτων.

15.

Eustathius in Il. α, p. 100. Ἡ δὲ χρῆσις τοῦ ἀθέρος παρὰ τῷ Αἰλιανῷ ἐν τῷ περὶ Προνοίας.

16.

Eustathius in Il. δ, p. 495. Ἔρρεε δακρύοις ὁ ὀφθαλμός. ὅπερ ἐν τῷ περὶ Προνοίας φησὶν Αἰλιανός.

17.

Eustathius in Il. ζ, p. 657. Σημειώσαι δὲ ὅτι ἐν-

---

1 Suidas ταραντινίδιον | 3 id. κατάπτυστον.
10 Suidas σεμνά.
13 Suidas ψελίῳ.

Digitized by Google

τεῦθεν παρέξεσται ὁ χρησμὸς ὁ παρὰ τῷ Αἰλιανῷ ἐν τῷ περὶ Προνοίας λέγων οὕτω

μοῖραν μὲν θνητοῖσιν ἀμήχανον ἐξαλέασθαι,
ἣν ἐπὶ γεινομένοισι κατὴρ Ζεὺς ἐγγυάλιξεν.

18.

Eustathius in Il. κ, p. 797. Τὸ δὲ δυσωρεῖν παρῆκται μὲν ὁμοίως τῷ ἀρκυωρεῖν, ὃ ἐν τοῖς περὶ Προνοίας κεῖται παρὰ τῷ Αἰλιανῷ.

19.

Eustathius in Dionys. 453. Αἰλιανὸς ἐν τοῖς περὶ Προνοίας φησὶν ὅτι ἐν Γαδείροις βωμὸς Ἐνιαυτῷ ἵδρυται καὶ Μηνὶ ἄλλος ἐς τιμὴν Χρόνου βραχυτέρου τε καὶ μακροτέρου. ἔστι δὲ καὶ Γήρως φησὶν ἱερὸν τοῖς ἐκεῖ τιμῶσι τὴν ἡλικίαν τὴν μαθοῦσαν πολλά, καὶ Θανάτου ἄλλο ἐς γέρας τῇ κοινῇ ἀναπαυλῇ, ἤγουν τῷ τελευταίῳ ὅρμῳ. καὶ βωμὸς δέ φησι παρὰ τοῖς ἐκεῖ Πενίας καὶ Τέχνης, τῆς μὲν ἐξιλεουμένοις, τῆς δὲ παραλαμβάνουσιν ἐς ἄκος ἐκείνης.

20.

Ioannes Siceliota Scholl. in Hermog. in Walzii Rhett. T. VI p. 229. Αἰλιανοῦ τινος ἐν τῷ περὶ Δαιμόνων προνοίας γράφοντος ἐπὶ τῆς ἀληθείας ἀνατροπῇ, καὶ Σμυρναίου Πολέμωνος, οἳ βαθιστείσας πόλεις λέγουσι συγχορεύειν ταῖς Μούσαις.

ΕΚ ΤΟΥ ΠΕΡΙ ΘΕΙΩΝ ΕΝΑΡΓΕΙΩΝ.

21.

πάντα ὅσα ἔδρασεν ἀνεμάξατο τῇ ἑαυτοῦ κεφαλῇ.

27 Suidas ἀνεμάξατο.

Digitized by Google

22.

De Diopithe Rhetore Atheniensi.

καὶ τὸ μὲν ἐπιτήδευμα ἦν ῥήτωρ, Διοπείθης τὸ ὄνομα.

καὶ ἐνέκειντο αὐτῷ, τὴν ἐξ αὐτοῦ προφέροντες καὶ προσείοντες ὡς εἰπεῖν Γοργόνα, καὶ τοῦτον κατεσίγασαν, τὴν ἄλλως πρόλαλον ὄντα καὶ ἰταμόν. λέγει δὲ περὶ Διοπείθους τοῦ Ἀθηναίου, ὃς νόμον εἰσάγει τὸν ἀπὸ τοῦ ἄστεως ἐν Πειραιεῖ μείναντα τοῦτον τεθνάναι. οὗτος οὖν ὠψίσθη ποτὲ ἄκων, καὶ κατέμεινεν ἐν τῷ Πειραιεῖ, καὶ αὐτὸν οἱ ἐχθροὶ ἐς δίκην ὑπάγουσι. διὰ τοῦτο λέγει προσείοντες Γοργόνα.

καὶ τοῦτο δήπου τὸ τοῦ Αἰσχύλου, τοῖς ἑαυτοῦ πτεροῖς περιπεσών, καὶ ἐνσχεθεὶς ταῖς πάγαις ἃς ἄλλοις ὑφῆκε, τὰ ἐκ τοῦ νόμου δικαίως ἔπαθε·

τεύχων ὡς ἑτέρῳ τις ἐῷ κακὸν ἤπατι τεύχει.

οὕτως ἄρα αἱ ἰσχυραὶ τιμωρίαι πολλάκις ἐς τοὺς εὑρόντας αὐτὰς περιτρέπονται καὶ ὅσα προσέταξαν παθεῖν ἕτερον, αὐτοὶ πεπόνθασι.

23.

κατά τινα χρησμὸν βουληθεὶς ἱλεώσασθαι τὸν τῷ οἴκῳ αὐτοῦ γεγενημένον ἐνστάτην δαίμονα.

24.

De Caligula.

οὕτως ἐκαλεῖτο Γάιος ὁ βασιλεὺς Ῥωμαίων, ἐπειδὴ ἐκ μικρᾶς ἡλικίας τὰ πολλὰ ἐν τῷ στρατοπέδῳ ἐτρέ-

---

3 Suidas ἐπιτήδευμα | 5 id. Γοργόνη | 7 id. πρόλαλος | 10 id. ὠψίσθη | 13 id. πάγας | 17 id. ἰσχυρός.
21 Suidas ἐνστάτης.
25 Suidas Καλλιγόλας.

Digitized by Google

φετο καὶ τοῖς στρατιωτικοῖς ἐχρῆτο ὑποδήμασιν. ἐκ τῶν καλίγων οὖν Καλιγόλαν αὐτὸν ὠνόμασαν. ἢ Καλιγόλας ὁ Γάιος, διὰ τὸ ἐν στρατοπέδῳ γεννηθῆναι, ὥς φησιν Αἰλιανὸς ἐν τῷ περὶ Θείων Ἐναργειῶν.

Sequuntur incertae sedis fragmenta, quorum quae Aeliani nomine Suidas insignivit, diductis glossarum literis distinximus.

25.

ὅτι τὴν δίκην φασὶν οἱ παλαιοὶ εὐθεῖάν τε εἶναι καὶ ἀκλινῆ καὶ ἄτρεπτον. καὶ τοῦτο ᾄδουσι μὲν πλεῖστοι, ἤδη δὲ καὶ ἀνάγκη· φύσιν γὰρ δήπου τὸ δίκαιον τοιαύτην εἴληχεν. Ἡσίοδος δὲ αὐτὴν λέγει καὶ παρθένον ἀδιάφθορον τῇ τε ἄλλῃ καὶ μέντοι καὶ ὑπ' εὐνῆς ἀφροδισίου, αἰνιττόμενος ὅτι μὴ χρὴ δολοῦν τὸ δίκαιον, μήτε ἄλλως πεισθέντα μήτε λέχει παρατραπέντα. φησὶ δὲ καὶ μετιέναι αὐτὴν τιμωρουμένην τούτους, οἷσπερ οὖν ὕβρις

μέμηλε κακὴ καὶ σχέτλια ἔργα.

τοῖς γε μὴν ἐκείνην σέβουσι τήν τε γῆν τὰ οἰκεῖα βρύειν φησὶν ἀγαθὰ καὶ τὴν θάλατταν χορηγεῖν ὅσα τίκτει καὶ τρέφει μάλ' ἀφθόνως. ἀκούω δὲ αὐτὴν καὶ παρ' αὐτοῦ Διὸς καθῆσθαι θρόνῳ καὶ κοινωνὸν τῶν ἀρίστων βουλευμάτων εἶναι· καὶ Ὅμηρος δὲ μέγα αὐτῆς τὸ κράτος ὑμνεῖ, καὶ λέγει τοῖς ἀτιμάζουσιν αὐτὴν μηνίειν τὸν θεὸν καὶ λάβρους καταντλεῖν ὑετοὺς αὐτήν, καὶ χειμάρρους ἐπ' αὐτοὺς ᾠθεῖσθαι καὶ ἀφανίζειν πόλεις αὐτῶν καὶ ἔργα καὶ ποιμνάς. καὶ ταύτῃ κολάζεσθαι τῇ τιμωρίᾳ ὕβρεως καὶ ἀτασθαλίας ἔργα ὑπομένοντας πρεπωδέστερα καὶ ἕτερα ἄττα.

9 Suidas δίκης.

Digitized by Google

26.

ἐγὼ δὲ ταῦτα περιῆλθον οὔτι που σχολὴν ἄγων τὰ τῶν προστυχόντων πακὰ τοῖς ἐμαυτοῦ λόγοις τιμᾶν, ἀλλ' ὑπὲρ τοῦ μὴ πράττειν ἄλλους παρακλήσια.

27.

οὐ γὰρ δεῦρο ἀφῖγμαι ἐς τράπεζαν κεκυφέναι καὶ θρέμματος ἀλόγου δίκην παίνεσθαι καὶ ἀρχῶν τε καὶ τιμῶν κρέμασθαι καὶ θαυμάζειν αὐλὰς καὶ τραπέζας καὶ σατράπας, οὐδέ μοι κάλλος ἀνθρώπινον δέλεάρ ἐστιν, οὐδὲ χρηματίζομαι· πάλαι γάρ μοι ταῦτα ἐδόκει ἐκ μειρακίων λῆρος καὶ φλήναφος.

28.

δίκη γὰρ πάντα ἐφορῶσα ἄγρυπνός ἐστι φύσει καὶ θεία καὶ ἄτρυτος.

29.

παίδων νεαρώτεροι οἱ λέγοντες μὴ ἐφορᾶν τὰ τῇδε τὸ θεῖον.

30.

ὅτι τὰ ἀνθρώπεια τὸ θεῖον ἢ ὑπερφρονεῖ ἢ ἀτιμάζει ἢ πρόνοιαν αὐτοῖς ἔφορον οὐκ ἐφίστησι.

31.

ὑπὲρ δὴ τούτων τί φατε οἱ τὴν πρόνοιαν ἀλᾶσθαι καὶ μῦθον ἄλλως εἶναι λέγοντες;

---

2 Suidas σχολή.
6 Suidas θρέμματα.
13 Suidas ἄτρυτος.
16 Suidas νεαροί.
19 Suidas ὑπερφρονεῖ.
22 Suidas ἄλλως.

Digitized by Google

32.

πρὸς ταῦτα τί λέγουσιν οἱ τὴν πρόνοιαν ἐξαίροντες;

33.

ὦ Ξενοφάνεις καὶ Διαγόραι καὶ Ἵππωνες καὶ Ἐπίκουροι, καὶ πᾶς ὁ λοιπὸς κατάλογος τῶν κακοδαιμόνων τε καὶ θεοῖς ἐχθρῶν, ἔρρετε.

34.

τῶν μέν τινες αἰμύλων καὶ κομψῶν οἰήσονταί με παίζειν.

35.

Hircus Mendesius ab Ocho occiditur.

τὸν ἐν Μένδῃ τράγον Πανὸς ἱερὸν κατέθυσέ τε καὶ σκευάσας ποικίλως ταύτην ὁ δυστυχὴς ἄρα τὴν δαῖτα ἄσατο, Λίγυπτίων τε λεὼν πάμπολυν ἀποσκάσας γαμετῶν καὶ τέκνων ἐς Πέρσας ἤγαγεν ἀνοίκτως.

ὃ δὲ ἐς Πέρσας ἤγαγεν αὐτούς, κακὴν δουλείαν ἐκαρτήσας αὐτοῖς.

36.

ὃ δὲ ἐξέπλευσε τῶν φρενῶν, καὶ πολλὰ ἐς νὸ ἄγαλμα παρῴνησεν.

ὡς εἶδεν ἄγαλμα ξενικὸν καὶ ἱερουργίαν οὐκ ἐγχώριον, ἐς τὸ τιμώμενον παρῴνησεν.

37.

Apis ab Ocho necatus.

Ὦχος τὸν Ἆπιν ἀποκτείνας ἐβούλετο αὐτὸν τοῖς

---

2 Suidas ἐξαίροντες.
5 Suidas ἔρρε.
9 Suidas αἰμύλα.
13 Suidas ἄσατο | 17 id. ἐκαρτήσας.
20 Suidas ἐξέπλευσεν | 22 id. ξενικός.
26 Suidas Ἆπις.

Digitized by Google

μαγείροις παραβαλεῖν, ἵνα αὐτὸν κρεουργήσωσι καὶ παρασκευάσωσιν ἐπὶ δείπνῳ.

Τῶν δὲ συνήθων τις αὐτῷ ἐνέβη τῷ ποδὶ λακτίσας κείμενον τὸν ταῦρον. καὶ ἀκούω τὸν πόδα ἐκεῖνον ἐς οἴδημα ἀρθῆναι καὶ φλεγμήναντα σφακελίσαι καὶ ἀποκτεῖναι τὸν ἄνδρα.

φυλάττεσθαί τε ἔτι μνημεῖον τῆς τιμωρίας τῆς ἐκείνου, καθάπερ οὖν κακοῦ διαδοχήν· ὅσοι γὰρ τῆς αὐτῆς σκορᾶς γεγόνασι, κάτω τὸν πόδα τὸν δεξιὸν ἔχουσι διφθηκότα καὶ βάδισιν ἀσθενῆ τε καὶ νωθῆ.

38.

ὃ δὲ ὑπερβαίνων τὸν οὐδὸν τῆς αὐλῆς ἔπταισε βιαιότερον, καὶ πρὸς γῆν κατηνέχθη.

39.

De Epicuro eiusque discipulis.

οὗτος τὸ θεῖον παρ' οὐδὲν ἐτίθετο. ἀδελφοὶ δὲ ἦσαν τρεῖς, οἳ μυρίοις ἀρρωστήμασι περιπλακέντες ἀπέθανον οἴκτιστα. ὅ γε μὴν Ἐπίκουρος ἔτι νέος ὢν αὐτὸς οὐ ῥᾳδίως ἀπὸ τῆς κλίνης οἷός τε ἦν κατιέναι, ἀμβλυώττων τε καὶ πρὸς τὴν τοῦ ἡλίου αἴγλην δειλὸς ὤν, καὶ τῷ φαιδροτάτῳ τε καὶ ἐναργεστάτῳ τῶν θεῶν ἀπεχθανόμενος· καὶ μέντοι καὶ τὴν τοῦ πυρὸς αὐγὴν ἀπεστρέφετο, αἱμά τε αὐτῷ διὰ τῶν πόρων ἀπεκρίνετο τῶν κάτω. τοσαύτη δὲ ἄρα ἡ σύνταξις ἡ τοῦ σώματος ἦν αὐτῷ, ὡς ἀδυνατεῖν καὶ τὴν τῶν ἱματίων φέρειν ἐπιβολήν. καὶ Μητρόδωρος δὲ καὶ Πολύαινος, ἄμφω τὼ ἑταίρω αὐτοῦ, κάκιστα ἀνθρώπων ἀπέθανον, καὶ μέντοι καὶ τῆς ἀθεΐας ἠνέγ-

---

3 Suidas ἐνέβη | 7 id. μνημεῖον | 8 διφθηκότα.
12 Suidas ἐπταικώς.
16 Suidas Ἐπίκουρος | 24 id. συντέτηκεν.

Digitized by Google

καντο μισθὸν οὐδαμὰ οὐδαμῆ μεμπτόν. οὕτω δὲ ἄρα ἦν ἡδονῆς ἥττων ὁ Ἐπίκουρος, ὥστε διὰ τῶν ἐσχάτων ἐν ταῖς διαθήκαις αὐτοῦ ἔγραψε τῷ μὲν πατρὶ καὶ τῇ μητρὶ καὶ τοῖς ἀδελφοῖς ἐναγίζειν ἅπαξ τοῦ ἔτους καὶ Μητροδώρῳ δὲ καὶ Πολυαίνῳ τοῖς προειρημένοις, ἑαυτῷ δὲ δὶς συσσιτεῖν, τῆς ἀσωτίας τὸ πλέον προτιμῶν καὶ ἐνταῦθα ὁ σοφός. καὶ τραπέζας λίθων πεποιῆσθαι καὶ ὡς ἀναθήματα ἐν τῷ τάφῳ προσέταξε τεθῆναι ὁ προτένθης τε καὶ ὀψοφάγος οὗτος. καὶ ταῦτα ἐπέσκηψεν οὐκ ὢν ἐν περιουσίᾳ. λυττῶν οὖν ταῖς ἐπιθυμίαις ἦν, ὥσπερ οὖν καὶ ἐκείνων σὺν αὐτῷ τεθνηξομένων. ἐξήλασαν δὲ τοὺς Ἐπικουρείους τῆς Ῥώμης δόγματι τῆς βουλῆς κοινῷ, καὶ Μεσσήνιοι δὲ ἐν Ἀρκαδίᾳ τοὺς ἐκ τῆς αὐτῆς οἱονεὶ φάτνης ἐδηδοκότας ἐξήλασαν, λυμεῶνας μὲν εἶναι τῶν νέων λέγοντες, κηλῖδα δὲ φιλοσοφίᾳ προσβάλλοντας διά τε μαλακίαν καὶ ἀθεότητα. καὶ προσέταξάν γε πρὸ τῶν τοῦ ἡλίου δυσμῶν ἔξω τῶν ὅρων τῆς Μεσσηνίας γῆς εἶναι αὐτούς, ἐκφρησθέντων δὲ τοὺς ἱερέας καθῆραι τὰ ἱερά. τούς γε μὴν τιμούχους (καλοῦσι δὲ ταύτῃ τοὺς ἄρχοντας Μεσσήνιοι) καὶ τὴν πόλιν καθῆραι πᾶσαν, οἷα δήπου λυμάτων τινῶν καὶ καθαρμάτων ἀπηλλαγμένην.

ὁ τῶν τριῶν ἐκείνων τῶν ἐπιρρήτων εἷς.

ζῶν δὲ παρῆκε ἐς οὐδὲν ἱερύν, ἤλαυνον γὰρ ὡς ἐπάρατον καὶ ἐπίρρητον.

ὅτι ἐν Κρήτῃ Λύκτιοι τῶν Ἐπικουρείων τινὰς ἐκεῖ παραβαλόντας ἐξήλασαν. καὶ νόμος ἐγράφη τῇ ἐπιχωρίῳ φωνῇ τοὺς τὴν θήλειαν σοφίαν καὶ ἀγεννῆ

---

1 Suidas οὐδαμά | 2 id. ἥττων | 9 id. προτένθης | 14 id. φάτνη | 19 id. ἐκφρησθέντων | 25 id. ἐπίρρητον | 26 id. ibidem | 27 id. Ἐπικούρειος.

Digitized by Google

καὶ αἰσχρὰν ἐπινοήσαντας καὶ μέντοι καὶ τοῖς θεοῖς πολεμίους ἐκκεκηρῦχθαι τῆς Λύκτου. ἐὰν δέ τις ἁφίκηται θρασυνόμενος, καὶ τὰ ἐκ τοῦ νόμου παρ' οὐδὲν ποιήσηται, δεδέσθω ἐν κύφωνι πρὸς τῷ ἀρχείῳ ἡμερῶν εἴκοσιν, ἐπιρρεόμενος μέλιτι γυμνὸς καὶ γάλακτι, ἵνα ᾖ μελίτταις καὶ μυίαις δεῖπνον, καὶ ἀναλώσωσι χρόνῳ τῷ προειρημένῳ αὐτόν. τούτου γε μὴν διελθόντος ἐὰν ἔτι περιᾖ, κατὰ κρημνοῦ ὠθείσθω, στολὴν γυναικείαν περιβληθείς.

40.

Philodemus ab Himeraeis urbe expulsus.

ὁ δὲ ἐσυκοφάντει τὸν θεὸν ὀλιγωρίας. ἐκ δὴ τούτων νόσοι καὶ τροφῶν ἀπορίαι τὴν Ἱμεραίων κατέσχον.

οἵ γε μὴν Ἱμεραῖοι τὸν Φιλόδημον τιμῶνται πρὸς τῇ δημεύσει καὶ φυγῆς ζημίᾳ.

41.

De Nicanore.

ὁ δὲ Νικάνωρ πολλάκις ἐνόσησε, καὶ ἀνέρρωσεν αὐτὸν ὁ θεός· ἐπεὶ δὲ ἐγκρατὴς γένοιτο ἑαυτοῦ καὶ τῆς ὑγιείας, τοῦ σωτῆρος οὐδεμίαν ὥραν ἐτίθετο. ἔλεγε δὲ ὁ λεωργὸς τῶν φθανουσῶν ἰάσεων τύχῃ μᾶλλον ἢ βουλήσει θεοῦ ἐγκρατὴς γεγονέναι.

ἐν ἀκμῇ δὲ ὢν τῆς τότε ὀδύνης καὶ ὧν ἤλγει, οὐκ ἤθελε τὴν ὁδὸν τὴν πορεύουσαν ἐς αὐτοῦ. εἰ δέ τινα καὶ θῦσαι ἐξ ἐνυπνίου ἐκελεύετο, καὶ τούτων ὀλίγωρος ἦν, φύσει τε ἀμαθὴς ὢν καὶ φιλοχρήματος.

ἐπεὶ δὲ ἦν οἷ τὸ κακὸν τέχνης κρεῖττον καὶ μέντοι

---

8 Suidas κύφωνες.

12 Suidas συκοφαντεῖν et Ἱμεραία | 15 id. τιμῶνται. 19 Suidas ἀνέρρωσεν | 20 id. ἐγκρατής | 24 id. ἀκμή | 28 id. οἷ.

Digitized by Google

καὶ ἐπικουρίας τῆς ἐκ θνητῶν συμμάχων δυνατώτερον, ῥήγνυσι φωνὴν ἱκέτιν, ἐξ αὐτῆς ἐκβιασθεὶς τῆς ὀδύνης, καλεῖ τε Ἀπόλλωνα ὑπὸ πόλλοῖς τοῖς δακρύοις.

ὁ δὲ Ἀπόλλων κελεύει τὸν μὲν ἀποδόσθαι τῷ Νικάνορι φάκελον βύβλου τετρακοσίων χρυσῶν. ἐὰν δὲ μὴ ἐθέλῃ, ἀεὶ προσεπιτιμᾶν καὶ ἐπαιτεῖν τοῦ χρυσίου προστιθέντα, ἕως ἂν ἀπεικὼν ᾖ ὅσον ἂν αἰτηθεὶς τύχῃ τῇ ἐπὶ κάσαις φωνῇ.

ὁ δὲ Ἀπόλλων κελεύει ἀποδόσθαι τῷ Νικάνορι φάκελον βύβλου τετρακοσίων χρυσῶν καὶ τέφραν ἐγάσασθαι, καὶ βρέξαντα τῷ τῆς Μαρείας λίμνης ὕδατι ἐπιπλάσαι τοὺς ὀφθαλμούς.

ὃ δὲ ἀκούει τὸν Ἀπόλλωνα ὀρθαῖς ἀκοαῖς.

42.

ὃ δὲ ἀνέβλεψέ τε καὶ ἔφη ὅτι βιώσιμος εἴη.

43.

ἀνὴρ λίχνον ὄμμα καὶ ἀσελγὲς πιαίνων κακῇ ἑστιάσει, τὰ τῆς Φερρεφάττης ὄργια ἐδίψησε θεάσασθαι, ἀτέλεστος ὤν.

μυστηρίων τελουμένων τοῖν θεοῖν, ἀτέλεστος μὲν ἄνθρωπος ἀνόσιος δὲ οὐκ ἐβουλήθη μυηθῆναι κατὰ τοὺς νόμους, ἀλλὰ δοῦναι πολυπραγμοσύνης δυστυχοῦς ἀρρωστήματι χάριν. καὶ ἐπί τινος ἀνελθὼν λίθου ἑώρα τὰ γινόμενα. ἐκ γάρ τοι τοῦ λίθου κατώλισθε, καὶ βιαίᾳ τῇ πληγῇ περιπεσὼν ἀπέθανεν.

οὐ γάρ τί που παραπλήσιον ἦ μυστηρίων ἱστορίαν ἢ τὴν Περσεφόνην ἐθελῆσαι ἁρπάσαι αὐτήν;

---

2 Suidas ῥήγνυσι | 3 id. ὑπὸ δακρύοις | 4 id. βύβλου | 9 id. φάκελλον | 13 id. ὀρθαῖς ἀκοαῖς.

15 Suidas βιώσιμος.

17 Suidas λίχνος et πιαίνων | 20 id. ἀτέλεστος | 26 id. ἱστορία.

Digitized by Google

44.

Battus mysteria violat.

Ὅτι Βάττος ὁ Κυρήνην κτίσας τῆς Θεσμοφόρου τὰ μυστήρια ἐγλίχετο μαθεῖν, καὶ προσῆγε βίαν λίχνοις ὀφθαλμοῖς χαριζόμενος.

καὶ τὰ μὲν πρῶτα αἱ ἱέρειαι ἐπειρῶντο αὐτὸν πραΰνειν καὶ ἀντέχειν τῆς ὁρμῆς. βιαίως δὲ καὶ ἀτέγκτως διακειμένου, τῶν μὲν ἀπορρήτων καὶ ἃ μὴ ἰδεῖν λῷον ἦν, τούτων οὐκ ἐκοινώνουν οἱ· τῶν δὲ πρώτων καὶ ἐξ ὧν οὔτε τοῖς θεασαμένοις οὔτε τοῖς δείξασιν ἔμελλέ τι ἀπαντήσεσθαι δεινόν, παρεῖχόν οἱ βλέπειν ταῦτα.

μετὰ τῆς ἱερᾶς στολῆς ὅλαι τελούμεναι μυστικῶς σφάκτριαι καταλειφθεῖσαι. καὶ αἴρουσαι τὰ ξίφη γυμνὰ καὶ αὗται, κατακλείας ἔχουσαι τοῦ αἵματος τὰς χεῖρας καὶ τὰ πρόσωπα μέντοι (ἦσαν δὲ ἐκ τῶν ἱερείων χρισάμεναι), ἀθρόαι ὑφ' ἑνὶ συνθήματι ἐπὶ τὸν Βάττον ἦξαν, ἵνα αὐτὸν ἀφέλωνται τοῦ ἔτι εἶναι ἄνδρα.

45.

Samothracum mysteria evulgata.

Ὃ δὲ παρὰ τοὺς ἀτελέστους καὶ βεβήλους ἐξεφοίτα τὰ τῶν Σαμοθρᾳκῶν ὄργια· ὃς φωραθεὶς ἀπέδρα πρὸς τοὺς Κυζικηνούς.

καὶ οἱ Σαμόθρᾳκες κηρύττουσι κήρυγμα, τὸν ζῶντα αὐτὸν ἀγαγόντα δύο τάλαντα ἔχειν.

46.

De virginibus Cyzicenis.

Δόλων. *οὕτω καλεῖται ὁ παρὰ τοῖς Κυζικηνοῖς τὴν Ἄρτεμιν θεραπεύων γυναικεῖος θίασος.*

---

3 Suidas *θεσμοφόρος* | 6 id. *ἄτεγκτος* | 13 id. *σφάκτριαι* | 16 id. *σύνθημα.*
20 Suidas *ἐξεφοίτα* | 23 id. *ἀναδεῖ.*
24 Suidas *δόλων.*

Digitized by Google

καὶ Κυζικηνῶν θυγατέρας τὴν ὥραν διαπρεπεῖς τῇ Δαρείου θυγατρὶ Ἀρσάμῃ ξένια ἀποστεῖλαι ἐγλίχετο. αἱ δὲ καταφεύγουσιν ἐπὶ τὴν Ἄρτεμιν θεοκλυτοῦσαι καὶ τοῦ ἀγάλματος ἐκκρεμάμεναι, τοῦ βαρβάρου πικρῶς ἐγκειμένου. καὶ τῶν δορυφόρων ἀποσπώντων, κἀκείνων ἀπρὶξ ἐχομένων, διασπᾶται ὁ κατὰ τοῦ τραχήλου ὅρμος.

ὑπὲρ δὴ τούτων τὴν Ἄρτεμιν μηνῖσαι καὶ μεταθεῖν δικαιοῦσαν αὐτοὺς τῆς γῆς ἀγονίᾳ.

47.

[De virginibus Locrensibus ob stupratam Cas-] sandram Troiam missis.

ὁ Ἀπόλλων φησὶ πρὸς Λοκροὺς μὴ ἂν αὐτοῖς τὸ δεινὸν λωφῆσαι, εἰ μὴ πέμποιεν ἀνὰ πᾶν ἔτος δύο παρθένους ἐς τὴν Ἴλιον τῇ Ἀθηνᾷ, Κασάνδρας ποινήν, ἕως ἂν ἱλεώσητε τὴν θεόν.

καὶ αἵ γε πεμφθεῖσαι κατεγήρασαν ἐν τῇ Τροίᾳ, τῶν διαδόχων μὴ ἀφικνουμένων.

αἱ δὲ γυναῖκες ἔτικτον ἔμπηρα καὶ τέρατα· οἱ δὲ τῶν τετολμημένων σφίσι λήθην καταχέαντες ἦκον ἐς Δελφούς.

οὔκουν ἐδέχετο αὐτοὺς τὸ μαντεῖον, τοῦ θεοῦ μηνίοντος αὐτοῖς. καὶ λιπαρούντων μαθεῖν τὴν αἰτίαν τοῦ κότου, ὀψέ ποτε χρῆσαι.

καὶ τὸ ἐλλειφθὲν κατὰ τὰς παρθένους προφέρει αὐτοῖς.

οἱ δὲ (οὐδὲ γὰρ ἔσχον ἀνήνασθαι τὸ πρόσταγμα)

---

1 Suidas θεοκλυτήσαντες | 3 id. ἀποσπῶντες | 8 id. δικαιοῦσαν et ἀγονίᾳ.

13 Suidas ποινή | 17 id. κατεγήρασαν | 19 id. ἔμπηρα | 20 id. λήθη | 22 id. κότος | 25 id. προφέρει | 27 id. ἀνήνασθαι et ἔσχε.

Digitized by Google

ἐπ' Ἀντιγόνῳ τίθενται τὴν κρίσιν ὑπὲρ τοῦ τίνα χρὴ Δοκρικὴν κόλιν πέμπειν δασμόν.

ὁ δὲ βασιλεὺς Ἀντίγονος, ἐφεθέν οἱ δικάσαι προσέταξε κλήρῳ διακριθῆναι.

48.

De Pythagora Ephesiorum tyranno.

Πυθαγόρας Ἔφέσιος, καταλύσας δι' ἐπιβουλῆς τὴν τῶν Βασιλιδῶν καλουμένην ἀρχήν, ἀνεφάνη τε τύραννος πικρότατος, καὶ τῷ μὲν δήμῳ καὶ τῇ πληθύι ἦν τε καὶ ἐδόκει κεχαρισμένος, ἅμα τὰ μὲν αὐτοὺς ἐκελπίζων ὑποσχέσεσιν, τὰ δὲ ὑποσπείρων αὐτοῖς ὀλίγα κέρδη· τούς γε μὴν ἐν ἀξιώσει τε καὶ δυνάμει περισυλῶν καὶ δημεύων φορητὸς οὐδαμὰ οὐδαμῇ ἦν. καὶ κολάσαι δὲ πικρότατα οὐκ ἂν ὤκνησε καὶ ἀφειδέστατα ἀποκτεῖναι οὐδὲν ἀδικοῦντας· ἐξελύττησε γὰρ ἐς ταῦτα ἔρως τε χρημάτων ἄμετρος· καὶ διαβολαῖς ταῖς ἐς τοὺς πλησίον ἐκριπισθῆναι κουφότατος ἦν. ἀπέχρησε μὲν οὖν καὶ ταῦτα ἂν κάκιστα ἀνθρώπων ἀπολέσαι αὐτόν· ἤδη δὲ καὶ τοῦ θείου κατεφρόνει. τῶν γοῦν προειρημένων οἷς ἐπέθετο παμπόλλους ἐν τοῖς νεῷς ἀπέκτεινε· ἑνὸς δὲ τὴν θυγατέρα καταφυγοῦσαν ἐς τὸ ἱερὸν ἀναστῆσαι μὲν αὐτὴν βιαίως οὐκ ἐτόλμησε, συνεχῆ δὲ φυλακὴν ἐπιστήσας ἐξετρύχωσεν ἄρα ἐς τοσοῦτον, ὡς βρόχῳ τὴν κόρην τὸν λιμὸν ἀποδρᾶναι. οὐκοῦν ἠκολούθησε δημοσία νόσος καὶ τροφῶν ἀπορία· καὶ σαλεύων ὁ Πυθαγόρας ὑπὲρ ἑαυτοῦ ἐς Δελφοὺς ἀπέστειλε, καὶ ἤτει λύσιν τῶν κακῶν. ἡ

---

3 Suidas ἐφεθέν.

7 Suidas Πυθαγόρας | 11 id. ἐκελπίζων | 12 id. φορητή | 18 id. ἀπεχρήσατο | 22 id. ἀναστήσας | 23 id. συνεχῆ.

Digitized by Google

δὲ ἔφη νεὼν ἀναστῆσαι καὶ κηδεῦσαι τοὺς νεκρούς. ἦν δὲ πρὸ Κύρου τοῦ Πέρσου, ὥς φησι Βάτων.

θάψαντες δὲ τοὺς νεκροὺς εἰργάσαντο κοινὸν πολυάνδριον.

49.

καὶ ἐδόκει περὶ τὴν ἄνθρωπον ἀκρατῶς ἠνεμῶσθαι.

οἰκτόν γε μὴν καὶ δάκρυα ἐμβαλοῦσα πάντας, ὡς καὶ τοὺς ἀτέγκτους τε καὶ ἀτεράμονας τέγξαι.

ἀποστείλας τοὺς ἀγριωτάτους τῶν δορυφόρων ἐξήρπασε τὴν γυναῖκα, καὶ πρὸς βίαν ᾔσχυνε ποτνιωμένην καὶ θρηνοῦσαν.

οὐδαμῇ φορητὸν εἶναι τὸν βίον ἑαυτῇ μετὰ τὴν σύνην τὴν ἄθεσμον πεπιστευκυῖα, θεοκλυτοῦσα καὶ μυρίας ἀρὰς Ἐφεσίοις ἐπαρωμένη, εἰ μὴ πράξαιντο τιμωρίαν τούτοις παρὰ τῶν τυράννων, ἑαυτὴν διέφθειρε. οὐ μὴν ἔμελλον αἱ ἀραὶ λήθῃ δοθήσεσθαι. λοιμὸς γὰρ τῇ Ἐφέσῳ πόλει ἐνήκμαζεν οἷος βαρύτατος, προμοίροις δὲ θανάτοις διεφθείροντο ἡ νεολαία, καὶ ἦν ἀγονία γυναικῶν καὶ μέντοι καὶ τῆς ἀγέλης τῆς τετράποδος.

καὶ τὴν τῶν τετραπόδων ἀγέλην ἐξαμβλίσκειν ἔφασαν.

ἡ δὲ ὑπὲρ τῆς ἀσεβοῦς μίξεως ἀλλαξαμένη βρόχον.

50.

ἦν δὲ ἱέρεια τῷ Θεῷ κάλλος ἄμαχος.

ὅμως ἡ ψυχὴ ὑπὸ τοῦ πόθου κυμαίνεται αὐτῷ,

---

8 Suidas πολυάνδριον.

6 Suidas ἠνεμόεσσαν | 8 id. ἄτεγκτος | 10 id. ἄγριος | 13 id. θεοκλυτήσαντες | 17 id. ἀραῖς | 18 id. νεολαία | 19 id. προμοίροις | 20 id. ἀγονία | 22 id. ἐξαμβλίσκειν | 24 id. βρόχος.

26 Suidas ἄμαχον | 27 id. κυμαίνει.

Digitized by Google

καὶ φλέγεται, καὶ ἀκράτῳ ἑαυτοῦ ὧν ἐσήλατο ἐς τὸν νεών, ἕτοιμα δὴ καταγράφων, καὶ ὅτι τολμήσει ταῦτα ἐφ' οἷς ἐνόσει ἐπ' ἠρεμίᾳ τῶν ἐπικουρῆσαι τῇ κόρῃ δυναμένων πεπιστευκώς.

ὃ δὲ οὐκ ἐφείσατο αὐτῆς ὁ ἐραστὴς ὁ ἐναγής, ἀλλ' ἐξαγαγὼν αὐτὴν τοῦ νεὼ πρὸς βίαν διέφθειρε μάλα ἀνοίκτως.

ἥτις δεινὸν ἡγησαμένη καὶ φορητὸν ἥκιστα ξιφιδίῳ ἑαυτὴν διέφθειρε.

ὃ δὲ πρὸ τῆς ἐς τοὺς πολεμίους ξυμπλοκῆς, ὡς εἶδεν ἀπολλύμενόν οἱ τὸν λεών, ἐνετολμήσατο κακὸν κακῷ μεῖζονι ὁ παλαμναῖος ἆρα ἐκεῖνος σβέσαι. προστάττει οὖν τὴν ἄθλιον παρθένον δίχα τεμεῖν.

τὰ ἡμίτομα ἐπὶ κλίναις βεβλημένα μάλα ἁβραῖς, καὶ στρωμναῖς ὕφει τινὶ ὑπερηφάνῳ κεκοσμημέναις ἐπιθέντας, ὑπὸ δᾳσὶν ἐνακμαζούσαις τῷ πυρὶ ἐκέλευσεν ἐκκομισθῆναι μετὰ χορείας γαμηλίου τε καὶ κερτόμου καὶ τὸν ὑμέναιον ᾀδουσῶν γυναικῶν.

ἐμοὶ δοκεῖν, τοῦ Διονύσου τιμωροῦντος παρθένῳ δυστυχεῖ καὶ παθούσῃ τραγῳδίας ἄξια.

51.

Aegineta aliquis in ipso templi Cereris limine manibus truncatus.

καὶ φέρονται οἱ πλούσιοι τὸ πλέον, συλλαβόντες δὲ τῶν δημοτῶν εἰς ψ' δήσαντες ἄγουσιν.

τῶν δὲ δεσμωτῶν εἷς ἀποῤῥήξας τὰ δεσμὰ καὶ διεκδὺς εἶτα καταφεύγει ἐπὶ τὰ τῆς Δήμητρος πρόθυρα.

---

1 Suidas ἀκράτῳ et ἐσήλατο | 2 id. τολμῆσαι | 5 id. πρὸς βίαν | 8 id. φορητόν | 10 id. παλαμναῖος | 14 id. δᾳσὶ et ἁβραῖς | 15 id. ὑπερήφανος | 16 id. ὑπὸ δᾳσὶν | 17 id. κέρτομος | 19 id. τιμωροῦντος et τραγῳδία.
24 Suidas φερομένου | 26 id. διεκδῦσιν.

Digitized by Google

ὃ δὲ ἐντυχὼν προσκειμέναις ταῖς θύραις, καὶ τῶν ἐπισπαστήρων λαβόμενος ἀπῃξ εἶχετο. ἐπεὶ δὲ ἀποσπώντων βίᾳ ἀπέκοψαν τὸ πᾶν σῶμα τῶν χειρῶν.

52.

De Iasonis Pheraei morte.

ὁ δὲ Ἰάσων ὁ Θετταλὸς ἐπὶ τοῖς ἀναθήμασιν ἐν Δελφοῖς ἐφλέγετο.

ὁ δὲ θεὸς λέγει ἐκείνους μὴ πολυπραγμονεῖν· αὐτῷ γὰρ εἶναι διὰ φροντίδος.

οἱ δὲ σπασάμενοι τὰ ἐγχειρίδια τοῦτον ἀπέσφαξαν. καὶ ἐξήμβλω μὲν ἡ ἔννοια τῆς θεοσυλίας τῷ ἀνοσίῳ ἀποσφαγέντος αὐτοῦ, ἐπαύσαντο δὲ τοῦ δέους οἱ Δελφοί.

53.

De Sulla templi Alalcomenarum direptore.

Ἀλαλκομεναὶ πόλις ἐστὶ καὶ ἀκούω αὐτὴν μήτ' ἐφ' ὑψηλοῦ κεῖσθαι καὶ ἀπιθοῦς λόφου, μήτε μὴν τειχῶν ἔχειν περίβολον, οἷον ἀποστέγειν καὶ ἀναστέλλειν τοὺς πολεμίους κατὰ τὸ καρτερόν.

ὁ δὲ παλαμναῖος καὶ λευστὴρ ἐκεῖνος ἤτησεν ἐπωνυμίαν λαβεῖν Εὐτυχής.

τί γὰρ δὴ Δελφῖνι καὶ βοῒ φασιν κοινὸν εἶναι, Σύλλᾳ τε καὶ φιλοσόφοις;

οὐ μὴν ἀπώνητο οὐδέν, ἀλλὰ ἐξέζεσε ζῶν κακοῖς θηρίοις, οἱ μὲν εὐλαῖς, οἱ δὲ ὅτι οὐ ταύταις, φθειρσί γε μήν.

ὃ δὲ φθειρσὶν ἐκζέσας ἐσθιόμενός τε καὶ κατὰ μικρὰ λειβόμενος ἀποθνήσκει.

---

1 Suidas προσκείμενοι et ἐπισπαστήρων.
6 Suidas ἐφλέγετο | 8 id. διὰ φροντίδος ἦν..αὐτῷ | 10 id. ἤμβλω | 11 ἐξήμβλωκας.
16 Suidas ἀπιθής | 20 id. λευστήρ | 22 id. τί γὰρ δὴ Δελφῖνι | 24 id. ἀπώνατο | 25 id. εὐλαί | 27 id. λείβει.

Digitized by Google

54.

De Branchidarum interitu.

Ὅτι οἱ ἐν Δινδύμοις τῆς Μιλησίας οἰκοῦντες Ξέρξῃ χαριζόμενοι τὸν νεὼν τοῦ ἐπιχωρίου Ἀπόλλωνος τοῖς βαρβάροις προύδοσαν, καὶ ἐσυλήθη τὰ ἀναθήματα πάμπλειστα ὄντα. δεδιότες οὖν οἱ προδόται τὴν ἐκ τῶν νόμων καὶ τῶν ἐν ἄστει τιμωρίαν, δέονται Ξέρξου μισθὸν λαβεῖν τῆς κακίστης ἐκείνης προδοσίας μετοικισθῆναι ἐν χώρῳ τινὶ Ἀσιανῷ. ὃ δὲ πείθεται καὶ ἀνθ' ὧν εἶχε κακῶς καὶ ἀσεβῶς, ἔδωκεν αὐτοῖς οἰκεῖν ἔνθεν οὐκ ἔμελλον ἐπιβήσεσθαι τῆς Ἑλλάδος ἔτι, ἀλλ' ἔξω τοῦ θέους ἔσεσθαι τοῦ κατειληφότος αὐτοί τε καὶ τὸ ἐκείνων γένος. κἄτα λαχόντες δὴ τὸν χῶρον, ἐν οἰωνοῖς οὐδαμῇ χρηστοῖς πόλιν ἐγείρουσι, καὶ τίθενται Βραγχίδας ὄνομα αὐτῇ, καὶ ᾤοντο μὴ μόνους ἀποδρᾶναι Μιλησίους, ἀλλὰ καὶ τὴν Δίκην αὐτήν. οὐ μὴν ἐκάθευδεν ἡ τοῦ θεοῦ πρόνοια. Ἀλέξανδρος γὰρ ὅτε τὸν Δαρεῖον νικήσας τῆς Περσῶν ἀρχῆς ἐγκρατὴς ἐγένετο, ἀκούσας τὰ τολμηθέντα καὶ μισήσας αὐτῶν τὴν τοῦ γένους διαδοχὴν ἀπέκτεινε πάντας, κακοὺς εἶναι κρίνων τοὺς τῶν κακῶν ἐκγόνους καὶ τὴν ψευδώνυμον πόλιν κατέσκαψε, καὶ ἠφανίσθησαν.

55.

De Cleopatra.

Κλεοπάτρα, ἐς ἣν κατολισθάνει τῶν Πτολεμαίων ἡ διαδοχή.

ἡ δὲ Κλεοπάτρα βασίλειαν βασιλέων ἑαυτὴν ἀνεῖπεν· ἐς τοσοῦτον ἄρα φρονήματος ἐξώκειλεν.

---

3 Suidas *Βραγχίδαι.*
26 Suidas *κατολισθανόντων* | 28 id. *ἐξώκειλεν.*

Digitized by Google

ἡ δὲ Κλεοπάτρα καὶ ἄλλα εἰργάσατο ἀσεβείας ἐχόμενα, ἃ μοι σιγῶντι κόσμον φέρει.

ἡ οὖν Κλεοπάτρα καὶ τοὺς Ἠλείους ἐπειρᾶτο πολλῷ χρυσῷ ἐπικλύσασα τὸ ἄγαλμα τοῦ Διὸς πρίασθαι.

56.

Ἀντωνίῳ δὲ φκοδόμει νεὼν μέγαν, ὅσπερ οὖν ἡμίεργος ἀπελείφθη· τῷ Σεβαστῷ δὲ ἐτελέσθη.

57.

ἡ δὲ Κλεοπάτρα ᾤετο ταῖς αὐταῖς ἴυγξιν, αἷσπερ οὖν Καίσαρος καὶ Ἀντωνίου, καὶ μέντοι καὶ Σεβαστοῦ κρατήσειν τρίτου.

ἀλλ' αὕτη γε ἡ ἐλπὶς ἐξήμβλωτο αὐτῇ.

τὴν δὲ ἀδελφὴν αὐτῷ Ἰόβας ὁ Μαυρούσιος ἄγεται.

58.

κίβδηλον δὲ ἄρα κακὸν δοῦλοι ὡς εἰσιν ἐν τῇ Κλεοπάτρᾳ ἀνεφάνη.

59.

Tyrus ab Alexandro expugnata.

ἀπέστη τὸ ἔθνος τὸ Σύρων, καὶ Φοινίκων τοὺς γείτονας προσέλαβεν ἐς τὴν αὐτὴν ὁρμήν τε καὶ ὑπόστασιν.

καὶ τρὶς οὐχ ἅπαξ ἀπέχρησέν οἱ Τυρίοις εἰπεῖν ἀποστῆναι τῶν ἀμφὶ Δαρεῖον.

ὃ δὲ (οὐ γὰρ ἐλελήθει τὰ ἔνδον) ὑπερήθετο, καὶ τὴν

---

1 Suidas κόσμος | 3 id. ἐπικλύσασα.
6 Suidas ἡμίεργον.
9 Suidas ἴυγξ | 12 id. ἐξήμβλωκας | 18 id. ἄγεται.
15 Suidas κίβδηλον.
19 Suidas ὑπόστασις | 22 id. ἀπεχρήσατο | 24 id. διαρκῶς.

Digitized by Google

ἐλπίδα ὑπὲρ τῶν παρόντων ἐλάμβανεν ἐς τὸ κρεῖττον, καὶ ἔτι μᾶλλον τῇ πολιορκίᾳ διαρκῶς ἐνεκαρτέρει.

ὡς δὲ ἐπεφοίτα ἡ τοῦ ὀνείρου ὄψις ἐς πάντας, χαλεπαίνουσιν ὁ δῆμος οἱ Τύριοι.

σχοινίον τε ἐφοίνιξαν μίλτῳ, καὶ ἔπαιον τὸ ἄγαλμα, Ἀλεξανδριστὴν καλοῦντες.

καὶ ταῦτα μὲν παρῴνησαν, βαρβάρως ἐνθουσιάσαντές τε ἅμα καὶ λυττήσαντες. ἔτισαν οὖν δίκας οὐ μεμπτάς· ἑάλω γὰρ αὐτοῖς ἡ πόλις.

60.

De Eutelida Arcade.

ἡ γλῶττα ἡ ἀπαίδευτος καὶ ἀμαθὴς τῇ τε ἄλλῃ καὶ ταύτῃ ἐπίσπαστα παλαμᾶται, καὶ μέντοι καὶ ἐς τὸ ἀπόφημόν τε καὶ βλάσφημον κατολισθάνει.

ἀνὴρ Ἀρκάς, Εὐτελίδας τοὔνομα, ἀκολάστῳ τῇ γλώττῃ καὶ ἀκράτορι κακῶς πάντας ἀγορεύειν ἀρρώστημα ἔσχεν. ἐμίσει δὲ καὶ τοὺς εὖ πράττοντας καὶ οὐδὲν ἦν ἔς τινα ἔμβραχυ ἀγαθόν, ὃ μὴ ἐκείνου κατέτεινε τὴν ψυχήν.

61.

Epicureus aliquis Castorum simulacris illudit.

εἶχε δὲ ἄρα τὸ βιβλίον τὰς Ἐπικούρου δόξας, ἃς ἐκεῖνοι κυρίας οὕτω καλοῦσιν, Ἐπικούρου κακὰ γνωρίσματα· ἐν αἷς ἄρα καὶ τόδε ἦν, ὅτι τὸ πᾶν φέρεται τύχῃ τινί, οὐ μὴν βουλήσει καὶ κρίσει θεοῦ. ταύτας δὲ τὰς θρυλουμένας ἀτόμους πληττομένας ὑπ' ἀλλήλων, εἶτα ἀφισταμένας, ἐκ τούτων γίνεσθαι ἀέρα, γῆν καὶ θάλατταν. εἶτα διαλύεσθαι τὰς ἀνακράσεις καὶ συνόδους, καὶ παντελῶς ἀφανίζεσθαι ἐς

---

8 Suidas χαλεπαίνει | 5 id. μίλτος | 7 id. παρῴνησεν.
12 Suidas ἀπόφημον | 15 id. ἀκόλαστος.
22 Suidas Ἐπίκουρος.

Digitized by Google

ἀτόμους, φέρεσθαι δὲ εἰκῇ τὰ πάντα καὶ ὡς ἔτυχεν, οὐ μὴν ἐκ τῆς τοῦ ποιητοῦ σοφίας. εἶτα ὅτι ἐκ προνοίας φύρεται πάντα, οὔτε κυβερνήτην οὔτε ἰθυντὴν οὔτε ποιμένα ἔχοντα· εἶτα ὁ ** πομπῇ τοῦ θεοῦ ἥκων οὐκ ἠνέσχετο παραληρεῖν αὐτόν, ἀλλὰ τὴν τῶν λόγων παραπλῆγα λύτταν κατεσίγασεν. ** εἶτα ἀνέθορεν, Ἐπικούρῳ καὶ ταῖς ἐκείνου δόξαις κλάειν λέγων.

λιπαροῦντος οἰκτρῶς καὶ σὺν ἱκεσίᾳ, μὴ τὰ ἔσχατα αὐτὸν περιιδεῖν παθόντα.

πρὸς δὲ τὸ θεῖον λιπαρὴς ἦν καὶ ἔκθυμος, ὡς θαμὰ αὐτῷ προσιέναι.

ὃ δὲ θύσας Ἐπικούρῳ καὶ δόξαις ταῖς ἐκείνου κλάειν ἔλεγε.

ἐχλεύαζεν αὐτούς, ὡς ἐκ τῆς λιπαρίας τῆς τοσῆσδε πλέον ἔχειν οὐδέν.

ὃ δὲ ἐτώθαζε τοῦ θεοῦ τοὺς θεραπευτῆρας, λέγων ἐκ τῆς τοσαύτης λιπαρίας πλέον ἔχειν οὐδέν.

παριὼν δὲ ἐς τὸν νεών, χλευάζων γε μὴν τοὺς θεοῦ θεραπευτῆρας καὶ ἐπετώθαζε.

καὶ μέντοι καὶ Διοσκόρων ἦν ἀγάλματα δύο· νεανίαι μεγάλοι, γυμνοὶ τὰς παρειάς, ὅμοιοι τὸ εἶδος, καὶ χλαμύδα ἔχοντες ἐπὶ τῶν ὤμων ἐφημμένην ἑκάτερος· καὶ ξίφη ἔφερον τῶν χλαμύδων ἠρτημένα, καὶ λόγχας εἶχον παρεστώσας, ἐν αἷς ἠρείδοντο, ὃ μὲν κατὰ δεξιάν, ὃ δὲ κατὰ λαιάν.

ὃ δὲ οὐκ ἠνέσχετο παραληρεῖν αὐτόν, ἀλλὰ τὴν τῶν λόγων παραπλῆγα λύτταν κατεσίγασε· καὶ τῶν Διοσκόρων ἑνὸς τὸ ξίφος διηρμένον τε καὶ ἐπανεστὼς ** καὶ πληγεὶς καιρίως ἐξέγρετο.

---

8 Suidas ἔσχατα κακά | 10 id. λιπαρής | 12 id. κλάειν | 14 id. λιπαρία | 16 id. ibid. | 18 id. χλευασία | 20 id. Διόσκουροι | 26 id. παραπλήκτῳ.

Digitized by Google

62.

De sculptore nefario.

Ὁ δὲ λιθουργῷ χειρουργίας τεχνίτῃ δίδωσι χρυσίον, ὅσον συνέβη.

καὶ δίδωσιν ἀργύριον, ἵνα ἐκπονήσῃ τὸ ἄγαλμα ἄκρας τέχνης, προσθεὶς τὸ μέγεθος καὶ προσεικὼν τῆς λίθου τὴν φύσιν.

Ὁ δὲ πρὸς τὸ κέρδος ἀπιδὼν καὶ τυφλάττων πρὸς τὸ εὐσεβές, ἀπρόσωπον μὲν ὅσα ἰδεῖν, μικρὸν δὲ τὸ μέγεθος, λίθου δὲ μὴ κεκριμένης τὸ ἄγαλμα ποιεῖ.

Ὁ δὲ χρόνῳ ὕστερον ἐφωράθη τῷ πάντα ἐκκαλύπτοντι καὶ ἀπαληθεύοντι.

ὑπὲρ τοῦ κέρδους ὁ κακοδαίμων τὴν πήρωσιν ἀλλαξάμενος· καὶ ἦν παράδειγμα καὶ παίδευμα πᾶσιν, ὥστε μὴ τολμᾶν μηδὲ κερδαίνειν παραπλήσια.

63.

Phoenix Syracusanus Simonidis sepulcrum diruit.

Ὅπως ἐτίμησάν τε καὶ ἐφίλησαν οἱ Διόσκοροι τὸν μελοποιὸν Σιμωνίδην, καὶ πῶς ἐρύσαντο καλέσαντες ἔξω τοῦ ἀνδρῶνος, ἔνθα κατώλισθεν, ἐρῶ ἀλλαχόθι· ἄξιον δὲ μηδὲ ταῦτα παραλιπεῖν. Ἀκραγαντίνων στρατηγὸς ἦν ὄνομα Φοῖνιξ· Συρακοσίοις δὲ ἐπολέμουν οὗτοι. οὐκοῦν ὅδε ὁ Φοῖνιξ διαλύει τὸν τάφον τοῦ Σιμωνίδου μάλα ἀκηδῶς τε καὶ ἀνοίκτως, καὶ ἐκ τῶν λίθων τῶνδε ἀνίστησι πύργον. καὶ κατὰ τοῦτον ἑάλω ἡ πόλις. ἔοικε δὲ καὶ Καλλίμαχος τούτοις ὁμολογεῖν. οἰκτίζεται γοῦν τὸ ἄθεσμον ἔργον, καὶ λέγοντά γε αὐτὸν ὁ Κυρηναῖος πεποίηκε τὸν γλυκὺν ποιητὴν

---

3 Suidas *συνέβη* | 5 id. *ἄγαλμα* | 8 id. *ἀπρόσωπον* | 11 id. *ἀπαληθεύειν* | 18 id. *ἀλλαξάμενος*.

18 Suidas *Σιμωνίδης* | 24 id. *ἀκηδής*.

Digitized by Google

οὐδὲ τὸ γράμμα
ἠδέσθη τὸ λέγον μ᾽ υἱα Δεωπρεπέος
κεῖσθαι Κήιον ἄνδρα.

κἄτ᾽ εἰπὼν ἅττα ἐπιλέγει

οὐδ᾽ ὑμέας, Πολύδευκες, ὑπέτρεσεν, οἵ με μελάθρου
μέλλοντος πίπτειν ἐκτὸς ἔθεσθέ ποτε
δαιτυμόνων ἅπο μοῦνον, ὅτε Κρανωνίων αἴας
ὤλισθεν μέγας οἶκος ἐπὶ Σκοπάδας.

τιμωροὶ μὲν δὴ θεοὶ τοῖς ἀξίοις, καὶ τιμῶσιν οἵ τε Ὀλύμπιοι οἵ τε οἱ ἐπὶ τῆς τρίτης ἀρχῆς. οὗ μοι δοκεῖ πολυπραγμονεῖν. ἔστωσαν δὴ καὶ ταῦτα ὑπόμνησις τοῦ βιοῦν ὀρθῶς, ἵνα τε αὐτοὺς ἔχωμεν καὶ ἐνταῦθα κηδεμόνας καὶ ἐκεῖθι, ὅταν τὴν εἱμαρμένην τε καὶ ἀναγκαίαν πορείαν ἔλθωμεν.

64.

De Syrphace Ephesiorum tyranno.

ὁ δὲ Σύρφαξ ὁμοῦ τι τῷ θανάτῳ ὧν ἀνεφθέγξατο τὰ ἐκ τῆς τραγῳδίας ἰαμβεῖα, ὡς δεδιττόμενος τὸν Μακεδόνα,

ὅρα, τιθεῖσα τόνδε τὸν νόμον βροτοῖς
μὴ πῆμα σαυτῇ καὶ μετάγνοιαν τιθῇς·

οὐ μὴν ἔσπασέ τι ἡ μήρινθος αὐτῷ.

οἱ γὰρ δορυφόροι μετέωρον ἀράμενοι τὸν Σύρφακα, ἐς τὸν τριακοντόποδα καλούμενον ἐκόμισαν, φίψαντες κάτω.

ἐς ὃν μετέωρον ἀράμενοι τὸν Σύρφακα ῥιπτοῦσι

---

17 Suidas ὁμοῦ | 23 id. μετέωρον | 26 id. ἁλοιῶν et τριακοντόπους βόθρος.

Digitized by Google

κάτω, οἱ μὲν πυγμαῖς, κορύναις δὲ ἄλλοι, λίθων γε μὴν τῶν ἐν ποσὶν ἀμυνόμενοι πολλοί, οἱ δὲ ὅ τι παρέπιπτεν αὐτοῖς ὑποχείριον ἁλοῶντες αὐτὸν ἀπορραγῆναι τὴν ἐπάρατον αὐτοῦ ψυχὴν κατηνάγκασαν.

65.

Barbari urbem oppugnantes subita tempestate pereunt.

Ὁ δὲ θᾶττον ἢ βάδην τήν τε κεφαλὴν ἐπισείων καὶ βαρβαρικῶς τινα ἐπιφθεγγόμενος, ὅσα τῆς τε φωνῆς τῷ ἐντόνῳ καὶ τοῦ βαδίσματος τῷ σεσοβημένῳ εἰκάσαι, ἐπαπειλῶν.

εἶτα ἀδοκήτως πολλῷ πάνυ σφόδρα ὗσε, καὶ ἀστραπαὶ γεγόνασιν ἐκπληξαι δειναί.

ἀδοκήτου χειμῶνος καταρρήγνυται πλῆθος ἄμαχον. ἐμπιπτόντων ὑετῶν καὶ χάλαζα ἰσχυρὰ ἐπέρρευσε, καὶ οἱ ποταμοὶ πληρωθέντες ἀνεχύθησαν, καὶ διὰ πάσης ἡμέρας σκότος ἦν βαθύτατος· καίτοι τὰ τῆς ὥρας οὐδαμῆ χειμέρια ἦν.

ἀνεσταύρωτο δὲ ὁ πολιορκῶν, καὶ ἐς τοῦτό οἱ τὸ τοῦ χειμῶνος τοῦ μὴ καθ' ὥραν ἀπαντήσαντος τὸ τέλος ὥρμισατο.

66.

De Barbio Philippico Antonii adulatore.

οὗτος ἐπὶ τῶν τριῶν τυράννων ἦρχε. θέραψ δὲ ἦν τὸν τρόπον καὶ κολακικός, καὶ μέντοι καὶ τῷ περὶ τὸν Ἀντώνιον θιάσῳ κατείλεκτο· καὶ ταύτην γε τὴν ἀρχὴν ἦρχε τὴν ἐκείνου χάριν. τοῦτον τε οὖν τὸν τότε σοβαρὸν καὶ πορφυροῦν τῇ τιμῇ καὶ ἐν ἀγορᾷ τῇ

---

3 Suidas ὑποχείριον.
8 Suidas σεσοβημένος | 12 id. ὅσας | 14 id. ἄμαχον | 15 id. ὑετός et ἀνεχύθη | 16 id. σκότος | 19 id. ἁπαντᾶν.
24 Suidas Βάρβιος Φιλιππικός et θεόληπτος et θέραψ.

Digitized by Google

Ῥωμαίων ὑψηλὸν διάγοντα καὶ δικάζοντα ὁ δεσπότης ἀνέγνω ἐλθών, πρότερον μὲν ἀποδράντα, ἐν ἐκείνῳ δ' οὖν τοῦ καιροῦ πομπεύοντα ἁβρὸν καὶ κυδρούμενον καὶ σὺν τῇ ἀρχῇ θρυπτόμενον· καὶ προσελθὼν ἡσυχῇ κατόπιν θοἰματίου λαβόμενος 'χαῖρε' εἶπε, τὸ ὄνομα προσθεὶς τὸ ἀρχαῖόν τε καὶ δοῦλον. καὶ ἐκεῖνος ἐκπλήττεται ῥᾳδίως τὸν δεσπότην γνωρίσας, καὶ δεῖται σιωπᾶν, καὶ ἐς τὰ οἰκεῖα ἄγει, καὶ καταβαλὼν πάμπλειστα, εἶτα μέντοι ἑαυτὸν ἐλύσατο. καὶ αἰδοῖ Ἀντωνίου τῇ κηλίδι τῇδε σιγὴ κατεχύθη ἀργυρώνητος. ἔκρινα δὴ καὶ ταύτην τῆς τύχης μὴ σιγῆσαι τὴν παιδιάν.

67.

De Croeso.

καὶ ἐτιμᾶτο τιμαῖς τῆς ἐς ἀνθρώπους αἰδοῦς τε σοβαρωτέρας.

ὃ δὲ Σόλων τῆς παρούσης τῷ Κροίσῳ τύχης κατεφρόνησεν, ἐκέλευσέ τε τοῦ βίου παντὸς τὸ τέλος ἀναμένειν μηδὲ προπηδᾶν, μηδὲ ἐπειγόμενον τοῖς εὐδαίμοσιν ἑαυτὸν ἐγκαταγράφειν· ἀτέκμαρτα γὰρ καὶ ἄδηλα εἶναι τὰ ἀνθρώπινα, ἕως ἂν ἑκάστῳ ἡ ψυχὴ ἔσω τοῦ τῶν ὀδόντων ἕρκους ᾖ.

ὃ δὲ πεῖραν καθιεὶς καὶ ἐπιβουλεύων ἐλέγξαι πανταχόθεν, τὰ τοῦ λέβητος καὶ τῆς χελώνης καὶ τοῦ ἀρνοῦ ἐν Λυδοῖς ἐπαλαμᾶτο.

ἀναθήμασι σοβαροῖς ἐκόσμησε τὸν νεών.

ὑπὲρ τῶν μελλόντων ἀτρέπτως τε καὶ παναληθῶς προθεσπίζουσα.

---

3 Suidas κυδρούμενος.
15 Suidas σοβαρός | 18 id. τέλος | 19 id. ἕρκος | 23 id. καθιείς | 26 id. σόβαρός | 27 id. ἀτρέπτως.

Digitized by Google

ἐπεὶ δ' ἔμπαλιν τῆς ἀληθείας συνίει τὰ λεγόμενα, καὶ τὸ ἑαυτῷ φίλον τε καὶ κεχαρισμένον ἑώρα μόνον, ἐπέθετο καταλῦσαι τὴν Περσῶν βασιλείαν.

ὁ Κροῖσος κιβδήλοις ταῖς ἐφ' ἑαυτοῦ ἀκοαῖς μέ-
5 νων, καὶ τὴν βασιλείαν τὴν πατρῴαν θάλπων τε καὶ περιέπων καὶ περιστέλλων.

ὃ δὲ καὶ μᾶλλον μέγα ἐφρόνει, κεχαρισμένου τοῦ δώρου τῷ θεῷ γεγενημένου.

κελεύσαντος Κύρου ἵνα καταπρησθῇ ζῶν.

10 ὃ δὲ ἀνηνέγκατο ἄρα στενάξας, καὶ ἐς τρὶς ἐκάλεσε τὸν Σόλωνα.

αἰθρίας γὰρ οὔσης καὶ πανηλίου ἡμέρας ἄφνω καὶ ἀδοκήτως νέφη συνδραμεῖν οἷα δήπου βαθύτατα, καὶ καταρρῆξαι πάμπολυν ὑετόν.

15 τί γὰρ μαθὼν ἐτόλμησε τό γε δὴ αὐτοῦ μέρος δουλώσασθαι Λυδοῖς Πέρσας;

68.

Lex de civibus a Pericle lata.

Περικλῆς ὁ Ξανθίππου νόμον γράψας τὸν μὴ ἐξ
20 ἀμφοῖν πολίτην μὴ εἶναι. οὐ μετὰ μακρὸν τοὺς γνησίους ἀποβαλών, ἄκων καὶ στένων καὶ λύσας τὸν ἑαυτοῦ νόμον καὶ ἀσχημονήσας ἐλεεινῶς ἅμα καὶ μισητῶς ἔτυχεν ὧν ἐβούλετο. ὅμως γε μὴν ἀντιβολοῦντος καὶ δεκάσαντος τοὺς ἐντεῦθεν ζῶντας ὀψὲ καὶ
25 μόλις τὸν νόθον οἱ παῖδα τὸν ἐξ Ἀσπασίας τῆς Μιλησίας ἐποίησε δημοποίητον.

---

1 Suidas συνίεισαν | 4 id. κίβδηλον | 7 id. κεχαρισμένε | 9 id. καταπρησθῇ | 10 id. ἀνηνέγκατο cf. Eustath. in Il. α. p. 1404 | 12 id. βαθύτατα | 15 id. τό γε ἑαυτοῦ μέρος.
19 Suidas δημοποίητος.

Digitized by Google

69.

De Meleti et Timagorae amoribus.

οὗτος ἐρᾷ νεανίου Ἀθήνησι τῶν εὖ γεγονότων καὶ πλουσίων μειρακίου καὶ ἐκείνου τὸ γένος διαπρεπούς καὶ τὴν ὥραν ἀμάχου. καὶ τῷ μὲν ἐραστῇ Μέλητος ὄνομα ἦν, τῷ καλῷ δὲ Τιμαγόρας, ὥς φασιν. ἦν δὲ ἄτεγκτός τε καὶ ἀμείλικτος ὅδε ὁ παῖς, καί οἱ πολλὰ προσέταττε καὶ ἐπίπονα καὶ κινδύνων ἐχόμενα τῶν ἐσχάτων καὶ ὁμοῦ τι τῷ ὀλέθρῳ ἐλαύνοντα. καὶ ἦν τὰ προστάγματα κύνας τε ἀγαθὰς καὶ θηρατικὰς ἐκ τῆς ἀλλοδαπῆς ἄγειν, καὶ ἵππον αὖ τῶν πολεμίων ἀπαγαγεῖν ὅτου δὴ γενναῖόν τε καὶ θυμικήν, καὶ ἄλλου χλαμύδα ὡραίαν, καὶ τοιαῦτα ἕτερα. καὶ τελευτῶν ὄρνιθάς οἱ προσέταξε κομίσαι ὅτου δὴ τροφιμους καὶ οἰκέτας, γένος θαυμαστούς. ἐπεὶ δὲ καὶ τοῦτο κατεπράξατο ὁ ἔνθεος φίλος ἐκεῖνος καὶ ἐδωρεῖτό γε τῷ καλῷ τὸ μέγα τίμιον κτῆμα τοὺς προειρημένους, ὃ δὲ ἀτεράμων ὢν καὶ ἐς τοσοῦτον ἀπεώσατο ἄρα τὸ δῶρον. ὁ τοίνυν Μέλητος φλεγόμενος τῷ ἔρωτι καὶ οἰστρούμενος καὶ ἐπὶ τούτοις ἀσχάλλων τῇ ἀτιμίᾳ καὶ ἀπαυδήσας ἐπὶ τοῖς ἀνηνύτοις τε μόχθοις ἅμα καὶ ἀπείροις, ᾗ ποδῶν εἶχεν ἀνέθορέ τε ἐς τὴν ἀκρόπολιν καὶ ἑαυτὸν ἔωσε κατὰ τῶν πετρῶν. οὐ μὴν ἡ τιμωρὸς δίκη τὸν ὑβριστὴν παῖδα καὶ ὑπερόπτην εἴασεν ἐπεγχανεῖν τῷ τοῦ Μελήτου θανάτῳ. τοὺς ὄρνιθας γοῦν ἀναλαβὼν καὶ ταῖς ἀγκάλαις ἐνθείς, εἶτα μέντοι κατ' ἴχνια τὰ ἐκείνου θέων, ὥσπερ οὖν ἑλκόμενος βίᾳ ἑαυτὸν σὺν τῷ δυστυχεῖ δώρῳ ἐπὶ τῷ Μελήτῳ ἔρριψε φέρων, βραδὺν καὶ δυστυχῆ τὸν ἔρωτα ἀντερασθεὶς τοῦτον. καὶ ἕστηκεν εἴδωλον τοῦ

---

3 Suidas *Μέλητος* | 5 id. *καλὸς κἀγαθός* | 7 id. *ἄτεγκτος* | 18 id. *ἀτέραμνον* | 20 id. *ἀσχάλλων* | 24 id. *ἐπεγχανών*.

Digitized by Google

πάθους κατὰ τὸν τόκον παῖς ὡραῖος καὶ γυμνὸς ἐλεφαντρύνας δύο μάλα εὐγενεῖς φέρων ἐν ταῖς ἀγκάλαις καὶ ὠθῶν ἐπὶ κεφαλὴν ἑαυτόν.

70.

De Hipparino et Antileonte.

ὃ δὲ ὑφαιρεῖται τὸν πάδανα, καὶ φιλίας σύμβολον καὶ ὅμηρον πρῶτον νομίζει τῷ ἑταίρῳ αὐτοῦ.

καὶ ὡς κατειργάσατο τὸ κάλλιστον ἔργον, ἔφευγεν ὅτι τάχιστα εὐθὺ τοῦ ἐραστοῦ. μετήεσαν δὲ αὐτὸν οἱ δορυφόροι, καὶ διέφυγεν ἂν ἐκεῖνος, εἰ μὴ προβάτοις συνεξενηγμένοις περιπεσὼν καὶ συμπλακεὶς ὡς πέδῃ κάτα ἀνετράπη.

τελευτῶν ἀπεσφάγη καὶ αὐτός, καὶ ἔκειτο πλησίον τῶν παιδικῶν, θέαμα ἔνδοξόν τε καὶ ὑπερήφανον.

ἦστην δὲ καλὼ καὶ μεγάλω· ὡραῖος δὲ ὁ νέος, οὐ τεθρυμμένος μήν, ἀλλὰ γεννικὸν ὁρῶν εἶχε πρόκωπον τὸ ξιφος.

ἔθαφάν τε ἐκείνους αὐτόθι σεμνῶς τε καὶ σοβαρῶς ἐπιστήματα ἐπέστησαν. νεανία ἦστην, ὃ μὲν ἤδη γενειῶν, ὃ δὲ αὐτοῖν γυμνὸς τὴν παρειὰν ἔτι.

71.

De Dionysio mercatore.

Διονύσιος τοὔνομα, ἔμπορος τὸ ἐπιτήδευμα δολιχεύσας πολλοὺς πολλάκις πλοῦς, τοῦ κέρδους ὑποθήγοντος, καὶ πορρωτέρω τῆς Μαιώτιδος ἐκκυφίσας, ὠνεῖται κόρην Κόλχον, ἣν ἐληίσαντο Μάχλυες, ἔθνος τῶν ἐκεῖ βαρβάρων.

---

6 Suidas ὅμηρον | 8 id. μετήεσαν | 13 id. παιδικῶν | 14 id. ὑπερήφανος | 16 id. θρύφις | 17 id. πρόκωπον | 19 id. ἐπιστήματα | 19 id σοβαρός.

24 Suidas κούφη | 24 id. ἐπιτήδευμα.

Digitized by Google

ὑπάγοντος αὐτὸν τοῦ πλούτου καὶ ἐπὶ μᾶλλον ὑποθήγοντος.

Διονύσιος τοὔνομα ἔμπορος τὸ ἐπιτήδευμα, δολιχεύσας πολλοὺς πολλάκις πλοῦς, περιβάλλεται πλοῦτον εὖ μάλα ἀδρόν.

ὁ τοίνυν Διονύσιος καταγράφων ἑαυτῷ λύτρα πλεῖστα ὑπὲρ τῆς κόρης, ἢ χρυσίον πάμπολυ, ἣν ἀπόλοιτο αὐτή.

τινὰς παραλαβὼν ἀδροῦ μισθοῦ ἐς Βυζάντιον ἐλθεῖν πείθει.

εἶτα τῆς ὑστεραίας προσέσχε τῇ Χίῳ, καὶ ἀποβάντες ἐντυγχάνουσι τῇ κόρῃ πιπρασκομένῃ.

ὃ δὲ ἔπραττε κακῶς, καὶ πᾶσα ἡ οἰκία αὐτοῦ ἐνόσει, καὶ τὰ τῆς ἐμπορίας ἐπικερδῆ ἥκιστα αὐτῷ ἦν.

θυγάτηρ δὲ ἦπερ ἦν οἱ τῶν ἐκείνου μηχανῶν τε καὶ ἐπιβουλῶν ἀμαθής, ἑξάντης γίνεται τοῦ κακοῦ.

72.

De tutore avaro.

ἔστι δὲ οὕτως. ἀδελφὼ δύο ἦστην. ὁ τοίνυν ἕτερος ἀποθνήσκων καὶ παῖδα ὀρφανὸν ἀπολείπων τὸν ἀδελφὸν ἐγγράφει καὶ τοῦ υἱοῦ ἐπίτροπον καὶ τῶν χρημάτων ὧν ἐκείνῳ κατέλιπε μελεδωνόν. ὃ δὲ ἀνόσιος ὤν, τὰ τοῦ παιδὸς σφετερίσασθαι γλιχόμενος, εἶτα μέντοι καὶ τὰ οἰκεῖα προσαπώλεσε. δεομένῳ δὲ πολυωρίας τινὸς καὶ φοπῆς τυχεῖν τῆς ἐς τὸ κρεῖττον ἀπεκρίνατο

νήπιος οὐκ ἐνόησεν ὅσῳ πλέον ἥμισυ παντός.

---

1 Suidas ὑπάγει | 3 id. δολιχεύουσι | 6 id. καταγράφων | 9 id. ἀδρόν | 11 id. προσέσχε | 13 id. ἐνόσει et ἔπραττον et πράττω | 14 id. ἥκιστα | 15 id. ἑξάντη.

19 Suidas ἡμίσεια et ἦστην | 22 id. μελεδωνός | 24 id. πολυωρήσεις.

Digitized by Google

παιδεύσεως ταῦτα ἔχεται, καὶ ψυχὴν καθαίρει, καὶ βιον κοσμεῖ, καὶ σωφροσύνην ἐντίθησι, καὶ δικαιοσύνην νομοθετεῖ.

73.

Aetoli vino Atheniensibus tradito ab iis interficiuntur.

οἱ Αἰτωλοὶ ἐς Ἀθήνας τὸν οἶνον ἐκόμιζον, φιλοτησίας τῆς ἐκ τοῦ θεοῦ κοινωνῆσαι καὶ τοῖς τῆς Ἀθηνᾶς τροφίμοις βουλόμενοι.

οἳ δὲ ἄδην καὶ ἀπείρως σπῶσι τοῦ οἴνου, καὶ ἀνατραπέντες ἔκειντο ὡς ἔτυχον αὐτῶν ἕκαστος εἰκῇ. καὶ οἱ τούτοις προσήκοντες τοὺς οἰνοχόους τούσδε ἡγησάμενοι φαρμακεῖς καὶ πιστεύσαντες τεθνάναι τοὺς καθεύδοντας, τοὺς Αἰτωλοὺς ἀπέκτειναν.

μέτεισι τοὺς Ἀθηναίους ὑπὲρ τῶν ἀθέσμων φόνων ἡ δίκη, καὶ ἀφορίαις συνείχοντο.

νικώμενοι οὖν ἐκ τῶν παρόντων ἄκος αἰτοῦσι παρὰ τοῦ θεοῦ, καὶ ἐρωτῶσι τὴν Πυθίαν.

δέονται δὴ παρὰ θεοῦ ἄκος. καὶ αὐτοῖς ἐκπίπτει χρησμὸς λέγων δεῖν χοὰς τοῖς ἐκδίκως τῶν Αἰτωλῶν τεθνεῶσιν ἐπάγειν ἀνὰ πᾶν ἔτος καὶ ἑορτὴν Χοὰς ἄγειν. καὶ ἐκ τούτου εὐθηνεῖτο τὰ τῆς Ἀττικῆς.

74.

De Hippia.

οὗτος τῆς ἐς Ἀθηναίους ὀργῆς καὶ τῆς ὕστερον ὠμότητος προὔσχετο αἰτίαν τὸν Ἱππάρχου φασὶ θάνατον. καὶ πικρὸς ἐκ τούτων δεσπότης κάτω τοῦ

---

7 Suidas φιλοτησίας | 10 id. ἄδην et ἀνατραπέντες et σπῶντες | 12 id. προσήκων | 13 id. φαρμακεῖς | 15 id. μέτεισιν | 17 id. ἐκ τῶν παρόντων | 19 id. ἄκος et χοάς | 20 id. ἐκδίκως et χρησμός.

25 Suidas Ἱππίας.

Digitized by Google

χρόνου γενόμενος, ὅμως οὐκ ἀπώνητο. ἤλασαν γοῦν οἱ Κεκροπίδαι αὐτόν. ὁ δὲ ἐκπεσὼν τῆς πατρίδος ἐπήγετο τοὺς Πέρσας συμμάχους, ὁρῶν ὃν εἶχεν ἔρωτα Δαρείος τῆς Ἀττικῆς, διὰ τὴν ἄτοπον ἐκείνην σπουδήν, ἵνα τὰ σῦκα τὰ Ἀττικὰ μὴ ἐν ἐλευθέρᾳ γῇ ἔτι ἀλλὰ δούλῃ γένηται τῇ ἐκείνου. ἰὼν μὲν οὖν ὅδε ὁ Ἱππίας ἐπὶ τὴν ἑαυτοῦ πατρίδα σὺν τοῖς Πέρσαις καὶ ἐξελίττων τοὺς βαρβάρους μέγα ἔπταρε, καὶ ἅτε γέρων ἤδη εἶχε τοὺς ὀδόντας κραδαινομένους. ἐκ τοίνυν τῆς βίας εἰς ὀδοὺς ἐξεκρούσθη, καὶ κατώλισθεν ἐς τὴν ψάμμον, καὶ εὑρεθῆναι ἀδύνατος ἦν. ἐπεὶ δὲ ἠττήθησαν οἱ βάρβαροι, φεύγων αὖθις ἐς Λῆμνον ἀφικνεῖται, καὶ κάμνει νόσῳ, καὶ τὴν ὄψιν τυφλοῦται, αἵματος ἐπιρρεύσαντός οἱ διὰ τῶν ὀφθαλμῶν, καὶ ἀλγεινῶς ἀπέθανε, δίκας ταύτας δοὺς τῇ πατρίδι, ἐπεὶ τοὺς βαρβάρους ἦγεν ἐπὶ καταδουλώσει αὐτῆς, μηνῖσαί τε τοὺς πατρίους θεούς.

75.

αἵ τε νῆες, ἃς ἐπήξαντο ἐκ τῶν Ὀλυμπιακῶν ἁλσέων καὶ τοῦ χώρου τοῦ τῷ Διὶ κομῶντος, κατεσάπησαν.

ἔμβολά τε νηῶν γενόμενοι οὐδὲν ὤνησαν οἱ ἀνδριάντες.

76.

De Merope Coo.

φέρεται δὲ μῦθος καὶ ὅτι Μέροψ Κῷος ἀπαύστως τὴν γυναῖκα πενθῶν θανοῦσαν, ξενίσας Ῥέαν μετεβλήθη εἰς ἄστρον καὶ σύνεστιν ἀεὶ τῷ Διί. Αἰλιανὸς μέντοι ληστήν ποτε γενόμενον μεταβληθῆναι εἰς ἄστρον

19 Suidas ἅλσος | 22 id. ἔμβολα.
26 Eustathius in Il. ω p. 1351.

Digitized by Google

λέγει. διὸ καὶ γαμψώνυχον μὲν εἶναι καὶ θηρατικόν, ἐν γήρᾳ δὲ ἀχρειοῦσθαι τὸ ῥάμφος τῇ ἄγαν ἐπικάμψει· καὶ ἔχει ποινὴν τῆς ποτὲ θηριωδίας τὸν ἐν γήρᾳ λιμόν, ἦδη δὲ καὶ τὸν ἐκ κανθάρων πόλεμον, ὡς εὐθὺς μετ' ὀλίγα ῥηθήσεται.

77.

De Scedasi filiabus.

κατηύχοντό τε τοὺς ταῦτα δρῶντας ἀχώρους τε καὶ ἀτάφους κυσὶ καὶ ὄρνισιν ἐκριφῆναι, καὶ τὰς ψυχὰς αὐτῶν μὴ ὑποδέξασθαι σὺν εὐμενείᾳ, ἀλλ' ἐπαρτῆσαι τὰς δι' αἰῶνος τιμωρίας αὐτοῖς.

αἱ δὲ κατευξάμεναι τὸν χῶρον πάντα ἐκεῖνον Λακωνικῷ αἵματι ἐπικλυσθῆναι, ἑαυτὰς ἀπέσφαξαν.

78.

Simonides a Dioscuris servatus.

ὃ δὲ ἐκέλευε παρὰ τῶν ἠπγνημένων πολλῷ πλείονα μισθὸν κομίζεσθαι.

ταῦτά τοι οἱ Διόσκοροι οὐκ ἠτίμασάν οἱ φανῆναι πάλιν.

καὶ παραχρῆμα ἡ οἰκία κατεσείσθη πρηνής.

79.

ἀναπανομένων καὶ ὁρμιζομένων τὴν τελευταίαν ὅρμισιν τὸ θεῖον οὐκ ἀμελεῖ τῶν καλῶν τε κἀγαθῶν ἀνδρῶν.

---

8 Suidas κατηύχοντο | 11 id. ἐπαρτήσας | 12 id. κατεύχεσθαι.

16 Suidas ἠπγνημένων | 18 id. ἀτιμάζω | 20 id. κατέσεισε.

22 Suidas ὁρμεῖν.

Digitized by Google

80.

De Archilocho.

ὅτι τῶν σπουδαίων οὐδὲ θανόντων οἱ θεοὶ λήθην τίθενται. Ἀρχίλοχον γοῦν, ποιητὴν γενναῖον τἄλλα, εἴ τις αὐτοῦ τὸ αἰσχροεπὲς καὶ τὸ κακόρρημον ἀφέλοι καὶ οἱονεὶ κηλῖδα ἀπορρύψειεν, ὁ Πύθιος ἠλέει, τεθνεῶτα καὶ ταῦτα ἐν τῷ πολέμῳ, ἔνθα δήπου ξυνὸς Ἐνυάλιος. καὶ ὅτε ἦκεν ὁ ἀποκτείνας, αὐτόν, Καλώνδας μὲν ὄνομα, Κόραξ δὲ ἐπώνυμον, τοῦ θεοῦ δεόμενος ὑπὲρ ὧν ἐδείτο, οὐ προσήκατο αὐτὸν ἡ Πυθία ὡς ἐναγῆ, ἀλλὰ ταῦτα δήπου τὰ θρυλούμενα ἀνεῖλεν. ὃ δὲ ἄρα προεβάλλετο τὰς τοῦ πολέμου τύχας, καὶ ἔλεγεν ὡς ἦκεν ἐς ἀμφίβολον ἢ δρᾶσαι ἢ παθεῖν ὅσα ἔπραξε, καὶ ἠξίου μὴ ἀπεχθάνεσθαι τῷ θεῷ, εἰ τῷ ἑαυτοῦ δαίμονι ζῇ, καὶ ἐπηρᾶτο ὅτι μὴ τέθνηκε μᾶλλον ἢ ἀπέκτεινε. καὶ ταῦτα ὁ θεὸς οἰκτείρει, καὶ αὐτὸν κελεύει ἐλθεῖν ἐς Ταίναρον, ἔνθα Τέττιξ τέθαπται, καὶ μειλίξασθαι τὴν τοῦ Τελεσικλείου παιδὸς ψυχήν, καὶ πραῦναι χοαῖς. οἷς ἐπείσθη, καὶ τῆς μήνιδος τῆς ἐκ τοῦ θεοῦ ἐξάντης ἐγένετο.

82.

De caupone Megarensi.

ἀποθανόντων τῶν ἀγαθῶν ἀνθρώπων ὁ θεὸς τίθεται πρόνοιαν καὶ ὦραν, καὶ τιμωρεῖ τοῖς ἀδίκως ἀνηρημένοις. λέγει γοῦν Χρύσιππος ἐν Μεγάροις καταχθῆναί τινα, χρυσίου ζώνην πεπληρωμένην ἐπαγόμενον. ἀπέκτεινε δὲ ἄρα αὐτὸν πανδοκεὺς ὁ ὑποδεξάμενος ὀψισθέντα, ἐκφθαλμιάσας τῷ χρυσίῳ·

---

4 Suidas Ἀρχίλοχος.

24 Suidas τιμωροῦντος | 28 id. ὀψισθέντα | 28 id. ἐκφθαλμίσας.

Digitized by Google

εἶτα ἔμελλεν ἐκκομίζειν ἐφ' ἁμάξης ἀγούσης κόκκον, ὑποκρύψας ἐν ταύτῃ τὸν πεφονευμένον. ἡ τοίνυν ψυχὴ τοῦ τεθνεῶτος ἐφίσταται Μεγαρεῖ τινι, καὶ λέγει ὅσα τε ἔπαθε καὶ ὑφ' ὅτου, καὶ ὅπως ἐκκομίζεσθαι μέλλοι, καὶ κατὰ ποίας πύλας· ὃ δὲ οὐκ ἤκουσε ῥᾳθύμως τὰ λεχθέντα, κνεφαῖος δὲ ἐξαναστὰς καὶ παραφυλάξας τοῦ ζεύγους ἐπελάβετο, καὶ ἀνίχνευσε τὸν νεκρόν. καὶ ὃ μὲν ἐτάφη, ὃ δὲ ἐκολάσθη.

ὃ δὲ ἔς τινος πανδοκέως ἐλθὼν ἠξίου τυχεῖν καταγωγῆς· ὃ δὲ ἐδέξατο καὶ κῦρ ἐξέκαυσε.

χειμῶνος ὥρα ἦν καὶ κῦρ ἐξέκαυσε τῇ ὥρα σύγκαιρον.

καί πως τὴν ζώνην τοῦ χρυσίου, ἣν ἐπήγετο ὁ ξένος, ὁ πανδοκεὺς ἐθεάσατο καὶ παραχρῆμα ἐποφθαλμιᾷ.

ὃ δὲ ἰδὼν τὸ χρυσίον ἐκποφθαλμιᾷ τῷ ἀνθρώπῳ.

ἐξήγαγεν ἐκ τῆς ζώνης τοὺς χρυσοῦς δαρεικούς, κατακερματίσαι θέλων καὶ διαλύσασθαι τῷ πανδοκεῖ.

ἐς τὸ δωμάτιον, οὗ δὴ κατέλυε, γεγονότα.

ἐπεὶ δὲ ἀωρία ἦν, ὃ μὲν ἐπὶ τὸν φόνον ὑπεθήγετο.

ἐπιῤῥήγνυται βροντὴ βιαιοτάτη, καὶ τὸ πανδοκεῖον κατηράχθη.

82.

De dracone caesorum amicorum ultore.

καὶ τὸν δράκοντα τὸν ἐκ τῆς θείας πομπῆς ἥκοντα.

ὃ δὲ δράκων προελθὼν ἄρα τοῦ ἀδύτου τό τε

---

6 Suidas κνεφαῖος | 9 id. καταγωγῆς | 11 id. σύγκαιρον | 13 id. ζώνη | 16 id. ἐκποφθαλμίσας | 17 id. κερματίζει | 19 id. κατέλυεν | 20 id. ἀωρία | 21 id. κατηρράχθη.

25 Suidas πομπήν | 27 id. μιαροί.

Digitized by Google

αἷμα αὐτῶν ἐξελιχμήσατο καὶ ἐκάθηρε τὰς πληγάς, ἵνα μή ποτε ἄρα τοῦ λύθρου μιαροὶ βλέπωνται.

Ὁ δὲ δράκων ταῖς σπείραις τοὺς νεκροὺς συναγαγὼν ἐφύλαττεν ἀπαθεῖς, ὡς ἂν μήτε τι τῶν χερσαίων μήτε τὴν τῶν πτηνῶν ἐπὶ λύμῃ προσέλθοι.

83.

De Tito Livio et Cornuto.

δύο συγγραφεῖς Ῥωμαίων ἦστην, Τίτος Λίβιος, οὗ διαῤῥεῖ πολὺ καὶ κλεινὸν ὄνομα, καὶ Κορνοῦτος. πλούσιον μὲν οὖν ἀκούω καὶ ἄπαιδα τοῦτον, σπουδαῖον δὲ οὐδὲν ὄντα. τοσαύτη δὲ ἦν ἡ διαφορότης ἐς τούσδε τοὺς ἄνδρας τῶν ἀκροωμένων, ὡς τοῦ μὲν Κορνούτου καμπλείστους ἀκούειν, θεραπείᾳ τε καὶ κολακείᾳ τοῦ ἀνδρὸς συῤῥέοντας καὶ διὰ τὴν ἀπαιδίαν, ἐλπίδι κληρονομίας· τοῦ γε μὴν Λιβίου ὀλίγους, ἀλλὰ ὧν τι ὄφελος ἦν καὶ ἐν κάλλει ψυχῆς καὶ ἐν εὐγλωττίᾳ παιδείας. καὶ ταῦτα μὲν ἐπράττετο. ὁ χρόνος δὲ ὁ ἄπρατός τε καὶ ἀδέκαστος καὶ ἡ τούτου φύλαξ καὶ ὀπαδὸς καὶ ἔφορος ἀλήθεια, μήτε χρημάτων δεόμενοι, μήτε μὴν ὀνειροπολοῦντες ἐκ κλήρου διαδοχήν, μήτ' ἄλλῳ τῳ αἰσχρῷ καὶ κιβδήλῳ τε καὶ κακήλῳ καὶ ἥκιστα ἐλευθέρῳ ἁλισκόμενοι, τὸν μὲν ἀνέφηναν καὶ ἐξεκάλυψαν, ὥσπερ κεκρυμμένον θησαυρὸν καὶ κεχανδότα πολλὰ καὶ ἐσθλά, τὸ τοῦ Ὁμήρου, τοῦτον τὸν Λίβιον· τοῦ δὲ πλουσίου καὶ μέντοι καὶ περιῤῥεομένου τοῖς χρήμασι λήθην κατέχεαν τοῦ Κορνούτου. καὶ ἴσασιν ἤ τις ἢ οὐδείς αὐτόν.

---

3 Suidas σπεῖραι.

8 Suidas Κορνοῦτος | 9 id. διαῤῥεῖν | 10 id. σπουδαῖος | 16 id. ὄφελος | 19 id. ὀπαδός.

Digitized by Google

84.

καὶ ἑώρων φάσμα τὸ μέγεθος ἐξῆκον πέρα καὶ ἀνωτέρω τοῦ ἱστοῦ.

ὃ δὲ περιαλγῶν ἐπὶ τῇ προρρήσει ἦν δῆλος, ἐπὶ ξυροῦ τε ἀκμῆς τὸ λεγόμενον ὁ τούτου κίνδυνος ὤν, οἵ τε ναῦται καὶ ὅσοι περίνεοι οὐκ ἀνεξόμενοι τῆς τούτου μελλήσεως δῆλοι ἦσαν.

οἱ ἄνεμοι οἱ σκληροί τε καὶ ἐχθροὶ παραχρῆμα ἐκόπασαν, καὶ τὸ κῦμα ἐστορέσθη· πνεῦμα δὲ κεκριμένον κατὰ πρύμναν ἐπέρρει, καὶ τὰ ἱστία ἐπλήρου.

85.

ἐνδάλματα εἰκασμένα κυσὶν ἔκ τινος θείας ὁρμῆς τοῦτον ἐπιπηδήσαντα, οἰκτρῶς, ὅσα ἰδεῖν, διέξυσεν.

ἦν δὲ ἄρα εἴδωλα ταῦτα, ὥσπερ οὐ μετὰ μακρὸν ἔμελλε πείσεσθαι ὁ δυστυχὴς νεκρὸς ἐκείνου.

86.

De Clearcho Pontico.

καὶ Κλέαρχος ὁ Ποντικὸς νέος ὢν ἐς Ἀθήνας ἀφίκετο ἀκοῦσαι Πλάτωνος. καὶ λέγων φιλοσοφίας διψῆν ὀλίγα οἱ συγγενόμενος (ἦν γὰρ θεοῖς ἐχθρὸς) ὅναρ ὁρᾷ ὅδε ὁ Κλέαρχος γυναῖκά τινα λέγουσαν πρὸς αὐτὸν Ἄπιθι τῆς Ἀκαδημείας καὶ φεῦγε φιλοσοφίαν· οὐ γάρ σοι θέμις ἐπαυρέσθαι αὐτῆς· ὁρᾷ γὰρ πρός σε ἔχθιστον. ὧν ἀκούσας ἐπάνεισιν ἐς τὴν Ἡρακλείαν. φθόνῳ δὲ ἐκκλυσθεὶς ἐκπλεῖ τῆς οἴκοθεν, καὶ φυγὰς ἀλώμενος ἔρχεται πρὸς Μιθριδάτην, καὶ στρατοπεδευόμενος παρ' αὐτῷ ἐκηνείτο. οὐ μὴν μετὰ

---

2 Suidas ἐξῆκον | 4 id. ἐπὶ ξυροῦ | 6 id. περίνεως | 8 id. σκληροί et ἐστόρεσεν.

12 Suidas ὅσα ἰδεῖν | 14 id. εἴδωλον.

18 Suidas Κλέαρχος | 23 ἐπανόρασθαι.

Digitized by Google

μακρὸν ἐκπίπτουσιν οἱ Ἡρακλεῶται ἐς στάσιν βαρεῖαν, εἶτα ἐπανελθεῖν ἐς φιλίαν καὶ συμβάσεις βουλόμενοι προαιροῦνται ἔφορον τῆς αὖθις ὁμονοίας τὸν Κλέαρχον. ἐπειδὴ δὲ κλητὸς παρεγένετο, καταλύσας ἔν τινι τῶν σταθμῶν τῶν διὰ τῆς ὁδοῦ ὄναρ ὁρᾷ παλαιὸν Ἡρακλεωτῶν τύραννον Εὐάπιον ὄνομα λέγοντα αὐτῷ ὅτι ‘δεῖ τυραννῆσαί σε τῆς πατρίδος’· προσέταττε δὲ καὶ οὗτος φιλοσοφίαν φυλάττεσθαι αὐτόν. ὑπεμνήσθη καὶ τούτων ἐκ τῆς προρρήσεως τῆς Ἀθήνησιν. ἐγκρατὴς οὖν τῶν κοινῶν γενόμενος, ὠμότατός τε ἦν καὶ ἐς ὑπεροψίαν ἐξαφθεὶς ἄμαχον τοῦ μὲν ἔτι ἄνθρωπος εἶναι κατεφρόνει, προσκυνεῖσθαι δὲ καὶ ταῖς τῶν Ὀλυμπίων γεραίρεσθαι τιμαῖς ἠξίου, καὶ στολὰς ἥσθητο θεοῖς συνήθεις, καὶ τοῖς ἀγάλμασι τοῖς ἐκείνων ἐπιπρεπούσας, τόν τε υἱὸν τὸν ἑαυτοῦ Κεραυνὸν ἐκάλεσεν. ἀπέκτεινε δὲ αὐτὸν πρῶτον μὲν ἡ Δίκη, εἶτα ἡ χεὶρ ἡ Χίωνος, ὅσπερ οὖν ἦν ἑταῖρος Πλάτωνος, καὶ χρόνον διήκουσεν αὐτοῦ, καὶ τὸ μισοτύραννον ἐκ τῆς ἐκείνου ἑστίας σπασάμενος ἠλευθέρωσε τὴν πατρίδα. κοινωνὼ δέ οἱ τῆς καλῆς πράξεως γενέσθαι λέγονται Λεωνίδης τε καὶ Ἀντίθεος, φιλοσόφω καὶ τώδε ἄνδρε. ὅπως δὲ ἔδωκε δίκας ἀνθ' ὧν ἐτόλμησεν εἴρηται.

87.

Interitus Sybaritarum.

ἐπὶ μέγα τρυφῆς προελθόντες οἱ Συβαρῖται καὶ πλούτου ἐπὶ μέγα ἥκοντες ἑαυτοῖς καὶ ἄλλοις ἐδόκουν ἀξιόζηλοι εἶναι.

πυθόμενοι δὲ ταῦτα οἱ Συβαρῖται κατέγραφον

---

3 Suidas ἔφοροι et ἄμαχον.
26 Suidas ἐπὶ μέγα | 29 id. κατέγραφον.

Digitized by Google

ἑαυτοῖς εὐδαιμονίαν δι' αἰῶνος. μὴ γὰρ ἐκπλεύσειν τῶν φρενῶν ἐς τοσοῦτον, ὡς ἀνθρώπους προτιμῆσαί ποτε θεῶν.

καὶ νόμον ἔθεντο, εἰ τοιοῦτοι γένοιντο ὑπὸ τῷ τοσούτῳ θεῷ, εὐδαιμονίαν εἶναι καταγράφοντες κοινήν.

ὃ δὲ ὁρῶν οἷ κακοῦ εἴη, ἐπὶ τὸν τάφον τοῦ γειναμένου καταφεύγει.

88.

κελεύει ἡ Πυθία εἴδωλόν τε πεπλασμένον ἐς ὄφιν γυναικὸς μετέωρον ἐξαρτᾶν· καὶ ἀνερρώσθη ἡ πόλις.

89.

De Euphronio.

ἀνὴρ Εὐφρόνιος, κακοδαίμων ἀνήρ, καὶ ἔχαιρεν ἐπὶ ταῖς Ἐπικούρου φλυαρίαις καὶ ἐξ ἐκείνων κακὰ εἱρύσατο δύο, ἄθεος τε καὶ ἀκόλαστος εἶναι.

ὃ δὲ ἐν τοσούτῳ κακῷ ὢν οὐκ ἐπελάθετο τῆς βδελυρᾶς ἐκείνης καὶ ἀθέου συγγραφῆς, ἣν ὁ Γαργήττιος, ὥσπερ οὖν τὰ ἐκ Τιτανικῶν σπερμάτων φύντα, τῷ βίῳ τῶν ἀνθρώπων κηλίδα προσετρίψατο.

ὃ δὲ ἀθλίως νόσῳ (περιπνευμονίαν καλοῦσιν Ἀσκληπιαδῶν παῖδες αὐτήν) πιεζόμενος τὰ μὲν πρῶτα ἐδεῖτο τῆς ἀνθρώπων ἰατρικῆς καὶ ἐκείνων ἤρτητο.

τῆς τῶν ἰατρῶν ἐπιστήμης βιαιότερον ἦν τὸ νόσημα.

---

1 Suidas ἐκπλεύσειν | 4 id. τοσούτῳ θεῷ | 7 οἷ.
10 Suidas εἴδωλον.
14 Suidas κακοδαίμων | ib. id. εἱρύσατο | 17 id. τιτανῶδες βλέπειν | 20 id. κηλίς et προσετρίψατο | 21 id. Ἀσκληπίειον φάρμακον | 22 id. ἤρτητο | 24 id. βιαιότερον.

Digitized by Google

ἐπεὶ τοίνυν ὑπὲρ τῶν ἐσχάτων ἐσάλευσεν ἤδη, κομίζουσιν αὐτὸν οἱ προσήκοντες ἐς Ἀσκληπιοῦ.

καὶ καταδαρθόντι οἱ τῶν τις ἱερέων ἐδόκει λέγειν μίαν εἶναι σωτηρίας ὁδὸν τῷ ἀνδρὶ καὶ ἓν τῶν ἐφεστώτων κακῶν φάρμακον, εἴπερ οὖν τὰ Ἐπικούρου βιβλία καταφλέξας, καὶ τῶν ἀθέων τε καὶ ἀσεβῶν καὶ ἐκτεθηλυμμένων στιγμάτων τὴν σποδὸν ἀναδύσει κηρῷ ὑγρῷ, καὶ ἐπιπλασάμενος τὴν νηδὺν καὶ τὸν θώρακα πάντα καταδήσει ταινίαις.

ὃ δὲ ὅσα ἤκουσε τοῖς οἰκείοις ὁμολογεῖ, καὶ ἐκεῖνοι περιχαρείας αὐτίκα ὑπεπλήσθησαν τῷ μὴ ἐκφρησθῆναι ἐκφαυλισθέντα καὶ ἀτιμασθέντα ὑπὸ τοῦ θεοῦ αὐτόν.

καί τινα ἐξ αὐτοῦ διδασκαλίαν ἐνανσάμενοι, κἄτα ἐμιμήσαντο ἐς τὸ εὖ καὶ καλῶς.

90.

φιλοχρημάτω τε ἦστην καὶ ἡδονῶν ἀκράτορε.

καὶ τὸν τρόπον ἀφειδεστάτω ἦστην καὶ φονικωτάτω.

ὑποβλήτους ἂν εἰπέ τις αὐτοὺς εἶναι καὶ νόθους ἄντικρυς. ἀνέπλησαν δὲ τὴν ἑαυτῶν πατρίδα πολλῶν κακῶν.

ἀνθ' ὧν τὰ ἐπίχειρα ἠνέγκαντο ἀλλήλοις πρεπωδέστατα.

ἐν ἀκμῇ τοῦ κακοῦ μνήμη τις ἐσῆλθε τῶν Σαμοθρᾳκῶν· καὶ γὰρ οὖν τετελεσμένω αὐτοῖς ἦστην.

---

1 Suidas ἐσάλευσε | 3 id. καταδαρθάνειν | 5 id. ἀναδεύειν et καταδεύσει | 7 id. στίγματα | 8 id. ταινίαι | 10 id. ὁμολογῶ | 11 id. ἐκφρησθέντων et εἰσέφρησα | 14 id. ἐνανύσματα.

17 Suidas ἀκράτορε | 18 id. ἀφειδήσας | 20 id. ἀντικρύ | 23 id. ἐπίχειρα | 25 id. ἀκμὴ καλεῖ.

Digitized by Google

καὶ ἐν ἑαυτοῖς θεοκλυτοῦντες ἅμα καὶ τῶν ὀργίων ἐμέμνηντο.

91.

οὐδὲ ἐψεύσατο. ὃ δὲ ὅναρ εἶδε τοὺς ὀφθαλμοὺς ἐξορύττεσθαι, καὶ ἠντιβόλει ῥυόμενος τὴν πήρωσιν τῆς ὄψεως, λέγων 'ἀφίξομαι ὑμῖν δύο ἡμερῶν ὕστερον.' ἀνηρέθη γοῦν μετὰ τοσαύτας ἡμέρας.

92.

τοῦτον οὖν ὁμόδουλος κύων ὑπέρ τινος παραπεσόντος ἐδέσματος οἰηθεῖσά οἱ διαφέρεσθαι, προσπαίζοντος ἄλλως.

ἡ δὲ ἠγανάκτησε καὶ κυνηδὸν ὑποπλησθεῖσα τοῦ θυμοῦ, τοῖς ὀδοῦσιν ἐμφῦσα ἐς τὸ σκέλος εἶτα μηδὲν ἀδικοῦντα χωλὸν εἰργάσατο.

93.

τοῦτον οὖν πλευρῖτις νόσος περιλαβοῦσα ἐστρέβλου δεινῶς.

94.

ἔνθεν τοι καὶ τὸ ἀρρώστημα ἦν τὴν γένεσιν λαβόν.

95.

ὑπὲρ δὴ τούτων τούτῳ ζωάγρια ἀποδιδούς, ἅπερ οὖν δυνατὸν ἦν.

---

1 Suidas θεοκλυτοῦντες.
4 Suidas ἀφῖγμαι.
9 Suidas διαφέρεσθαι | 12 id. κυνηδόν.
16 Suidas ἐστρέβλου.
19 Suidas γένεσις.
22 Suidas ζωγρίη.

Digitized by Google

96.

ἐπεὶ τοίνυν ὑπ' ἀτολμίας οὗτος τῷ θεῷ ἠπείθησε, τῶν παρόντων παίδων οἵ φασι τὸν πρεσβύτην ἔργον τῆς παρούσης νόσου γενέσθαι.

97.

καὶ οἱ μὲν ἔδρασαν ταῦτα· εἶτα μέντοι ἐξάντεις γίνονται τοῦ κακοῦ.

98.

Gallus Tanagraeus ab Aesculapio sanatus.

ἀλεκτρυόνα ἀθλητὴν Ταναγραῖον. ᾄδονται δὲ εὐγενεῖς οὗτοι.

ὃ δὲ ἐμοὶ δοκεῖν ὁρμῇ τῇ παρὰ τοῦ Ἀσκληπιοῦ ἐς τὸν δεσπότην ἀσκωλιάζων θάτερον τῶν ποδῶν ἔρχεται, καὶ ὄρθριον ᾀδομένου τοῦ παιᾶνος τῷ Ἀσκληπιῷ ἑαυτὸν ἀποφαίνει τῶν χορευτῶν ἕνα, καὶ ἐν τάξει στὰς ὥσπερ οὖν παρά τινος λαβὼν χορολέκτου τὴν στάσιν, ὡς οἷός τε ἦν συνᾴδειν ἐπειρᾶτο τῷ ὀρνιθείῳ μέλει, συνῳδόν τε καὶ συμμελὲς ἀναμέλπων.

ὃ δὲ ἀλεκτρύων ἑστὼς ἐπὶ θατέρου ποδὸς προύτεινε τὸν λελωβημένον καὶ κυλλόν, ὥσπερ οὖν μαρτυρόμενος καὶ ἐμφαίνων οἷα ἐπεπόνθει.

ὃ δὲ ἀλέκτωρ ὕμνει τὸν σωτῆρα ᾗπερ οὖν ἔσθενε φωνῇ, καὶ ἐδεῖτο ἀρτίπουν θεῖναι αὐτόν.

καὶ ὃ μὲν ἔδρασε τὸ προσταχθέν, ὁ δὲ ὄρνις πρὸ βουλυτοῦ ἐπ' ἀμφοῖν βαδίζων καὶ τὼ πτέρυγε κρούων καὶ βαίνων μακρὰ καὶ αἴρων τὸν τράχηλον καὶ

---

2 Suidas ἄτολμοι.
6 Suidas ἐξάντεις.
10 Suidas ἀλεκτρυόνα ἀθλητὴν Ταναγραῖον | 12 id. ἀσκὸς Κτησιφῶντος | 15 id. χοροδέκτης | 18 id. συνῳδά | 20 id. κυλλοῦ πήραν | 22 id. ἔσθενε | 25 id. βουλυτός.

Digitized by Google

τὸν λόφον ἐπισείων, οἷον ὁπλίτης γαῦρος, τὴν ἐς τὰ ἄλογα προμήθειαν ἐπεδείκνυτο.

ἀφίησι τῷ Ἀσκληπιῷ ἀνάθημά τε καὶ ἄθυρμα εἶναι, οἱονεὶ θεράποντα καὶ οἰκέτην περιπολοῦντα τῷ νεῷ τὸν ὄρνιν, ὁ Ἀσπένδιος ἐκεῖνος.

99.

Aesculapius Theopompo comico medetur.

ὅτι Ἀσκληπιὸς καὶ τῶν ἐν παιδείᾳ ἦν προμηθής. φθόῃ γοῦν Θεόπομπον τὸν Ἀθηναῖον ῥινώμενόν τε καὶ λειβόμενον ἰάσατο, καὶ κωμῳδίας αὖθις διδάσκειν ἐπῆρεν, ὁλόκληρόν τε καὶ σῶν καὶ ἀρτεμῆ ἐργασάμενος. καὶ δείκνυται καὶ νῦν ὑπὸ λίθῳ Θεοπόμπου (πατρόθεν ὁμολογοῦντος αὐτὸν τοῦ ἐπιγράμματος, Τισαμενοῦ γὰρ ἦν υἱός) εἴδωλον Παρίας λίθου. καὶ ἔστι τὸ ἴνδαλμα τοῦ πάθους μάλα ἐναργές. κλίνη καὶ αὐτὴ λίθου. ἐπ' αὐτῆς κεῖται νοσοῦν τὸ ἐκείνου φάσμα χειρουργίᾳ φιλοτέχνῳ· παρέστηκε δὲ ὁ θεὸς καὶ ὀρέγει οἱ τὴν παιώνιον χεῖρα, καὶ παῖς νεαρὸς ὑπομειδιῶν καὶ οὗτος. τί δὲ ἄρα νοεῖ ὁ παῖς; ἐγὼ συνίημι τοῦ φιλοπαίστην ποιητὴν ὑποθηλοῦν· γελᾷ γὰρ καὶ τῆς κωμῳδίας τὸ ἴδιον διὰ συμβόλων αἰνίττεται. εἰ δὲ ἄλλος νοεῖ ἑτέρως, κρατείτω τῆς ἑαυτοῦ γνώμης, ἐμὲ δὲ μὴ ἐνοχλείτω.

100.

ὁ Ἀσκληπιὸς Παύσωνα καὶ Ἶρον κἂν ἄλλον τινὰ τῶν ἀπόρων ἰάσαιτο. ὀφθαλμῶ γάρ τις ἐνόσει. εἶτα ἐπιστὰς ὃ δὲ λέγει ὄξει λύσαντα κάκρου πιμελὴν

---

8 Suidas ἀλεκτρυόνα ἀθλητὴν Ταναγραῖον.
9 Suidas Θεόπομπος | 9 id. φθόη | 11 id. ἐπῆρεν | id. ib. σῶν | 14 id. Παρίας λίθου.
25 Suidas Παύσων et Ἀσκληπιάδης.

Digitized by Google

κἄτα ὑπαλείψασθαι. ὃ δὲ κοινοῦται τῷ συνήθει ἰατρῷ. ὃ δὲ ἐπειρᾶτο τὰς αἰτίας λέγειν· τὸ μὲν γὰρ συστέλλειν τὸ οἴδημα τῇ δριμύτητι, τὸ δὲ ἐπιλιπαίνειν καὶ ἡσυχῇ ὑποτρέφειν ὁ εἴρων ἔλεγε.

101.

Ἀρίσταρχος Τεγεάτης, ὁ τῶν τραγῳδιῶν ποιητής, νοσεῖ τινα νόσον· καὶ ἰᾶται αὐτὸν ὁ Ἀσκληπιός, καὶ προστάττει χαριστήρια τῆς ὑγιείας. ὃ δὲ ποιητὴς τὸ δρᾶμα τὸ ὁμώνυμόν οἱ νέμει. θεοὶ δὲ ὑγιείας μὲν οὐκ ἄν ποτε μισθὸν αἰτήσαιεν οὐδ' ἂν λάβοιεν. ἢ πῶς ἄν; εἶγε τὰ μέγιστα ὑμῖν φρενὶ φιλανθρώπῳ καὶ ἀγαθῇ παρέχουσι προῖκα, ἥλιόν τε ὁρᾶν καὶ τοῦ θεοῦ τοῦ τοσούτου τῆς παναρκοῦς ἀμισθὶ μεταλαμβάνειν ἀκτῖνος, καὶ χρῆσιν ὕδατος, καὶ πυρὸς συντέχνου μυρίας ἐπιγονὰς καὶ ποικίλας ἅμα καὶ συνεργοὺς ἐπικουρίας, καὶ ἀέρος σπᾶν, καὶ ἔχειν τροφὴν ζωῆς τὸ ἐξ αὐτοῦ πνεῦμα. ἐθέλουσι δὲ ἄρα ἐν τοιοῖσδε τοῖς μικροῖς μήτε ἀχαρίστους εἶναι μήτε ἀμνήμονας ἡμᾶς, καὶ ἐν τούτοις ἀμείνονας ἀποφαίνοντες.

102.

ἀνὴρ πρεσβύτης νοσῶν καὶ ἐπιθανὴς ὤν.

103.

Pythiae oraculum.

ὅτι Διογένης εἶχεν ἐρῶντα παῖδα καὶ πικρὸς ὢν πατὴρ οὐ συνεγίνωσκε νέου ῥᾳθυμίᾳ, ἀλλὰ ἀνείργων αὐτὸν καὶ ἀναστέλλων τοῦ πόθου μᾶλλόν οἱ τὸ πάθος παρώξυνε. καὶ ἦν τοῦ κακοῦ δεινὴ ἐπίτασις·

---

6 Suidas Ἀρίσταρχος.
21 Suidas ἐπιθανής.
24 Suidas Διογένης.

Digitized by Google

ἐξερριπίζετο γὰρ ὁ ἔρως, ἐμποδὼν ἱσταμένου τοῦ Διογένους, καὶ ἐς τὴν παροῦσαν νόσον μᾶλλον ἐξήπτετο ὁ νέος. ἦκεν οὖν ἐς Δελφούς, ὡς ἑώρα φιλόνεικον ὂν τὸ κακόν, καὶ δυσανασχετῶν τε ἅμα καὶ περιαλγῶν ἐρωτᾷ εἴ οἱ πεπαύσεται νοσῶν ποτε ὁ παῖς. ἡ δὲ ὡς εἶδεν οὐ πάνυ τι φρενήρη γέροντα οὐδὲ ἐρωτικαῖς συγγνώμονα ἀνάγκαις λέγει ταῦτα

λήξει παῖς σὸς ἔρωτος, ὅταν κούφῃ νεότητι
Κύπριδος ἱμερόεντι καταφλεχθῇ φρένας οἴστρῳ.
ὀργὴν οὖν πρήυνον ἀμειδέα, μηδ' ἐπιτείνειν
κωλύων· πράσσεις γὰρ ἐναντία σοῖσι λογισμοῖς.
ἢν δ' ἐφ' ἡσυχίην ἔλθῃς, λήθην τάχος ἕξει
φίλτρων καὶ νήψας αἰσχρᾶς κατακαύσεται ὁρμῆς.

ἀκούσας τοίνυν ὁ Διογένης ταῦτα τὸν μὲν θυμὸν κατεστόρεσεν, ἐλπίδος δὲ ὑπεπλήσθη χρηστῆς, ἔχων τῆς τοῦ παιδὸς σωφροσύνης ἐγγυητὰς ἀξιόχρεως· καὶ ἐν ταὐτῷ βελτίων ἐγένετο ὁ πατήρ, ἡμερωθείς τε καὶ πραϋνθεὶς τὸν τρόπον. τοῦτό τοι καὶ ὁ τραγικὸς Αἵμων ὁ τοῦ Σοφοκλέους ἀπεδείξατο τῆς Ἀντιγόνης ἐρῶν καὶ πικρῷ ζυγομαχῶν πατρὶ τῷ Κρέοντι· καὶ γάρ τοι καὶ ἐκεῖνος ὁμοίως ἐλαυνόμενος ξίφει πρὸς τὸν ἔρωτα καὶ τὸν πατέρα τὴν νόσον ἐλύσατο.

104.

Glaucus a Polyido in vitam revocatus.

ἀνὴρ ἦν ἐν τῇ Γαλεώτιδι, δεινὸς λύσεις τε νόσων εἰπεῖν καὶ ὥραν ἀκαιρίας ἀπέσασθαι ἀγονίαις καὶ ἀκαρπίαις διά τινων ἱερουργιῶν, ἐπινοῆσαί τε καὶ δοῦναι μεταβολὰς καί τινας ἐς εὐπορίαν ἀγαθὰς ὁδούς.

---

10 Suidas ἀμειδές.
26 Suidas ἀκέσματα.

Digitized by Google

τοῦτον ἐς Κρήτην ὁ Μίνως καλεῖ φασιν ἐπὶ θώρους, ἵνα τοῦ Γλαύκου τὴν ὑμνουμένην ἀπώλειαν ἀνιχνεύσῃ.

105.

De Iachime Aegyptio.

Σενύης Αἰγυπτίων βασιλεύς, δίκαιος πάνυ. ἔπεται δὲ τῷ τρόπῳ τοῦ ἀνδρὸς τοῦδε ἄλλα μὲν ἐκ θεοῦ ἀγαθά, καὶ μέντοι καὶ ἱερογραμματέα ἄδουσιν οἱ Αἰγύπτιοι λόγοι κατ' αὐτὸν γενέσθαι θεοφιλῆ τε καὶ ἐς πολλὰ λυσιτελῆ. ὄνομα αὐτῷ Ἰαχίμ. ὃν φασι περιάπτων καὶ ἐπαοιδῶν ἔμπειρον γενέσθαι.

οὗτος ἐγένετο Αἰγύπτιος, ἀνὴρ θεοφιλὴς καὶ ἐς πολλὰ λυσιτελής. ἦν δὲ ἐπὶ Σενύου βασιλέως Αἰγυπτίων, περιάπτων καὶ ἐπαοιδῶν ἀντίπαλος, καὶ ἐν ταῖς ὀδύναις καὶ νόσοις σοφιστὴς ἄκρος. ὃς λοιμῶν ἐπιθημίας ἔσβεσεν, καὶ τὴν ἀμφὶ τὸν κύνα τὸν Σείριον πρωτίστην ἐπιτολὴν καὶ τὴν ὁρμὴν τὴν ἔμπυρον ἡμέρωσε τοῦ ἀστέρος. διὸ καὶ πολυτελῶς ἐτάφη. καὶ εἴ ποτε θημοσία νόσος ἐπεπόλασεν, ἐπὶ τὸν σηκὸν τοῦδε φοιτῶντες οἱ ἱερογραμματεῖς εἶτα μέντοι τὰς δεούσας ἱερουργίας ἐπιτελοῦντες ἐκ τοῦ βωμοῦ πῦρ ἐναύονται καὶ ἐξάπτοντες πυρὰς κατὰ πόλεις καὶ τοῦ δυσώδους ἀέρος τὴν φθοροποιὸν ἐκείνην νόσον μαραίνοντες καὶ κρατύνοντες, τοῦτο δὴ τὸ καινότατον, τὴν νόσον ἔσβεσαν πυρί.

106.

Homo libidinosus a Serapide sanatus.

ἀνδρὶ ἐπιόρκῳ καὶ τὰ θεῖα ἐν μηδεμιᾷ ὥρᾳ τιθεμένῳ, ἀπάταις δὲ καὶ ψευδολογίαις συμβιοῦντι καὶ

6 Suidas ἱερογραμματεῖς et Σενύου | 12 id. Ἰαχήν | 15 id. σοφιστής | 16 id. Σείριος | 22 id. ἐναύειν.
28 Suidas ὥρα.

Digitized by Google

οὐδὲν οὐδέποτε λέγοντι ὑγιές, καὶ ἐντεῦθεν πλουτοῦντι πλοῦτον ἐπίρρητον.

καὶ αὐτῷ τῶν συγγενῶν τινες ἐφήδοντο, ὡς τὰ αὐτοῦ διαδεξόμενοι· ἐκείνῳ γὰρ μὴ εἶναι παῖδας, ἅτε ῥᾴθυμον βίον καὶ λάγνον τὸν ἐς ἑταίρας καὶ πότους προηρημένῳ.

καὶ ἄλλος αὐτοῦ παλλακίδι ἐπιμανεὶς ὡς ἤδη θεραπαίνῃ τὸν ἄθλιον ἐν νεκροῖς ἠρίθμουν. καὶ οἵ γε κηδόμενοι τοῦ ἀνδρὸς ὠδύροντό τε αὐτὸν καὶ θεοὺς ἐπάλουν συμμάχους, καὶ πρὸ πάντων Σάραπιν.

ὃ δὲ ἐδεῖτο τοῦ θεοῦ ἐπικουρῆσαί τε αὐτῷ καὶ λύκους κεχηνότας ἀποφῆναι τοὺς τὰ ἐκείνου ἑαυτοῖς καταγράφοντας, ἵνα μὴ αὐτὸς ὄφλῃ γέλωτα ἄλλοις, ἀλλ' ἐκεῖνοι αὐτῷ.

καὶ οὐκ ἐξήμβλωτό οἱ ἡ ἐλπίς.

ὄψις οὖν ἐνδάλματος ἱεροῦ ὄναρ ἐπιστᾶσα λέγει ποιήσασθαι μεταβολὴν βίου.

ὃ δὲ τἆλλα ὢν ἀνόσιος τοῦτο γοῦν πείθεται τῷ θεῷ.

107.

De Albio Antonii parasito.

διώνυμοι κόλακες καὶ κεκηρυγμένοι περιηχοῦσιν ἡμᾶς, Κλείσοφοί τε καὶ Στρουθίαι καὶ Θήρωνες, καὶ οἱ περὶ τὴν Διονυσίου βομβοῦντες τράπεζαν, καὶ οἱ περὶ τὴν Ἀλεξάνδρου μεμηνότες δαῖτα καὶ χεῖρα, καὶ ἄλλοι δὲ καὶ ἄλλοι ὧν εἶπον, Ὀρέστης, Μαρφίας, Καλλίου τοῦ Ἀθηναίου κόλακες σὺν ἑτέροις, καὶ ὅδε παρὰ Ῥωμαίοις Ἄλβιος ὄνομα.

---

8 Suidas ἐφήδοιτο | 7 id. κηδεύειν | 11 id. λύκος χανών | 15 id. ἐξήμβλωκας | 16 id. ἐνδάλματα | 18 id. ἀνόσιον.

22 Suidas διώνυμον | 24 id. βομβοῦσι.

Digitized by Google

Ἄλβιος ἐς τὴν ἱππάδα τελῶν, τὴν Ἀντωνίου θεραπεύων καὶ ὑπαικάλλων ἅμα φάτνην.

108.

De Iortio Maecenatis parasito.

ἐπεὶ οἱ Ἕλληνες Κλεισόφους τε ᾄδουσι καὶ Θήρωνας καὶ Στρουθίας καὶ Χαιρεφῶντας, ἀνθρώπους ἐσθίειν εἰδότας ἐς κόρον καὶ δεινοὺς γαστέρα δέ, φέρε καὶ ἡμεῖς καί τι παίσωμεν, παρασίτου μνημονεύσαντες ἡμεδαποῦ.

Ἰόρτιόν τε καὶ τοῦτον θῶπα ἰσχυρὸν ὑμνοῦσι. πολλὰ μὲν οὖν καὶ ἄλλα τῆς τούτου βωμολοχίας τε καὶ αἰμυλίας μαρτύρια διαρρεῖ, ἐν δὲ τοῖς ἄρα καὶ ἐκεῖνο. ἐν τῷ συνδείπνῳ τῷ τοῦ Μαικήνα τράπεζα ἐγγώνιος ἦν ὑπὸ τῇ κλισίᾳ, τὸ μέγεθος μεγίστη καὶ κάλλος ἄμαχος. καὶ οἷα εἰκὸς ἐπῄνουν ἄλλοι ἄλλως αὐτήν. ὁ δὲ Ἰόρτιος οὐκ ἔχων ὅ τι παρ' ἑαυτοῦ τερατεύσασθαι, σιγῆς γενομένης 'ἐκεῖνο δὲ οὐκ ἐννοεῖτε, ὦ φίλοι συμπόται, ὡς στρογγύλη ἐστὶ καὶ ἄγαν περιφερής.' ἐπὶ τοίνυν τῇ ἀκράτῳ κολακείᾳ, ὡς τὸ εἰκός, γέλως κατερράγη. Πλούταρχος.

109.

De Iunio parasito.

Ἰούνιος ὄνομα, ἐς τὴν ἱππάδα τελῶν, διὰ τὸ καὶ φαγεῖν ζῶν, συνήθης ἦν τρισὶ πλουσίοις, κοιλιοδαίμων τε καὶ ταγηνοκνισοθήρας· βούλομαι γὰρ τὰ τῆς κωμῳδίας ἐς τοὺς τοιούτους εἰπεῖν, οὐδεμιᾷ μὰ τὸν

---

1 Suidas *Ἄλβιος* et *ὑπαικάλλων* | 2 id. *φάτνη*.
5 Suidas *Κλεισόφος* | 7 id. *δεινός* | 9 id. *ἡμεδαπός* | 10 id. *θῶπα* | 11 id. *βωμολοχεύσαιτο* | 13 id. *ἐγγώνιος τράπεζα* | ib. id. *Μαικήνας* | 16 id. *Ἰόρτιος*.
23 Suidas *Ἰούνιος* et *φαγεῖν ζῶν* | 25 id. *ταγηνοκνισοθήρας*.

Digitized by Google

ἀπειροκαλία. ὃς ἔνειμε τὴν γαστέρα ταῖς τρισὶ τραπέζαις, καὶ τοσαύταις ἐπιπηδῶν τραπέζαις λύκου τινὸς δίκην ἢ ἰκτίνου ἢ ἁρπυίας, ἵνα τι καὶ παίσω.

110.

De M. Apicio et amicis.

Ἀπίκιος Μάρκος, οὗ διαρρεῖ μυρίον ὄνομα ἐπί τε ἀσωτίᾳ καὶ πολυτελείᾳ καὶ ῥᾳστωνεύσει βίου καὶ κακοδαιμοσύνῃ λοιπῇ. ὑπάτῳ δὲ ἦστην Ἰούνιος Βλαῖσος καὶ Λεύκιος. ὁ τοίνυν Βλαῖσος, ἐπὶ τὴν θοίνην κληθείς, οἷον ἐφολκίδα ἄκλητον ἐπάγεται Ἀσκάνιον Πεδιανόν. ἐξῆν γὰρ καὶ ἐπικλήτους οἱονεὶ σκιὰς ἑαυτοῖς παρακαλεῖν τινας, καὶ ἔδει τὸν Ἀπίκιον καὶ φίλοις καὶ ἀγνῶσι τὴν οὐσίαν ῥίπτειν τὴν ἑαυτοῦ. πέπυσμαι δὴ ἐν τῷδε τῷ συνδείπνῳ γενέσθαι καὶ Ἰσίδωρον ὄνομα, τῶν ἐκ παλαίστρας κατατριβέντων, ἄνδρα παλαιὸν μὲν ἤδη καὶ πολὺν τῷ χρόνῳ, ἓν δὲ καὶ ἐνενήκοντα ἔτη γεγονότα, εὐπαγῆ τε καὶ εὐμελῆ, καὶ βαθὺν μὲν τὰς πλευράς, γενναῖον δὲ τὼ βραχίονε καὶ τὼ χεῖρε ἄκρω, βλέπειν τε ὀξὺν καὶ ἀκούειν ῥᾷστα, ὡς μὴ ἂν πιστεύειν πέρα ἑξήκοντα ἐτῶν εἶναι αὐτόν· σκύφων δὲ πιτύλοις ἁμιλλᾶσθαι διαπίνοντα πρὸς τοὺς νέους, καὶ μέντοι καὶ ὑπὲρ πολυδαισίας καὶ πολυποσίας ἐρίσαι καὶ νεάξειν ταῦτα. ἑνὶ δὲ ἡττηθῆναί φασιν αὐτόν· ἀπελθεῖν γὰρ τοῦ συνδείπνου θᾶττον. γέροντες δὲ ἄλλοι τε ἔλεγον ἐπὶ τέχνῃ παλαιστρικῇ καὶ μέντοι καὶ Ἰούνιος Βλαῖσος. καὶ ὅτε ταῦτα ἔλεγεν, ἔτη γεγόνει ἑξήκοντα, φασί. μακρὸν δὲ τὴν ζωὴν γενέσθαι πέπυσμαι Σερουίλιον ὕπατον· ἔτεσι γὰρ τοῖς ἐνενήκοντα ὁμοῦ τε ἐβίωσε

---

6 Suidas Ἀπίκιος.

Digitized by Google

καὶ πάντα, ὡς λόγος, τὰ τοῦ σώματος ἀπαθὴς ἦν, καὶ μέντοι καὶ διεσώσατο τὰς αἰσθήσεις ἁπάσας εὐμοιρίᾳ ἀξιοζήλῳ τε καὶ σοβαρᾷ.

111.

De M. Apicii liberalitate.

Μάρκος Ἀπίκιος Ῥωμαῖος ὡς ἦν ἀσωτίας πέρας οὐδεὶς ἀντιφήσει· δοκεῖ δέ πως μεγαλονοίας ἔργον ἐκεῖνο ἀποδείξασθαι. ἐν αὐτῷ ἐστιῶν ὁσημέραι (καὶ γὰρ ἔζη φασὶ τῇ γαστρὶ καὶ τοῖς ἐκείνης ἀκρατεστέροις) καί ποτε μεταξὺ θοιναζόντων, Φάβιος, τῶν ὑπατευκότων εἷς, λαβὼν ἔκπωμα κρυστάλλου μέγα τίμιον, εἶτα ἄκων κατέαξεν αὐτό· καὶ ἐπὶ τούτῳ συννεφὴς ἦν, ἄχει πληγεὶς τὴν ψυχήν. ὁ τοίνυν Ἀπίκιος πειρώμενος αὐτὸν τῆς λύπης ἀπάγειν 'οὐ καταβαλεῖς' φησι 'τὸ πραχθὲν καὶ σεαυτὸν ἡμῖν παρέξεις φαιδρότερον συμπότην; ἢ σοὶ φίλῳ ὄντι τοῦτο δρᾶσαι οὐκ ἐξέσται, ὅπερ οὖν δρῶσι καὶ τῶν οἰνοχόων καὶ τῶν ἀργυρωνήτων πολλοὶ πολλάκις;'

112.

De Antonio Saturnino.

Ὅτι Ἀντώνιος Σατορνῖνος, ἐπίρρητος καὶ βδελυρός, παρὰ Οὐεσπασιανοῦ ἐς τὴν βουλὴν ἐνεγράφη, Οὐεσπασιανοῦ σοφισαμένου γελοιότατα τοῦτο· ἀξιώσει γὰρ αὐτὸν περιέβαλε, κακίᾳ δούς, ἀκερδὲς μὲν σεμνὸν δ' ὅμως τόδε τὸ ἄθλον.

βιώσας βίον ἐπίρρητον καὶ βδελυρὸν οὐδεμίαν ἐπιστεύθη βασιλικῶν χρημάτων ἐξουσίαν.

---

6 Suidas Μάρκος Ἀπίκιος.

21 Suidas Ἀντώνιος Σατορνῖνος et βουλή | 23 id. ἀξιώσειν | 26 id. ἐπίρρητον.

Digitized by Google

113.

De clade Cannensi.

ὁ δὲ Σερουίλιος πολλὰ καὶ ἀτάσθαλα ἐθρασύνετο κατὰ τοῦ Παύλου.

τοσοῦτον ἄρα αὐτοῖς ἀπήντησε τὸ πταῖσμα.

114.

Capitolium ab anseribus servatum.

καὶ ἀναβλέποντες ὁρῶσι τριμμοὺς τῆς ἀνόδου καὶ προσβάσεις, δι' ὧν ἀνῆλθεν ὁ Ῥωμαῖος· καὶ συνέβαλον μὴ ἄπορον εἶναι ἀλλ' ἐπιβατόν.

115.

De Cleandro Commodi liberto.

ὁ δὲ Κλέανδρος ἐλοιδόρησε τὸν ὕπατον τῆς ἐν Αἰγύπτῳ ἀρχῆς Κομόδῳ, καὶ παραλύει αὐτὸν τῆς ἀρχῆς οὐδὲν ἀδικοῦντα.

ἵνα τὸν τῶν κακῶν αἴτιον καὶ λευστῆρα ἀφανίσωσι.

116.

De Ennio poeta.

Ἔννιος, Ῥωμαῖος ποιητής. ὃν Αἰλιανὸς ἐπαινεῖν ἄξιόν φησι. Σκιπίωνα γὰρ ἄδων καὶ ἐπὶ μέγα τὸν ἄνδρα ἐξᾶραι βουλόμενός φησι μόνον ἂν Ὅμηρον ἐπαξίους ἐπαίνους εἰπεῖν Σκιπίωνος. δῆλον δὲ ὡς ἐτεθήπει τοῦ ποιητοῦ τὴν μεγαλόνοιαν καὶ τῶν μέτρων τὸ μεγαλεῖον καὶ ἀξιάγαστον· καὶ ὡς ἐπαινέσαι δεινὸς Ὅμηρός ἐστι καὶ κλέος ἀνδρὸς πυργῶσαί τε καὶ ἄραι, ἐξ ὧν ἐπῆνεσε τὸν Ἀχιλλέα καλῶς ἠπίστατο ὁ ποιητὴς ὁ Μεσσάπιος.

---

3 Suidas ἀτασθαλία | 5 id. ἀπήντα.
8 Suidas τριμμούς.
13 Suidas ἐλοιδόρησε | 16 id. λευστήρ.
20 Suidas Ἔννιος | 23 id. μεγαλόνοια.

Digitized by Google

117.

De Fabio Maximo duce Romano Hannibalis diadema arripiente.

ὃ δὲ ἐκρυέντος τοῦ αἵματος περιτραπεὶς ἐντάφιον ἑαυτῷ τρόπον τινὰ τὸ δυστυχὲς ταινίδιον ἐπήγετο.

118.

De Hasdrubale et Clatio.

αὐτόχρημα πηδῶν ὑπὲρ τὰ ἐσκαμμένα, τὴν ναῦν Ἀσδρούβα φεύγειν ἐπειγομένην, τὰς χεῖρας ἐπιβαλὼν εἶχετο ἐρρωμένως τῆς πρύμνης ὁ Κλάτιος ὄνομα.

119.

De Helio Neronis liberto.

ὃς ἦν Νέρωνος ἀπελεύθερος, ἀπολειφθεὶς μελεδωνὸς τῶν ἐν Ῥώμῃ καὶ ἔφορος, ὅτε Νέρων ἐς Ἀχαΐαν ἐξωρμήθη.

120.

T. Manlius a T. Manlio Torquato patre securi percutitur.

Ῥωμαῖοι πολεμοῦντες οὐδένα τόπον οὔτε ἐνέκριτον οὔτε ἀπέκριτον, ἀλλ' ἔνθα ἔτυχον ἠγωνίζοντο.

οἱ γὰρ Ῥωμαῖοι ἔνθα τοῖς ἐχθροῖς ἐνέτυχον, ἐντεῦθα θήκου καὶ ἠγωνίζοντο, εἴτε εἶεν ἀπειθεῖς οἱ τόποι καὶ τραχεῖς, εἴτε καὶ εὔφυεῖς δέξασθαι ὁπλίτας καὶ εὐήλατοι.

Ῥωμαῖοι δὲ εὐπραγίαν παράνομον οὔτε νίκην τελεσθεῖσαν, ἧς ὁ ἄρχων μὴ ἐκοινώνησεν, ἠσπάζοντο, ἵνα μὴ αὐτοσχεδιάζωσιν ἐν ταῖς πράξεσιν οἱ ὑπήκοοι.

---

4 Suidas ταινίαι.
8 Suidas αὐτόχρημα.
13 Suidas μελεδωνός.
19 Suidas ἐνέκριτον | 21 id. ἀπειθεῖν | 25 id. αὐτοσχέδιον.

Digitized by Google

τὸν λόφον ἐπισείων, οἷον ὁπλίτης γαῦρος, τὴν ἐς τὰ ἄλογα προμήθειαν ἐπεδείκνυτο.

ἀφίησι τῷ Ἀσκληπιῷ ἀνάθημά τε καὶ ἄθυρμα εἶναι, οἱονεὶ θεράποντα καὶ οἰκέτην περιπολοῦντα τῷ νεῷ τὸν ὄρνιν, ὁ Ἀσπένδιος ἐκεῖνος.

99.

Aesculapius Theopompo comico medetur.

ὅτι Ἀσκληπιὸς καὶ τῶν ἐν παιδείᾳ ἦν προμηθής. φθόῃ γοῦν Θεόπομπον τὸν Ἀθηναῖον ῥινώμενόν τε καὶ λειβόμενον ἰάσατο, καὶ κωμῳδίας αὖθις διδάσκειν ἐπῆρεν, ὁλόκληρόν τε καὶ σῶν καὶ ἀρτεμῆ ἐργασάμενος. καὶ δείκνυται καὶ νῦν ὑπὸ λίθῳ Θεοπόμπου (πατρόθεν ὁμολογοῦντος αὐτὸν τοῦ ἐπιγράμματος, Τισαμενοῦ γὰρ ἦν υἱός) εἴδωλον Παρίας λίθου. καὶ ἔστι τὸ ἴνδαλμα τοῦ πάθους μάλα ἐναργές. κλίνη καὶ αὐτὴ λίθου. ἐπ' αὐτῆς κεῖται νοσοῦν τὸ ἐκείνου φάσμα χειρουργίᾳ φιλοτέχνῳ· παρέστηκε δὲ ὁ θεὸς καὶ ὀρέγει οἱ τὴν παιώνιον χεῖρα, καὶ παῖς νεαρὸς ὑπομειδιῶν καὶ οὗτος. τί δὲ ἄρα νοεῖ ὁ παῖς; ἐγὼ συνίημι τοῦ φιλοπαίστην ποιητὴν ὑποθηλοῦν· γελᾷ γὰρ καὶ τῆς κωμῳδίας τὸ ἴδιον διὰ συμβόλων αἰνίττεται. εἰ δὲ ἄλλος νοεῖ ἑτέρως, κρατείτω τῆς ἑαυτοῦ γνώμης, ἐμὲ δὲ μὴ ἐνοχλείτω.

100.

ὁ Ἀσκληπιὸς Παύσωνα καὶ Ἶρον κἂν ἄλλον τινὰ τῶν ἀπόρων ἰάσαιτο. ὀφθαλμῷ γάρ τις ἐνόσει. εἶτα ἐπιστὰς ᾧ δὲ λέγει ὄξει λύσαντα κάπρου πιμελὴν

---

3 Suidas ἀλεκτρυόνα ἀθλητὴν Ταναγραῖον.

9 Suidas Θεόπομπος | 9 id. φθόη | 11 id. ἐπῆρεν | id. ib. σῶν | 14 id. Παρίας λίθου.

25 Suidas Παύσων et Ἀσκληπιάδης.

Digitized by Google

κἄτα ὑπαλείψασθαι. ὃ δὲ κοινοῦται τῷ συνήθει ἰατρῷ. ὃ δὲ ἐπειρᾶτο τὰς αἰτίας λέγειν· τὸ μὲν γὰρ συστέλλειν τὸ οἴδημα τῇ δριμύτητι, τὸ δὲ ἐπιλιπαίνειν καὶ ἡσυχῇ ὑποτρέφειν ὁ εἴρων ἔλεγε.

101.

Ἀρίσταρχος Τεγεάτης, ὁ τῶν τραγῳδιῶν ποιητής, νοσεῖ τινα νόσον· καὶ ἰᾶται αὐτὸν ὁ Ἀσκληπιός, καὶ προστάττει χαριστήρια τῆς ὑγιείας. ὃ δὲ ποιητὴς τὸ δρᾶμα τὸ ὁμώνυμόν οἱ νέμει. θεοὶ δὲ ὑγιείας μὲν οὐκ ἄν ποτε μισθὸν αἰτήσαιεν οὐδ' ἂν λάβοιεν. ἢ πῶς ἄν; εἶγε τὰ μέγιστα ὑμῖν φρενὶ φιλανθρώπῳ καὶ ἀγαθῇ παρέχουσι προῖκα, ἥλιόν τε ὁρᾶν καὶ τοῦ θεοῦ τοῦ τοσούτου τῆς παναρκοῦς ἀμισθὶ μεταλαμβάνειν ἀκτῖνος, καὶ χρῆσιν ὕδατος, καὶ πυρὸς συντέχνου μυρίας ἐπιγονὰς καὶ ποικίλας ἅμα καὶ συνεργοὺς ἐπικουρίας, καὶ ἀέρος σπᾶν, καὶ ἔχειν τροφὴν ζωῆς τὸ ἐξ αὐτοῦ πνεῦμα. ἐθέλουσι δὲ ἄρα ἐν τοῖσδε τοῖς μικροῖς μήτε ἀχαρίστους εἶναι μήτε ἀμνήμονας ἡμᾶς, καὶ ἐν τούτοις ἀμείνονας ἀποφαίνοντες.

102.

ἀνὴρ πρεσβύτης νοσῶν καὶ ἐπιθανὴς ὤν.

103.

Pythiae oraculum.

ὅτι Διογένης εἶχεν ἐρῶντα παῖδα καὶ πικρὸς ὢν πατὴρ οὐ συνεγίνωσκε νέου ῥᾳθυμίᾳ, ἀλλὰ ἀνείργων αὐτὸν καὶ ἀναστέλλων τοῦ πόθου μᾶλλόν οἱ τὸ πάθος παρώξυνε. καὶ ἦν τοῦ κακοῦ δεινὴ ἐπίτασις·

---

6 Suidas Ἀρίσταρχος.
21 Suidas ἐπιθανής.
24 Suidas Διογένης.

Digitized by Google

ἐξερριπίζετο γὰρ ὁ ἔρως, ἐμποδὼν ἱσταμένου τοῦ Διογένους, καὶ ἐς τὴν παροῦσαν νόσον μᾶλλον ἐξήπτετο ὁ νέος. ἦκεν οὖν ἐς Δελφούς, ὡς ἑώρα φιλόνεικον ὂν τὸ κακόν, καὶ δυσανασχετῶν τε ἅμα καὶ περιαλγῶν ἐρωτᾷ εἴ οἱ πεπαύσεται νοσῶν ποτε ὁ παῖς. ἡ δὲ ὡς εἶδεν οὐ πάνυ τι φρενήρη γέροντα οὐδὲ ἐρωτικαῖς συγγνώμονα ἀνάγκαις λέγει ταῦτα

λήξει παῖς σὸς ἔρωτος, ὅταν κούφῃ νεότητι
Κύπριδος ἱμερόεντι καταφλεχθῇ φρένας οἴστρῳ.
ὀργὴν οὖν πρήυνον ἀμειδέα, μηδ' ἐπιτείνειν
κωλύων· πράσσεις γὰρ ἐναντία σοῖσι λογισμοῖς.
ἢν δ' ἐφ' ἡσυχίην ἔλθῃς, λήθην τάχος ἕξει
φίλτρων καὶ νήψας αἰσχρᾶς καταπαύσεται ὁρμῆς.

ἀκούσας τοίνυν ὁ Διογένης ταῦτα τὸν μὲν θυμὸν κατεστόρεσεν, ἐλπίδος δὲ ὑπεπλήσθη χρηστῆς, ἔχων τῆς τοῦ παιδὸς σωφροσύνης ἐγγυητὰς ἀξιόχρεως· καὶ ἐν ταὐτῷ βελτίων ἐγένετο ὁ πατήρ, ἡμερωθείς τε καὶ πραϋνθεὶς τὸν τρόπον. τοῦτό τοι καὶ ὁ τραγικὸς Αἵμων ὁ τοῦ Σοφοκλέους ἀπεδείξατο τῆς Ἀντιγόνης ἐρῶν καὶ πικρῷ ζυγομαχῶν πατρὶ τῷ Κρέοντι· καὶ γάρ τοι καὶ ἐκεῖνος ὁμοίως ἐλαυνόμενος ξίφει πρὸς τὸν ἔρωτα καὶ τὸν πατέρα τὴν νόσον ἐλύσατο.

104.

Glaucus a Polyido in vitam revocatus.

ἀνὴρ ἦν ἐν τῇ Γαλεώτιδι, δεινὸς λύσεις τε νόσων εἰπεῖν καὶ ὥραν ἀκαιρίας ἀπέσασθαι ἀγονίαις καὶ ἀκαρπίαις διά τινων ἱερουργιῶν, ἐπινοῆσαί τε καὶ δοῦναι μεταβολὰς καί τινας ἐς εὐπορίαν ἀγαθὰς ὁδούς.

---

10 Suidas ἀμειδές.
26 Suidas ἀπέσματα.

Digitized by Google

τοῦτον ἐς Κρήτην ὁ Μίνως καλεῖ φασιν ἐπὶ θώρους, ἵνα τοῦ Γλαύκου τὴν ὑμνουμένην ἀπώλειαν ἀνιχνεύσῃ.

105.

De Iachime Aegyptio.

Σενύης Αἰγυπτίων βασιλεύς, δίκαιος πάνυ. ἔπεται δὲ τῷ τρόπῳ τοῦ ἀνδρὸς τοῦδε ἄλλα μὲν ἐκ θεοῦ ἀγαθά, καὶ μέντοι καὶ ἱερογραμματέα ἄδουσιν οἱ Αἰγύπτιοι λόγοι κατ' αὐτὸν γενέσθαι θεοφιλῆ τε καὶ ἐς πολλὰ λυσιτελῆ. ὄνομα αὐτῷ Ἰαχίμ. ὃν φασι περιάπτων καὶ ἐπαοιδῶν ἔμπειρον γενέσθαι.

οὗτος ἐγένετο Αἰγύπτιος, ἀνὴρ θεοφιλὴς καὶ ἐς πολλὰ λυσιτελής. ἦν δὲ ἐπὶ Σενύου βασιλέως Αἰγυπτίων, περιάπτων καὶ ἐπαοιδῶν ἀντίπαλος, καὶ ἐν ταῖς ὀδύναις καὶ νόσοις σοφιστὴς ἄκρος. ὃς λοιμῶν ἐπιδημίας ἔσβεσεν, καὶ τὴν ἀμφὶ τὸν κύνα τὸν Σείριον πρωτίστην ἐπιτολὴν καὶ τὴν ὁρμὴν τὴν ἔμπυρον ἠμέρωσε τοῦ ἀστέρος. διὸ καὶ πολυτελῶς ἐτάφη. καὶ εἴ ποτε δημοσία νόσος ἐπεπόλασεν, ἐπὶ τὸν σηκὸν τοῦδε φοιτῶντες οἱ ἱερογραμματεῖς εἶτα μέντοι τὰς θεούσας ἱερουργίας ἐπιτελοῦντες ἐκ τοῦ βωμοῦ πῦρ ἐναύονται καὶ ἐξάπτοντες πυρὰς κατὰ πόλεις καὶ τοῦ δυσώδους ἀέρος τὴν φθοροποιὸν ἐκείνην νόσον μαραίνοντες καὶ κρατύνοντες, τοῦτο δὴ τὸ καινότατον, τὴν νόσον ἔσβεσαν πυρί.

106.

Homo libidinosus a Serapide sanatus.

ἀνδρὶ ἐπιόρκῳ καὶ τὰ θεῖα ἐν μηδεμιᾷ ὥρᾳ τιθεμένῳ, ἀπάταις δὲ καὶ ψευδολογίαις συμβιοῦντι καὶ

---

6 Suidas Ἱερογραμματεῖς et Σενύου | 12 id. Ἰαχήν | 15 id. σοφιστής | 16 id. Σείριος | 22 id. ἐναύειν.
28 Suidas ὥρα.

Digitized by Google

οὐδὲν οὐδέποτε λέγοντι ὑγιές, καὶ ἐντεῦθεν πλουτοῦντι πλοῦτον ἐπίρρητον.

καὶ αὐτῷ τῶν συγγενῶν τινες ἐφήδοντο, ὡς τὰ αὐτοῦ διαδεξόμενοι· ἐκείνῳ γὰρ μὴ εἶναι παῖδας, ἅτε ῥᾴθυμον βίον καὶ λάγνον τὸν ἐς ἑταίρας καὶ πότους προηρημένῳ.

καὶ ἄλλος αὐτοῦ παλλακίδι ἐπιμανεὶς ὡς ἤδη θεραπαίνῃ τὸν ἄθλιον ἐν νεκροῖς ἠρίθμουν. καὶ οἵ γε κηδόμενοι τοῦ ἀνδρὸς ὠδύροντό τε αὐτὸν καὶ θεοὺς ἐκάλουν συμμάχους, καὶ πρὸ πάντων Σάραπιν.

ὃ δὲ ἐδεῖτο τοῦ θεοῦ ἐπικουρῆσαί τε αὐτῷ καὶ λύκους κεχηνότας ἀποφῆναι τοὺς τὰ ἐκείνου ἑαυτοῖς καταγράφοντας, ἵνα μὴ αὐτὸς ὄφλῃ γέλωτα ἄλλοις, ἀλλ' ἐκεῖνοι αὐτῷ.

καὶ οὐκ ἐξήμβλωτό οἱ ἡ ἐλπίς.

ὄψις οὖν ἰνδάλματος ἱεροῦ ὄναρ ἐπιστᾶσα λέγει ποιήσασθαι μεταβολὴν βίου.

ὃ δὲ τἆλλα ὢν ἀνόσιος τοῦτο γοῦν πείθεται τῷ θεῷ.

107.

De Albio Antonii parasito.

διώνυμοι κόλακες καὶ κεκηρυγμένοι περιηχοῦσιν ἡμᾶς, Κλεισοφοί τε καὶ Στρουθίαι καὶ Θήρωνες, καὶ οἱ περὶ τὴν Διονυσίου βομβοῦντες τράπεζαν, καὶ οἱ περὶ τὴν Ἀλεξάνδρου μεμηνότες δαῖτα καὶ χεῖρα, καὶ ἄλλοι δὲ καὶ ἄλλοι ὧν εἶπον, Ὀρέστης, Μαρψίας, Καλλίου τοῦ Ἀθηναίου κόλακες σὺν ἑτέροις, καὶ ὅδε παρὰ Ῥωμαίοις Ἄλβιος ὄνομα.

---

3 Suidas ἐφήδοιτο | 7 id. κηδεύειν | 11 id. λύκος χανών | 15 id. ἐξήμβλωκας | 16 id. ἰνδάλματα | 18 id. ἀνόσιον.

22 Suidas διώνυμον | 24 id. βομβοῦσι.

Digitized by Google

Ἄλβιος ἐς τὴν ἱππάδα τελῶν, τὴν Ἀντωνίου θεραπεύων καὶ ὑπαικάλλων ἅμα φάτνην.

108.

De Iortio Maecenatis parasito.

ἐπεὶ οἱ Ἕλληνες Κλεισόφους τε ᾄδουσι καὶ Θήρωνας καὶ Στρουθίας καὶ Χαιρεφῶντας, ἀνθρώπους ἐσθίειν εἰδότας ἐς κόρον καὶ δεινοὺς γαστέρα δέ, φέρε καὶ ἡμεῖς καί τι παίσωμεν, παρασίτου μνημονεύσαντες ἠμεδαποῦ.

Ἰόρτιόν τε καὶ τοῦτον θῶπα ἰσχυρὸν ὑμνοῦσι. πολλὰ μὲν οὖν καὶ ἄλλα τῆς τούτου βωμολοχίας τε καὶ αἰμυλίας μαρτύρια διαρρεῖ, ἐν δὲ τοῖς ἄρα καὶ ἐκεῖνο. ἐν τῷ συνδείπνῳ τῷ τοῦ Μαικήνα τράπεζα ἐγγώνιος ἦν ὑπὸ τῇ κλισίᾳ, τὸ μέγεθος μεγίστη καὶ κάλλος ἄμαχος. καὶ οἷα εἰκὸς ἐπῄνουν ἄλλοι ἄλλως αὐτήν. ὁ δὲ Ἰόρτιος οὐκ ἔχων ὅ τι παρ' ἑαυτοῦ τερατεύσασθαι, σιγῆς γενομένης 'ἐκεῖνο δὲ οὐκ ἐννοεῖτε, ὦ φίλοι συμπόται, ὡς στρογγύλη ἐστὶ καὶ ἄγαν περιφερής.' ἐπὶ τοίνυν τῇ ἀκράτῳ κολακείᾳ, ὡς τὸ εἰκός, γέλως κατερράγη. Πλούταρχος.

109.

De Iunio parasito.

Ἰούνιος ὄνομα, ἐς τὴν ἱππάδα τελῶν, διὰ τὸ καὶ φαγεῖν ζῶν, συνήθης ἦν τρισὶ πλουσίοις, κοιλιοδαίμων τε καὶ ταγηνοκνισοθήρας· βούλομαι γὰρ τὰ τῆς κωμῳδίας ἐς τοὺς τοιούτους εἰπεῖν, οὐδεμιᾷ μὰ τὸν

---

1 Suidas *Ἄλβιος* et *ὑπαικάλλων* | 2 id. *φάτνη*.
5 Suidas *Κλείσοφος* | 7 id. *δεινός* | 9 id. *ἡμεδαπός* | 10 id. *θῶπα* | 11 id. *βωμολοχευσαιτο* | 13 id. *ἐγγώνιος τράπεζα* | ib. id. *Μαικήνας* | 16 id. *Ἰόρτιος*.
23 Suidas *Ἰούνιος* et *φαγεῖν ζῶν* | 25 id. *ταγηνοκνισοθήρας*.

Digitized by Google

ἀπειροκαλίᾳ. ὃς ἔνειμε τὴν γαστέρα ταῖς τρισὶ τραπέξαις, καὶ τοσαύταις ἐπικηδῶν τραπέξαις λύκου τινὸς δίκην ἢ ἰκτίνου ἢ ἀρκυίας, ἵνα τι καὶ παίσω.

110.

De M. Apicio et amicis.

Ἀπίκιος Μάρκος, οὗ διαρρεῖ μυρίον ὄνομα ἐπί τε ἀσωτίᾳ καὶ πολυτελείᾳ καὶ ῥᾳστωνεύσει βίου καὶ κακοδαιμοσύνῃ λοιπῇ. ὑπάτῳ δὲ ἦστην Ἰούνιος Βλαῖσος καὶ Λεύκιος. ὁ τοίνυν Βλαῖσος, ἐπὶ τὴν θοίνην κληθείς, οἷον ἐφολκίδα ἄκλητον ἐπάγεται Ἀσκώνιον Πεδιανόν. ἐξῆν γὰρ καὶ ἐπικλήτους οἰονεὶ σκιὰς ἑαυτοῖς παρακαλεῖν τινας, καὶ ἔδει τὸν Ἀπίκιον καὶ φίλοις καὶ ἀγνῶσι τὴν οὐσίαν ῥίπτειν τὴν ἑαυτοῦ. πέπυσμαι δὴ ἐν τῷδε τῷ συνδείπνῳ γενέσθαι καὶ Ἰσίδωρον ὄνομα, τῶν ἐκ παλαίστρας κατατριβέντων, ἄνδρα παλαιὸν μὲν ἤδη καὶ πολὺν τῷ χρόνῳ, ἓν δὲ καὶ ἐνενήκοντα ἔτη γεγονότα, εὐπαγῆ τε καὶ εὐμελῆ, καὶ βαθὺν μὲν τὰς πλευράς, γενναῖον δὲ τὼ βραχίονε καὶ τὼ χεῖρε ἄκρω, βλέπειν τε ὀξὺν καὶ ἀκούειν ῥᾷστα, ὡς μὴ ἂν πιστεύειν πέρα ἑξήκοντα ἐτῶν εἶναι αὐτόν· σκύφων δὲ πιτύλοις ἀμιλλᾶσθαι διαπίνοντα πρὸς τοὺς νέους, καὶ μέντοι καὶ ὑπὲρ πολυδαισίας καὶ πολυποσίας ἐρίσαι καὶ νεάζειν ταῦτα. ἑνὶ δὲ ἡττηθῆναί φασιν αὐτόν· ἀπελθεῖν γὰρ τοῦ συνδείπνου θᾶττον. γέροντες δὲ ἄλλοι τε ἔλεγον ἐπὶ τέχνῃ παλαιστρικῇ καὶ μέντοι καὶ Ἰούνιος Βλαῖσος. καὶ ὅτε ταῦτα ἔλεγεν, ἔτη γεγόνει ἑξήκοντα, φασί. μακρὸν δὲ τὴν ζωὴν γενέσθαι πέπυσμαι Σερουίλιον ὕπατον· ἔτεσι γὰρ τοῖς ἐνενήκοντα ὁμοῦ τε ἐβίωσε

---

6 Suidas Ἀπίκιος.

Digitized by Google

καὶ πάντα, ὡς λόγος, τὰ τοῦ σώματος ἀπαθὴς ἦν, καὶ μέντοι καὶ διεσώσατο τὰς αἰσθήσεις ἁπάσας εὐμοιρίᾳ ἀξιοζήλῳ τε καὶ σοβαρᾷ.

111.

De M. Apicii liberalitate.

Μάρκος Ἀπίκιος Ῥωμαῖος ὡς ἦν ἀσωτίας πέρας οὐδεὶς ἀντιφήσει· δοκεῖ δέ πως μεγαλονοίας ἔργον ἐκεῖνο ἀποδεξάσθαι. ἐν αὐτῷ ἑστιῶν ὀσημέραι (καὶ γὰρ ἕξη φασὶ τῇ γαστρὶ καὶ τοῖς ἐκείνης ἀκρατεστέροις) καί ποτε μεταξὺ θοιναζόντων, Φάβιος, τῶν ὑπατευκότων εἷς, λαβὼν ἔκπωμα κρυστάλλου μέγα τίμιον, εἶτα ἄκων κατέαξεν αὐτό· καὶ ἐπὶ τούτῳ συννεφὴς ἦν, ἄχει πληγεὶς τὴν ψυχήν. ὁ τοίνυν Ἀπίκιος πειρώμενος αὐτὸν τῆς λύπης ἀπάγειν 'οὐ καταβαλεῖς' φησι 'τὸ πραχθὲν καὶ σεαυτὸν ἡμῖν παρέξεις φαιδρότερον συμπότην; ἢ σοὶ φίλῳ ὄντι τοῦτο δρᾶσαι οὐκ ἐξέσται, ὅπερ οὖν δρῶσι καὶ τῶν οἰνοχόων καὶ τῶν ἀργυρωνήτων πολλοὶ πολλάκις;'

112.

De Antonio Saturnino.

ὅτι Ἀντώνιος Σατορνῖνος, ἐπίρρητος καὶ βδελυρός, παρὰ Οὐεσπασιανοῦ ἐς τὴν βουλὴν ἐνεγράφη, Οὐεσπασιανοῦ σοφισαμένου γελοιότατα τοῦτο· ἀξιώσει γὰρ αὐτὸν περιέβαλε, κακίᾳ δούς, ἀκερδὲς μὲν σεμνὸν δ' ὅμως τόδε τὸ ἄθλον.

βιώσας βίον ἐπίρρητον καὶ βδελυρὸν οὐδεμίαν ἐπιστεύθη βασιλικῶν χρημάτων ἐξουσίαν.

---

6 Suidas *Μάρκος Ἀπίκιος.*

21 Suidas *Ἀντώνιος Σατορνῖνος* et *βουλή* | 23 id. *ἀξιώσειν* | 26 id. *ἐπίρρητον.*

Digitized by Google

113.

De clade Cannensi.

ὁ δὲ Σερουίλιος πολλὰ καὶ ἀτάσθαλα ἐθρασύνετο κατὰ τοῦ Παύλου.

τοσοῦτον ἄρα αὐτοῖς ἀπήντησε τὸ πταῖσμα.

114.

Capitolium ab anseribus servatum.

καὶ ἀναβλέποντες ὁρῶσι τριμμοὺς τῆς ἀνόδου καὶ προσβάσεις, δι' ὧν ἀνῆλθεν ὁ Ῥωμαῖος· καὶ συνέβαλον μὴ ἄπορον εἶναι ἀλλ' ἐπιβατόν.

115.

De Cleandro Commodi liberto.

ὁ δὲ Κλέανδρος ἐλοιδόρησε τὸν ὕπατον τῆς ἐν Αἰγύπτῳ ἀρχῆς Κομόδῳ, καὶ παραλύει αὐτὸν τῆς ἀρχῆς οὐδὲν ἀδικοῦντα.

ἵνα τὸν τῶν κακῶν αἴτιον καὶ λευστῆρα ἀφανίσωσι.

116.

De Ennio poeta.

Ἔννιος, Ῥωμαῖος ποιητής. ὃν Αἰλιανὸς ἐπαινεῖν ἄξιόν φησι. Σκιπίωνα γὰρ ᾄδων καὶ ἐπὶ μέγα τὸν ἄνδρα ἐξᾶραι βουλόμενός φησι μόνον ἂν Ὅμηρον ἐπαξίους ἐπαίνους εἰπεῖν Σκιπίωνος. δῆλον δὲ ὡς ἐτεθήπει τοῦ ποιητοῦ τὴν μεγαλόνοιαν καὶ τῶν μέτρων τὸ μεγαλεῖον καὶ ἀξιάγαστον· καὶ ὡς ἐπαινέσαι δεινὸς Ὅμηρός ἐστι καὶ κλέος ἀνδρὸς πυργῶσαί τε καὶ ἆραι, ἐξ ὧν ἐπῄνεσε τὸν Ἀχιλλέα καλῶς ἠπίστατο ὁ ποιητὴς ὁ Μεσσάπιος.

---

3 Suidas ἀτασθαλία | 5 id. ἀπηνῆτα.
8 Suidas τριμμούς.
13 Suidas ἐλοιδόρησε | 16 id. λευστήρ.
20 Suidas Ἔννιος | 23 id. μεγαλόνοια.

Digitized by Google

117.

De Fabio Maximo duce Romano Hannibalis diadema arripiente.

ὃ δὲ ἐκρυέντος τοῦ αἵματος περιτραπεὶς ἐντάφιον ἑαυτῷ τρόπον τινὰ τὸ δυστυχὲς ταινίδιον ἐπήγετο.

118.

De Hasdrubale et Clatio.

αὐτόχρημα πηδῶν ὑπὲρ τὰ ἐσκαμμένα, τὴν ναῦν Ἀσδρούβα φεύγειν ἐπειγομένην, τὰς χεῖρας ἐπιβαλὼν εἶχετο ἐρρωμένως τῆς πρύμνης ὁ Κλάτιος ὄνομα.

119.

De Helio Neronis liberto.

ὃς ἦν Νέρωνος ἀπελεύθερος, ἀπολειφθεὶς μελεδωνὸς τῶν ἐν Ῥώμῃ καὶ ἔφορος, ὅτε Νέρων ἐς Ἀχαΐαν ἐξωρμήθη.

120.

T. Manlius a T. Manlio Torquato patre securi percutitur.

Ῥωμαῖοι πολεμοῦντες οὐδένα τόπον οὔτε ἐνέκριτον οὔτε ἀπέκριτον, ἀλλ' ἔνθα ἔτυχον ἠγωνίζοντο.

οἱ γὰρ Ῥωμαῖοι ἔνθα τοῖς ἐχθροῖς ἐνέτυχον, ἐνταῦθα δήπου καὶ ἠγωνίζοντο, εἴτε εἶεν ἀπειθεῖς οἱ τόποι καὶ τραχεῖς, εἴτε καὶ εὐφυεῖς δέξασθαι ὁπλίτας καὶ εὐήλατοι.

Ῥωμαῖοι δὲ εὐπραγίᾳ παράνομον οὔτε νίκην τελεσθεῖσαν, ἧς ὁ ἄρχων μὴ ἐκοινώνησεν, ἠσπάζοντο, ἵνα μὴ αὐτοσχεδιάζωσιν ἐν ταῖς πράξεσιν οἱ ὑπήκοοι.

---

4 Suidas ταινίαι.
8 Suidas αὐτόχρημα.
18 Suidas μελεδωνός.
19 Suidas ἐνέκριτον | 21 id. ἀπειθεῖν | 25 id. αὐτοσχέδιον.

Digitized by Google

Ῥωμαίων γοῦν ὁ νικήσας τὴν μουνὰξ μάχην ἀνεδεῖτο στεφάνῳ ἀγρώστεως· καὶ ἦν κλέος ἄμαχος.

τῶν δὲ Ῥωμαίων κατολισθανόντων ἐς δάκρυα καὶ περιαλγούντων ἐπὶ τῷ πάθει.

οὐ μὴν ἐθέλγετο ὁ ὕπατος τοῖς ὑπηρέταις σὺν ὀργῇ βριμούμενος.

ὀλίγοι μὲν ἀπεῖπον πεμφθῆναί οἱ τὸν θρίαμβον.

121.

De M. Volusio aedile plebis.

ἐπανελθόντες οὖν προγραφὰς καὶ τῶν ἐκ βουλῆς καὶ τῶν ἐς τὴν ἱππάδα τελούντων εἰργάσαντο, τούτους ἀποκτιννύντες.

Μάρκος τῶν εὖ γεγονότων, τὴν ἀξίωσιν ἀγορανόμος, προυγράφη· εἶτα μέντοι λαθεῖν βουλόμενος ξυρεῖ τὴν κεφαλὴν καὶ τὸ γένειον, καὶ στολὴν Αἰγυπτίαν ἀναλαβών, ἥπερ οἱ τῆς Ἴσιδος θεραπευτῆρες ἠσθηνται, καὶ σεῖστρον ἐπισείων καὶ πόλιν ἐκ πόλεως ἀμείβων καὶ τῷ θεῷ ἀγείρων καὶ ἀναγκαίας τροφάς, λιμοῦ φάρμακα, ἀγαπητῶς λαμβάνων ἠλᾶτο.

122.

καὶ καλῶς Ἡρόδοτος τὰς ὑπὲρ τῶν γυναικῶν οἰστρήσεις τε καὶ μανίας παρ' οὐδὲν ἐτίθετο.

ἐπεὶ καὶ τὴν τοῦ Μενέλεω πρὸς τὸν τοῦ Πριάμου Πάριν ** οὔτε ἐπαινῶ οὔτε ἄγαμαι.

ἑκάτερος δι' ἁρπαγῆς τὴν κόρην ἑαυτοῦ ποιήσασθαι ἐμαίνοντο. πόλεμος οὖν ἔκφυλος ἐγένετο,

---

1 Suidas κάσος | 3 id. κατολισθανόντων | 5 id. βριμούμενος et ἐθέλγετο | 7 id. ἀπειπών.

10 Suidas προγραφαί | 13 id. προυγράφη et ἀγείρει | 14 id. σεῖστρον.

21 Suidas οἰστρεῖ | 23 id. ἄγαμαι καρδίας | 25 id. ἔκφυλος.

Digitized by Google

καὶ ἐνακμάζει καὶ μάλα ἀδόκητος, οὐκ ἔχων οὔτε γενναίαν οὔτε εὐπρεπῆ τὴν ὑπόθεσιν.

λαβόντες ἑκάτερος τῆς κόρης τὴν ἄδωρον μοῖραν τῷ ἑαυτῶν λέχει (τραγικὸς ἂν εἶπε ποιητὴς) ἑαυτοὺς κατέσφαξαν.

ἀλλὰ καὶ ἐκείνων νεμηθέντων εἰς τὴν στάσιν.

τοῖς φίλοις καὶ οἰκείοις ἐμπαλασσόμενοι ἀπέσφαττον αὐτοὺς ὡς πολεμίους.

συνενθουσιῶντες αὐτοῖς, καὶ τῇ παραφόρῳ τῇδε φιλοτιμίᾳ τῇ κακίστῃ δαιμόνων ἐκριπισθέντες ἀπολώλασιν.

123.

De mima Syra.

ἄνθος προσώπῳ ἐπιφυόμενον, οἷον οὐδὲ εἷς λειμὼν νοτερός τε καὶ ἁβρὸς καὶ εὐθαλὴς τεκεῖν ὑπὸ δρόσῳ ἐαρινῇ οἶδεν, ἐρύθημά τε ὡραῖον καὶ μειδίαμα ἥδιστον.

γύναιον ἐκ Συρίας καθημαξευμένον ὑπὸ παντὸς τοῦ προσιόντος· ἑταίρα γὰρ ἦν ἐμφανὴς καὶ τῶν ἐν τοῖς μίμοις δι' ἀκολασίαν περιπαθεστέρα, τοῖς τε φαινομένοις ἐς τὴν κοινὴν ὄψιν σχήμασιν ἐκκαλουμένη τοὺς ὁρῶντας ἐς τὰ πάθη τοῦ σώματος, καὶ κατατείνουσα τὸν δῆμον καὶ ὅσον μετὰ τοῦ δήμου πρὸς συῶδη τινὰ καὶ μανικὴν ἀσέλγειαν.

σύνοδοί τινες ἐς αὐτῆς ἐγίνοντο καὶ συμφοιτήσεις ἀκολάστων ἀνδρῶν καὶ γυναικῶν ἀσελγῶν καὶ μειρακίων ἐξώλη βίον προηρημένων.

κρίσεως δ' ὡς ἐν ἀκολάστοις εὐθείας οὐ διήμαρτε

---

3 Suidas ἄδωρα | 6 id. νεμηθέντων | 7 id. ἐμπλασσόμενοι | 9 id. παράφορος et φιλοτιμίζεται.
14 Suidas ἐρύθημα | 18 id. καθημαξευμένος | 25 id. ἐξωλέστερον | 28 id. κρίσεως.

Digitized by Google

περὶ τὴν αἵρεσιν τῆς μιμάδος· σὺν κάλλει γὰρ λαμπρῷ τοῦ σώματος ποικίλως ἤσκητο τὴν εὐαπάτητον παιδείαν.

ὑγρῶς γὰρ καθαινομένη καὶ τοῖς ποσὶ χαμαιτυπῆς, εὔστολος γινομένη, ἐνίκα πάντας τοὺς τῶν θαυματοποιῶν ἐξηγουμένους· φωνήν τε ἔχουσα ἡδεῖαν καὶ ταύτην μετὰ τέχνης ἀφιεῖσα οὐδενὸς τῶν ἐπ' ἄσμασι θαυμαζομένων ἐκρίθη δευτέρα. ἅτε δὴ οὐκ ἄπειρος ἐρωτικῆς περιεργίας, ἀκκιζομένη σὺν καιρῷ καὶ πρὸς ζηλοτυπίαν εὐφυῶς ἄγουσα τὸν ἄνδρα, ἑαυτῇ μὲν πλοῦτον οὐκ εὐκαταφρόνητον οἶσεν, ἐκεῖνον δὲ κατὰ βαιὸν τηκόμενον τῷ ἔρωτι ἀπήλλαξε τῶν τῇδε.

124.

ὁ δὲ Θεοσύλης γενόμενος καὶ τὰ ἤθη τῶν θεῶν αὐτὰ ἐξ ἠθῶν ἀναστήσας, καὶ φόνους ἐργασάμενος ἐναγεῖς, καὶ διαρρήξας καὶ διαξήνας τοὺς νόμους, καὶ τὴν ἀνδρῶν ἀπειπάμενος φύσιν, καὶ γήμας ἀθύτους τε καὶ ἀγάμους ἐκεῖνος γάμους, ἐφ' οἷς οἶδα καὶ τὸν θεὸν σείσαντα, καὶ διοσημίας ἄλλας κατενόησα ὧν ὑφ' ἡλίῳ ἔτι καὶ τυραννῶν.

ὁ δὲ Θεοσύλης λιπὼν τὴν πατρίδα καὶ ἀλώμενος διετέλει.

125.

καὶ μέντοι καὶ Παρίας λίθου ἅρμα ἀνακείμενον Διονύσῳ, ποίημα θαυμαστόν, ἀνείλετο ὁ Θεοσύλης.

126.

οἱ Θεοσύλαι κολάζονται, τὸ κέρδος πρὸ τῆς δίκης τιθέμενοι.

---

4 Suidas ὑγρῶς | 9 id. ἀκκιζόμενος | 11 id. οἶσε.
14 Suidas Θεοσύλης et διαξαίνειν et ἀθύτους | 21 id. ἀλώμενος.
24 Suidas Παρία λίθος. 27 Suidas πρὸ τῆς δίκης.

Digitized by Google

127.

ὃ δὲ τοὺς θεοσύλας ἀπέκτεινε καὶ ἔθηκεν ἀνόστους, τοῦτο δὴ τὸ Ὁμηρικόν.

128.

ἀστιδεῖς.

129.

καὶ αὐτὸ τὸ κράτος ἐπὶ ξυροῦ ἀκμῆς ἦν.

130.

οἱ δὲ ὑπὸ Ῥωμαίων ἐκτριβέντες διεξάνθησαν, ἀλῆται δεῦρο καὶ ἐκεῖσε τὸ ζῆν διατελοῦντες.

131.

ὃ δὲ ἐάλω, καὶ ἔμελλεν ὁ δῆμος διαξαίνειν αὐτόν. ὃ δὲ οὐκ ἐφῆκεν, ἀλλ' εἴασεν αὐτὸν γῆν πρὸ γῆς ἀπιέναι, ἵνα μή φησιν ὧν ἐνθάδε τολμήσῃ παρα-πλήσια πάλιν.

132.

ἰχθύων δὲ ἀπηνέγκαντο πλῆθος ἄμαχον, καὶ ἀνέστησαν τρόπαιον καὶ βωμοὺς ὥρθωσαν.

133.

ἠμφισβήτουν γάρ τοι ἑτέρους ἕτεροι προβαλ-λόμενοι.

---

2 Suidas ἀνόστους.
5 Suidas s. v.
7 Suidas ἄκμή καλεῖ.
9 Suidas ἀλῆται.
12 Suidas διαξαίνειν.
17 Suidas ἄμαχον.
20 Suidas ἀμφισβητεῖν.

Digitized by Google

134.

οὔτε προσδοκῶν τὸν τόκον τὸν προειρημένον δυνήσεσθαι αὐτοὺς ἀνασῶσαι καὶ κομίσασθαι. πόθεν; ἀλλ' ἵνα ὑπὲρ ὧν ἐπλημμέλησαν κακῶν φθάνοντες, ἐν τῷ δευτέρῳ προφανεῖ κινδύνῳ ἰσωθῶσι κολασθέντες.

135.

τὰ τέκνα αὐτῶν ἀθροίσαντες εἰς τινα ἅλω, καὶ ἐκπαγέλην ἐκελάσαντες ἀπωλεύτων, μάλα ἀνοίκτως ἁλοῶντες διέφθειραν.

οὐ μὴν ἀτιμωρήτους ἐγένετο μεῖναι τοὺς παῖδας τοὺς ἁλοηθέντας, ἑτεραλκὴς γὰρ ἡ νίκη γενομένη τῶν πλησίον ἦν.

136.

εἴ τι τοῦ προτέρου λόγου ὑγιὲς ἦν. ἀλλ' ἐκεῖνός γε ἀβασανίστῳ γραφῇ τε καὶ ἀταλαιπώρῳ τῆς ἀληθείας ἀκοῇ διεσπαρμένος ἐς τὸ πλῆθος ἀλᾶται ἄλλως. ὃ δέ μοι ἀληθὴς ὤν.

137.

οἳ δὲ εἰρηναίως ἐσταλμένοι ἄνευ δορυφόρων ἄγοντες τὴν ἱερουργίαν ἦκον ἀτυφότατα ἐκεῖνοι.

ταῦτά τοι καὶ θαρρῶν αὐτὸς κατά τι ἔθος ἀρχαῖον ἐκέλευσε δι' ἡμέρας τὴν ἱερουργίαν τὴν τεταγμένην δρᾶσαι τῷ θεῷ.

138.

ἦν δὲ τὰ λυχνία ἀργύρου πεποιημένα καὶ τέχνης θαυμαστῆς δαίδαλα.

---

2 Suidas ἀνασώσων.
8 Suidas ἀπωλεύτων | 11 id. ἀτιμώρητος.
15 Suidas ἀταλαίπωρον.
20 Suidas ἀτυφία | 22 id. ταῦτά τοι.
26 Suidas δαιδαλόχειρ.

Digitized by Google

κελεύει τῶν λυχνίων τῶν ἀνακειμένων αὐτῷ, ἀργυρᾶ δὲ ἦν ταῦτα, τὸ ἕτερον φέρειν ἀράμενον ἐμφανῶς.

139.

πολλοὺς διέφθειρε Νομάδων, δεκάσας ἐς προδοσίαν.

140.

τὴν γάρ τοι πληθὺν καὶ τοὺς ἐκ καταλόγου ἐῶ νῦν.

141.

τετόλμητο μὲν αὐτῷ τὸ ἔκδικον ἐκεῖνο καὶ παράνομον ἔργον.

142.

οἳ δὲ κατάραντες ἐς αὐτὸν καὶ φιλοφροσύνης ἐκπλέας ἀπολαύσαντες.

143.

ἐλεδώνη, εἶδος πολύποδος, ἥτις ἔχει μίαν κοτυληδόνα, καὶ ἔστιν ἑπτάπους.

144.

οἳ δὲ ὁμολογίας ἐμμελεῖς ποιησάμενοι πρὸς τοὺς Ἀρκάδας, τοὺς αἰχμαλώτους ἐκομίσαντο.

145.

ἐπεὶ δὲ ἐς τὸ Θέατρον ἐξεκύκλησαν αὐτόν, ἐπηλυγασάμενος τὴν κεφαλὴν ἦν τὸ ἄσωτον.

---

1 Suidas λυχνίον.
5 Suidas δεκάζεσθαι.
8 Suidas ἐκ καταλόγου et κατάλογος.
11 Suidas ἔκδικον.
14 Suidas ἔκπλεα.
17 Suidas ἐλεδώνη.
20 Suidas ἐμμελῶς et ὁμολογία.
23 Suidas ἐξεκύκλησαν.

Digitized by Google

146.

ἐρυμβόνα τὰ τιμιώτατα ἐς ἀσωτίαν ἀφειδεστάτην.

Eustathius in Dionys. 1134. ἀπὸ τούτου δὲ καὶ τὰς κινήσεις ὁ Ἀπολλώνιος ῥυμβόνας καλεῖ· καὶ τάχα καὶ ἡ παρὰ τῷ Αἰλιανῷ κειμένη ἄκορος λέξις τὸ ἐρυμβόνα ἐκ τοιούτου τινὸς ἔσχε τὴν ἀρχήν, ἐν οἷς λέγει ὅτι ἐσπάθα τὰ χρήσιμα καὶ εἰς ἀσωτίας ἐρυμβόνα τὰ τιμιώτατα.

147.

ἀνθ' ὧν οἱ Φωκεῖς ἔτισαν δίκας βαρυτάτας.

148.

ὃ δὲ Αἰνείας τὸν πατέρα ἐπιθέμενος τοῖς ὤμοις ἐξῆγε φόρτον ὡς υἱεῖ φιλοπάτορι καὶ τοῦτον εὐάγκαλον.

149.

γενναῖον ἔργον καὶ τολμηρὸν ἡρωίνης ἄντικρυς τοῦτο δράσασα.

150.

εἰ θέμις καὶ τῷ Ἱμεραίῳ πρὸς Ὅμηρον τὸ ὄμμα ἀνατείνειν.

151.

τὰ γεννώμενα βρέφη κράσει θηρείων τε καὶ ἀνθρωπείων σωμάτων τεράστια ἐδόκει.

152.

ὅστις τάξιν ἔλιπε, θανατοῖ ἄρα ὁ νομοθέτης αὐτόν, κἂν τὴν στάσιν ἣν ἐτάχθη προδόντα.

---

2 Suidas ἐρυμβόνα.
10 Suidas ἔτισαν.
13 Suidas εὐάγκαλον.
16 Suidas ἠρῶναι.
19 Suidas Θέμις.
22 Suidas θηρείων.
26 Suidas κἂν η.

Digitized by Google

153.

κνέφει.

154.

κομψευριπικῶς· πανούργως κατὰ Εὐριπίδην. Αἰλιανὸς περὶ ἀσεβῶν βασιλέων λήθῃ παραδοθέντων φησί.

155.

λέγουσι δὲ ὅτι οὔτε προσθέτους οὔτε ἐπακτοὺς νόμας ἐκ τῆς ὕβρεως καὶ λάσθης ἐς τὴν χρείαν παρελάμβανεν, ἀλλὰ ἃς εἶχε συμφυεῖς ἀσκῶν καὶ ἐκτείνων.

156.

οὗτοι οἱ ἀετοὶ λαφύξουσι τῶν ἐλεφάντων τὰ σπλάγχνα, δείξας τὰς σημαίας.

157.

ὁπόταν δὲ προσίωσι κινδυνεύσοντες, λίπα ἀλείφονται.

158.

ἀλλὰ τοσοῦτον μαρτυρόμεθ', ὡς οὔτ' ἀδικοῦμεν Ξενίου Διὸς χάριν.

159.

ὀλίγου χρόνου διελθόντος ἑάλω μέγα κακουργῶν· εἶτα μέντοι ἐν ὄψει πολλῶν κατεπρήσθη ζῶν.

160.

Νεμέσεως ἐφόρου, τρόπους ὑπερόπτας καὶ ὑπερηφάνους κολαζούσης, ἐναργῆ μαρτύρια.

---

2 Suidas s. v.
4 Suidas κομψευριπικῶς.
8 Suidas λάσθη.
13 Suidas λαφύξας.
16 Suidas λίπα.
19 Suidas μαρτύρομαι.
22 Suidas μέγα.
25 Suidas Νέμεσις.

Digitized by Google

161.

De Lacedaemoniis.

νηίταις κινδύνοις μὴ πάνυ συντραφέντες.

162.

καὶ τὸν στρεπτὸν ὃν ἐφόρει ὁλκῆς γεννικῆς χρυσοῦ ὄντα ἀφαιρεῖται.

163.

καὶ ἦ γε πασῶν βδελυρωτέρα καὶ τὸν πανωγέστατον παρθενῶνα τῶν ἑαυτῆς ἐνέπλησε κακῶν.

164.

αἵματί τε δευόμενοι οἱ τοῖχοι τῶν δωματίων. καὶ ἐκ τῶν δαπέδων ἀνέβρυε λύθρον, καὶ πάντων τὰς διανοίας ἐξέπληττον.

165.

μῆνις δὲ ἐδόκει καὶ Νυμφῶν δι' ἀπορίαν νομάτων.

166.

οἱ Ἀκαρνᾶνες συγγραφεῖς ὁμόσε χωροῦσι τοῖς ποιηταῖς.

167.

ὃ δὲ ἀποκτείνει αὐτούς, καὶ περισυλᾷ ὅσα ἐκηγάγοντο· ἦν δὲ κόσμος καὶ σκεύη περὶ τὴν τέχνην τὴν ἑκατέρου οὐδαμῇ εὐκαταφρόνητα.

---

3 Suidas νηίτης.
5 Suidas ὁλκῇ.
8 Suidas βδελυρός.
11 Suidas δευθέντα.
15 Suidas Νύμφη.
18 Suidas ὁμόσε.
21 Suidas οὐδαμῇ.

Digitized by Google

168.

οὐκ ἀκούσαντες τῆς εὐθυδικίας, καὶ εἰκότως· οὐ γὰρ ἐπὶ τῷ δικάζειν ἐκάθηντο, ἀλλ' ἐπὶ προσχήματι καὶ προσώπῳ δικαστῶν.

καὶ ἀπολύουσι δικασταὶ ἄνιοι αὐτόν.

169.

ἄφνω πάταγος ἀκούεται τῶν θυρῶν.

170.

πελαργιδεῖς.

171.

τὸν βωμόν, ἐφ' οὗ τέως ἱλεοῦντο τὸν δαίμονα, ἀνέτρεψαν, καὶ τὸν κόσμον ὅσος ἦν περικείμενος, τοῦτον περιέσπασαν.

172.

εἶτα, ἀσελγέστατε, τοσοῦτοι ἐχθροὶ γεγενημένοι οὐκ ἤρκεσαν, ἀλλ' ἆρα καὶ ἐμὲ ἐς τὴν τῶν ἐχθρῶν προσείλου τάξιν;

173.

σεισμοί τε ἐπεπόλασαν, καὶ πολλὰ ἀνέτρεπον.

174.

οὐκ ἐπαινεῖ θεὸς οὐδὲ τοὺς τὰ μέτρα πατοῦντας, γλιχομένους γε μὴν τῶν ὑπὲρ ἑαυτούς τε καὶ ὑψηλὰς σκοπιάς.

---

2 Suidas εὐθυδικία | 5 id. ἀνίους.
7 Suidas πάταγος.
9 Suidas s. v.
11 Suidas περιέσπασαν.
15 Suidas προσείλου.
19 Suidas σεισμός.
23 Suidas σκοπιά.

Digitized by Google

175.

. ὃ δὲ ἔλεγε στεγανωτάτους εἶναι τοὺς βουλευτὰς καὶ φυλάττειν τὰ τῆς σπέψεως ἀπόρρητα.

176.

καὶ τοὺς ὑπηρέτας αὐτῷ περιβαλόντες ἐς τὸ θέατρον καλοῦσι τὸ πλῆθος, καὶ ἐκεῖνον παράγουσι καὶ στρεβλοῦσιν· ὃ δὲ στρεβλούμενος καὶ κατατεινόμενος τάληθῆ λέγει, καὶ πυρὶ παραδίδοται.

177.

ὃν ἂν ἐγὼ τιμησαίμην πρὸ παντὸς συγγενέσθαι καὶ πᾶσι τυράννοις καὶ τοῖς ἐπὶ μέγα πλούτου προήκουσι.

178.

τιμησαίμην τὸν βίον πάντα τριτημορίου, εἰ μὴ ἔχοιμι τοὺς ἐμοὺς κηδεμόνας.

179.

οἱ προσιόντες τῶν ἰατρῶν ἐκέλευον οἶνου πιεῖν· τὸ γάρ τοι σεσῶσθαι ἢ μὴ τὴν ἄνθρωπον ἐν τούτῳ ἔφασκον ἆρα ἐκεῖνοι τῇ τέχνῃ πίσυνοι.

ἡνίκα ἂν τὴν πεπραμένην ὁδὸν καὶ ἐπινησθεῖσαν διανύσω.

ἔξέχεσθαι μὴ πιεῖν ἀνέχεσθαι οἴνου, μηδὲ τιμᾶσθαι τοσούτου τὸν βίον τὸν λοιπόν, ἵνα τὸν φθάνοντα, φησίν, ἀφανίσῃ ἐκτροπῇ διαίτης ὀλίγης, πιοῦσα οἴνου· καὶ τὸν βίον ἡ γενναία κατέστρεφε πράως καὶ σὺν γαλήνῃ καὶ ἀβληχρῷ θανάτῳ, ὅπερ οὖν ἐπαινεῖν καὶ Ὅμηρος δοκεῖ μοι.

---

2 Suidas στεγανώτερον.
5 Suidas στρεβλούμενος.
10 Suidas τιμησαίμην.
14 Suidas τιμησαίμην.
17 Suidas οἶνον πιεῖν | 20 id. ἐπινενησμένον | 22 id. τιμᾶσθαι. | 25 id. ἀβληχρόν.

Digitized by Google

180.

υἱῶσαι τὸν παῖδα. υἱὸν ποιῆσαι αὐτὸν θετόν. καὶ υἱώσει, τῇ υἱοθεσίᾳ. καὶ υἱώσατο, ἀντὶ τοῦ υἱὸν θετὸν ἐποιήσατο. καὶ τὰς υἱώσεις, τὰς υἱοθεσίας. ἡ χρῆσις παρὰ Αἰλιανῷ πολλή.

181.

δοκεῖ τῷ δήμῳ διαμετρεῖν φιλοτησίαν τήνδε.

182.

ἔλεγε τὸν νεανίαν ἐλθεῖν πρὸς αὐτὸν φιλωθῆναί οἱ.

καὶ πιεῖν ἐδίδου, κράσει δικαίᾳ μὴ κιρνῶν· ὤρεγε δὲ μὴ αἰτοῦντι, καὶ φιλοφρονούμενος ἀκαίρως, καὶ περιττὰ δεῖπνα παρατίθησιν. ὁρῶν δὲ τὸν ἀδελφὸν πάντα δυσωπούμενον καὶ οὐδὲν ὅ τι τῶν ὄψων οὐχ ὑφορώμενον.

183.

ὃ δὲ διῆλθε τῷ λόγῳ φιλοτίμως τε καὶ σὺν ἀφροδίτῃ εὖ μάλα περιττῇ.

184.

καὶ ἐκ τούτων χειρώσασθαι τὸν ἄνδρα καὶ ἔχειν αὐτὸν ὡς εἰπεῖν ἰδιόξενον.

185.

ἐπεὶ δὲ ἐς γῆρας ἀφίκετο, τὸ κοινὸν τῇ πεπρωμένῃ χρεὼν ἐξέτισε, καὶ τῆς προσηκούσης κηδεύσεως ἔτυχε.

---

2 Suidas *υἱῶσαι τὸν παῖδα.* eadem exstant apud Photium et in lex. Bachm. p. 594.
7 Suidas *φιλοτησίᾳ.*
9 Suidas *φιλωθῆναι* | 11 id. *κράσις.*
17 Suidas *ἀφροδίσιον.*
20 Suidas *χειρώσασθαι.*
23 Suidas *χρεών.*

Digitized by Google

175.

Ὃ δὲ ἔλεγε στεγανωτάτους εἶναι τοὺς βουλευτὰς καὶ φυλάττειν τὰ τῆς σκέψεως ἀπόρρητα.

176.

καὶ τοὺς ὑπηρέτας αὐτῷ περιβαλόντες ἐς τὸ θέατρον καλοῦσι τὸ πλῆθος, καὶ ἐκεῖνον παράγουσι καὶ στρεβλοῦσιν· ὃ δὲ στρεβλούμενος καὶ κατατεινόμενος τἀληθῆ λέγει, καὶ πυρὶ παραδίδοται.

177.

Ὃν ἂν ἐγὼ τιμησαίμην πρὸ παντὸς συγγενέσθαι καὶ πᾶσι τυράννοις καὶ τοῖς ἐπὶ μέγα πλούτου προήκουσι.

178.

τιμησαίμην τὸν βίον πάντα τριτημορίου, εἰ μὴ ἔχοιμι τοὺς ἐμοὺς κηδεμόνας.

179.

Οἱ προσιόντες τῶν ἰατρῶν ἐκέλευον οἶνου πιεῖν· τὸ γάρ τοι σεσῶσθαι ἢ μὴ τὴν ἄνθρωπον ἐν τούτῳ ἔφασκον ἄρα ἐκεῖνοι τῇ τέχνῃ πίσυνοι.

ἡνίκα ἂν τὴν πεπρωμένην ὁδὸν καὶ ἐπινησθεῖσαν διανύσω.

ἐξέχεσθαι μὴ πιεῖν ἀνέχεσθαι οἴνου, μηδὲ τιμᾶσθαι τοσούτου τὸν βίον τὸν λοιπόν, ἵνα τὸν φθάνοντα, φησίν, ἀφανίσῃ ἐκτροπῇ διαίτης ὀλίγης, πιοῦσα οἶνου· καὶ τὸν βίον ἡ γενναία κατέστρεψε πράως καὶ σὺν γαλήνῃ καὶ ἀβληχρῷ θανάτῳ, ὅνπερ οὖν ἐπαινεῖν καὶ Ὅμηρος δοκεῖ μοι.

---

2 Suidas στεγανώτερον.
5 Suidas στρεβλούμενος.
10 Suidas τιμησαίμην.
14 Suidas τιμησαίμην.
17 Suidas οἶνον πιεῖν | 20 id. ἐπινενησμένον | 22 id. τιῆσθαι. | 25 id. ἀβληχρόν.

Digitized by Google

180.

υἱῶσαι τὸν παῖδα. υἱὸν ποιῆσαι αὐτὸν θετόν. καὶ υἱώσει, τῇ υἱοθεσίᾳ. καὶ υἱώσατο, ἀντὶ τοῦ υἱὸν θετὸν ἐποιήσατο. καὶ τὰς υἱώσεις, τὰς υἱοθεσίας. ἡ χρῆσις παρὰ Αἰλιανῷ πολλή.

181.

δοκεῖ τῷ δήμῳ διαμετρεῖν φιλοτησίαν τήνδε.

182.

ἔλεγε τὸν νεανίαν ἐλθεῖν πρὸς αὐτὸν φιλωθῆναί οἱ.

καὶ πιεῖν ἐδίδου, κράσει δικαίᾳ μὴ κιρνῶν· ὤρεγε δὲ μὴ αἰτοῦντι, καὶ φιλοφρονούμενος ἀκαίρως, καὶ περιττὰ δεῖκνα παρατίθησιν. ὁρῶν δὲ τὸν ἀδελφὸν πάντα δυσωπούμενον καὶ οὐδὲν ὅ τι τῶν ὄψων οὐχ ὑφορώμενον.

183.

ὃ δὲ διῆλθε τῷ λόγῳ φιλοτίμως τε καὶ σὺν ἀφροδίτῃ εὖ μάλα περιττῇ.

184.

καὶ ἐκ τούτων χειρώσασθαι τὸν ἄνδρα καὶ ἔχειν αὐτὸν ὡς εἰπεῖν ἰδιόξενον.

185.

ἐπεὶ δὲ ἐς γῆρας ἀφίκετο, τὸ κοινὸν τῇ πεπρωμένῃ χρεὼν ἐξέτισε, καὶ τῆς προσηκούσης κηδεύσεως ἔτυχε.

---

2 Suidas *υἱῶσαι τὸν παῖδα.* eadem exstant apud Photium et in lex. Bachm. p. 594.
7 Suidas *φιλοτησίαν.*
9 Suidas *φιλωθῆναι* | 11 id. *κράσις.*
17 Suidas *ἀφροδίσιον.*
20 Suidas *χειρώσασθαι.*
23 Suidas *χρεών.*

Digitized by Google

186.

ὃ δὲ τῆς θεοσυλίας τε καὶ ἀθέσμου χρηματίσεως διαφθαρεὶς τὸν μισθὸν ἠνέγκατο τοῦτον κικρότατόν τε καὶ πρεπωδέστατον.

187.

Σόλων ὁ Ἀθηναῖος Ἐξηκεστίδου παρὰ πότον τοῦ ἀδελφιδοῦ αὐτοῦ μέλος τι Σαπφοῦς ᾄσαντος, ἥσθη τῷ μέλει καὶ προσέταξε τῷ μειρακίῳ διδάξαι αὐτόν. ἐρωτήσαντος δέ τινος διὰ ποίαν αἰτίαν τοῦτο σπουδάσειεν, ὃ δὲ ἔφη ‘ἵνα μαθὼν αὐτὸ ἀποθάνω.’

188.

λόγος ἔχει Ἄτλαντι φοιτήσαντα τὸν Ἡρακλέα σπουδάσαι τὰ οὐράνια. ταῦτά τοι καὶ συγγεγράφθαι διαδέξασθαι τὸν οὐρανὸν ἐν μέρει, αἰνιξαμένων τῶν συγγραφέων τὴν παράδοσιν τῆς σοφίας τοῦτον τὸν τρόπον.

189.

Eustathius in Od. τ, p. 1870. Τῶν δ' ἐν τούτοις τί μὲν ἡ κλεπτοσύνη, δῆλον, καὶ ἐς ἀνάλογον παρῆκται τῷ παλαισμοσύνῃ, ὃ καὶ παρὰ Αἰλιανῷ κεῖται.

190.

λέγουσι δὲ καὶ οἱ προφῆται καὶ θέραπες τῶν θεῶν.

191.

Eustathius in Il. α, p. 738. καὶ γὰρ καὶ τὸ ἀρᾶσθαι ἁρμονία τίς ἐστι πρὸς θεόν, ὥσπερ καὶ ἡ εὐχή, ἣν ὁ Αἰλιανὸς πρέσβιν φησὶ πρὸς θεὸν ἀδωρότατον.

---

2 Suidas χρηματίσις.
6 Stobaeus Serm. 29, 85.
12 Eustathius in Od. α, p. 1390.
23 Eustathius in Dionys. 492.
25 Eadem Phavorinus in ἀρέσασθαι et Philem. Lex. p. 274.

Digitized by Google

192.

αὐτοὺς μὲν τοὺς ἐμπόρους ἀπαθεῖς κακῶν ἀποσῶσαι, τὰ δὲ ἀγώγιμά σφισιν ἀνασώσασθαι.

193.

ἀδροῖς μισθοῖς προαγαγὼν ἐς τὸ τόλμημα τοῦτον ἀναιρεῖ.

194.

ἑκάστου τὴν τέχνην ἐπιδευκνυμένου ἐπὶ μισθοῖς ἀδροῖς.

195.

ἠράσθη Πίασος Θετταλὸς Λαρίσσης τῆς ἑαυτοῦ θυγατρὸς ἔρωτα ἄθεσμόν τε καὶ δυστυχῆ.

196.

καὶ τὰς ἀλεκτορίδας δὲ αὐτὰς ἀπέκτειναν, τοῦ μὴ κελαδούσας καὶ ᾀδούσας ἐπὶ τοῖς φοῖς μηνῦσαι τὸν μοιχόν.

197.

ἀλλ' ὁ μὲν δράκων μεγέθει μέγιστος ὢν τῷ οὐραίῳ τὸν λέοντα κατηκίζετο, ὁ δὲ λέων ἤλγει μὲν καὶ τῇ ἀλκαίᾳ πρὸς ἄμυναν διηγείρετο.

198.

ὃ δὲ ἀκούει ταῦτα, καὶ μὴ ὢν ἀμαθὴς οἰωνῶν, τὸν παῖδα ἐπανάγει καὶ ἐκτρέφει ὡς γνήσιον.

---

3 Suidas ἀγώγιμον.
5 Suidas ἄδρον.
9 Suidas ἄδρόν,
12 Suidas ἀθέμιστα.
14 Suidas ἀλεκτορίδας.
20 Suidas ἀλκαία.
22 Suidas ἀμαθής.

Digitized by Google

199.

καί ποτε ἀγῶνα ἐπιτελοῦντες τούτῳ τῷ μειρακίῳ, ἐς ἅμιλλαν ἀκοντίσεως ἀποδυσαμένῳ, εἶτα μέντοι τῆς σπουδῆς θερμότερον ὑπεπλήσθησαν· καί πως ὁ Ἀργέου υἱὸς ἀλλαχόσε βουλόμενος βαλεῖν τἀδελφοῦ δυστυχῶς τῶν στέρνων τυγχάνει καὶ ἀναιρεῖ αὐτόν.

200.

ἁμαρτάνοντι ἐπέπληττε καὶ ἀδικοῦντα ἤλεγχε καὶ ἀνέστελλε τοῦ ἀδικεῖν πατρικῇ ναὶ μὰ τὸν ὁ γενναῖος τῇ παρρησίᾳ.

201.

τούτους ὥσπερ τῆς εὐσεβείας ὁ θεὸς ἀμειβόμενος.

202.

καὶ τοῦτο δὴ τὸ ὑμνούμενον ὄνομα Ἀντέρως ἐν τοῖσδε τοῖς γενναίοις ἐσώζετο. Χαρίτων γὰρ καὶ Μελάνιππος ἐς ἔρωτα ἀλλήλοιν συνεπνευσάτην· καὶ ὁ μὲν Χαρίτων ἐραστὴς ἦν, Μελάνιππος δὲ τὴν ψυχὴν ὁ ἐρώμενος ἐς τὸν φίλον τὸν ἔνθεον ἀναφλεχθεὶς ἰσότιμον τὸ τοῦ πόθου κέντρον ἀνεδείκνυτο.

ὁ τοίνυν ἔρως συμπνεύσας καὶ κατὰ τοῦ τυράννου Φαλάριδος ἐπῆρεν αὐτούς.

καὶ ταῦτα ὑπὲρ τῆς ἐνθέου φιλότητος ἐμαρτύρησεν ὁ Ἀπόλλων.

203.

Aesopus redivivus.

ἤδη δέ τινές φασιν ἐς τοσοῦτον ἄρα τὸν Αἴσωπον θεοφιλῆ γενέσθαι, ὡς καὶ ἀναβιῶναι αὐτόν, καθ-

3 Suidas ἅμιλλα.
9 Suidas ναὶ μὰ τόν.
12 Suidas ἀμείβομαί σε τοῦδε.
14 Suidas ἀντέρως | 21 id. ἐπῆρεν | 22 id. ὑποζυγιώδης. ἄνθρωπος.
27 Suidas ἀναβιῶναι.

Digitized by Google

ἄκερ οὖν τὸν Τυνδάρεων καὶ τὸν Ἡρακλέα καὶ τὸν Γλαῦκον.

οἱ Δελφοὶ ἔωσαν αὐτὸν κατὰ κρημνοῦ μάλα.

204.

ἀνωθῆσαν δὲ ἑαυτὸ τὸ θηρίον καὶ ἕξαλον γενόμενον ἀπεσείσατο ἐς τὴν νῆξιν ἀπολῦσαν τὸν ἄνθρωπον.

205.

ὃ δὲ παθὼν ἀνήκεστα καὶ τῆς πατρῴας ἑστίας διωχθεὶς παρὰ τὴν δίκην, ὅμως οὐκ ἀντεμήνισεν.

206.

ὅτι Μάρκος Βῆρος, Ἀντωνίνου ἀδελφός, βασιλεὺς Ῥωμαίων, ἀδοκήτως διαφθείρεται, πλήθους ἰχῶρός τε καὶ πνεύματος ἐπισχόντος οἱ τὴν πνοήν· ὃ δὴ πάθος ἀποπληξίαν παῖδες ἰατρῶν ὀνομάζουσι.

207.

λίθους τῶν ποδῶν ἐξαρτήσαντες ἔρριψαν ἐς τὸ πέλαγος ἀτέγκτως καὶ ἀφειδῶς.

καὶ ὃ μὲν ἐξετρίβη πίτυος δίκην, ῥιφεὶς ἐς θάλατταν, καὶ δίδωσι δίκας αὐτῷ γένει.

208.

De Atalanta.

αὐτοφυέστατον καὶ μὴ ἐπίπλαστον ἔχουσα κάλλος καὶ οἷον ἂν γένοιτο φιλοθήρου κόρης.

---

3 Suidas ἔωσεν.
5 Suidas ἀνωθῆσαν.
10 Suidas ἀντεμήνισεν.
12 Suidas ἀποπληξία.
18 Suidas ἄτεγκτος | 19 idem δίκην.
23 Suidas αὐτοφυέστατον.

Digitized by Google

209.

στρατιώτης δὲ ἄρα τις ἐοικὼς κατεσχημένῳ ἐσεκήδησε, καὶ ἀνιχνεύσας ἐπέτεμεν αὐτοῦ τὴν κεφαλήν, ἀμηρίτῳ νοσήματι τῷ θυμῷ χαριζόμενος, λύμας ὅσας ἐδύνατο παντοδαπὰς τὸ σῶμα λυμηνάμενος.

210.

διάρροια δὲ φήμη λέγουσα καὶ εὐπετρίδην αὐτὸν εἶναι.

211.

τὸ γάρ τοι πλέος τῶν τετολμημένων διεροῦν πολύ.

212.

εἶτα μέντοι ἐντολμήσατο τηλικοῦτον τόλμημα.

213.

ἡ δὲ εὐμηχάνως διαλαμβάνει, καὶ δεῖται τῶν Καβείρων τιμωρῆσαι αὐτῇ καὶ μετελθεῖν τὸν ἐπίορκον.

214.

δικαιωθέντων πάντων τῶν ἀδελφῶν Ἀριστάλου τοῦ γίγαντος δικαίωσιν τὴν πρεπωδεστάτην.

Ἀρίσταλον μόνον τὸν γίγαντα περισωθῆναί φασι, καὶ οὔτε πῦρ οὐράνιον ἐπ' αὐτὸν ἦλθεν, οὔτε Αἰτνη πιέζει αὐτόν.

215.

ἀποσφαγεῖσαν γὰρ αὐτὴν ὑπὸ ἐραστοῦ δυσέρωτος.

---

2 Suidas κατεσχημένος | 4 id. ἄχαρι.
8 Suidas διέρρει.
11 Suidas διεροῦν.
13 Suidas ἐντολμήσατο.
15 Suidas διαλαμβάνει.
18 Suidas δικαίωσις | 21 id. Αἰτναῖος πάνθαρος.
24 Suidas δυσέρως.

Digitized by Google

216.

ὃ δὲ ἐλευθερῶσαι τὴν πατρίδα ἐδίψησεν.

217.

ὃ δὲ ἦν ἔκδικός τε καὶ ἔκνομος.

218.

πρὶν κακῶν ἔργων ἀμοιβὸν τιμωρίαν ἐκτίσαι.

219.

καταπλαγείη δ' ἄν τις τὸ ἀδιάδραστον τῆς Δίκης ἐκ τῆς συμβάσης τούτῳ τιμωρίας.

220.

ἀλλὰ ταῦτα μὲν οὐχ οἷά τε εἶναι ἄπρακτα γενέσθαι, ἐπείπερ οἱ θεοὶ ἀτιμώρητα αὐτὰ περιεῖδον ἐκ σφῶν γενόμενα.

221.

ἀλλ' αὖτη γε ἡ ἐλπὶς ἐξήμβλωτο αὐτῇ.

222.

οὐ μὴν ἀπήντησέν οἱ τὰ τῆς ἐλπίδος.

223.

χρυσίον δίδωσιν, οὐ μὴν ἐξωνήσατο τὸ μηδὲν παθεῖν.

---

2 Suidas ἐδίψησαν.
4 Suidas ἐκδίκους.
6 Suidas ἀμοιβόν.
8 Suidas ἀδιάδραστον.
11 Suidas ἄπρακτα.
15 Suidas ἐξήμβλωκας.
17 Suidas ἀπήντα.
19 Suidas ἐξωνήσατο.

Digitized by Google

224.

οὐδὲ ὤλισθον ἄλλως αἱ εὐχαὶ καὶ αἱ κατὰ τοῦ θεῷ ἐχθροῦ ἀραί.

οὐδὲ γὰρ ἀναλώθησαν ἄλλως αἱ εὐχαί· θηρίον γάρ τι αὐτοῖς πομπῇ κρείττονι ἐντυγχάνει.

225.

οὐ γάρ τί που μετὰ μακρὸν ἐκολάσθη δικαιώσει.

226.

ὑπὲρ δὴ τούτων τὴν Ἄρτεμιν μηνῖσαι καὶ μετελθεῖν δικαιοῦσαν αὐτοὺς τῆς γῆς ἀγονίᾳ.

227.

ὃ δὲ ἔτισε δίκας ὧν ἔπραξεν· οὐ γάρ τί που ταχεῖ καὶ ὠκυμόρῳ τέλει τὸν βίον κατέστρεψεν, ἀλλ' ἐκολάζετο χρόνῳ.

228.

ἀδράστεια αὐτῷ Νέμεσις τιμωρὸς ὑπερόγκων καὶ ἀχαλίνων λόγων ἠκολούθησεν.

229.

ἐπεὶ δ' ἀνεφρόνησε καὶ τὸ τολμηθὲν ἐσκοπεῖτο καὶ ἐνενόει τὸ ἀσέβημα, δικλαῖ ἔννοιαι τοῦτον ἐσῄεσαν.

230.

ὃ δὲ ἐν ὀφθαλμοῖς τῶν ἁπάντων ἑαυτὸν διεχρήσατο οὐκ ἀξιοζήλως.

---

2 Suidas ἄλλως | 4 id. ἀναλώθησαν,
7 Suidas δικαίωσις.
9 Suidas δικαιοῦσαν .
12 Suidas ἔτισε.
16 Suidas ἀδράστεια.
19 Suidas ἀνεφρόνησεν.
23 Suidas ἀξιοζήλως.

Digitized by Google

231.

γυναικῶν ἰσηλίκων χορὸν ἑαυτῇ περιχέασα· γηραιαὶ δὲ αὗται, χορὸς θεοφιλής· καὶ καθεῖσαι τὰς κόμας τὰς παλαιὰς ἐκείνας ἐθεοκλύτουν Ἥλιόν τε καὶ Δίκην.

232.

τὴν τῶν ἀλαζόνων τιμωρὸν συνέντες Νέμεσιν, ἥπερ αὐτοὺς μετῆλθε σὺν τῇ δίκῃ.

233.

οὐκ ἔλαθε τὴν ἅπασιν ἐναντιουμένην τοῖς ὑπερηφάνοις Νέμεσιν, ἀλλ' ἐν ταῖς ἰδίαις ἠναγκάσθη παιδευθῆναι συμφοραῖς.

234.

καὶ ἄλλας μυρίας εἰκοιμι ἂν δίκης ἀμελουμένης ἀκολουθεῖν πάθας.

235.

τὸ δὲ θεῖον οὐκ ἐπῆνει τὰ ὑπὸ τοῦ βασιλέως πραττόμενα.

236.

οὐ μὴν ἀπόνασθαί γε ξυνέβη τῆς βασιλείας αὐτῷ· τελευτᾷ γὰρ νόσῳ ἑπτὰ ταῖς πάσαις ἡμέραις.

237.

τοιάδε μὲν τοῖς κακῶς βουλευομένοις δίδωσι τὰ πρόστιμα ἡ δίκη.

---

2 Suidas ἰσηλίκων et καθεῖσαι.
7 Suidas Νέμεσις.
11 Suidas Νέμεσις.
15 Suidas πάθη.
17 Suidas ἐπῆνει.
20 Suidas ἀπόνασθαι.
24 Suidas πρόστιμα.

Digitized by Google

238.

μαρτύρεται δὲ ὁ θεὸς ὅτι μηδὲν αὐτὸν λαθεῖν δύναται ἔμβραχυ.

239.

οὕτω μὲν ὁ κατάρατος συνήθως τὸν ἄνθρωπον ἐκήλει.

240.

οἳ δὲ ἐκπλεύσαντες τῶν φρενῶν εἶτα ἐνεοὶ ἐγένοντο.

241.

καὶ θάπτει τὸν νεκρόν, τοῖς χθονίοις θεοῖς ἀποδιδοὺς τῆς ἐκείνων λήξεως ἤδη.

242.

τῇ μητρὶ γῇ τὸ χρέος ἐκτίνων τὸν ναυηγὸν θάπτει.

ἰδὼν ναυηγοῦ σῶμα ἐρριμένον ἀκηδῶς καὶ ὀλιγώρως, παρελθεῖν οὐκ ἐτόλμησα, ἀλλὰ ἔθαψα τὸν τεθνεῶτα, θέαμα τῷ ἡλίῳ οὐδαμῇ φίλον ἀποκρύπτων ἀνθρωπίνῳ θεσμῷ.

243.

οὐκ ἠξίωσαν ταφῆς, ἣν ἡ ἀρχέγονος φύσις νομοθετεῖ.

244.

ἐνακμάζων.

---

8 Suidas ἔμβραχυ.
6 Suidas ἐκήλει.
8 Suidas ἐκπλεύσαντες.
12 Suidas λῆξις.
14 Suidas ἐκτίνων | 16 id. ἀκηδής.
21 Suidas ἀρχέγονος.
24 Suidas s. v.

Digitized by Google

245.

Καλλίξενος ὁ Ἀθηναῖος διὰ συκοφαντίαν ἆθλα ἀπηνέγκατο τῆς ἀναισχυντίας καὶ ἀσεβείας, ἐν ἄστει μισούμενος καὶ πενόμενος καὶ ἀποκλειόμενος λιμῷ ἀποθανεῖν· ἐκεῖ μήτε ὕδατος ἐκοινώνουν αὐτῷ, μήτε πυρὸς ἐναύειν ἐβούλοντο, ὥσπερ οὖν κοινωνεῖν τοῖς βουλομένοις καὶ δεομένοις.

246.

οἱ δ' οὖν περὶ πλείστου τιθέμενοι τὰ τοῦ Φοίνικος, καλλύνοντες ἄρα τὸ κακὸν αὐτοῦ καὶ ἐκηλυγάζοντες, ἄλλως φασὶ τοῦτο γενέσθαι.

εἰ δὲ ἐντεῦθεν Εὐριπίδης ἐνανσάμενος τὸν λόγον ἅπαντα εἶτα μέντοι Φοίνικι περιτίθησιν.

247.

καὶ ἐντήξας αὐτῶν ταῖς ψυχαῖς ἰσχὺν λόγων ἄμαχον καὶ σειρῆνα εὐγλωττίας ἐφολκοτάτην.

248.

πικρότατος αὐτοῖς ἐνστάτης ἦν.

249.

καὶ τὸ σύμπαν αὐτοῦ σῶμα εὐλῶν ἐξέζεσεν.

250.

τοσόσδε διὰ τῆς νυκτὸς ἐνέπεσε σεισμός, ὥστε ἐξέθορον ἐκ τῆς κοίτης, σκῆπτοί τε κατωλίσθανον καὶ ἐγίνοντο διόβλητοι ἅπαντες.

---

2 Suidas *ἐναύειν*.
10 Suidas *ἐκηλυγάζονται* | 12 id. *ἐναύειν*.
15 Suidas *ἐντήξας*.
18 Suidas *ἐνστάτης*.
20 Suidas *ἐξέζεσεν*,
22 Suidas *ἔννεός* et *διόβλητοι*.

Digitized by Google

251.

ἡ δὲ γῆ ἀγονίαις κατειλημμένη ἔτρυχεν αὐτοὺς ἀλγεινότατα.

252.

καὶ ἐπὶ μᾶλλον ἐξήπτοντο ἐς ὀργήν, καὶ ἠπείλουν τὰς θύρας ἐξαράξειν.

βιαζομένων δὲ αὐτῶν καὶ τὰς θύρας ἀναμοχλευόντων, δράκοντες ἄρα μέγιστοι τὸ μέγεθος ἀνέστελλον αὐτοὺς καὶ ἐδειμάτουν, τὰ οὐραῖα μέρη ἐς σπείρας ἑλίξαντες καὶ ἐπανιστάμενοι καὶ πῦρ ὁρῶντες οἷον ὀξύτατον.

οἱ δὲ Καρχηδόνιοι ἀλλήλοις ἐμπαλασσόμενοι καὶ περιπίπτοντες τοῖς θηρίοις ἀπέθνησκον.

253.

μήτε γὰρ εἶναι ποιητικός, μήτε μὴν μουσωθῆναι παιάνων καὶ ὕμνων ἐπιστήμονα σοφίαν.

254.

οἱ δὲ οὐκ ἐξεφαύλισαν τὴν τῶν Κρητῶν αὐτοσχέδιον ἐκείνην μοῦσαν, οἷα δήπου λιτήν τινα θυσίαν ἐκ τῶν ἐνόντων καὶ παρόντων προσαχθεῖσαν αὐτοῖς ἐπαινοῦντες.

255.

τῷ γε μὴν πατρὶ ἐπαρωμένου ἐξώλειαν ἐπίπλαστον.

---

2 Suidas ἐτρύχωσεν.
6 Suidas ἐξαράξειν | 7 id. ἀναμοχλευόντων et οὐραῖα | 12 id. ἐμπλασσόμενοι.
15 Suidas μουσωθῆναι.
18 Suidas ἐξεφαύλισαν.
23 Suidas ἐξώλης.

Digitized by Google

256.

ἢ δὲ ἐγκύψαντα αὐτὸν ἐς πίθον, ἵνα ἀρύσηται οἶνον, ἔωσεν ἐς κεφαλὴν καὶ ἀπέπνιξεν.

τοῦ δὲ πίθου ἕρματι περιπεσόντος καὶ συντριβέντος.

257.

οἱ τοίνυν τελευταῖοι τῶν φίλων ἐώσαντο καὶ ἐσεπήδησαν.

258.

τὸν δὲ λουόμενον ἀπέκτεινεν, ἐπιθήξας οἱ τῶν δορυφόρων τοὺς ἀφειδεστάτους.

259.

ταῦτά τοι ἐπὶ μᾶλλον ἐξῆψεν αὐτῷ τὸ μῖσος.

260.

τὸν ἐπινησθέντα ἐνίοις βίον.

261.

ὃ δὲ ἤσχυνε τῇ ἀπειλῇ μόνῃ τὸ ἀκέλευστον αὐτοῦ καὶ τὸ ὑφ' ἑαυτοῦ βούλεσθαι τὴν πρᾶξιν, ἐπιρραπίζων ἄρα ἐκεῖνος.

262.

καὶ ἀναπείθει ἐπιτολμῆσαι τῷ Λυκίδῃ καὶ τῷ Σωσῖ, ἐπαίρει δὲ ἅτε φορτηγοὺς τοιοῦτος, ῥᾷστά τε ἀναπείθει, καὶ νυκτὸς γενομένης ἀκράτου.

---

3 Suidas ἔωσεν | 4 id. ἕρμα.
7 Suidas ἐώσαντο.
10 Suidas ἐπιθήξας.
13 Suidas ἐπιμᾶλλον.
15 Suidas ἐπινησθέντα.
18 Suidas ἐπιρραπίζων.
21 Suidas ἐπιτολμῆσαι.

Digitized by Google

263.

ἔχεσθαι δὲ αὐτοῦ ἐκέλευσεν, ἵνα μὴ διαδρὰς ἔξω τοῦ στρατοπέδου εἶτα μέντοι ζῶν ἀπέλθῃ καὶ ἐπιχάνῃ.

264.

ὃ δ' ἐνελόχα τινὰς ἐργαστῆρας ἐκ τῶν ἀγρῶν ἐπανιόντας, καί πως λαθὼν ἐς αὐτὸν ἐρπύσας.

265.

ἐρᾷ αὐτῆς ἀνὴρ Ῥωμαῖος, Ἄππιος ὄνομα, τῶν εὖ γεγονότων.

266.

ἀσπαζόμενος εὐερμίαν καιροῦ, καὶ ἀνάγκης καλούσης μὴ εἴκων κάκῃ.

267

εὐφημίας χάριν προτιμᾷ τὴν Λακεδαίμονα τὸ θεῖον ἧπερ τῶν Ἀθηναίων βωμοὺς σύμπαντας καὶ νεὼς καὶ ἀγάλματα καὶ ἑκατόμβας καὶ τὸν λοιπὸν φλήναφον τῶν ῥαθυμούντων τε καὶ θοινάζειν γλιχομένων. οὐκοῦν διδάσκει ὁ λόγος ὡς ἡ ὄντως εὐσέβεια κοῦφόν ἐστι καὶ σωφροσύνης ἀνάπλεων καὶ ἥκιστα ἀχθεινόν·

εὐφημία γὰρ εὐκολώτατος πόνων.

ἤκουσάς που, ὦ παῖ Ἀρίστωνος, καὶ Εὐριπίδου

εὐφημία γὰρ παρὰ σπονδαῖσι κάλλιστον.

---

3 Suidas ἐπιχάνῃ.
5 Suidas ἐργαστῆρας.
9 Suidas εὖ.
11 Suidas εὐερμία.
14 Suidas εὐφημία,

Digitized by Google

268.

πατρόθεν αὐτὸν καλέσας ὁ ἥρως, 'ἐς δέον σε εὗρον' φησί· 'βούλομαι γὰρ καλέσαι σ' ἐς πανδοινίαν.'

269.

ὑπὲρ τοῦ τὴν νεολαίαν τὴν Ῥωμαίων ἀξιοζήλως τε καὶ ἀμάχῳ θάρσει διαγωνίζεσθαι.

270.

καὶ ὑπὲρ ὧν ἐβίψη ἀκοῦσαι ἠναίνετο.

271.

ὃ δὲ τὸν θώρακα αὐτοῦ διέρρηξεν, ὃς ἤρκεσέν οἱ ἀμῦναι λυγρὸν ὄλεθρον.

272.

ὅ τε μυστικὸς Ἴακχος ἠκούσθη κατὰ τὴν ναυμαχίαν Περσῶν καὶ Ἑλλήνων.

καὶ μέντοι καὶ ὁ Ἴακχος ἠκούσθη ἐκ τοῦ Θριασίου πέδιου ὑμνούμενός τε καὶ ᾀδόμενος.

273.

θίασόν τε μίμων καὶ κορδακιστῶν περὶ αὐτὸν μάλα πλῆθος εἶχε.

274.

ὃ δὲ μίαν τῶν σχιζῶν ἀνελόμενος καθικνεῖται τἀδελφοῦ· καὶ ὁ μὲν νεκρὸς ἔκειτο.

---

2 Suidas *εἰς δέον*.
6 Suidas *νεολαία*.
9 Suidas *ἠναίνετο*.
11 Suidas *ἤρκεσεν*.
14 Suidas *Ἴακχος*.
19 Suidas *θίασος*.
22 Suidas *καθικνεῖται*,

Digitized by Google

275.

ὃ δὲ λαθὼν ἑαυτὸν παρῆλθε σὺν τῷ ξίφει, ὅπερ ἐπήγετο διὰ τοὺς κακούργους τοὺς κατὰ τὴν ὁδόν.

276.

ὃ δὲ τούτους συλλαβὼν αἰκίζεται λύμῃ πάσῃ καὶ κατατάσει καὶ στρεβλώσει ποικίλῃ καὶ δικαιώσει τηπρεπωδεστάτῃ, ἐν περιόπτῳ λόφῳ σταυρώσας αὐτούς

277.

De Posthumio Albino.

ὃ δὲ δεύσας τοῦ αἵματος τοὺς δακτύλους προσέγραψεν.

278.

καί που τις αὐτῷ κατεσημήνατο δωμάτιον τὰ τιμιώτατα ἔχον.

279.

καὶ τοὺς μὲν ἐπῆνει σφόδρα, τοὺς δὲ κατέτεινε ταῖς κολάσεσι.

280.

εἶτα τῶν φρενῶν ἐξέπλευσε, καὶ μανεὶς ἑαυτὸν μαχαίρᾳ κατεχόρδησε.

281.

λογισμὸς δὲ αὐτὸν ἐκεῖνος κατέσπερχεν, ἀνθρώπους ἀκολάστους φύσιν τοὺς Τυρρηνούς, πολεμίων

---

3 Suidas κακοῦργοι.
6 Suidas κατάτασις.
10 Suidas δεύσας.
13 Suidas κατεσήμαινεν.
16 Suidas κατέτεινε.
20 Suidas κατεχόρδησεν.
22 Suidas κατέσπερχε.

Digitized by Google

ἔφοδον μηδαμῇ μηδαμῶς ὑφορωμένους, ὑβρίζειν καὶ ῥᾳστωνεύειν.

ὑπέλαβε πονηροὺς ὄντας ὑβρίζειν καὶ ῥᾳστωνεύεσθαι.

282.

σμοῦντα τόνον τοῦ σχοινίου, δι' οὗ τὸ κρικίον τοῦ ἱέ-
ρακος πτήσει συνολισθαῖνον ἀνεμποδίστως συνεπί-
σταται προσάγειν αὐτὸν καὶ ἄκοντα τῇ τοῦ θηρατοῦ
χειρί. ἐπειδὰν δὲ παραγένηται καὶ λαβόμενος τοῦ
κρέως ἐμφορεῖσθαι θέλῃ, συγχωρείσθω, ὅσον ἀπο-
γεύσασθαι δὶς ἢ τρις, ὡς τῆς τροφῆς αὖθις ὑπομνη-
σθῆναι. εἶτα ἐπιστημόνως ἀφαιρει τῶν ὀνύχων τὸ
κρέας, ἵνα μὴ τοὺς πόδας αὐτοῦ ἢ τοὺς ὄνυχας βλά-
ψῃς ἢ τὴν σεαυτοῦ χεῖρα, τὴν τροφὴν ἀφαιρεῖσθαι
πειρώμενος. σκεπάσας τοίνυν ἱματίῳ τὸ κρέας τοῖς
ποσὶ τοῦ ἱέρακος ἠρέμα τοῖς δακτύλοις τῆς δεξιᾶς
χειρός, καὶ τὸ μὲν τοῦ κρέως τῆς ἀριστερᾶς χειρὸς
δακτύλῳ ἔκκοπτε, τῷ δὲ μείζονι δακτύλῳ τῆς αὐτῆς
χειρὸς εἰς τὸ κάτω ἔθιζε διατέμνειν, ὥσπερ τινὶ ξί-
φει τοῖς ὄνυξι. καὶ οὕτω τὸ κρέας τῶν ποδῶν περι-
αιρείσθω καὶ ἐμβαλλέσθω τῇ ἀπηρτημένῃ χειρὶ τοῦ
θηρατοῦ εἰς τὸν εὐώνυμον τῆς χειρὸς ὦμον, ὅτι τὴν
σχοῖνον αὐτὴν τῶν ἱμάντων ἐξάψαντες μόνοι προσ-
καλοῦνται τὸν ἱέρακα. ἔστι δὲ λίαν ἐπαχθὲς καὶ βλα-
βερὸν τῷ ζῴῳ καὶ ὀλέθριον τὸ τοιοῦτον ἐφεύρεμα·
ὅταν γὰρ ἕλκωσιν αὐτὸν φερόμενον διὰ τάχους τῇ

Digitized by Google

πτήσει πρὸς τὸν θηρατήν, κατασχεθεὶς ὑπό τινος λίθου ἑξεστηκότος τῆς γῆς ἢ δένδρου τινὸς ἢ βοτάνης καθέλκεται ἀπὸ τῆς πορείας, καὶ προσραγεὶς τῷ ἐδάφει ἀναιρεῖται. εἰ δέ ποτε ἐκ τοῦ παραδόξου διασωθεὶς τὴν γεγενημένην ἀποτυχίαν ἐκ τῆς πτήσεως ὥσπερ ἐκ μελέτης τινὸς ἔθος δεξάμενος καὶ δι' ἀσφαλείας τὸν ἄνδρα ἐλπίζων ἀεί, ὄπισθεν ἑλκυσθήσεται. ἐπειδὰν δὲ ἐν ἔθει πολλῷ κατασταίη εἰς τὸ καλούμενος ὑπακούειν, καὶ τῆς φυσικῆς αὐτονομίας παντελῶς ἐπιλάθηται, τηνικαῦτα ἐλεύθερον τοῦ δεσμοῦ τοῦ σχοινίου ἐξάψαντες ἀπὸ ὑψηλοῦ τόπου ἢ δένδρου, καλοῦντες συνεθίζομεν τῆς φωνῆς αὐτὸν ἐπακούοντα διὰ τάχους προσέρχεσθαι. ἄριστα δὲ καὶ τοῦτο αὐτὸν διδάξαντας χρὴ λοιπὸν ἐπὶ τὰ μικρὰ ἀφιέντας ὄρνεα τὴν θήραν διδάσκειν, κολοιοὺς δέ φημι καὶ κορώνας καὶ τὰ ὅμοια τούτοις· εὑρὼν γὰρ ἐν τούτοις τὸ θρασὺ καὶ μαθὼν παρὰ τοῦ θηρατοῦ, κατὰ τῶν μειζόνων εὐτολμότερος ὀρνέων χωρεῖ.

Περὶ ἐπιτηδείου καιροῦ πρὸς θήραν καὶ περὶ παιδείας ἱέρακος καὶ τιθασσεύσεως αὐτοῦ.

Ὁ καιρὸς τῆς θήρας τῶν μικρῶν ἱεράκων, ὅταν θέλωσιν αὐτοὺς ἀποκαθελεῖν τῆς καλιᾶς, ἄρχεται ἀπὸ τῆς εἰκοστῆς δευτέρας τοῦ μαΐου μηνὸς μέχρι παντὸς τοῦ ἰουλίου· τῶν δὲ μεγάλων καὶ ἐπισταμένων τοῦ θηρεύειν ὁ καιρός ἐστιν ἄχρι τῆς τοῦ αὐγούστου φθίσεως. ὅταν δὲ αὐτοὺς θηρεύσωσιν οἱ θηρευταί, δεῖ κατεῖρξαι αὐτοὺς ἐν ζοφερᾷ οἰκίᾳ καὶ καθίζειν αὐτοὺς ἐπὶ τοῦ ξύλου ἡσύχως. παρελθόντων δ' ὀλίγων ἡμερῶν κρατείτωσαν αὐτοὺς ἐπὶ τῶν χειρῶν ἐπ' ὀλίγην ἀκμὴν πρὸ τῆς ἀνατολῆς τοῦ ἡλίου, καὶ αὖθις πρὸ τῆς δύσεως, μάλιστα δὲ ἐν ὥρᾳ θέρους· ἐὰν γὰρ τοῦτον κατάσχῃς πλεῖον τῆς προσηκούσης ὥρας, θερμοῦ τότε τοῦ ἀέρος αἴθοντος, οὗτος ἔκ τε τοῦ ἀέρος θερμαινόμενος ἔκ τε τοῦ παραπετάσματος ὃ καλύπτει αὐτὸν βλάπτεται τὸν πνεύμονα καὶ ἀπόλλυται τάχιστα. κατὰ δὲ τὸν καιρὸν τῆς θήρας οἱ

Digitized by Google

πλείονες τούτων τοῦ ζῆν ἀπαλλάττονται. δεῖ δὲ τοὺς θηρευτὰς δῆσαι τοὺς πόδας αὐτῶν διὰ μικρῶν τελαμώνων ἐπτεταμένων δακτύλοις πεντεκαίδεκα. ἔστωσαν δὲ οἱ ῥηθέντες τελαμῶνες μέλανες καὶ μὴ πορφυροῖ διὰ τὸν φόβον τῶν ἀετῶν· ἐὰν γὰρ ἔχωσι πορφυροῦς τελαμῶνας, καταμάρπτει αὐτοὺς ὁ ἀετὸς ὅταν πέτωνται, νομίζων αυτοὺς κρίας κατέχειν. ἐχέτωσαν δὲ τούτους οἱ θηρευταὶ ἐπὶ τοῦ ἀριστεροῦ χειρός, ἔνδοθεν δὲ ὁράτωσαν οὗτοι καὶ οὐχὶ ἔξωθεν. οὐ δεῖ δὲ τούτους ἑστάναι ἐπὶ τοῦ μεγάλου δακτύλου, ἵνα μὴ κατὰ τὸν καιρὸν τῆς θήρας ὠθήσαντες αὐτοὺς ἀπιέναι ἀποπτήσωσιν οὐ μετὰ ῥοίζου. δεῖ δὲ τοὺς θηρευτὰς τιθασσεύειν αὐτοὺς τῷ συριγμῷ καὶ ἀποψᾶν τῇ χειρί· καὶ γὰρ πάνυ εὐαίσθητός ἐστι καὶ μνημονευτικὸς ὁ ἵεραξ, καὶ καθὼς ἂν τὴν ἀρχὴν ἐθισθῇ, τοῦτο τὸ ἔθος τηρεῖ καὶ μέχρι τέλους. μηδὲ νομιζέτωσαν τούτους ἐγγὺς τοῦ πυρὸς μηδὲ τοῦ λύχνου διὰ τὴν ἀπὸ τοῦ καπνοῦ βλάβην· τὸ γὰρ ἄγριον τῆς γνώμης αὐτῶν τιθασσεύει τὸ ὀλίγον φῶς τὸ ὂν ἐν τῷ ζοφώδει τόπῳ. ἔστω δὲ τὸ ξύλον ἐφ' ᾧ κάθηνται μήτε πάνυ παχὺ μήτε πάνυ λεπτὸν μήτε ἄνισον, ἀλλὰ μέτριον ἔστω κατὰ τὸ πάχος, ἵνα δύνηται ὁ πους αὐτῶν εὐχερῶς τοῦτο περιλαμβάνειν καὶ συνάγειν τὸν ὄπισθεν ὄνυχα τῷ ἔμπροσθεν. ἔστω δὲ καὶ ὁ δεσμὸς αὐτοῦ ὁ ἐν τῷ ξύλῳ μὴ πάνυ συνέχων, ἵνα ὅταν ἀποπτήσῃ, ἐπιστρεφόμενος εὐκόλως πάλιν καθέζηται ἐπὶ τοῦ ξύλου καὶ μὴ κωλύηται ὑπὸ τῆς συστροφῆς τῶν τελαμώνων. ἔστω δὲ ὑποκάτω τῶν δεσμῶν τῶν ἱεράκων παραπέτασμά τι, ἵνα ὅταν πετασθῶσι μὴ ἐλίσσωνται ἐν τῷ ξύλῳ. ἐν δὲ τοῖς δεσμοῖς τούτων ἀπεχέτω ἕκαστος τοῦ ἑτέρου δακτύλοις πέντε πρὸς τοῖς εἴκοσιν· ἂν γὰρ ἐγγύτεροι ὦσι, φθαρήσονται ὑπ' ἀλλήλων, μάλιστα δὲ ὅταν πεινῶσι. διδότω δὲ αὐτῷ τὴν τροφὴν ἕωθεν τῆς ἡμέρας, καὶ τὴν τροφὴν αὐτοῦ καθ' ἡμέραν ἀλλαττέτω, ὅτι ἡ αὐτὴ διδομένη ἀεὶ πολλάκις ἀνορεξίαν ποιεῖ, ἡ δὲ ἐκ διαφόρων ζῴων πλείονα ὄρεξιν ποιεῖ. τὴν γὰρ ἐκ διαφόρων ζῴων διδομένην αὐτοῖς λαμβάνουσι μετὰ πολλῆς ὀρέξεως καὶ ῥᾳδίως αὐτὴν πέττουσι. λουέσθωσαν δὲ καὶ ἐν γλυκέσιν ὕδασιν ἐν τρισὶν ἢ τέτταρσιν ἡμέραις, ἵνα καθαίρωνται τὰ πτερὰ αὐτῶν τοῦ ῥύπου καὶ πέτωνται ταχέως. ὀλίγων δὲ ἡμερῶν παρελθουσῶν τὴν τροφὴν αὐτοῖς μείω

Digitized by Google

πάρεχε τῆς προτέρας καὶ συνήθους. ἔθιζε δὲ αὐτοὺς ἐπαΐειν τῆς φωνῆς σου καὶ προσέρχεσθαί σοι. τοῦτο δὲ ποιήσεις οὕτως. ἐγγύς σου παριστάμενος ἄλλος ἐχέτω τῇ χειρὶ τοῦτον νεοττὸν ὄντα ἔτι· σὺ δὲ πρέας κάτεχε ἔμπροσθεν αὐτοῦ, ἕως ἂν μάθῃ πηδᾶν ἐκ τῆς χειρὸς ἐκείνου καὶ τῇ σῇ ἐπικαθίζειν. ὅταν δὲ τοῦτο μάθῃ, δῆσον αὐτὸν μετὰ σχοινίου ἐπιμήκους καὶ λεπτοῦ πηχῶν εἰκοσιπέντε τὸ μάκρος. ἕστωσαν δὲ δεδεμένοι τῷ λώρῳ ὃν ἔχουσιν ἐν τοῖς ποσίν, ἐχέτω δὲ ὁ θηρευτὴς τὸ ἄκρον τοῦ σχοινίου μετὰ τῆς δεξιᾶς χειρός, μετὰ δὲ τῆς ἀριστερᾶς πρέας, ἐφ' ἧς ὀφείλει καὶ χειρῖδα φορεῖν. δεικνύτω δὲ τούτῳ τὸ πρέας καὶ κραζέτω μεγάλως, ἵνα, ἂν πρὸς τὸ πρέας ἔλθῃ, εὖ ἔσται· ἂν δὲ μή, ἐχέτω τὸ σχοινίον καλῶς. ὅταν δὲ ἔλθῃ πρὸς τὴν χεῖρά σου, σίτισον αὐτὸν ὀλίγον δὶς ἢ καὶ ἐκ τρίτου, ὅπως καὶ τροφῆς ἑτέρας χρῄζῃ· εἶτα λαθὼν αὐτὸν ἅρπασον δεξιῶς τὸ πρέας, καὶ σκόπει ἵνα μὴ τοὺς ὄνυχας αὐτοῦ βλάψῃς ἢ τὴν σὴν χεῖρα, ὅταν τὸ πρέας ἁρπάζειν μέλλῃς. καὶ οὕτω κατ' ὀλίγον ἐθισθεὶς μαθήσει καὶ πρὸς τὴν σὴν χεῖρα πηδᾶν. ἄλλοι δὲ τὸ κατ' ἀρχὰς μόνοι ἄνευ ἑτέρου πράζουσιν αὐτοὺς δεικνύοντες πρέας καὶ ἕλκοντες τὸ σχοινίον. ἐκ τούτου δὲ βλάβη αὐτοῖς ἐπιγίγνεται· ὅταν γὰρ ἕλκωσιν αὐτοὺς ἄκοντας, ἢ πέτρα τινὶ ἐμφύονται ἢ ξύλῳ, καὶ ἀποδαρέντες φθείρονται. ἂν δὲ πολλάκις οὐδὲν βλαβερὸν πάθωσιν, ἐθίζονται τῷ ἕλκύσματι ᾧ ἕλκεις αὐτά, βουλόμενοι ἀποπτῆσαι· καὶ ἐὰν αὐτοὺς πρὸς θήραν ἐάσῃς, νομίζοντες ὡς ἑλκύσεις αὐθις αὐτοὺς εἰς τοὐπίσω, ἐπιστρέφονται αὐτομάτως καὶ τὴν θήραν ἐῶσιν. ὅταν δὲ μάθωσιν ἀκριβῶς τῇ σῇ φωνῇ καλεῖσθαι, τότε θέλε αὐτοὺς ἀφιέναι εἰς τὰ μικρὰ τῶν ὀρνίθων, ἤτοι κολοιοὺς καὶ κορώνας· θαρσήσαντες γὰρ πρὸς αὐτὰ πάντως καὶ εἰς ἕτερα μείζονα τούτων * *.

Πῶς χρὴ κανονίζειν τοὺς ἱέρακας καὶ πῶς χρὴ διδάσκειν θηρᾶν, καὶ πῶς δεῖ βοηθεῖν θηρῶσιν αὐτοῖς.

17 Πρὸ μιᾶς ἡμέρας τοῦ ἐξιέναι ἐπὶ τὴν θήραν, ὀλίγης τροφῆς μεταδίδου τῷ ἱέρακι, καὶ δι' ὅλου τοῦτον φερέσθω ἐπὶ τῆς χειρός· τῇ δὲ ἐπιούσῃ ἡμέρᾳ

Digitized by Google

διὰ τὸ ἐν αὐτῷ συναγόμενον φλέγμα ὀλίγην πάνυ τροφὴν πάρεχε αὐτῷ, ὅσον Ποντικοῦ καρύου τὸ μέγεθος, καὶ ὁμοίως φερέσθω ἐπὶ τῆς χειρὸς ἐν ἡσυχίᾳ σχεδὸν διὰ ὅλης τῆς ἡμέρας· νυκτὸς δὲ καταλαβούσης ἀταράχου ὕπνου μετεχέτω. τῇ δὲ ἑξῆς πρὸ ἀνατολῶν ἡλίου τὸν θεὸν ἐπικαλεσάμενος, καὶ τὸν ἱέρακα λαβὼν ὅρμα προθύμως ἐπὶ τὸν τῶν ὀρνέων ὁπλισάμενος πόλεμον. ὀλίγον δὲ προελθὼν τῆς πύλης τοῦ κατὰ τὴν σχοῖνον δεσμοῦ ἐλεύθερον ἀποδείξας τὸ ζῷον καὶ τοὺς ἀπηρτημένους ἱμάντας συναγαγὼν εἰς ἓν καὶ τῷ τῆς εὐωνύμου χειρὸς καλύψας καλύμματι, τὰς τῶν ὀρνέων παντα-χόθεν περισκόπει εὐνάς. εὑρὼν δὲ ἐπιτήδειον τόπον πρὸς ἐνέδραν τὴν δεξιὰν χεῖρα προανασχὼν τοῦ ἱέρακος, ἀλλαχόθεν τε ῥᾶν πλαττόμενος, κλέπτων δολίοις ἠρέμα ὀφθαλμοῖς τὴν ἀκριβῆ θέαν πρὸς ἐπιχειρήσεις ἀσφαλέστερον πορεύου· ἐπειδὰν δὲ πλησίον τῶν ὀρνέων ἀφίκῃ, προσδραμὼν ῥαγδαίως τῶν ὀρνίθων τὸ πλῆθος διανίστα, καὶ μετὰ συντονίας καὶ ἰσχύος πολλῆς ἐκ τῆς χειρὸς ἐκπέμψας τὸν ἱέρακα, βοῇ μεγάλῃ παρακέλευε ἐμβαλεῖν θαρραλέως ὡς πρὸς πολεμίους τοὺς ὄρνιθας. τοῦτο δὲ ποιήσας σὺν πολλῷ καὶ αὐτὸς τῷ τάχει συνέπου τῷ ἱέρακι, καὶ πρὸ τοῦ παθεῖν τι ἀνήκεστον πλησιάζων ἐπάμυνον αὐτῷ. ἐὰν γὰρ μόνον αὐτὸν καὶ γυμνὸν τῆς σῆς βοηθείας ἴδωσιν οἱ τοῦ ἁλόντος ὁμογενεῖς ὄρνιθες, γεράνῳ γέρανοι καὶ χηνὶ χῆνες (ταῦτα γὰρ μάλιστα τὰ δύο γένη φιλεῖ συναγελάζεσθαι ἀλλήλοις), κατεργάζονται αὐτόν. οὐ μόνον δὲ ἂν μὴ παρῇς σὺ ὁ θηρατής, τοῦτο πράττουσι τῷ ἱέρακι, ἀλλὰ κἂν πολλῷ τῷ διαστήματι ἔργοις ἐπαμύνειν τῷ ὁμοφύλῳ ὀργῶσι. κατακόπτουσιν ἐγγίζοντες αὐτὸν κύκλῳ μασῶνται τὰς αὐτοῦ πτέ-

Digitized by Google

ρυγας, καὶ τοῖς στόμασι βάλλοντες ἀφέλκονται αὐτοῦ τὸν βίᾳ κατεχόμενον ὄρνιν. πλησιάσας δὲ τῷ ἱέρακι καὶ προσελθὼν ἠρέμα, ἀποσκεδάσας τε τὸ τῶν ἀγρίων ὀρνίθων γένος, εἶτα λαβὼν τὸν κατεχόμενον, ἐπὶ γῆς καθεσθεὶς ἠρέμα θατέρῳ τῶν ποδῶν τὰ πτερὰ τῆς οὐρᾶς ἐπικούφισον τοῦ ἱέρακος, ὡς μὴ θρύπτειν τὴν ἀκμὴν αὐτῶν· τούτοις γὰρ δέδωκεν ἡ φύσις ὥσπερ πηδαλίοις χρωμένῳ τὴν ἀέριον ἰθύνειν ὁρμὴν τῆς πτήσεως ἐφ' ᾧ βούλεται μέρει τῇ τῶν πτερύγων τομῇ. ἔπειτα τὸ ξιφίδιον ἑξελὼν τῆς θήκης (ἑξηρτήσθω γὰρ καὶ τοῦτο κατὰ τῆς εὐωνύμου πλευρᾶς ἕτοιμον πρὸς φόνον τῶν ἁλισκομένων ὀρνέων) πρῶτον μὲν τὸν φάρυγγα τοῦ ἁλόντος ὄρνιθος τέμε, καὶ δίδου πίνειν τῷ ἱέρακι θερμοῦ ἀναβλύζοντος αἵ- 24
ματος κἀκ τῶν περὶ τὸν τράχηλον κρεῶν, μετὰ ταῦτα δὲ καὶ τοῦ ἐγκεφάλου καὶ τῆς καρδίας ἥπατός τε καὶ γαστρός· ἔπειτα λεληθότως τῇ εὐωνύμῳ χειρὶ ἐμβαλὼν τὸ κρέας, ὡς ἔθος· ἐπεὶ οὐδαμῶς γε ἐλευθερῶσαι τὴν ἄγραν δυνήσῃ. χαυνώσας δὲ εἰς τοσοῦτον πετόμενος ὁ ἱέραξ, ἐκ τῆς παραυτίκα θοίνης κατασχεῖν τὸ κρέας ἰσχυρῶς δυνηθῇ. εἶτα τῇ χειρὶ ἁφαρπάσας τοὺς πόδας τῆς κεκρυμμένης θήρας ἔμβαλε κρέας λεληθότως καὶ εὐφυῶς κλέπτων ὑπόκρυπτε, ὡς μηδ' ὅλως αἰσθέσθαι τὸν ἱέρακα τοῦ σοφίσματος· εἶτα ἐφ' ἑτέραν αὖθις ὁρμᾶν θήραν σπούδαζε αὐτόν, ἵνα μὴ κορεσθεὶς ἀμελήσῃ τῆς ἄγρας. χώρει δὲ ἐπὶ τὸ σπουδαζόμενον, τῷ αἵματι τοῦ θηραθέντος ὀρνέου τοὺς πόδας τοῦ ἱέρακος ἐπιχρίων πρὸς ὑπόμνησιν ἅμα καὶ προτροπὴν τῆς ἑσομένης θήρας, καὶ αὖθις· μνημονευτικὸν γὰρ τὸ ζῷον καὶ λίαν εἰδὸς εὐαρμόστως τοῖς προσπίπτουσι κεχρῆσθαι, ὕβρεώς τε καὶ κολακείας διακριτικόν. τρίτην δὲ ἢ τετάρτην τοῦ ἱέ-

Digitized by Google

ρακος τὸ πολὺ θήραν ποιησαμένου φείδου ἐφ' ἑτέραν ἀπολύειν, κἂν πάνυ ὀρέγηται διὰ πολλὴν προθυμίαν συνεχῶς τῆς χειρὸς ἀφιπτάμενος, ἵνα μὴ καμὼν ἄγαν ἐν μιᾷ ἡμέρᾳ ἄχρηστος ἐπὶ πολὺν κατασταίη χρόνον· ἀναπαύεται γὰρ ἐν ἡσυχίᾳ τὸ τοῦ ἱέρακος σῶμα· τὰ γὰρ μοχθηρὰ τῶν καθ' ἕκαστα καμάτων καὶ εἰς χαλεπὴν αὐτοὺς ἐμβάλλει νόσον. εἰ δὲ συμβῇ ποτὲ ἀστοχῆσαι τῆς θήρας τὸν ἱέρακα διὰ πολλὰ τὰ συμπίπτοντα (ἢ γὰρ ὀξύτητι διώκων ἐξαίφνης ἀετὸν ἐθεάσατο, καὶ τῆς θήρας ἐπιλαθόμενος φόβῳ τοῦ * * κρεῖττον ἑαυτὸν σώζειν μᾶλλον ἢ θήρας ἐπιθυμεῖν, ἢ πολλάκις ἀπὸ τῆς χειρὸς ἀτεχνῶς ἐκπεμφθεὶς καὶ τὰς ψόας παραχρῆμα βλαβεὶς τῆς ἄγρας ἀποτυγχάνει· ἔστι δὲ ὅτε καὶ τοῖς τῶν ἱμάντων δεσμοῖς συμπλακεὶς ἁμαρτάνει τῆς θήρας· γίνεται δὲ καὶ ἄλλα πολλὰ πρὸς ἀποτυχίαν ἐμπόδια, ἅπερ κατὰ μικρὸν τοὺς σπουδαιοτέρους ἡ πεῖρα διδάξει), ἀνακτώμενος οὖν ἐπὶ μιᾶς ἡμέρας ἢ τὸ πολὺ δύο τὸν ἱέρακα τοῖς αὐτοῦ στέρνοις προσαγαγὼν ὁ θηρατὴς κολακευέτω λόγοις καὶ φωναῖς, καὶ ὡς πρὸς ἀριστέα καὶ ὄρνιν γενναῖον ποιείτω τὴν διάλεξιν, ὡς πονηροῦ τινὸς δαίμονος ἐπιβουλῇ διαμαρτάνοντα τῆς νίκης· καὶ γὰρ ἐπαίνων αἰσθάνεσθαι καὶ ὕβρεων ἱκανὸν πέφυκε τὸ ζῷον καὶ τὴν ἐκ τῶν σχημάτων συνιέναι τῶν ἀνδρῶν βούλησιν, ὡς ἐν ἑτέρῳ δηλωθήσεται, τὰς διὰ λογισμῶν φυσικῶν πράξεις αὐτῶν ἐκτιθέμενοι. ἐὰν μὲν οὖν τὴν πορισθεῖσαν ἀνάπαυσιν ἔχηται συνήθειαν ὁ ἱέραξ τῆς θήρας, μηδὲν διὰ τὴν ἀποτυχίαν λυπούμενος, εὖ ἂν ἔχοι, χωροῦντος τοῦ σκοποῦ κατὰ βούλησιν· εἰ δὲ ἀργότερος ἐξ ἀνάγκης μᾶλλον ἢ προαιρέσεως ἱπτάμενος φαίνοιτο διὰ τὸν προγεγενημένον κάματον, τροφῆς παραχρῆμα κορέσαι, ἐπὶ ἡσυχίᾳ μόνον μένειν

Digitized by Google

αὐτὸν παρασκευαζέτω, καὶ ἐλθὼν ἐπὶ τὴν οἰκίαν θεραπευέτω, ὃν τρόπον ἐξῆς περὶ θεραπείας ἐκθήσομεν. δένδροις δὲ ἐφιπτάμενον μετὰ τὴν τῆς θήρας ἀποτυχίαν ὡς ἀχθόμενον καλεῖν χρὴ τῇ προρρηθείσῃ τέχνῃ· εἰ δὲ συμβῇ βραδύτερον αὐτὸν τῆς φωνῆς ἀκούειν διὰ τὸ πικρὰν καὶ τραχεῖαν πρὸς ὑπακοὴν ἔχειν τὴν φύσιν ἢ διὰ τὴν γεγενημένην ἀποτυχίαν ἢ διὰ τὴν ὕβριν τὴν αὐτῷ παρὰ τοῦ θηρατοῦ γεγονυῖαν (κινεῖ γὰρ ταῦτα πρὸς ἀπέχθειαν τὸν ἱέρακα, ἐφεζόμενός τε τῷ δένδρῳ ἐπὶ πολὺ τῆς ἡμέρας ἐνορᾷ μὲν τῷ θηρατῇ φέροντι τὸ κρέας, οὐκ ὑπακούει δὲ πρὸς τὴν κάθοδον τὴν ὀργὴν διὰ τῆς ἐπὶ πολὺ ἡσυχίας καὶ τῆς τῶν ὀφθαλμῶν ἐμφαίνων ἐμβολῆς), τότε χρὴ κρέας ἐνδησάμενον εἰς σχοινίου λεπτὸν ἐξ ἑνὸς μέρους, ἐκ δὲ τοῦ ἑτέρου λίθον ἢ ξύλον, ὅπερ οὐ ῥᾳδίως κουφίσαι δύναται, ἐκποδὼν ἀπιέναι· οὕτω γὰρ ἡσυχῇ μὲν ὁρῶν οὐ παρόντα τὸν ἄνδρα ἐπιπτὰς τὸ κρέας σχεθήσεται. εἰ δὲ ὥσπερ δεύτερον φύσει τὸ τῆς κακίας ἔθος φυλάττει, ἀφιέσθω πρὸς παιδοποιίαν γενησόμενος ἐπιτήδειος· βέλτιον γὰρ γονὴν ἐξ αὐτοῦ προσδοκῆσαι ἢ τοιούτῳ κακῷ κεχρῆσθαι πρὸς θήραν, ἀνίας οὐ τέρψεως παραιτίῳ καθεστηκότι. πολλοὺς ὡς οἶμαι τρόπους πρὸς θήραν ἱέρακος ἐξεθέμην· καιρὸς δὲ λοιπὸν καὶ πρὸς τοὺς τῆς θεραπείας μεταβῆναι τρόπους, ἕκαστον πάθος οἰκείως ὅθεν τε γίνεται καὶ ὅπως θεραπεύεται ἐκτιθέμενος καὶ ἀναδιδάσκων σαφῶς.

Πῶς δεῖ παιδεύειν τοὺς ἱέρακας πρὸς τὸ θηρεύειν, καὶ πῶς δεῖ βοηθεῖν αὐτοῖς πρὸς τὴν θήραν.

Πρὸ μιᾶς ἡμέρας πρὶν ἐξελθεῖν σε εἰς θήραν ὀλίγῃ τροφῇ τὸν ἱέρακα ἔθιζε, καὶ ἐν τῇ χειρί σου ἔχε αὐτὸν διὰ

Digitized by Google

παντός· τῇ δὲ ἐπιούσῃ διὰ τὸ φλέγμα ὅπερ ἐν αὐτῷ ἀθροίζεται πάρεχε αὐτῷ τροφὴν μάλα ὀλίγην δίκην λεπτοκάρου. καὶ αὖθις κάτεχε αὐτὸν τῇ χειρί σου, τιθασσεύων αὐτὸν ἢ δύνασαι, ὅλην τὴν ἡμέραν. ὅταν δὲ ἡ νὺξ ἔλθῃ, κάθισον αὐτὸν ἐν ἐπιτηδείῳ τόπῳ, ἵνα ἀταράχως τὴν νύκτα ἔξῃ· ἡμέρας δὲ γενομένης πρὸ τῆς ἀνατολῆς τοῦ ἡλίου, λαβὼν αὐτὸν ἔξελθε εἰς θήραν, καὶ παροδεύσας μικρὸν σύναξον τοὺς λώρους τοῦ ἱέρακος καὶ κάτεχε αὐτοὺς τῇ σῇ παλάμῃ ἑτοίμως, καὶ βλέπε ποῦ οἱ ὄρνιθες κάθηνται, οὓς αὐτὸς θέλεις θηρεῦσαι, καὶ πορεύθητι ὄπισθεν αὐτῶν. ὅταν δὲ αὐτοῖς ἐγγίσῃς, εἰ ὁ ἱέραξ ἀλλαχόθι θεωρεῖ, στρέψον εὐθέως τοῦτον τῇ δεξιᾷ σου χειρὶ πρὸς τοὺς ὄρνιθας, ἵνα αὐτοὺς θεάσηται, καὶ τότε αὐτὸν ἔασον. θὲς δὲ καὶ αὐτὸς ἐξόπισθεν τούτου μετὰ βοῆς, καὶ σπεῦσον ἵνα ταχέως αὐτὸν φθάσῃς, ὅπως μὴ ἀποκτείνωσιν αὐτὸν οἱ ὄρνιθες συναχθέντες· ἐλθόντες γὰρ πρὸς βοήθειαν τοῦ θηρευθέντος ἀποκτείνουσι τὸν ἱέρακα ἐντυγόντες αὐτῷ μόνῳ. ἐν τούτῳ δὲ καὶ ἡ θήρα καταλιμπάνεται· συμμαχεῖ γὰρ τῇ γεράνῳ ἡ γέρανος καὶ τῷ χηνὶ ὁ χήν. καὶ οὐ μόνον τοῦτο πάσχει ὁ ἱέραξ ὑπὸ τῶν ὀρνίθων, ἀπόντος τοῦ θηρευτοῦ, ἀλλὰ καὶ πόρρωθεν ὄντος τοῖς ῥάμφεσιν αὐτὸν σπαράττουσι, καὶ τὰ πτερὰ αὐτοῦ ἐσθίουσιν. ὅταν δὲ ἔλθῃς ἐγγὺς τοῦ ἱέρακος, καὶ ἴδῃς ὡς ἔτι κατέχει τὴν θήραν, ἀποδίωξον τοὺς ἄλλους ὄρνιθας, καὶ καθίσας τεῖνον τὸν πόδα σου, καὶ ἀνακούφισον τὴν τοῦ ἱέρακος οὐράν, ἵνα μὴ θλασθῇ ἐπὶ τῆς γῆς, καὶ σπασάμενος τὴν μάχαιράν σου, τέμνε τοῦ θηρευθέντος ὄρνιθος τὸν λαιμὸν καὶ δος τῷ ἱέρακι ἐκ τοῦ αἵματος αὐτοῦ θερμοῦ ἔτι ὄντος ἵνα πίῃ, καὶ ἐκ τῶν κρεάτων τοῦ λαιμοῦ αὐτοῦ ἵνα φάγῃ· καὶ δὸς αὐτῷ καὶ ἐκ τοῦ μυελοῦ καὶ ἐκ τοῦ ἥπατος καὶ ἐκ τῆς καρδίας καὶ ἐκ τῆς κοιλίας αὐτοῦ. αὐτὸς δέ, ἕως ἐσθίει ταῦτα, λάθε αὐτὸν κλέψας τὸ ἀπολειφθὲν τοῦ θηρευθέντος· ἐκὼν γὰρ ὁ ἱέραξ οὐκ ἀφήσει αὐτό. καὶ μὴ ἐάσῃς αὐτὸν κορεσθῆναι, εἰ βούλει θηρεῦσαι καὶ ἕτερον· κορεσθεὶς γὰρ οὗτος οὐ πέτεται, ἐρεθίζοντός σου αὐτὸν πρὸς θήραν. ὅταν δὲ μέλλῃς αὐτὸν ἀφῆσαι εἰς δευτέραν θήραν, χρῖε τοὺς πόδας αὐτοῦ τῷ αἵματι τοῦ θηρευθέντος πρότερον, ἵνα προθυμότερος γένηται· μετὰ δὲ τὸ θηρεῦσαι τρὶς ἢ τετράκις μὴ ἀφήσῃς αὐτὸν ἔτι, ἐὰν δὲ διὰ πολλὴν προθυμίαν ἣν ἔχει

Digitized by Google

ἐν τῇ χειρί σου ἀναπτερᾶ, ὀρεγόμενος τοῦ θηρεῦσαι ἔτι, ἵνα μὴ ἀπείπῃ ἐν μιᾷ ἡμέρᾳ καὶ θήρας ἔρημος γένηται ἐπὶ πολύ. ἂν δέ ποτε συμβῇ αὐτῷ ἀποτυχεῖν τῆς θήρας ἢ διὰ φόβον τοῦ ἀετοῦ ἢ διὰ τὸ ἄτεχνον τῆς ἀφέσεως τοῦ θηρευτοῦ (βλάπτονται γὰρ ὑπὸ τούτου οἱ νεφροὶ αὐτοῦ), ἀνάπαυσον αὐτὸν ἐν μιᾷ ἢ δυσὶν ἡμέραις, ἔπειτα κατέχων αὐτὸν ἐν τῇ χειρί σου καὶ προσάγων αὐτὸν τῷ στήθει σου, ἀποψᾶν αὐτὸν καὶ κολακεύειν θέλε, καὶ τότε αὖθις αὐτὸν ἔκφερε πρὸς θήραν. καὶ ἐὰν αὐτὸς ἀφεθεὶς τὴν πτῆσιν ἀόκνως ποιῇ, εὖγε· ἐὰν δὲ οὐ θέλῃ ἵπτασθαι, δὸς αὐτῷ φαγεῖν, καὶ ἔασον αὐτόν, ἵνα ἀναπαυθῇ. ὅταν δὲ ἐπανέλθῃς πρὸς τὴν οἰκίαν σου, θεράπευε αὐτὸν ὥσπερ ἐροῦμέν σοι μετὰ ταῦτα περὶ θεραπείας. εἰ δὲ τῆς θήρας ἀποτυχὼν κράζοντί σοι οὐ προσέρχεται, ἀλλὰ καθίζων ἐπὶ δένδρου εἰς ἕτερον αὖθις ἀφίπταται, πράξε αὐτὸν τῇ μηχανῇ ἣν εἴπομεν πρότερον. ἐὰν δὲ οὐκ ἀκούῃ τῆς φωνῆς σου διὰ τὸ εἶναι αὐτὸν ἀτίθασσον, οὐδὲ καταβαίνῃ πρὸς τὸ κρέας ὅπερ δεικνύεις αὐτῷ, δῆσον τὸ κρέας σχοινίῳ λεπτῷ, ἐκ δὲ τοῦ ἑτέρου μέρους τοῦ σχοινίου δῆσον πέτραν ἢ ξύλον, καὶ ἄπελθε πόρρω. οὗτος δὲ ἰδὼν τὸν τόπον ἀνθρώπων ἔρημον καταβήσεται πρὸς τὸ κρέας, καὶ τότε παρ' ἐλπίδα ἁλίσκεται. εἰ δὲ τὸ παράπαν ἀτιθάσσως ἔχων οὐκ ἐθελήσει ἑλθεῖν, ἐλευθέρωσον αὐτόν, ἵνα ἀποπτὰς τέκῃ σοι νεοττοὺς αὖθις· καὶ μηκέτι αὐτὸν περισπόπει ἢ κατόπιν δίωκε. εἴπομεν τοίνυν περὶ τῆς τοῦ ἱέρακος θήρας, ἐροῦμεν δὲ καὶ περὶ θεραπείας αὐτοῦ.

Εἰς δυσκλητοῦντα ἱέρακα.

18 Λαβὼν μισόδουλον βοτάνην εἴτε ξηρὰν εἴτε χλωράν, λείου καλῶς καὶ σῆθε, καὶ κυμίνου τὸ ἴσον κόψας καὶ σήσας ὁμοίως καὶ μέλιτι φυράσας καλλίστῳ δίδου ἐπὶ δυσὶν ἡμέραις. 28

Πρὸς ἱέρακα δυσκόλως καλούμενον.

Λαβὼν βοτάνην τὴν λεγομένην μισόδουλον ξήρανον αὐτήν, θὲς δὲ καὶ τοσοῦτον κύμινον, καὶ τρίψας σῆσον αὐτὰ ὁμοῦ, καὶ ἀναμίξας αὐτὰ καλῷ μέλιτι δὸς αὐτῷ δυσὶν ἡμέραις ἐσθίειν.

Digitized by Google

Ἄλλο.

Ἀγριοσταφίδος λευκῆς κόκκους δεκαπέντε, ἁλόης 19
κεράτια τρία, γηπονόμου κοκκία δέκα, λασάρου κερά-
τια τρία, φοῦ τὸ λευκόν, οἴνου καλλίστου τὸ ἀρκοῦν,
ἀφρονίτρου λευκοῦ τὸ ἥμισυ, μέλιτος ὀλίγον. πάντα 5
λειώσας καλῶς καὶ τοῖς ὑγροῖς ἀναμίξας διάχριε.

Ἄλλως.

Ἀγριοσταπίδων κόκκους ιε΄, ἁλόης κόκκους γ΄, γηπονό-
μου κόκκους ι΄, ἀσάρου κόκκους γ΄, λευκὸν φοῦ, νίτρου,
μέλι ὀλίγον. ἀναμίξας πάντα ταῦτα χρῖε τον ἱέρακα. 10

Πρὸς διασύροντα.

Περιπτύξας τὸν ἱέρακα ὀθονίοις εἰσάγαγε μικρὸν 20
εἰς βαλανεῖον, καὶ οὐδέποτε φεύξεται.

Εἰς φεύγοντα ἱέρακα.

Περιειλήσας τὸν ἱέρακα ὀθόναις καλυπτούσαις αὐτὸν 15
πανταχόθεν θὲς αὐτὸν ἐν τῷ λουτρῷ, καὶ οὐδέποτε φευ-
ξεῖται.

Εἰς ἄγριον καὶ μὴ ἡμερούμενον.

Περιπτύξας τὸν ἱέρακα ὀθονίοις ἄπαγε εἰς χαλ- 21
κεῖον, καὶ κρεμάσας αὐτὸν ἔασον ὑπὸ τῶν ψόφων 20
ἡμερωθῆναι.

Εἰς ἄγριον καὶ μὴ τιθασσευόμενον ἱέρακα.

Περιειλήσας τὸν ἱέρακα ὀθόναις κρέμασον αὐτὸν ἐν
χαλκείῳ ἔνθα οἱ χαλκεῖς ἐργάζονται, καὶ τοῖς κτύποις τι-
θασσευθήσεται. 25

Ἄλλο πρὸς ἀπολωλότα, πῶς εὑρεθῇ.

Ἐν τῷ ἀστραγάλῳ σου τῷ ἀριστερῷ μικρὸν ξυ- 22
λάριον, λαβὼν ἀπὸ τοῦ κοντοῦ ἐν ᾧ προσκαθέζεται

Digitized by Google

δῆσον λέγων 'ὡς ὁ Ἰούδας οὐκ ἔφυγε τὸν Χριστόν, οὕτως καὶ σὺ γνώρισον ἐμέ.' οὐδεὶς γὰρ ὁρκισθεὶς φεύξεται.

Πῶς δύναταί τις εὑρεῖν τὸν ἀπολεσθέντα ἱέρακα.

Ἐν τῷ ἀριστερῷ σου σφυρῷ δῆσον βραχὺ ἐκ τοῦ ξύλου ἐν ᾧ ὁ ἱέραξ ἐκάθητο, καὶ λέγε 'ὥσπερ ὁ Ἰούδας ἐγνώκως τὸν Χριστὸν ὅστις ἦν, οὐκ ἔδωκεν αὐτῷ, οὕτω καὶ σύ, ὦ ἱέραξ, γνῶθι ἐμὲ τὸν δεσπότην σου.' καὶ ἐὰν οὕτως τῇ ἐπαοιδίᾳ κατακηλαίνῃς αὐτόν, οὐκέτι φευξεῖται.

Πρὸς κλαίοντα καὶ φλυαρὸν πρὸ τοῦ αἱρεσθαι τῆς στάσεως αὐτοῦ.

23 Ἐκ τῆς αὐλακος σκόροδον λαβὼν τρῖψον καὶ διάχριε λέγων 'πρὸς κλαυθμόν σε διαχρίω.'

Πῶς δεῖ θεραπεύειν ἱέρακα κλαίοντα πρὸ τοῦ ἐγεῖραι αὐτόν.

Λαβὼν ἐκ τῆς αὔλακος σκόροδον καὶ θλάσας αὐτὸ χρῖε τὸν ἱέρακα, καὶ λέγε οὕτως 'χρίω σε, ἵνα μηκέτι κλαίῃς.

Ἄλλο.

24 Νυκτερίδα θηρεύσας παράβαλε αὐτῇ σταφίδος ἀγρίας κόκκους τρεῖς, εἶθ' οὕτως δὸς αὐτὴν φαγεῖν τῷ ἱέρακι καὶ δῆσον αὐτὸν ἀπὸ τοῦ κοντοῦ. καὶ εἰ μὲν ταχὺ οὐ πέπτει, κλαύσει ἡμέρας δύο, καὶ ἔτι οὐ φλυαρήσει.

Ἄλλως.

Θηρεύσας νυκτερίδα δὸς αὐτῇ φαγεῖν ἀγριοσταφίδας κόκκους γ'· ἔπειτα δὸς τῷ ἱέρακι φαγεῖν αὐτήν, καὶ δῆσον αὐτὸν ἐπὶ τῷ δόρατι. καὶ ἐὰν πέψιν οὐ ποιήσῃ ταχέως, κλαυσεῖται ἐν δυσὶν ἡμέραις, καὶ τοὐντεῦθεν οὐκέτι φλυαρήσει.

Digitized by Google

Εἰς τὸ ἐμποιῆσαι ἐπιθυμίαν εἰς θήραν ἱέρακα ἄγευστον.

Ὄρνιν κατοικίδα θύσας ὑπόδεξαι τὸ αἷμα αὐτῆς ἐν φύλλῳ οἰφθήποτε, ἕως ἂν πήξῃ. μέλλων δὲ ἐπὶ θήραν ἐξιέναι δίδου τῷ ἱέρακι ἐσθίειν ἐκ τοῦ πεπηγότος αἵματος. καὶ εὐόρεκτος καὶ πρόθυμος γενήσεται ἐν τῇ θήρᾳ, ἅτε προεθισθεὶς τῇ τοῦ αἵματος ἡδονῇ.

Περὶ τοῦ πῶς δεῖ ἑλκύσαι τὸν ἱέρακα μὴ ἐθισθέντα ὀρέγεσθαι τῆς θήρας.

Ὄρνιν σφάξας δὸς τὸ αἷμα αὐτῆς ἐν φύλλῳ τῷ τυχόντι καὶ ἔασον αὐτὸ πηγνύναι. ὅταν δὲ ἀπέλθῃς πρὸς θήραν, δὸς τῷ ἱέρακι ἐσθίειν τοῦ πηγνυμένου αἵματος· γενήσεται γὰρ εὐόρεκτος καὶ πρόθυμος εἰς θήραν· ἐθίζεται γὰρ πρὸς τὴν τοῦ αἵματος ἡδονήν.

Πῶς δεῖ μετὰ τὴν θήραν ἀναλαμβάνειν καὶ ἀνατρέφειν τοὺς ἱέρακας καὶ ὅπως διαιτᾶν καὶ οἷοις οἰκήμασι κλείειν.

Ἐπειδὰν ὁ καιρὸς τῆς θήρας τῶν ὀρνίθων ἥκῃ (χηνῶν τέ φημι καὶ νησσῶν καὶ γεράνων καὶ τῶν ἄλλων), φέρων καθ' ἑκάστην ἡμέραν ὁ θηρατὴς τὸν ἱέρακα ἐξίτω ἐπὶ τὴν θήραν κοράκων θηλαδὴ καὶ κορωνῶν, τῶν ἀεὶ διαμενόντων τοῖς ἐξ ἀρχῆς τόποις καὶ οὐκ εἰδότων τὴν τῶν ἄλλων ἀποδημίαν μιμήσασθαι ζῴων. τοῦτο δέ μοι καλανδῶν ματῶν ποιείτω, ὡς παρέργῳ χρώμενος τῇ τοιαύτῃ θήρᾳ, μέχρι τῆς κατακλείσεως· μετὰ δὲ ταῦτα οἰκίσκον ἐκλεξάμενος καλὸν λίαν καὶ εὐρύχωρον (εἰ δὲ μὴ οἷόν τε, κἂν σύμμετρον) κατάκλειε ἐν αὐτῷ τὸν ἱέρακα ἔχοντα πρὸς ἀνατολὴν ἡλίου θύραν ῥάβδοις οὐχ ὑέλῳ διαπεφραγμέ-

Digitized by Google

νην, ἵνα καὶ φῶς ἔχῃ αὐτάρκως καὶ διαφυλάττηται ἀσφαλῶς· τὴν γὰρ ὕελον ῥήγνυσι παραυτίκα περιπτάμενος καὶ παίων καὶ προσρηγνύμενος αὐτῇ, ὥσπερ κατάβικος ἄρτι τῶν δεσμῶν ἀφεθείς. τοῦτο δὲ 31
ποιήσας ἄπεισιν, ἢ τοῖς τῆς ὑέλου θρύμμασιν ἐμπεσὼν καὶ ὥσπερ ὑπὸ ξίφους τρωθεὶς διαφθείρεται. ἔστω δὲ ξύλον μέσον διῆκον ὅπου ἵσταται, καὶ ὕδωρ ἀδιαλείπτως ἐν ἀγγείῳ ξυλίνῳ κείσθω καθ' ἑκάστην ἀλλαττόμενον· τὸ δὲ μήτε βαθὺ ἔστω μήτε ἐπικόλαιον παντελῶς, ἔστω δὲ πλατὺ καὶ ἄκοιλον καὶ εὐρύχωρον, ὡς μὴ λουόμενον τὸν ἱέρακα ἢ τὸ στῆθος βλάψαι ἢ τὰ νεωστὶ φυόμενα τῶν πτερῶν διαστρέψαι· οἷα γὰρ ἂν ῥυθμισθῇ φυόμενα, τοιαῦτα καὶ διαμένει. ἐσθίειν δὲ ἐν τῇ ἐγκλείστρᾳ κρέας θερμόν· εἰ δὲ μή, τὸ πρὸ μιᾶς ἡμέρας τυθέν. παρὰ ἡμέραν δὲ δίδου καὶ κρέας χοίρειον νεαρόν· ἐν τῇ ἐγκλείστρᾳ γὰρ ὠφελεῖ τὸ χοίρειον. δίδου δὲ παρ' ἡμέραν περιστερὰς καὶ μῦς καὶ κυνίδια οὓς ἔχουσιν ἔθος ῥίπτειν. καὶ γῆρας δὲ ὄφεως, ὅπερ ἔθος ἔχει ἀποβάλλειν, κοπὲν εἰς λεπτὰ εἶτα συμμιγὲν τοῖς κρέασιν ὠφελεῖ. ἄριστα δὲ αὐτὸ λήψεται ἀλλάσσων τὰ πτερά.

Πῶς δεῖ ἐπιμελεῖσθαι τοῦ ἱέρακος καὶ ἀνατρέφειν καὶ ἐν ποίᾳ οἰκίᾳ αὐτὸν καθεῖρξαι, ὅταν ἐκ τῆς καλιᾶς αὐτὸν κομίσῃς.

Ὅταν ἡ ὥρα τῆς θήρας ἐπέλθῃ τῶν ὀρνίθων, τῶν τε χηνῶν καὶ τῶν νηττῶν καὶ τῶν γεράνων, λαμβανέτω ὁ θηρευτὴς τὸν ἱέρακα καὶ πορευέσθω πρὸς θήραν κοράκων καὶ κορωνῶν, αἳ πάντοτε τὴν διατριβὴν αὐτῶν οὐκ ἀμείβουσι. τοῦτο δὲ ποιείτω εἰς τὰς ἀρχὰς τοῦ μαΐου μηνὸς ἕνεκεν γυμνασίου, μέχρι τοῦ ἐλθεῖν τὴν ὥραν καθίσαι αὐτὸν εἰς τὴν μοῦταν. εἶτα εὑρέτω οἰκίαν καλὴν καὶ εἰς εὖρος ἐπιτηδείαν, ἔχουσαν καὶ θύραν κατὰ ἀνατολὰς μετὰ δρυφράκτων πυκνῶν καὶ οὐχὶ μετὰ ὑέλων, τοῦ τε φῶς ἔχειν ἕνεκεν καὶ τοῦ μὴ δύνα-

Digitized by Google

σθαι φεύγειν ῥᾳδίως· τοὺς γὰρ ὑέλους θραύσειεν ἄν, καὶ ἢ βλαφθήσεται κατά τι μέλος ἢ φευξεῖται. κάθισον οὖν τὸν ἱέρακα ἔνδον, ὃς δὲ αὐτῷ καὶ ὕδωρ ἐν ἀγγείῳ ξυλίνῳ, ὅπερ καθ' ἑκάστην ἡμέραν δεῖ σε ἀλλάττειν. τὸ δὲ ἀγγεῖον μήτε πάνυ βαθὺ ἔστω μήτε ἐπίμηκες μάλα, ἀλλὰ σύμμετρον, ἵνα ὅταν λούηται, μήτε τὸ στῆθος αὐτοῦ βλάψῃ μήτε τὰ φυόμενα πτερὰ λοξῶς φύωνται· οἷα γὰρ τὸ πρῶτον ἄρξουσι φύεσθαι, τοιαῦτά εἰσι καὶ καὶ μέχρι τέλους. δὸς δ' αὐτῷ ἐσθίειν ἐν τῇ μούτῃ κρέας νεωστὶ σφαγέν, εἰ δὲ μή, τὸ πρὸ μιᾶς ἡμέρας. καί ποτε πάρεχε αὐτῷ παρ' ἡμέραν καὶ κρέας χοίρειον πρόσφατον· ὠφελεῖ γὰρ αὐτὸν εἰς τὴν μοῦταν. πάρεχε δ' αὐτῷ καὶ μύας καὶ σκύλακας. δὸς δ' αὐτῷ καὶ δέρμα ὄφεως καλῶς τετριμμένον καὶ τῷ κρέατι μεμιγμένον. λαμβάνει δὲ τοῦτο καλῶς, ὅταν τὰ πτερὰ αὐτοῦ ἀλλάττει.

Ἄλλο.

27 Χελώνην ἀπὸ ξηρῶν τόπων ληφθεῖσαν καὶ τοῦ ὀστράκου γυμνωθεῖσαν ὑπτίαν πρὸς θοίνην παράσχου τῷ ἱέρακι· ἡ ποιότης γὰρ τοῦ κρέως αὐτῆς καὶ ὁ χυμὸς καλά, καὶ θᾶττον ποιεῖ ἀλλάττειν τὰ πτερὰ ὅλου τοῦ σώματος. ἄλλως δὲ οὐ χρὴ ποιεῖν ἐπὶ ἐγκεκλεισμένον ἱέρακα, ὡς τινες τῶν ἀτέχνων ταλαιπωροῦντες. ἄμεινον δὲ δι' ἐπιμελείας καὶ τροφῆς θεραπεύειν αὐτὸν φυσικῶς, ποιῶν ἄνευ ὀδύνης τὰ πτερὰ μεταβάλλειν, ὡς μετ' ὀλίγον εἰρήσεται, μόνα δὲ τὰ ἀπὸ τῆς οὐρᾶς κεκλασμένα ἑλκύσας ἠρέμα, καὶ αὐτὰ δι' ἀνάγκην. ὅρα δὲ μὴ αἱμάξῃς τὸν τόπον· ὕστερον γὰρ φύσονται στρεβλὰ μετὰ τοῦ αἵματος. ἐὰν δὲ θέλῃς αὐτὸν εἶναι διόλου ἥμερον, ἵνα μετὰ τὴν ἔξοδον μὴ πολλοῦ δεηθῆναι κόπου, μίαν καὶ δευτέραν ἡμέραν ἀπὸ χειρὸς δίδου φαγεῖν· τὰς δὲ ἄλλας δέσμει τὸ κρέας ἐπὶ τοῦ ξύλου, ἵνα λαμβάνῃ ἐκεῖθεν, καὶ μὴ ἐπὶ τῆς γῆς τεθὲν ῥυπαρίας ἐξ αὐτῆς μετάσχῃ καὶ βλάψῃ τὸν ἱέρακα· διαμένει γὰρ πρᾶος

Digitized by Google

ἐκ τῆς συνηθείας οὕτως ἀγόμενος, καὶ τοῦ καιροῦ καλοῦντος ἕτοιμος εὑρεθήσεται, μὴ πολὺν κάματον πρὸς διόρθωσιν χρήζων· λαμβανόμενος γὰρ ἀπὸ τῆς ἐγκλείστρας τῷ αὐτῷ τρόπῳ τοῖς ἐξ ἀρχῆς θηρωμέ- 38
νοις παιδευέσθω καὶ ἡμερούσθω. ἀποβαλὼν δὲ τὰ πτερὰ καλὸς γενήσεται κουτίαν ἔχων μεγάλην τῷ πρώτῳ ἑνιαυτῷ, τῷ δὲ δευτέρῳ λεπτοτέραν· τοῖς δὲ ἑξῆς ἔτεσι τὴν αὐτὴν ἕξει ἰδέαν τῆς κουτίας, μήτε αὔξων μήτε μειῶν τὸ σχῆμα τῆς κουτίας.

Ἄλλως.

Λαβὼν χελώνην ἐξ ἀνύδρου τόπου ἄφελε τὸ ὄστρακον αὐτῆς, θὲς δὲ αὐτὴν ὑπτίαν, ἵνα ὁ ἱέραξ αὐτὴν ἐσθίῃ· ὠφελεῖ γὰρ αὐτὸν πάνυ πρὸς τὸ ταχέως γενέσθαι ἐναλλαγὴν τῶν πτερῶν αὐτοῦ. σὺ δὲ μηδὲν ἀνασπάσῃς τῶν πτερῶν αὐτοῦ, ὥς τινες τῶν ἀπείρων τοῦτο ποιοῦσι, σπεύδοντες ταχέως τοῦτον ἐγεῖραι τῆς μούτης. κρεῖττον δέ ἐστιν ἐπιμελεῖσθαι αὐτοῦ μετὰ βραδυτῆτος καὶ τροφῆς προσηκούσης, ἵνα ἀπόνως τὰ πτερὰ αὐτοῦ φύσῃ. ἐὰν δὲ θραυσθῇ τι τῶν πτερῶν αὐτοῦ, καὶ εἰ ἔστιν ἀναγκαῖον ἐξελεῖν τοῦτο, ἔξελε αὐτὸ ἐπιτηδείως· τοῦτο δὲ ἔξελε ἐκ τῆς οὐρᾶς μόνον, οὐχὶ δὲ ἐκ τῶν πτερύγων. σκόπει δὲ ἵνα μὴ τὸν τόπον αἱμάσσῃς· ἂν γὰρ ἐξαιμάσσῃς αὐτόν, τὰ μέλλοντα φύεσθαι πτερὰ λοξὰ γενήσονται. ἐὰν δὲ βούλῃ τιθασσεῦσαι αὐτόν, ἵνα ὅταν ἐγείρῃς αὐτὸν τῆς μούτης, οὐ πονήσῃς μάλα πρὸς τοῦτο, πάρεχε αὐτῷ καθημένῳ ἐπὶ τῆς χειρός σου ἐσθίειν μιᾷ ἡμέρᾳ ἢ καὶ δυσίν· εἰς δὲ τὰς λοιπὰς ἡμέρας δήσας τὸ κρέας ἐπί τινος σανίδος δὸς αὐτὸ ἐσθίειν μὴ πεφυρμένον τῷ χοῒ ἢ ἄλλῃ τινὶ ὕλῃ, μηδὲ βίπτε αὐτὸ ἐπὶ τῆς γῆς, ἵνα μὴ τὸν χοῦν ἀνακουφίζον βλάψῃ τὸν ἱέρακα· οὕτω γὰρ ἐκ συνηθείας τιθασσεύεται, καὶ εὑρίσκων αὐτὸν ἐν τῇ ὥρᾳ ἕτοιμον ἀμοχθητὶ ἐλευθεροῖς αὐτὸν τοῦ ἀτιθάσσου. ὅταν δὲ ἐγείρῃς αὐτὸν τῆς πτερορρυΐας, παίδευε αὐτὸν ὥσπερ τὸ κατ' ἀρχάς, ὅτε αὐτὸν ἐθήρευσας. ἐὰν δὲ τὰ πτερὰ αὐτοῦ ἀλλάξῃ, καὶ τὸ πρῶτον ἔτος φύσῃ οὐρὰν μείζω, τὸ δὲ δεύτερον ἐλάττω, ἐν δὲ τοῖς ἄλλοις ἔτεσιν ἀεὶ ἴσην, καὶ τὸ σῶμα τῶν πτερῶν οὐκ ἀλλοιοῖ, τότε πάνυ καλῶς ἕξει.

Digitized by Google

Ἐξ ἄλλου ἀντιγράφου ἀγροικοτέρου.
Πῶς ὀφείλει ἐγκλείεσθαι, καὶ ποταπὰ
εἶναι τὰ ἔγκλειστα δεῖ.

Ἀγαθὸν καὶ συμφέρον ἐστὶ φῶτα καὶ βόρεια καὶ 28
μεσημβρικὰ ἔχειν τὸ ἔγκλειστον ἢ ζεφυρεῖα καὶ ἀνα- 5
τολικὰ διὰ τὸ μέσως ἔχειν τὸ ὄρνεον εὐαερίας καὶ
θερμῆς. ἀλλὰ καὶ τέλειον εἶναι δεῖ τὸ ἔγκλειστον διὰ
τὸ καὶ δύο καὶ τρία κοντάρια χωρεῖν, ἵνα ἔχῃ ποῦ
μεταπηδᾶν καὶ καθίζειν ὁ ἱέραξ· ὠφελεῖται γὰρ μέ-
γιστα ἀπὸ τῆς γυμνασίας ταύτης. τὸν δὲ ἱέρακα ὅταν 10
δόξῃ σοι σιτίζειν ἐπὶ τῷ μαθίσαι, κάθαιρε αὐτὸν τῷ
γεγραμμένῳ καθαρτηρίῳ ἐπιμελῶς φυσῶν τοὺς μυ-
κτῆρας, ὥστε μηδὲ τὴν τυχοῦσαν ἐμμεῖναι παρείαν
ἐν τοῖς κροτάφοις αὐτοῦ, καὶ μετὰ τὸ καθᾶραι ποίησον
αὐτὸν κἂν ἐπὶ πέντε ἡμέρας κορεσθῆναι περδίκων· 15
καὶ ἵστα αὐτὸν καθαροῦ ὄντος τοῦ ἀέρος διὰ νυκτὸς
εἰς ὕπαιθρον τόπον, ὥστε μὴ αἰσθέσθαι αὐτὸν μηδ'
ὅλως κάπνοῦ δριμύτητος. μετὰ δὲ τὸν κόρον τῶν περ-
δίκων δὸς αὐτῷ κρέας χοίρειον, μέχρις ἂν γένηται
λιπαρὸς πάνυ καὶ ἄρξηται ἀφ' ἑαυτοῦ ῥίπτειν τοὺς 20
καλυπτῆρας· καὶ τότε λοιπὸν μάθιζε ὅλα τὰ πτερὰ
τῶν ἐλατῶν πάρεξ καὶ ὀλίγων καλυπτήρων ἐγγὺς
τῶν ἐλατῶν· σιτισθεὶς γὰρ καλῶς ἀνωδύνως μα-
θίζεται. ἀφ' οὗ δὲ μαθισθῇ, λαβὼν οἶνον στύφοντα
ἐν τῷ στόματί σου προπότιζε αὐτὸν εἰς τοὺς μαθι- 25
σθέντας τόπους, ὥστε στύψας αὐτοὺς μετὰ τοῦ οἴνου
διὰ τὸ μήτε αἱμορραγῆσαι μήτε ἰλὺν θεῖναι, καὶ ἵστα
αὐτὸν ἐν κονταρίῳ μίαν ἢ δύο ἡμέρας, καὶ οὕτως
ἀπόλυε εἰς τὸ ἔγκλειστρον, ὑποθεὶς στρογγύλον πότι-
στρον, ἐν ᾧ ὀφείλει λούεσθαι· ἔστω δὲ τὸ πότιστρον 30
πλάτους τριῶν ποδῶν καὶ βάθους σπιθαμῆς μιᾶς.

Digitized by Google

καὶ ὅταν ἐξ ἀρχῆς ἀπολυθῇ ὁ ἱέραξ εἰς τὸ ἔγκλειστρον, ὀλίγον ὕδωρ πάνυ ἐχέτω, βάθος ἔχον ὕδατος δύο ἢ τρία δάκτυλα διὰ τὸ πίνειν καὶ μὴ λούεσθαι· ὅτε δὲ ἴδῃς φύεσθαι τὰ πτερὰ αὐτοῦ καλῶς, τότε λοιπὸν γέ- 35
μιζε τὸ πότιστρον, ἵνα καὶ λούηται. καθ' ἡμέραν δὲ ἀλλασσέσθω τὸ ὕδωρ, καὶ πλυνέσθω τὸ πότιστρον ἐπιμελῶς, ἐπεὶ ἐὰν ἀφοδεύσῃ εἰς τὸ ποτιστήριον, καὶ ἢ πίῃ ἢ λούσηται, εὐθέως τὸ πάθος τῆς κορύζης λαμβάνει καὶ φονεύεται. τρωγέτω δὲ ἐν τῇ χειρὶ τοῦ ἱερακοτρόφου ὢν ἐν τῷ ἐγκλείστρῳ καθαρὸν πάντως κρέας, καὶ συνεχέστερον θερμοφαγείτω· ἐὰν γὰρ φάγῃ ῥυπαρὸν κρέας, λίθους ποιεῖ καὶ ἀπόλλυται. ἐὰν δὲ μὴ φάγῃ εἰς τὴν χεῖρα τοῦ ἱερακοτρόφου, ἀλλ' ὡς τινες ποιοῦσι, δεσμεύοντες ἐν τῷ κονταρίῳ τὸ κρέας, ταχέως ἀγριοῦται ὁ ἱέραξ, καὶ ὁρῶν εἰσερχόμενον τὸν ἄνθρωπον ἐν τῷ ἐγκλείστρῳ, ἑαυτὸν περιρρήγνυσιν ἀγριούμενος τῇ ἀηθείᾳ, καὶ λιπαρὸς ὢν γίνεται ἐμπαθής.

Πῶς δεῖ θεῖναι τὸν ἱέρακα ἐν τῷ τόπῳ ἐν ᾧ μέλλει οὗτος μουτεῦσαι, καὶ ὁποῖον δεῖ εἶναι αὐτόν.

Δεῖ τὸν τόπον, ἐν ᾧ ὁ ἱέραξ τὴν πτεροῤῥυΐαν ποιεῖ, φωτὸς δεκτικὸν εἶναι κατά τε τὸν βορρᾶν καὶ τὴν μεσημβρίαν καὶ κατὰ ἀνατολὰς καὶ κατὰ δύσιν, ἵνα ἔχῃ ὁ ἱέραξ καὶ σύμμετρον θέρμην καὶ εὐαερίαν. ἔστω δὲ ὁ τόπος, ἐν ᾧ ὁ ὄρνις πτεροῤῥυεῖ, εὐρύχωρος, ὥστε χωρεῖν δύο ἢ καὶ τρία δόρατα, τοῦ πηδᾶν τὸν ἱέρακα καὶ καθίζειν ἀπὸ ἑτέρου εἰς ἕτερον· πάνυ γὰρ ἐκ τούτου τοῦ γυμνάσματος ὠφελεῖται. πρὸ δὲ τοῦ πτεροῤῥυῆσαι κορεσθήτω ὁ ἱέραξ ἐν πέντε ἡμέραις κρέατος περδίκων. καὶ τὴν μὲν ἡμέραν ἱστάτω ἔνθα καθαρὸς ὁ ἀνὴρ πνέει, τὴν δὲ νύκτα ἐν αἰθρίῳ τόπῳ. εἶτα δὸς αὐτῷ κοίρειον κρέας, ἕως ἂν γένηται πίων καὶ ἀρχηται ἀπορρίπτειν τὰ ὕπερθεν τῶν πτερῶν. καὶ τότε αὐτὸς τίλον τὰ πτερὰ αὐτοῦ ἅπαντα πλὴν τῶν πτερύγων καὶ πλὴν ὀλίγων

Digitized by Google

τῶν ὕπερθεν, ἅπερ ἐγγύς εἰσι τῶν πτερύγων· ὅταν γὰρ παχυνθῇ καλῶς, ῥᾳδίως τίλλεται καὶ ἄνευ πόνου. τούτου δὲ τιλθέντος λαβων αὐτὸς οἶνον ἐν τῷ στόματί σου πάττε τοὺς τετιλμένους τόπους, ἵνα στυφθῶσι καὶ μὴ αἱμορροήσωσι. τότε δὲ στῆσον αὐτὸν ἐν τῷ δόρατι ἐν μιᾷ ἢ καὶ δυσὶν ἡμέραις, καὶ θὲς αὐτὸν ἐν ἐπιτηδείῳ τόπῳ, ἐν ᾧ μέλλει πτεροῥυῆσαι. πρόσθες δὲ αὐτῷ καὶ ἀγγεῖον στρογγύλον, ἵνα πίνῃ καὶ λούηται. ἔστω δὲ τὸ τοιοῦτον ἀγγεῖον κατὰ μὲν τὸ πλάτος τρισὶν ἴχνεσι, κατὰ δὲ τὸ βάθος σπιθαμῇ μιᾷ. ὅταν δὲ βάλῃς αὐτὸν ἐν τῇ μούτῃ, θὲς ὀλίγον ὕδωρ ἐν τῷ ἀγγείῳ, ἔστω δὲ τὸ ἐν τῷ ἀγγείῳ ὕδωρ τὸ βάθος δυσὶν ἢ καὶ τρισὶ δακτύλοις, ἵνα πίνῃ μόνον καὶ μὴ λούηται. ὅταν δὲ ἴδῃς ὅτι καλῶς τὰ πτερὰ αὐτοῦ φύονται, τότε γέμιζε τὸ ἀγγεῖον ὕδατος, ἵνα πίνῃ καὶ λούηται. τὸ δὲ ὕδωρ αὐτοῦ καθ' ἡμέραν ἄλλαττε, καὶ πλῦνον τὸ ἀγγεῖον καλῶς, ἐπεὶ ἐὰν ἐπιῤῥίψῃ κόπρον καὶ ἢ πίῃ ἐξ αὐτῆς ἢ λούσηται ἐν αὐτῇ, εὐθὺς ὑπὸ τῆς κορύζης ἀπόλλυται. πάρεχε δὲ αὐτῷ τῇ χειρί σου ἔνδοθεν τοῦ τόπου κρέας συνεχῶς, ἀμιγὲς ῥύπου καὶ πρόσφατον (ἐὰν δὲ ἐσθίῃ κρέας μετὰ ῥύπου, ποιεῖ λίθους ἔνδοθεν καὶ ἀπόλλυται), ἐσθιέτω δὲ καὶ ἐν τῇ χειρί σου, ἵνα μὴ ἀτιθάσσως ἔχῃ, ἐπεὶ ἐὰν ἐσθίῃ ἐν τῷ ξύλῳ, ὅταν θεάσηταί τινα εἰσερχόμενον, τὸ ἄγριον αὐτοῦ δεικνύων τότε καταπετᾷ, καὶ τὰ μὲν πτερὰ αὐτοῦ θραύονται, αὐτὸς δὲ ἀπόλλυται.

Πρὸς τὸ συνεργῆσαι τὴν ἀποβολὴν τῶν πτερῶν καὶ ταχὺ ἐκβαλεῖν αὐτὸν τῆς ἐγκλείστρας.

29 Ἐὰν ἐν τῇ ἐγκλείστρᾳ τὸ ὄρνεον οὐ ταχὺ ἀποβάλῃ
36 τὰ αὐτοῦ πτερά, χρῶ τῇ διαίτῃ ταύτῃ. πρότερον μὲν ποίει ἐσθίειν τὰ προειρημένα ὡς εἴρηται, ἔπειτα λειπέτω τὸ ὕδωρ αὐτό, καὶ μετὰ ἡμέρας ἑπτὰ λαβὼν 30 ἀμπέλων κλήματα καὶ καύσας, τὴν τέφραν αὐτῶν ἀνελόμενος καθαράν, ἵνα μή τις ἄλλη ὕλη συνεπακολουθήσῃ, ἀναμίγνυε ταύτην μεθ' ὕδατος καὶ παρατίθου τῷ ἱέρακι. ἕτεροι δὲ τῶν ἱερακοτρόφων θαλάσσιον ὕδωρ παρατιθέασι τῷ ζῴῳ ἐν τῇ ἐγκλείστρᾳ· 35

Digitized by Google

εἰ δὲ οὐκ ἔστιν εὐπορία θαλασσίου ὕδατος, ἅλας εἰς ὕδωρ ἐμβάλλουσιν· οὕτω γὰρ ἐκ παντὸς τρόπου παρατιθεμένης τῷ ἱέρακι τῆς ἀπὸ τῶν κλημάτων στακτῆς, καθὼς προείρηται, ἢ ἀπὸ τοῦ πίνειν ἢ ἀπὸ τοῦ λούεσθαι χαννουμένου τοῦ σώματος, ἀλλάσσει ταχὺ τὰ πτερά· πίνων δὲ ταῦτα οὐδέποτε λιθιάσει. μετὰ δὲ τὴν ἀποβολὴν τῶν πτερῶν καθαρὸν παρατίθει ὡς καὶ πρὸ τοῦ αὖθις ὕδωρ.

Περὶ τοῦ πτεροῤῥυῆσαι εὐθέως τὸν ἱέρακα καὶ ἐγερθῆναι ταχέως τῆς πτεροῤῥυΐας.

Ἐὰν καθήμενος ἐν τῇ μούτῃ οὐ ῥίπτῃ εὐθέως τὰ πτερὰ αὐτοῦ, ποίει οὕτω. πρῶτον μὲν δὸς αὐτῷ ἐσθίειν ἃ προειρήκαμεν· ἔπειτα ὕδωρ μὴ πάρεχε αὐτῷ· μετὰ δὲ ἡμέρας ἑπτὰ καύσας κλήματα ῥύπου ἄνευ καὶ λαβὼν τὴν τέφραν αὐτῶν καθαράν, μίξον αὐτὴν ὕδατι καὶ πότιζε αὐτόν. ἕτεροι δὲ δίδουσιν αὐτῷ θαλάττιον ὕδωρ. ἐὰν δὲ οὐχ εὑρίσκηται τοῦτο, βαλόντες ἅλας ἐν τῷ ὕδατι ποτίζουσιν αὐτόν· ὑπὸ γὰρ τῆς τοιαύτης πόσεως χαννοῦνται ἡ σάρξ αὐτοῦ, καὶ πίπτουσιν εὐθέως τὰ πτερὰ αὐτοῦ. ἂν δὲ πίνῃ ταῦτα, οὐ λίθους ποίησει ἔνδοθεν πώποτε. ὅταν δὲ ἀποβάλῃ τὰ πτερὰ αὐτοῦ, πάρεχε αὐτῷ αὖθις ὕδωρ καθαρὸν ὡς καὶ πρότερον.

Ἄλλο εἰς τὸ αὐτό.

Λαβὼν ἄγνου σπέρμα συντεθλασμένον ἀπόβρεξον αὐτὸ ἐν ὕδατι ποτίμῳ· εἶθ' οὕτως διυλίσας πότισον περιστερὰν καὶ ἔασον αὐτὴν διανυκτερεῦσαι, καὶ τῇ ἐπαύριον δίδου τὴν περιστερὰν πρὸς θοίνην τῷ ἱέρακι.

Ἄλλως.

Συνθλάσας ἄγνου σπέρμα ὕγρανον αὐτὸ ὕδατι γλυκεῖ· εἶτα σακελίσας αὐτὸ περιστεράν τινα πότισον ἐκ τούτου, καὶ ἐς αὔριον ἐσθιέτω ὁ ἱέραξ τὴν περιστεράν.

Digitized by Google

87 Ἄλλο.

Λαβὼν σαύραν χλωρὰν βάλε αὐτὴν ἐν καινῇ χύτρᾳ μετὰ ὕδατος θερμοῦ καὶ ἕασον ἀναζέσαι καλῶς. εἶτα λειώσας αὐτὴν ἐν θυΐᾳ, καὶ μίξας αὐτὴν μετὰ τοῦ ζέματος αὐτῆς εἰς λεκάνην, ἐπέμβαλε ἕτερον χλιαρὸν ὕδωρ, καὶ καταδύων ἐν αὐτῷ τὸν ἱέρακα λοῦε, καὶ ταχὺ ἀποβαλεῖ αὐτοῦ τὰ πτερά. 31

Ἄλλως.

Ἐν χύτρᾳ καινῇ θὲς σαύραν μετὰ θερμοῦ ὕδατος καὶ βράσον αὐτὴν καλῶς· εἶτα τρίψας αὐτὴν ἐν τῇ θυΐᾳ μῖξον καὶ ἕτερον ὕδωρ χλιανθέν. βάψον δὲ ἐν αὐτῷ τὸν ἱέρακα, καὶ πτεροῤῥυέντα ἔδῃς τάχιστα.

Ἄλλο.

Ὀπὸν βαλσάμου μετὰ κρέως δὸς αὐτῷ φαγεῖν ἐπὶ συχνῷ, καὶ ταχέως ἐκπέμψει αὐτοῦ τὰ πτερά. 32

Ἄλλως.

Ἐσθιέτω μετὰ κρέατος βαλσαμέλαιον συνεχῶς, καὶ ἀποβαλεῖ τὰ πτερὰ αὐτοῦ τάχιστα.

Πρὸς τὸ πτεροῤῥυῆσαι τὸν ἱέρακα τάχιστα.

Σαύραν κατατεμὼν εἰς λεπτὰ μὴ ἔα ἐν τοῖς ὄνυξιν αὐτοῦ λαβεῖν τὸν ἱέρακα ἀλλὰ ἐν τῷ στόματι· ἐὰν γὰρ ἀπογαλακτίσῃ τὸ κρέας τῆς σαύρας, τῷ ἱέρακι βλάβην ἐμποιεῖ· συσφίγγει γὰρ εἴσω τὸν πόδα. ἀλλὰ κόπτε εἰς μικρά, ὡς μὴ δύνασθαι αὐτὸν κατασχεῖν τοῖς ὄνυξιν, ἀλλὰ τῷ στόματι τοῦτο λαμβάνειν. 33

Περὶ τοῦ ἀποβαλεῖν τὸν ἱέρακα τὰ πτερὰ αὐτοῦ πάνυ ταχέως.

Σαύραν τεμὼν εἰς λεπτὰ δὸς αὐτὴν τῷ ἱέρακι καὶ σκόπει ἵνα μὴ ταύτην λάβῃ τοῖς ὄνυξι· βλάπτει γὰρ αὐτὸν

Digitized by Google

τοῦτο. λαμβανέτω δὲ ταύτην μετὰ τοῦ ῥάμφους. τουτου ἕνεκεν δεῖ σε τέμνειν αὐτὴν πάνυ λεπτῶς, ἵνα μὴ αὐτὴν τοῖς ὄνυξιν ἐπιμάρψῃ.

Ἄλλο εἰς τὸ αὐτό.

34
5 Νεοσσοὺς χελιδόνων κατὰ πολὺ παράβαλε τῷ 38 ἱέρακι.

Ἄλλως.

Νεοττοὺς τῶν χελιδόνων πρόσθες αὐτῷ συχνῶς.

Περὶ ποσότητος τροφῆς καὶ συμμέτρου
10 *διαίτης ἱέρακος.*

35 Ἐσθιέτω ὁ ἱέραξ ἐκ τρυτάνης προβατείου κρέατος οὐγγ. θ΄, αἰγείου οὐγγ. ι΄, ταγείου οὐγγ. θ΄, ἐλαφείου οὐγγ. κ΄, λαγῴου οὐγγ. ε΄, χοίρου μεγάλου οὐγγ. ϛ΄, νεαροῦ οὐγγ. ζ΄, κυνείου νεαροῦ οὐγγ. η΄, ἀρκῴου
15 οὐγγ. ϛ΄· τῶν δὲ πτηνῶν, ἤγουν γεράνων χηνῶν περιστερῶν περδίκων φασσῶν τρυγόνων κοσσύφων ψαρῶν, κορεννύσθω, παραφυλαττόμενος ἐπιμελῶς καὶ συνεχῶς ὀστέα ἢ τρίχας ἢ πτερά. μὴ κινεῖσθαι δὲ τὸν ἱέρακα ἄχρις ἂν ἐκεῖνα πρότερον ἀνεμέσῃ τὰ πε-
20 ριττώματα. καὶ ἀγνοοῦντι τῷ θηρατῇ δι' ἀπειρίαν ὑποψίαν παρέξει νόσου· ἀτονία γὰρ καὶ ἀνορεξία προσγίνεται τῷ ἱέρακι. τὸ δὲ ἐσθίειν τὸν ἱέρακα πτερὰ σὺν τῷ κρέατι καὶ ὀστέα καὶ τρίχας λίαν ἐστὶν ὠφελιμώτατον· τραχεῖα γὰρ ὅση τῇ τροφῇ ταύτῃ καὶ
25 ξηρᾷ τὸ περὶ τὸν στόμαχον ἐγκαθήμενον φλέγμα καὶ 39 προσιζάνον σὺν αὐτοῖς ἐκπερθὲν διασώζει τὸν ἱέρακα ἐκ νόσων χαλεπῶν.

Περὶ τῆς ποσότητος τῆς τροφῆς καὶ περὶ
μέτρου διαίτης αὐτοῦ.

30 Ἐσθιέτω κρέας πρόβειον οὐγγίας ἐννέα, αἴγειον οὐγγίας

Digitized by Google

δέκα, τράγειον οὐγγίας ἐννέα, ἐλάφειον οὐγγίας ὀκτώ, λαγῷον οὐγγίας πέντε, χοίρειον οὐγγίας ἕξ, δελφάκειον οὐγγίας ἑπτά, σκυλάκειον οὐγγίας ὀκτώ, ἄρκτειον οὐγγίας ἕξ· ἀπὸ δὲ τῶν ὀρνέων, ἤτοι γεράνων γηνῶν περιστερῶν περδίκων φαττῶν τρυγόνων κοττύφων, τούτων πάντων κορεσθήτω. σκόπει δὲ μόνον ἵνα μὴ ὀστέα ἢ τρίχας παρέχῃς αὐτῷ συχνῶς ἢ πτερά. καὶ μὴ ἐξεγείρῃς αὐτὸν μηδὲ ἑτέραν τροφὴν αὐτῷ πάρεχε πρὶν ἐξεμέσαι τὴν πρώτην ἀποβολήν· ἐὰν γὰρ πρὸ τούτου ἐάσῃς αὐτὸν τροφῆς ἅψασθαι, βλαβήσεται πάνυ, ἐξεμέσεις δ' ἂν καὶ τὴν ὕστερον τροφὴν μετὰ τῆς πρώτης. ἐκ τούτου δὲ ἐπιγίγνεται τῷ ἱέρακι ἀτονία καὶ ἀνορεξία. παρέχουσι γοῦν αὐτῷ καὶ πτερὰ καὶ τρίχας καὶ ὀστᾶ καταβεβρῶσκειν οὐ συχνῶς, ἀλλὰ ποτὲ μὲν ποτὲ δ' οὔ.

Πῶς ὀφείλει τρέφεσθαι ὁ ἱέραξ.

Χρὴ διδόναι τροφὴν τῷ ἱέρακι μετὰ τὸ βαστάξεσθαι ὥραν τετάρτην, εἶτα δεσμευθῆναι τὸ συνηθικὸν τοῦ μέχρις ἂν πέψῃ. ἔστω δὲ κάτωθεν τούτου ὀθόνιον· ὁ δὲ κοντὸς ἔστω ἐκ φιλυρέας, ὁμαλός, μήτε λίαν παχὺς μήτε λίαν λεπτός. εἰ δὲ δυσπεπτῇ, βαλεῖν εἰς τὸ κρέας μέσον μαλάχης ἡμέρου ἁπαλόν, καὶ συνεσθίει· ὠφελεῖ γὰρ πολλὰ εἰς τοὺς κόπτοντας τὰ ἴδια πτερά. χειμῶνος δὲ ὄντος πρὸ μιᾶς ἡμέρας τοῦ ἐλθεῖν εἰς θήραν διδόναι αὐτῷ σίλην τὸ λεγόμενον γηπόνομόν ἐστιν ἄθελη, καὶ ἀλόην καθαρὰν κατὰ τὸ μέγεθος τοῦ ὀρνέου· ἤγουν ἐάν ἐστι μέγα, ὅσον κύαμον· εἰ δ' ἔλαττον, ἴσον ἐρεβίνθου. καθαιρέσθω δὲ καὶ διὰ μυὸς ἢ ἐλαίου καλοῦ ἢ μέλιτος.

Πῶς δεῖ τρέφεσθαι τὸν ἱέρακα.

Πάρεχε τροφὴν τῷ ἱέρακι μετὰ τὸ ἀχθῆναι αὐτὸν ταῖς χερσὶν ὥραν τετάρτην, εἶτα κάθιζε αὐτὸν κατὰ τὸ σύνηθες ἐν τῷ δόρατι, ἕως ἂν τὴν τροφὴν πέψῃ· ὑποκάτωθεν δὲ αὐτοῦ ἐξάρτησον παραπέτασμα. τὸ δὲ δόρας ἔστω ἐκ δένδρου φιλυρέα καλουμένου ὁμαλόν, μήτε πάχος ἔχον πάνυ,

Digitized by Google

μήτε μάλα λεπτὸν ἔστω. ἐὰν δὲ ὁ ἱέραξ πάνυ ἀπεπτῇ, θὲς ἐν τῷ κρέατι ὅπερ ἐσθίει μαλάχην ἥμερον ἀπαλήν· ὠφελεῖ γὰρ τοὺς ἱέρακας τοὺς τὰ πτερὰ ξύλῳ ἢ σανίδι προσκρούοντας. εἰ δὲ χειμών ἐστι, πρὸ μιᾶς ἡμέρας πρὶν ἐξελθεῖν σε εἰς θήραν, πάρεχε αὐτῷ πενταύριον, ὅπερ καλεῖται καὶ ἀθάλη, καὶ ἁλόηγ καθαράν, καθόσον ἐστὶ τὸ τοῦ ἱέρακος μέγεθος. ἤγουν εἰ μείζων ἐστί, πάρεχε αὐτῷ ἴσον κυάμῳ· εἰ δὲ ἐλάττων, ἴσον ἐρεβίνθῳ. πάρεχε δὲ αὐτῷ καὶ καθάρσιον ἢ μῦν ἢ ἔλαιον καλὸν ἢ μέλι.

Περὶ τοῦ ὧν τροφῶν δεῖ ἀπέχεσθαι καὶ δι' ἣν αἰτίαν.

37 Κρέας ὄζον οἰουδήτινος ζῴου μὴ δὸς φαγεῖν τῷ ἱέρακι· λοιμικὴν γὰρ νόσον τίκτει καὶ λίθους, καὶ τὰ ἐντὸς αὐτοῦ σήπει, καὶ διαφθείρεται τὸ ζῷον ἐξαίφνης. καὶ μετὰ ἁλῶν κρέας μὴ διδόσθω· παραπεμφθέντων γὰρ ἔνδον τῶν ἁλῶν καὶ διαλυθέντων συναποσβέννυται τὸ πνεῦμα τοῦ ἱέρακος, καὶ ἅλες καθ' ἑαυτοὺς κρεῶν δίχα δοθέντες τῷ ἱέρακι τὰ σπλάγχνα διαφθείρουσι. λίπος κρέως οἰουδήποτε ζῴου ἀνοίκειον πρὸς τροφὴν αὐτοῦ· ἐκλύει γὰρ τὴν συμπεπτικὴν δύναμιν καὶ φύσιν τοῦ στομάχου. ἔλαιον διδόμενον πολέμιον καθέστηκε τῷ ἱέρακι διὰ τὴν τῶν ἁλῶν σύμμιξιν.

Ποίων δεῖ τροφῶν τὸν ἱέρακα ἀπέχεσθαι καὶ διὰ ποίαν αἰτίαν.

Κρέας ὀδωδὸς παντὸς ζῴου μὴ παρέξεις τῷ ἱέρακι· λοιμικὴ γὰρ νόσος αὐτῷ ἐπιγίγνεται, καὶ λίθους ποιεῖ καὶ σῆψιν ἔνδοθεν, καὶ τάχιστα τὸ ζῷον φθαρήσεται. μηδὲ κρέας πασσόμενον ἅλατι παρέξεις αὐτῷ· φθείρει γὰρ τούτου τὰ σπλάγχνα. λάρδον δὲ καὶ στέαρ ἢ ἄλλο τι κρέας πῖον μηδοτιοῦν· ταῦτα γὰρ πάντα βλάπτουσιν αὐτὸν καὶ χαῦνον τὸν στόμαχον αὐτοῦ ποιοῦσιν. ὡσαύτως μηδ' ἔλαιον ἅλς ἔχον.

Digitized by Google

Περὶ ἐπιτηδείας τροφῆς καὶ ἐν ποίῳ καιρῷ ἁρμόζει διδόσθαι τῷ ἱέρακι.

Ἔστι μὲν τὸ κρέας οὐ πάντοτε συμβαλλόμενον. 38
τὸ μὲν χοίρειον τότε δίδοται τῷ ἱέρακι, ὅταν ᾖ λεπτός· λιπαίνει γὰρ πάνυ. δίδοται δὲ ἐν χειμῶνι ἐπὶ 5
41 τῷ τρέφειν τὰ σώματα τῶν ἱεράκων, ὅταν διατακῇ τῷ κρύει. τὸ δὲ βόειον δίδοται σπανίως· πρὸς τὸ καθᾶραι γὰρ τοῦτο συμβάλλεται· καταφέρει γὰρ τὸν ἱέρακα, ἐὰν συμπαγῇ· δίδοται δὲ δεύτερον ἢ τὸ πλέον τρίτον τοῦ μηνός. τὸ δ' αἴγειον ἢ τὸ προβάτειον. 10
παντοίῳ καιρῷ ἁρμόζει διδόμενον. παρὰ πάντα δὲ ἡ θερμοφαγία συμβάλλεται ἡ τῶν νεοττῶν περιστερῶν καὶ ἐν θέρει καὶ ἐν χειμῶνι, καὶ ἡ συνεχὴς δὲ ἀποβολὴ τῶν πτερῶν τῶν ὀρνίθων. οὐδέποτε δὲ ὠφελεῖ δίδοσθαι ἢ κόρακος ἢ κορώνης κρέας· εἰσὶ 15
γὰρ πάνυ ἐπιβλαβῆ. τὸ δὲ τοῦ χηνὸς σφόδρα ὠφέλιμον.

Περὶ ἐπιτηδείας τροφῆς καὶ ἐν ποίῳ καιρῷ δεῖ τὴν τροφὴν αὐτοῖς διδόναι.

Τὰ κρέατα τὰ αὐτὰ ἀεὶ διδόμενα τῷ ἱέρακι οὐκ ὠφελεῖ, 20
ἀλλὰ τὸ μὲν χοίρειον δίδοται, ὅτε ὁ ἱέραξ οὐ παχύς ἐστι· πάνυ γὰρ τοῦτο πίονα ποιεῖ. δίδοται δὲ καὶ ἐν καιρῷ χειμῶνος, ἵνα οἱ ἱέρακες ἀνατραφῶσιν ὑπὸ τοῦ κρύους ἀποψυχθέντες πάνυ. τὸ δὲ βόειον δίδοται κατὰ καιρὸν πρὸς κάθαρσιν τοῦ ἱέρακος· ἂν γὰρ αὐτῷ ἐγγένηται ἔμφραξις, 25
τοῦτο ῥᾳδίως διαλύει αὐτήν. δίδοται οὖν αὐτῷ δὶς ἢ καὶ τρὶς τὸν μῆνα. τὸ δὲ αἴγειον καὶ τὸ πρόβειον ἐν παντὶ καιρῷ ὠφελεῖ, ἐξόχως δὲ πάντα, ὅσα θερμαίνει. αἱ δὲ μικραὶ τῶν περιστερῶν ὠφελοῦσι τούτους κατά τε τὸ θέρος καὶ τὸν χειμῶνα, καὶ ἡ ἀπὸ τῶν πτερῶν τῶν ὀρνίθων ἀπο- 30
βολὴ κατὰ καιροὺς ὠφελεῖ. τὸ δὲ τοῦ κόρακος κρέας καὶ τῆς κορώνης βλάπτει αὐτοὺς πάνυ. οὐδὲ τὸ χήνειον ὠφέλιμόν ἐστι.

Digitized by Google

Πρὸς λιποπτεροῦντα ἱέρακα.

39 Πτύξας τὸ ζῷον εὐφυῶς τοὺς καυλίσκους τῶν πτερῶν ἀξουγγίῳ ἄρκτου κατάχριε, καὶ παραχρῆμα πτεροφυήσει.

Πῶς δεῖ τὸν ἱέρακα φῦσαι πτερά, ὅταν αὐτὰ ἀποβάλῃ.

Περιειλήσας αὐτὸν καλῶς χρῖσον τοὺς καυλοὺς τῶν πτερῶν αὐτοῦ στέατι ἄρκτου, καὶ πάνυ ταχέως τὰ πτερὰ αὐτοῦ φυήσονται.

Πρὸς τροφὴν πτερῶν.

40 Βάτου ῥίζας ἀποτριτώσας μετ' οἴνου διάβρεχε τὰς ὀπάς, καὶ ταχὺ τὰ ἀπαλὰ τῶν πτερῶν τραφήσονται.

Προκαθαρτικὸν διδόμενον τῷ ἱέρακι πρὸ τοῦ ἐγκλεισθῆναι. 42

41 Πρὸ ἡμερῶν εἴκοσι τοῦ μέλλειν αὐτὸν ἐγκλείεσθαι λαβὼν ῥοῦ τὸν κρόκον καὶ ὀλίγου μέλι καὶ ῥοδίνου τὸ ἴσον, ἀμφότερα συμμίξας ἔμβαπτε ἐν αὐτῷ κρέατος νεαροῦ μέρη τρία, καὶ δίδου τῷ ἱέρακι ἐσθίειν ἡμέραν παρ' ἡμέραν· καὶ ὅταν ἴδῃς ὄντα αὐτὸν πλησίον τοῦ ἐγκλείεσθαι, πρὸ τριῶν ἢ τεσσάρων ἡμερῶν προβάτου ἐγκέφαλον ἔτι θερμὸν ὄντα καθ' ἑκάστην ἡμέραν δίδου εἰς τροφὴν τῷ ἱέρακι.

Προκαθαρτικὸν διδόμενον τῷ ἱέρακι, πρὶν καθίσαι αὐτὸν ἐν τῇ πτεροῤῥυΐᾳ.

Πρὶν καθίσαι αὐτὸν ἐν τῇ πτεροῤῥυΐᾳ πρὸ εἴκοσιν ἡμερῶν λαβὼν τὸ τοῦ ῥοῦ ὠχρὸν καὶ βραχὺ μέλιτος καὶ ῥοδέλαιον ἕνωσον αὐτά, βάψον δὲ ἐν αὐτοῖς τεμάχια τρία κρέατος, καὶ ἀπ' αὐτῶν πάρεχε τῷ ἱέρακι ἡμέραν παρ' ἡμέραν. ὅταν δὲ μέλλῃς καθίσαι αὐτόν, πρὸ τεσσάρων ἡμερῶν, πάρεχε αὐτῷ μυελὸν τῆς κεφαλῆς τοῦ προβάτου πρόσφατον.

Digitized by Google

Ἄλλο εἰς τύφλωσιν πτερῶν.

Λαβὼν ἐλαίου καὶ βουτύρου τὸ ἴσον καὶ βελό- 42
νην, πρότερον διανοίξας τὴν θέσιν τοῦ τυφλωμένου πτεροῦ εὐφυῶς ἔμβαλε.

Ὅταν τὰ πτερὰ τοῦ ἱέρακος φύωνται ἀμβλῆ.

Λαβὼν βούτυρον καὶ ἔλαιον ἐπίσης ἄνοιγε μετὰ βελόνης τὸ ἀμβλὺ τῶν πτερῶν, καὶ τίθου ἐν αὐτοῖς τὸ ἔλαιον καὶ τὸ βούτυρον.

Περὶ τροφῆς ἁρμοδίας τῷ ἱέρακι.

Κρέα τοὺς ἱέρακας νεαρὰ χρὴ ἐσθίειν· εἰ που 43
δι' ἀνάγκη καταλάβῃ ἐνδείας, δύο ἡμερῶν διδόσθω, τριῶν δὲ οὐδ' ὅλως· λιθοποιὸν γάρ ἐστι τὸ τοιοῦτον καὶ πάσης νόσου λοιμικῆς καὶ διαφθορᾶς αἴτιον. ἔστω δὲ τὰ κρέα ἀρνῶν καὶ προβάτων τράγων τε καὶ βοῶν καὶ χοίρων μικρῶν μὲν ἀεὶ καὶ νεαρῶν ἅμα ταῖς θριξί, μεγάλων δὲ τούτων χωρίς. ὅταν δὲ ὦσι λεπτοὶ ἀπὸ καμάτου, ἐπὶ μιᾶς μόνης ἢ καὶ δευτέρας ἡμέρας δίδοσθαι· ἐὰν γὰρ πλείονας ἡμέρας δοθῇ, ἐξαγριοῖ τὰς ψυχὰς αὐτῶν, ἄλλως τε δὲ καὶ διὰ τὸ λίθους ἐμποιεῖν ἐφεξῆς πολλῶν ἡμερῶν δοθέντα. ἑκάστῳ δὲ τῶν προρρηθέντων παρ' ἑκάστην ἡμέραν ἀλλαττόμενον διδόσθω· τὸ γὰρ βόειον ἐπὶ πολλὰς ἡμέρας διδόμενον ἀπεψίας γεννητικόν, τὸ δ' αἰγειον τοὺς ἐν τῇ γαστρὶ λίθους διαλύει δοκίμως, ὑδαροῖ δὲ τὸν στόμαχον καὶ ἀνόρεκτον ἀπεργάζεται· τὸ δὲ προβάτειον συνεχῶς διδόμενον γεννᾷ λίθους. χρὴ δὲ αἷμα τράγου παραυτίκα δεξαμένους τῆς σφαγῆς διδόναι πα- 10 15 20 25
γέν· μάλιστα γὰρ τοῦτο διαλύειν τοὺς λίθους πέφυκεν. ὡς γὰρ ἱστορεῖται, ὁ ἀδάμας λίθος ὑπὸ τούτου μόνου κατεργάζεται. λαγῷον δὲ πᾶν κρέας σὺν αἵματι δι- 30

Digitized by Google

δόμενον δίχα ὀστέων καὶ μυελῶν ὠφέλιμόν ἐστι· ταῦτα γάρ φασι βρωθέντα σκώληκας γεννᾶν ἐν τῇ τοῦ ὄρνιθος κοιλίᾳ, ὑφ' ὧν τὸ ζῷον ἀπόλλυται, λαν- 44
θανούσης τὸν θηρατὴν τῆς αἰτίας. ἐλάφειον δὲ κρέας εἰς κόρον μὴ διδόσθω· βαρύπεπτον γάρ· διδόσθω δέ, εἰ συμβαίη, καὶ ἀρκτώων θερμῶν ὀλίγον· εἰς κόρον δὲ καὶ αὐτὸ βαρύτατόν ἐστι. κυνῶν δὲ μικρῶν ὅλον τὸ αἷμα θερμὸν σὺν τοῖς κρέασιν ἐσθιέτωσαν· ὠφέλιμον γὰρ εἰς τὸ λῦσαι λίθους ἐν τῇ γαστρί, ὥσπερ τὸ τράγειον. μυῶν δὲ καὶ καθ' ἑκάστην διδομένων ὠφέλιμον μόνον σὺν ταῖς θριξί· ὠφελεῖ γὰρ πάντα τὰ ἐντός· εἰ δὲ μή γε παρ' ἑκάστην ** καθαίρει φλέγμα καὶ χολὴν καὶ ἀναστέλλει ῥεῦμα καὶ λύει λίθους καὶ κόρυζαν ἐρχομένην ἀποπέμπεται καὶ στόμαχον ἐκλυθέντα ἀναρρώννυσι καὶ ἁπλῶς εἰπεῖν σωτήριον ἐστὶ διδόμενον τῷ ἱέρακι. ὀρνέων δὲ περιστερὰ ἐσθιομένη ὠφελιμωτάτη ἐστὶ σὺν τοῖς πόσὶν ** ταῖς πτέρυξιν εἰς λεπτὰ συγκοπέντων, καὶ διδόμενον κἂν πρὸς ὀλίγον δίψαν ἐμποιεῖ τῷ ἱέρακι. κόρακος δὲ καρδίαν καὶ ἐγκέφαλον ἧπάρ τε καὶ βραχὺ λίαν τῶν στηθιαίων λαμβανέτω κρεῶν· τοῦ δὲ αἵματος αὐτοῦ μηδ' ὅλως πινέτω· ἁλμυρὸν γάρ ἐστι καὶ ὀλέθριον τῷ ἱέρακι, ὥσπερ καὶ πάντα τὰ ἁλσὶ μεμιγμένα. ὡσαύτως καὶ τὸ τῆς κορώνης φυλασσέ- 45
σθω· ὀστέων δὲ ἢ τῶν ἐντὸς μηδὲν λαμβανέτω· καυστικὰ γάρ ἐστι καὶ ἄσχετον δίψαν βλαβερὰν ἐμποιοῦντα. τῆς δὲ νήσσης πάντα τὰ κρέα καὶ τὸ αἷμα ὠφελιμώτατόν ἐστι, καὶ τὰ τῆς γεράνου καὶ τοῦ χηνὸς ἄνευ πολλοῦ αἵματος ὠφέλιμά ἐστι· πλείονος γὰρ ἐμφορηθεὶς αἵματος ὁ ἱέραξ χηνείου τὴν καρδίαν βαρύνεται, καὶ ὥσπερ οἱ μεθύοντες τῶν ἀνδρῶν σκιάζονται τὸ τῆς ψυχῆς λογιστικὸν καὶ ἀτάκτως φέρονται, οὕτω

Digitized by Google

κἀκεῖνος ἀνεπιτήδειος γίνεται πρὸς τὴν θήραν, ἄχρις ἂν πέψιν ποιήσῃ. ἀρδιόλης δὲ ληφθείσης, ἥνπερ καὶ λάκρην τινὲς τῶν ἐπιχωρίων προσηγόρευσαν, ἐρωδιὸν δὲ οἱ παλαιοὶ τῶν Ἑλλήνων ἐκάλεσαν, ἐγκέφαλον ἅμα τῇ καρδίᾳ καὶ τῷ ἥπατι ἐσθιέτω. καὶ τοῦτο δι' ἀνάγκην τοῦ μὴ λυπεῖν τὸν ἱέρακα, καὶ πρόθυμον ποιεῖ πρὸς τὴν θήραν· λίαν γὰρ ἄχθεται κορυφῆς μεταλαβεῖν τῆς ἑαυτοῦ θήρας. τῶν δὲ λοιπῶν κῆρεῶν ἀπεχέσθω, φθοροποιοῖς οὖσι τῷ ἱέρακι. λάρου δὲ ἁλόντος τὴν καρδίαν ἅμα τῷ αἵματι καὶ ὀλίγοις ἐκ τοῦ στήθους κρέασιν ἐσθιέτω· τὰ γὰρ λοιπὰ αὐτοῦ βρωμώδη ἐστὶ καὶ βαρέα. αἰθυίας δὲ λαμβανέτωσαν εἰς κόρον· γλυκύτατον γάρ ἐστι καὶ εὔπεπτον. καὶ ὠτίδος καὶ κίσσης τὸ πᾶν κρέας χρησιμώτατον· φάσσης δὲ καὶ κοσσύφου καὶ ὄρνιθος κατοικιδίας καιρῷ διδομένης ὠφελιμώτατον· μόνην ἀφαίρει τὴν κεφαλὴν αὐτῆς καὶ τοὺς πόδας καὶ τὰς πτέρυγας, ἵνα μὴ αἴσθηται ἥμερον ὄρνιν ἐσθίων, καὶ τῶν ἀγρίων ἀμελήσας περὶ τὰς καλύβας ἵπταται.

Περὶ ἁρμοδίας τροφῆς.

Πρέπουσα τροφὴ τῷ ἱέρακί ἐστι κρέας πρόσφατον· ἂν δὲ τοιοῦτον οὐ κεκτῇ, ἐξ ἀνάγκης πάρεχε αὐτῷ χθιζόν, τὸ δὲ πρὸ τούτου μή· λίθους γὰρ ἔνδοθεν τοῦ ἱέρακος ἀπεργάζεται, καὶ φθορὰν καὶ λοιμικὴν νόσον αὐτῷ ἐπιφέρει. ἔστω δὲ τὰ κρέατα ἐξ ἀρνῶν καὶ προβάτων καὶ τράγων καὶ χοίρων καὶ βοῶν. καὶ εἰ μὲν τὰ ζῷα μικρά εἰσι, διδόσθω τὸ κρέας αὐτῶν μετὰ τῶν μαλλῶν· εἰ δὲ τραχέα, ἄνευ τῶν μαλλῶν. ὅταν δὲ ὁ ἱέραξ ὑπὸ μόχθου ἀνεπιμέλητος ᾖ, πάρεχε αὐτῷ ἐκ τῶν τοιούτων ἐν πρώτῃ καὶ δευτέρᾳ ἡμέρᾳ· ἂν γὰρ αὐτῷ δώσῃς ἐν πλείοσιν, οὐ τιθασσοῦται, πρὸς τούτοις δὲ καὶ λίθους ποιεῖ ἔνδον τῆς κοιλίας. ἄλλαττε δὲ αὐτὰ καθ' ἡμέραν· τὸ γὰρ βόειον διὰ πλειόνων ἡμερῶν ἐσθιόμενον ἀπεψίαν ποιεῖ, τὸ δὲ αἴγειον διαλύει μὲν παλῶς τοὺς ἐν τῇ κοιλίᾳ λίθους, ποιεῖ δὲ τὸν στόμαχον αὐτοῦ ὑγρὸν καὶ

Digitized by Google

ἀνόρεκτον· τὸ δὲ πρόβειον συνεχῶς διδόμενον ποιεῖ λίθους. ὅταν οὖν ἐννοήσῃς ὡς ἔνδον πέπτηται λίθους, λαβὼν τράγου αἷμα ξηρὸν δὸς αὐτῷ. τὸ δὲ κρέας τοῦ λαγωοῦ μετὰ τοῦ αἵματος αὐτοῦ πρὸς τροφὴν τῷ ἱέρακι διδόμενον ὠφέλιμόν ἐστι, κρέας δὲ ἐλάφειον μὴ διδόσθω αὐτῷ· ἀπεψίαν γὰρ ποιεῖ. πάρεχε δὲ αὐτῷ καὶ ὀλίγον κρέας ἀρκτῷον εἰ πέπτησαι θερμόν, καὶ μὴ ἐάσῃς αὐτὸν πορεσθῆναι τούτου· δύσπεπτον γάρ ἐστι. λύει δὲ λίθους καὶ τῶν σκυλάκων το αἷμα καὶ τῷ κρέας, ὡς καὶ τὸ τράγειον. καὶ μυῶν ὁμοίως μετὰ τῶν μαλλῶν αὐτῶν. ἐὰν δὲ καθ' ἡμέραν αὐτὸ παρέχῃς, ὠφελεῖ πάνυ τοὺς ἱέρακας· καθαίρει γὰρ φλέγμα καὶ χολὴν καὶ ἀναστέλλει ῥεῦμα καὶ διαλύει λίθους καὶ κόρυζαν θεραπεύει καὶ στόμαχον χαῦνον τονεῖ καὶ ὠφελεῖ κατὰ πάντα. ἡ περιστερὰ δὲ ὠφελεῖ πάνυ συντεθλασμένους ἔχουσα τούς τε πόδας καὶ τὰς πτέρυγας. πάρεχε δὲ αὐτῷ καὶ καρδίαν κόρακος καὶ μυελὸν καὶ ἧπαρ καὶ πάνυ βραχὺ ἐκ τοῦ κρέατος τοῦ στήθους αὐτοῦ, ἐκ δὲ τοῦ αἵματος αὐτοῦ οὔ· ἁλμυρὸν γάρ ἐστιν. ὡσαύτως δὲ καὶ ἐκ τῆς κορώνης, ἀλλὰ μηδὲ τὸ ὀστοῦν τοῖν δυοῖν τούτοιν λάβῃ, ὅτι καυστικά εἰσι καὶ δίψαν ποιοῦσι πολλήν. τῆς δὲ νήττης τὸ κρέας καὶ τὸ αἷμα ὠφέλιμόν ἐστιν, ὡσαύτως καὶ τῆς γεράνου καὶ τοῦ χηνὸς ἄνευ πλείστου αἵματος· ἐὰν γὰρ φάγῃ ὁ ἱέραξ αἷμα πολὺ τοῦ χηνός, σκοτοδινιᾷ ὥσπερ οἱ μεθύοντες, καὶ πρὸς θήραν οὐκ ἐπιτήδειός ἐστιν, ἕως ἂν πέψῃ τὸ αἷμα. διδόσθω δὲ τούτῳ καὶ πελεκάνου καρδία καὶ ἧπαρ καὶ μυελός· ταῦτα γὰρ αὐτὸν πρόθυμον πρὸς θήραν ποιοῦσιν. ἐκ δὲ τοῦ ἑτέρου κρέατος τοῦ πελεκάνου μὴ παρέξεις αὐτῷ· ἐπιβλαβὲς γάρ ἐστι. διδόσθω δὲ αὐτῷ καὶ λάρου καρδία μετὰ αἵματος καὶ βραχὺ κρέας ἐκ τοῦ στήθους αὐτοῦ· τὰ γὰρ ἄλλα τούτου κρέατα ὄζουσι. καὶ ἡ καλουμένη ὄφια ὠφέλιμός ἐστι. ταύτην δὲ χορήγει αὐτῷ δαψιλῶς· τὸ γὰρ κρέας αὐτῆς γλυκύ ἐστι καὶ εὔπεπτον. ὡσαύτως καὶ τῆς ἀτίδος καὶ τῆς κίττης καὶ τῆς φάττης καὶ τοῦ κοττύφου. καὶ τὸ ὀρνίθιον κατὰ καιρὸν διδόμενον ὠφέλιμόν ἐστιν, εἰ τὴν κεφαλὴν τούτου ἐξέλῃς καὶ τοὺς πόδας καὶ τὰς πτέρυγας, ἵνα μὴ διανοησάμενος ὡς κατοικίδιον ὄρνιν ἐσθίει, ἐάσῃ τὴν θήραν καὶ θεύσῃ πρὸς τὰς καλύβας.

Digitized by Google

Διάγνωσις καὶ θεραπεία εἰς κεφαλαλγίαν ἱέρακος.

Ἡ κεφαλαλγία πολέμιον καὶ ὀλέθριον τῷ τῶν ἱε- 44
ράκων καθέστηκε γένει. καὶ ὅσοι μὲν ἔγραψαν ἀδιο-
ρίστως περὶ κεφαλαλγίας, πλείονα τὴν βλάβην ὑπὲρ
τὴν ὠφέλειαν εἰργάσαντο τοῖς ζῴοις τούτοις· οὐ γὰρ
κατὰ μίαν διάθεσιν κεφαλαλγοῦσιν, ἀλλὰ διὰ πλείο-
νας αἰτίας. διά τοι καὶ ἴασίς ἐστιν αὐτῶν ἑκάστη.
καὶ γὰρ ἀλγεῖ τὴν κεφαλὴν ὅταν συνεχέστερον ἐγ-
κρύπτῃ τοῖς πτέρυξι τὴν κεφαλήν, καθὼς ὑπνώττων,
εἰ μὴ συνήθως αὐτὴν ἀνατείνῃ. γίνεται δὲ τοῦτο
ἀπὸ κακοχυμίας πολλῆς ἐξ ἀνεπιτηδείων τροφῶν
ἀθροισθείσης καὶ τῇ κεφαλῇ προσπεσούσης, καὶ δι' 45
ἔμφραξιν τῆς διεξόδου, ἀτμῶν θριμυτέρων προσπε-
σόντων τῇ κεφαλῇ. γίνεται καὶ διὰ ψῦξιν ἄμετρον
συμβαίνουσαν ἐν κυνηγίῳ, καὶ ῥευματίζεται· ἐνίοτε
δὲ καὶ ἀπὸ θέρμης καύματος ἡλίου καὶ ἀπὸ καπνοῦ·
ποιεῖ δὲ φλυκταίνας ἐν τῷ στόματι. καὶ ἀπὸ ὀσμῆς
οἴνου πολλοῦ, ὅπερ ἐστὶ καὶ ἐπικίνδυνον· εἰ γὰρ μὴ
ταχέως νοηθῇ παρὰ τοῦ θηρατοῦ εἰς τὸ ἀποστῆσαι
τὸν ἱέρακα τῆς ὀσμῆς, διαφθείρεται, τῶν κατὰ φύσιν
κορεστικῶν καὶ ἀναπνευστικῶν ὀργάνων διαφθαρέν-
των. θεραπεύεται δὲ εἰ τὴν ἀπὸ σιδήρου σποδὸν
τρίψας ἐν ὑγδίῳ καλῶς ξηρὸν τὸν οὐρανίσκον αὐτοῦ
ἀνατρίψῃς. εἶθ' οὕτως οἴνῳ παλαιῷ ἐμφυσῶν θε- 46
ράπευε ὡς ἔθος αὐτῷ.

Περὶ ἄλγους τῆς κεφαλῆς ἱέρακος.

Ἄλγεῖ τὴν κεφαλὴν ὁ ἱέραξ διὰ πολλὰς αἰτίας. τοῦτο δὲ
γνώσεις, ὅταν τὴν κεφαλὴν αὐτοῦ κρύπτῃ συχνῶς ὑπὸ τὰς
πτέρυγας αὐτοῦ, οἷα κομώμενος. πάσχει δὲ τοῦτο ὑπὸ κα-
κοχυμίας πολλῆς καὶ τροφῆς οὐκ ἐχούσης δίαιταν καὶ ὑπὸ
ἐμφράξεως· τότε γὰρ ἀναβαίνουσι καπνοὶ θριμύτατοι εἰς

Digitized by Google

τὸν ἐγκέφαλον αὐτῶν καὶ ὑπὸ τούτου ἀλγοῦσιν. ἀλγοῦσι δὲ τὴν κεφαλὴν καὶ διὰ πολλὴν ψυχρότητα, πολλάκις δὲ καὶ ὑπὸ πολλῆς θέρμης καὶ ὑπὸ κάπνου καὶ ὑπὸ τῶν γινομένων φυσκῶν ἐν τῷ στόματι αὐτῶν καὶ ὑπὸ πολλῆς τοῦ οἴνου ὀδμῆς, ὅπερ ἐστὶν ἐπικίνδυνον· ἐὰν γὰρ μὴ νοήσας τοῦτο ἀπομακρύνῃς αὐτὸν τῆς ὀδμῆς, ἀπόλλυται. θεραπευθήσεται δὲ οὕτως, εἰ τρίψας ἰὸν σιδήρου καλῶς χρέσεις τὸν οὐρανίσκον αὐτοῦ ξηρὸν ὄντα· ἔπειτα τῷ στόματι αὐτοῦ ἔγχεον οἶνον παλαιόν.

Περὶ τῶν διὰ σφήνωσιν φλεβῶν κεφαλαλγούντων.

Ἱέραξ καρηβαρῶν καὶ κατηφὴς τὴν ὄψιν γενόμενος, ἀνέλκων δὲ μόλις καὶ κατασπῶν τὰ τῶν ὀφθαλμῶν βλέφαρα, τὰς φλέβας τὰς ἐν τοῖς κροτάφοις ἐνσφηνωθῆναι σημαίνει καὶ ὑπὸ τούτου διοχλεῖσθαι τὴν κεφαλήν. θεραπεύσεις οὖν τοῦτον τὸν τρόπον. λαβὼν οἶνον παλαιὸν εἰς τὸ στόμα ἐμφύσα τὴν 48
κεφαλὴν καὶ τοὺς ὀφθαλμοὺς καὶ τὰς ῥῖνας σὺν τῷ στόματι, καὶ λούειν παρ' ἑκάστην ἡμέραν, καὶ θεραπεύσεις.

Περὶ τῶν φλεβῶν αὐτοῦ τῶν ἐχόντων ἔμφραξιν καὶ περὶ τῶν καρηβαρούντων ἱεράκων.

Καρηβαρεῖ ὁ ἱέραξ, καὶ τὸ βλέμμα αὐτοῦ ἐξασθενεῖ, καὶ βίᾳ αἴρει τὰ βλέφαρα αὐτοῦ καὶ πάλιν ὑποχαλᾷ αὐτά. ὅταν οὖν ἴδῃς τοῦτο, γίνωσκε ὅτι ὑπὸ κακοχυμίας ἐνεφράγησαν αἱ φλέβαι τῶν μιλίγγων αὐτοῦ, καὶ θεράπευε αὐτὸν οὕτω. οἶνον παλαιὸν ἔγχεον τῷ στόματι αὐτοῦ καὶ ἐπὶ τῆς κεφαλῆς αὐτοῦ καὶ ἐν τοῖς μυκτῆρσιν αὐτοῦ καὶ ἐν τοῖς ὀφθαλμοῖς. λουέσθω δὲ οὗτος καὶ παρ' ἡμέραν, καὶ θεραπευθήσεται.

Πρὸς ῥεῦμα κεφαλῆς διάγνωσις καὶ θεραπεία.

Ἐπειδὰν ἀπεπτήσῃ λεληθότως. συχνότερον δὲ τὸ τοιοῦτον πάθος προσγίνεται ἡμέρας ἀκαταστασίᾳ

Digitized by Google

λοιμώδους ἢ κρεῶν ῥυπαρῶν μεταλήψει· διαγινώσκεται δὲ οὕτως. ἐὰν τὰ ὑπὲρ τοὺς ὀφθαλμοὺς κοιλώματα τῆς κεφαλῆς τοῦ ἱέρακος πεπληρωμένα ὑπάρχῃ, ἢ ἐν τῷ ἕλκειν τὸ κρέας ἐκ τῆς ῥινὸς αὐτοῦ ὥσπερ σταγόνες τινὲς ὕδατος ἀποπίπτωσιν, ἢ ὅταν ὡς νεφέλαι ὑδατώδεις παρεκάστη ** πληροῦντες αἱ τῶν ὀφθαλμῶν αὐτοῦ κόραι· ἐὰν ἕν τι τούτων τῶν σημείων γένηται, οὕτως θεραπευέσθω ξηρῷ βοηθήματι. κόστου γράμμ. πέντε, φύλλου Ἰνδικοῦ γράμμ. πέντε, ξηρὸν κόκκον δάφνης γράμμ. τρία, σταφίδος ἀγρίας γράμμ. α'. ταῦτα βάλλε ἐν ὑγδίῳ καὶ κόπτε καὶ κοπάνιζε καὶ κοσκίνιζε, καὶ σῆθε λεπτοτάτῳ κοσκίνῳ καὶ ἔχε ξηρόν. ἐπὶ δὲ τῆς χρείας λάμβανε ἐξ αὐτοῦ, καὶ τρῖβε τὸν οὐρανίσκον αὐτοῦ, εἶτα μέλιτι ὑπάλειφον τὸν φάρυγγα, καὶ θεραπεύσεις. ἐκ δὲ τοῦ ξηροῦ αὐτοῦ ἔμβαλε καὶ εἰς τοὺς μυκτῆρας αὐτοῦ, καὶ ἵστα ἐν ἡλίῳ ὥραν μίαν, καὶ ὡραῖος γενήσεται.

Ἄλλως.

Πάσχει δὲ ἡ κεφαλὴ τοῦ ἱέρακος συχνῶς ὑπὸ ῥευματισμοῦ ἢ τῇ τῶν ἀέρων φθορᾷ, ὅτε λοιμικὴ νόσος τοῖς ἀνθρώποις ἔνεστιν, ἢ ὑπὸ κρεάτων ὀδωδότων καὶ πεφυρμένων. νοήσεις δὲ τοῦτο οὕτως, εἰ ἴδοις τοὺς κροτάφους αὐτοῦ φθηκότας, ἢ ὅταν ἕλκοντος τὸ κρέας ῥέῃ ἐκ τῆς ῥινὸς αὐτοῦ ὡς ὕδωρ, ἢ ὅταν ἔνδοθεν οἱ ὀφθαλμοὶ αὐτοῦ νεφέλας ποιήσωσι. τοῦτο δὲ θεράπευε τοιούτως. κόστου ἐξάγιον α' κόκκους ς', φύλλου Ἰνδικοῦ ἐξάγιον α' κόκκους ς', δαφνόκοκκα ξηρὰ κόκκους ιή', σταφίδας ἀγρίας κόκκους ς'. ταῦτα τρίψας σῆσον λεπτῶς μετὰ κοσκίνου πυκνοῦ καὶ ξήρανον αὐτά· ἐπὶ δέ τινι χρείᾳ τρῖβε τὸν οὐρανίσκον αὐτοῦ μετ' αὐτῶν. ἔπειτα μέλιτι χρῖε τὸν λαιμὸν αὐτοῦ ἔνδοθεν. ἀπὸ δὲ τοῦ ξηρανθέντος ἐκείνου πάσματος ἐμφύσα τοῖς μυκτῆρσιν αὐτοῦ, καὶ στῆσον αὐτὸν πρὸ τοῦ ἡλίου ἐπὶ ἀκμῆ, καὶ ἰαθήσεται.

Digitized by Google

Εἰς ῥεῦμα κεφαλῆς ἱέρακος.

47 *Ἱέραξ ἐὰν ῥευματίζηται τὴν κεφαλήν, ὑγρὸν πολὺ ἐκβάλλει διὰ τῶν ῥινῶν. θεραπεύσεις οὖν τούτῳ τῷ βοηθήματι. γλυκύριζον κόψας καὶ σήσας μετὰ κρέως δίδου φαγεῖν· ἐὰν δὲ μένῃ τὸ ῥεῦμα, νάρδου σταγόνας τρεῖς εἰς τὰς ῥῖνας αὐτοῦ ἔνσταζε καὶ ἵστα αὐτὸν εἰς ἥλιον εὐδίας οὔσης καὶ νηνεμίας ἐπὶ ὥρας δύο. καὶ ἐὰν ὁμοίως ἔχῃ, ἔγχρισον· καὶ τῇ ἑξῆς θερμοφαγείτω περιστεράν, καὶ ἰαθήσεται.*

Ἄλλως.

Τρίψας γλυκύριζον σῆσον αὐτὸ καὶ ἑνώσας αὐτὸ κρέατι πρόσθες τῷ ἱέρακι. ἐὰν δὲ τοῦτο εἰς ὑγίειαν αὐτὸν οὐ μεταβάλῃ, ἔνσταξε τοῖς μυκτῆρσιν αὐτοῦ τρὶς τῶν σταλαγμῶν τοῦ νάρδου, καὶ στῆσον αὐτὸν πρὸ τοῦ ἡλίου ἐν δυσὶν ὥραις ὅταν ἐστὶ νηνεμία· ἐὰν δ' ἐκ τούτου οὐκ ὠφεληθῇ, χρῖε τοῦτον πάντοθεν τῷ νάρδῳ, καὶ ἐς αὔριον ἐσθιέτω περιστερὰν ζεστήν, καὶ ἰαθήσεται.

Ἄλλο.

48 *Πεπέρεως λευκοῦ, καρυοφύλλου τὸ ἴσον λειώσας ἐμφύσα διὰ καλαμίσκου εἰς τοὺς μυκτῆρας αὐτοῦ. σημεῖον δὲ δείκνυσιν, ὑδρορροεῖ ἐκ τῶν ῥινῶν. οἶνον δὲ παλαιὸν ἐν τῷ στόματί σου λαβὼν προσφύσα ὁμοίως εἰς τὰς ῥῖνας αὐτοῦ, καὶ ἵστα αὐτὸν ἐν ἡλίῳ.*

Ἄλλως.

Πέπερι λευκόν, καρυόφυλλον ἐπίσης τρίψας ἐμφύσησον αὐτὸ μετὰ δόνακος λεπτοῦ τοῖς μυκτῆρσι τούτου. ἐμφύσησον δὲ καὶ οἶνον παλαιὸν τοῖς μυκτῆρσιν αὐτοῦ.

Διάχριστον πρὸς καρηβαροῦντα ἱέρακα τρυφερόν.

49 *Δάφνης κόκκους ἑπτά, σταφίδος ἀγρίας κόκκους πέντε, σκορόδου ὀλίγον, κυμίνου τὸ ἀρκοῦν, ὀπὸν*

Digitized by Google

βαλσάμου οὐγγ. δύο, μέλιτος κοχλιάριον ἕν, ταῦτα συγκόψας ἐν ὅλμῳ καθαρῷ καὶ σήσας ἀναφύρα τοῖς ὑγροῖς, καὶ ἀναπτύξας τὸ στόμα τοῦ ἱέρακος διάχριε τὴν ὑπερῴαν αὐτοῦ ἐπιμελῶς.

Περὶ χρίσματος χλωροῦ πρὸς καρηβαροῦντα ἱέρακα.

Δαφνόκοκκα ζ', ἀγριοστακίδος κόκκους ε', σκόροδον ὀλίγον, κύμινον, ζωμὸν ηδυόσμου οὐγγίας β', καὶ κοχλιάριον μέλιτος. τρίψας ταῦτα μετὰ τῶν ξηρῶν ἔνασον τοῖς ὑγροῖς καὶ ἄλειφε τὸν οὐρανίσκον αὐτοῦ.

Διάχριστον ξηρόν.

Σταφίδος ἀγρίας κόκκον ἕνα, πεπέρεως κόκκους ἑπτά, κόστου φύλλα, ναρδοστάχυος ἀνὰ κεράτια δύο, καστορίου κεράτιον ἕν. ταῦτα κόψας καὶ σήσας χρῶ ξηρῷ, διαχρίων τὴν ὑπερῴαν αὐτοῦ.

Περὶ χρίσματος ξηροῦ.

Ἀγριοστακίδος κόκκον α', πεπέρεως κόκκους ζ', κόστου φύλλα καὶ στάχος ἀπὸ κοκκίων β'. ταῦτα τρίψας σῆσον καὶ πάττε τὸν οὐρανίσκον αὐτοῦ.

Ἕτερον διάχριστον ξηρόν.

Σκόροδον ὀρεινὸν λαβὼν καῦσον αὐτὸ καὶ τρί- 51
ψον, καὶ μίξας μετὰ λασάρου τὸ ἴσον διάχριε τὸν ἱέρακα.

Ἄλλως.

Σκόροδον ὀρεινὸν τεφρώσας τρῖψον τοῦτο καὶ ἔνωσον τῇ σκοροδάλμῃ ἣν πωλοῦσιν οἱ μυρεψοί, καὶ χρῖε πανταχόθεν τὸν ἱέρακα.

51 *Εἰς ῥευματιζομένους ἱέρακας.*

Κνίδης κόκκους δεκαπέντε τρίψας καλῶς δίδου 52

Digitized by Google

μετὰ κρέως φαγεῖν εἰς μέρη τρία· εἰ δὲ οὐκ εὐπορίης τῆς κνίδης τὸ σπέρμα, ῥέον Ποντικὸν τρίψας μετὰ κρέως ὁμοίως δίδου αὐτῷ φαγεῖν.

Περὶ βοηθήματος εἰς ῥευματιζομένους ἱέρακας.

Ἀπαλήφης κόκκους ιέ. τρῖψον αὐτὰ καλῶς καὶ θεὶς αὐτὰ ἐν τρισὶ τεμαχίοις κρέατος πρόσφερε αὐτά. ἐὰν δὲ οὐκ ἔχῃς σπέρμα ἀπαλήφης, τρῖψον ῥεοπόντικον καὶ δὸς αὐτῷ φαγεῖν τοῦτο μετὰ κρέατος.

Ἀποφρακτικὸν κεφαλῆς ἐχούσης ὑγρά.

53 Ἁλὸς Καππαδοκικοῦ, ἐλαίου ὀμφακίνου, φοῦ τὸ λευκόν. ταῦτα τῷ ἴσῳ σταθμῷ βαλὼν καὶ μέλιτος τὸ ἀρκοῦν ἀνάφυρε ὁμοῦ εἰς ἀγγεῖον, καὶ μετὰ κρέως δίδου τῷ ἱέρακι ἐσθίειν.

Περὶ ἀποφρακτικοῦ τῆς κεφαλῆς τῆς ἐχούσης ὑγρασίας.

Ἄλας Καππαδοκικόν, ὀμφάκινον ἔλαιον, τὸ τοῦ φοῦ λευκόν. ἔνωσον δὲ ταῦτα μετὰ μέλιτος ἐπίσης, καὶ ἐσθιέτω τοῦτο ὁ ἱέραξ μετὰ κρέατος.

Διάχριστον προφυλακτικὸν κατὰ πάσης νόσου ἐν παντὶ καιρῷ χρώμενον εἰς τὸ παντελὲς διατηρεῖν τοὺς ἱέρακας καὶ ἐν πάσῃ κεφαλῇ καθαίρον τὰ ἐν αὐτῇ ἱδρυμένα ὑγρά· καθαίρει δὲ καὶ κατανισθέντα τὸν ἱέρακα, ἱᾶται κόρυζαν, ῥεῦμα ὀφθαλμῶν ἵστησιν. ἡ δὲ σύνθεσις αὐτοῦ αὕτη.

54 Πεπέρεως οὐγγ. ξ, λασάρου κεράτια τρία, καρυόφυλλα οὐγγ. δ', κόκκου οὐγγ. δύο, καστορίου οὐγγ. δ', ζιτζιβέρεως οὐγγ. δύο, σταφίδος ἀγρίας 55 κόκκους κε', πηγάνου ξηροῦ οὐγγ. δύο. ταῦτα πάντα κόπτε ἐν ὅλμῳ καὶ σῆθε λεπτοτάτῳ κοσκίνῳ· εἶτα

Digitized by Google

ἀνάφυρε μετὰ μέλιτος ἀκάπνου καὶ οἴνου παλαιοῦ τὰ ἀρκοῦντα ἐν θυίᾳ, καὶ χρῶ διαχρίων τὴν ὑπερῴαν, καὶ κατασχὼν πρὸς τὴν κάτω τὴν ἄνω γέννυν μύζησον τὰς ῥῖνας πρὸς τὸ διαπεμφθῆναι τὸ διάχρισμα, καὶ οὕτως στῆσον αὐτὸν ἐν ἡλίῳ. ποίει δὲ τοῦτο χειμῶνος μὲν ἅπαξ τοῦ μηνός, ἐν θέρει δὲ μηδ' ὅλως. μετὰ δὲ τὸ ἐξελθεῖν αὐτὸν ἐκ τῆς ἐγκλείστρας διάχριε λεπτότερον γενόμενον ἀφελὼν τοῦ διαχρίσματος τὸ πύρεθρον καὶ τὸν σταφίδα καὶ τὸ ζιτζίβερι καὶ τὸ πήγανον· καὶ τοῖς ἐναπολειφθεῖσι μόνοις ἀναλαβόμενος διάχριε, καὶ ἵστα αὐτὸν ἐν ἡλίῳ. μετὰ δὲ τὴν αὐτάρκη στάσιν κρέας ψυχρὸν δίδου φαγεῖν, καὶ ὕδωρ ψυχρὸν πότισον. μετὰ δὲ τὴν χειμέριον ὥραν διαχρισθεὶς θερμοφαγείτω μικρὰν περιστεράν, μὴ συγχωρῶν ὕδωρ δοῦναι κατ' ἐκείνην τὴν ἡμέραν.

Χρίσμα προφυλακτικὸν εἰς πᾶσαν νόσον ἐν παντὶ καιρῷ διδόμενον πρὸς τὸ διατηρεῖσθαι τοὺς ἱέρακας ὑγιεῖς, καθαρτικὸν κεφαλῆς καὶ τῶν ἐν αὐτῇ ὑγρῶν. καθαίρει δὲ καὶ τὰ κάπνισθέντα ἱεράκια. θεραπεύει κόρυζαν καὶ ῥεῦμα ὀφθαλμῶν.

Πέπερι οὐγγίας ς', σκορδολάζαρον κόκκους γ', καρυόφαλον οὐγγίας δ', καστόριον οὐγγίας δ', ζιντζίβερ οὐγγίας β', ἀγριοσταφίδα κόκκους κέ, πήγανον ξηρὸν οὐγγίας β'. ταῦτα πάντα τρίψας σῆσον μετὰ κοσκίνου πυκνοῦ καὶ μάττε αὐτὰ μέλιτι ἀκάπνῳ καὶ οἴνῳ παλαιῷ, καὶ ἄλειφε τὸν οὐρανίσκον αὐτοῦ· εἶτα κλείων τὸ στόμα αὐτοῦ σύνεχε, τοὺς δὲ μυκτῆρας αὐτοῦ ἐκμυζᾶν θέλε τῷ στόματί σου· ἕλκεται γὰρ τὸ πασχὸν ἐκεῖνο φάρμακον. τοῦτο δὲ ποιήσας στῆσον αὐτὸν πρὸ τοῦ ἡλίου· ποίει δὲ τοῦτο τὸν μὲν χειμῶνα ἅπαξ τοῦ μηνός, τὸ δὲ θέρος μηδαμῶς. ὅταν δὲ ἀρθῇ τῆς πτερορρυΐας, χρῖε τοῦτον αὖθις τοῖς προειρημένοις πάσμασιν· ἀφελὼν δὲ τούτων τὴν ἀγριοσταφίδα καὶ τὸ ζιντζίβερ καὶ τὸ πήγανον, τοῖς ἐναπολειφθεῖσι ποίει αὐτήν. ὅταν δὲ τοῦτον

Digitized by Google

ἀλείψῃς, στῆσον αὐτὸν πρὸ τοῦ ἡλίου ἱκανὴν ὥραν· ἔπειτα δὸς αὐτῷ ὑδάτι ψυχρὸν καὶ κρέας· κατὰ δὲ τὸν χειμῶνα ὅταν αὐτὸν χρίσῃς, δὸς αὐτῷ περιστερᾶς νεοττόν. εἰς δὲ τὴν ἡμέραν ἐκείνην μηδοπωσοῦν αὐτῷ ὑδάτι πάρεχε.

Εἰς καρηβαροῦντα ἱέρακα καὶ δέγχοντα.

55 Πεπέρεως, σταφίδος ἀγρίας, γηπονόμου, φύλλου ναρδοστάχυος, καρυόφυλλον, πηγάνου σπέρμα, πλα- 53
τυκύμινον, σαγαπηνοῦ, βαλαυστίου, μαράθρου σπέρμα, κοριάννου σπέρμα, πετροσελίνου σπέρμα, ταῦτα πάντα τῷ ἴσῳ σταθμῷ μίξας καὶ κόψας καὶ σήσας ὑπόθου ξηρόν· ἐπὶ δὲ τῆς χρείας ποτὲ μὲν μετὰ μέλιτος διάχριε, ποτὲ δὲ ξηρῷ θεράπευε.

Περὶ ἱέρακος καρηβαροῦντος καὶ δέγχοντος.

Πέπεριν, ἀγριοσταφίδα, κενταύριον, φύλλον ἀρωματικόν, στάχος, καρυόφυλλον, πηγανόσπορον, πλατυκύμινον, σαγαπηνόν, ἄνθος ῥοιᾶς, σπέρμα μαλάθρου, κολίαντρον, σπέρμα πετροσελίνου. ταῦτα πάντα στάθμησον ἐπίσης καὶ τρίψας σῆσον αὐτά. ἔχε δὲ αὐτὰ ξηρά, ἐν δὲ τῇ χρείᾳ ἑνώσας μέρος τούτων τῷ μέλιτι ἄλειφε τὸν ἱέρακα.

Ξηρίον καθαίρον τὴν κεφαλὴν τοῦ ἱέρακος καὶ κόρυζαν.

56 Σχοίνου ἄνθος οὐγγ. δ', ζιτζιβέρεως οὐγγ. γ', κόστου οὐγγ. δ', φύλλου γράμμ. γ', σταφίδος ἀγρίας οὐγγ. γ', βαλσάμου γράμμ. α', ῥοὸς βυρσοδεψικῆς γράμμ. α', τραγακάνθης γράμμ. δ', πεπέρεως γράμμ. δ', πετροσελίνου γράμμ. δ', μέλιτος τὸ ἀρκοῦν. τὴν τραγάκανθαν ἔχε προβεβρεγμένην, καὶ τὰ ξηρὰ κόψας ἐπίβαλε τοῖς ὑγροῖς, καὶ ἀναλαβόμενος χρῶ καθὼς προείρηται. τοῦτο καὶ ἐπιχριόμενον καὶ διδόμενον μετὰ κρέως μεγάλα ὀνίνησι.

Digitized by Google

Περὶ πάσματος καθαίροντος τὴν κεφαλὴν τοῦ λέρακος καὶ κόρυζαν.

Σχοίνου ἄνθος οὐγγίας δ', ζιντζίβερ οὐγγίας γ', κόστου οὐγγίας δ', φύλλου ἀρωματικοῦ κόκκους ιη', ἀγριοστα-
φίδος οὐγγίας γ', ἡδυόσμου οὐγγίαν μίαν καὶ κόκκους ς', ῥοῦν κόκκους ς', τραγάκανθον γράμμ. δ', πέπερι γράμμ. ς', μέλιτος τὸ ἀρκοῦν. βρέξας πρῶτον τὸ τραγάκανθον καὶ τὰ ξηρὰ τρίψας ἕνωσον αὐτὰ τῷ ὑγρῷ τραγακάνθῳ, ποίει δὲ ὡσπερ εἴπομεν· τούτῳ γὰρ ἐὰν τον λέρακα χρίῃς καὶ μετὰ τοῦ κρέατος τοῦτο παρέχῃς, ὠφελεῖς αὐτὸν πάνυ.

Καθαρτικὸν κεφαλῆς λέρακος ἐν παντὶ καιρῷ.

Σταφίδος ἀγρίας κόκκους κεκαθαρισμένους δ', 57
54 πεπέρεως κόκκους δ', ἀρρενικοῦ ὄχιστοῦ τὸ ἀρκοῦν ὁμοῦ καλῶς λειώσας μετὰ οἴνου στύφοντος καὶ ἀναλαβών, ὥστε γενέσθαι ὑγρὸν συμμέτρως, δύο ῥανίδας ἐξ αὐτοῦ ἔμβαλε εἰς τοὺς μυκτῆρας τοῦ λέρακος ἢ ἐμφύσησον εἰς τὰς ῥῖνας αὐτοῦ πρὸς τὸ ἀναφθῆναι διὰ τῶν ἔσωθεν πόρων τὸ καθαρώτερον εἰς τὴν ὑπερῴαν αὐτοῦ· τοῦτο γὰρ ἐκτινάξει πᾶσαν τὴν ἐγκειμένην αὐτῷ παχύτητα καὶ μυξώδη ὑγρότητα. πρὸ δὲ τοῦ καθαρτικοῦ τούτου καλὸν κεχρῆσθαι τῇ ἀγωγῇ ταύτῃ. λαβὼν νίτρον λευκὸν καὶ οἶνον παλαιόν, τὸ μὲν νίτρον τετριμμένον λίαν διὰ τῶν ῥινῶν αὐτοῦ παράπεμπε ἐμφυσῶν, τὸν δὲ οἶνον ἐν τῷ στόματί σου λαβὼν ὁμοίως ἐμφύσα καὶ αὐτόν, ἢ πτεροῖς βεβρεγμένοις ἐν οἴνῳ ἀποσπόγγιζε τὰ περὶ τὸ στόμα καὶ τὸν λάρυγγα. καὶ ὅταν καλῶς ἴδῃς τὴν ἐκπολάζουσαν μυξώδη ὑγρότητα καθαρθεῖσαν, χρῶ τῷ εἰρημένῳ καθαρτικῷ συνθήματι καὶ ἐν παντὶ καιρῷ ἐπιτηδείῳ ὄντι, καὶ ἁπλουστέρῳ μὲν ἀναγκαιοτέρῳ δὲ καὶ δραστικωτέρῳ συντρέχοντι, καὶ τῇ πείρᾳ δεδοκιμασμένῳ καὶ θαυμαστῶς ἐνεργοῦντι.

Digitized by Google

Καθαρτικὸν κεφαλῆς ἱέρακος ἐν παντὶ καιρῷ διδόμενον.

Ἀγριοσταφίδος κόκκους δ' ἄνευ φλοιοῦ ὄντα, πέπερι κόκκους δ', ἀρσενίκιον ἱκανόν. ταῦτα δὲ λειώσας ἅμα οἴνῳ στύφοντι ἔνσταζε ἐξ αὐτοῦ τοῖς μυκτῆρσι τοῦ ἱέρακος καὶ φύσα αὐτό, ἵνα ἀνέλθῃ καὶ ἐξέλῃ πᾶσαν καχύτητα ἣν κέκτηται καὶ μύξαν καὶ ἄλλην ὑγρότητα. πρὸ δὲ τοῦ καθαρτικοῦ τούτου ποίει οὕτως. λαβὼν νίτρον λευκὸν καὶ παλαιὸν οἶνον, καὶ τὸ μὲν νίτρον τρίψας καλῶς θὲς αὐτὸ ἐν τοῖς μυκτῆρσιν αὐτοῦ καὶ φύσησον αὐτό, ἵνα εἰσέλθῃ ἔνδον. ὁμοίως καὶ τὸν οἶνον ἐμφύσησον τοῖς μυκτῆρσιν αὐτοῦ, ἀποψῶν τὸ στόμα αὐτοῦ καὶ τὸν λάρυγγα πτερῷ βεβρεγμένῳ ἐν ὕδατι. ὅταν δὲ ἴδῃς αὐτὸν καθαρθέντα τῆς μύξης καὶ τῆς ἄλλης ὑγρότητος, ποίει τὸ προειρημένον καθαρτικόν, ὅπερ ἁρμόδιόν ἐστιν ἐν παντὶ καιρῷ.

Διάχρισμα προφυλακτικὸν μουτάτων ἱεράκων. 55

58 *Κόστου γράμμ. α', ἀγρίας σταφίδος κόκκους ιβ', καστορίου γράμμ. α', εὐφορβίου γράμμ. α', λασάρου γράμμ. α'. ταῦτα κόψας καὶ σήσας διάχριε τὸν ἱέρακα. προφυλακτικόν ἐστι κατὰ πάσης νόσου.*

Περὶ διαχρίσματος προφυλακτικοῦ τῶν ἱεράκων.

Κόστου κόκκους ς', ἀγριοσταφίδος κόκκους ιβ', καστορίου κόκκους ς', ἐφορβίου κόκκους ς', πυρέθρου κόκκους ς'. ταῦτα τρίψας καὶ σήσας χρῖε τὸν ἱέρακα· ἔστι γὰρ τοῦτο προφυλακτικὸν παντὸς ἀρρωστήματος.

Διάχρισμα προφυλακτικὸν πούλων ἱεράκων.

59 *Φύλλου γράμμ. ς', πεπέρεως γράμμ. α', καρπὸν βαλσάμου γράμμ. α', λασάρου γραμμ. ἓν ς'' κόψας καὶ σήσας ἀνάλαβε μετὰ μέλιτος τὸ ἱκανὸν καὶ διάχριε.*

Digitized by Google

Περὶ χρίσματος προφυλακτικοῦ εἰς τοὺς ἱέρακας ἔτι νεοττοὺς ὄντας.

Φύλλου ἀρωματικοῦ κόκκους γ', πέπεριν κόκκους ς', καρποβαλσάμου κόκκους ς', πυρέθρου κόκκους θ'. τρίψας ταῦτα καὶ σήσας ἔνωσον αὐτὰ μέλιτι καὶ χρῖε τοὺς νεοττούς.

Εἰς ἐπιληπτικὸν ἱέρακα.

Ἐὰν ἐπιληπτικὸς ᾖ ὁ ἱέραξ, νυκτερίδα πιάσας ἕψε 60
καὶ δίδου φαγεῖν, καὶ θεραπευθήσεται.

Περὶ ἱέρακος ἐπιληπτικοῦ.

Νυκτερίδα ἑψήσας ἐν χύτρᾳ, ταύτην πρόσθες αὐτῷ καὶ 10
ἰαθήσεται.

Ἄλλο.

Ἐγκέφαλον ἰρίφου λαβών, πρῶτον διαβιβάσας 61
εἰς δακτύλιον χρυσοῦν, δὸς φαγεῖν τῷ ἐπιληπτικῷ
ἱέρακι, καὶ θαυμάσεις. 15

Ἄλλως.

Μυελὸν ἰρίφου δὸς αὐτῷ.

56 *Εἰς μωρανθέντα φυσικῶς.*

Λαβὼν ἁρπακτικὸν ὕδωρ προπότισον ὅλον τὸν 62
ἱέρακα, εἶθ' οὕτως κάπνισον αὐτὸν καστορίῳ. 20

Περὶ ἱέρακος μωρανθέντος φυσικῶς.

Ὕδωρ δραμὼν ἁρπακτικῶς ἄντλησον, εἶτα πότισον τὸν ἱέρακα, καπνίσας αὐτὸν τῷ καστορίῳ.

Ἐὰν σπασθῇ ὁ ἱέραξ.

Κυπείρου καὶ μόσχου καὶ βοτάνης δριμυτάτης 63
καλουμένης καὶ οἰνάνθης ὑγρᾶς καὶ γάλακτος αἰγείου 25
καὶ οὔρου καὶ κόπρου ἀνθρωπείου τῷ ἴσῳ σταθμῷ
λαβών, τὰ ξηρὰ τρίψας καὶ μίξας τοῖς ὑγροῖς ἐγχυ-
μάτισον τὸν ἱέρακα.

Digitized by Google

Περὶ ἐπιληψίας ἱέρακος.

Κύπειρον, μόσχον, οἴνου ἀτμόν, γάλα αἴγειον, κόπρια καὶ οὖρον ἀνθρώπινον, ἐπίσης ἅπαντα, τρίψας αὐτὰ ξηρὰ ἔνωσον τοῖς ὑγροῖς καὶ θὲς ἐν τοῖς μυκτῆρσιν αὐτοῦ.

Πρὸς σπότωσιν ἀπὸ χυμοῦ προσμένοντος.

64 *Σημεῖον τοῦτο δείκνυσιν ὁ ὄρνις. σκοτοῦται καὶ στῆναι οὐ δύναται. λαβὼν ἀγρίας σταφίδος κόκκους ε', κόψας καὶ σήσας αὐτοὺς καὶ μέσον τοῦ κρέως βαλὼν δίδου φαγεῖν. εἰ δὲ ἀποστρέφεται τὴν τροφὴν καὶ οὐ λαμβάνει αὐτήν, εἰς σφαίραν βραχυτάτην τὸ κρέας διαπλάσας καὶ εὐφυῶς διαστείλας τὸ στόμα τοῦ ζῴου ἀνάγκασον λαβεῖν· καὶ μετὰ μίαν ἢ δευτέραν ὥραν ὄψει πάραυτα ἐξεμέσαντα τὸν χυμὸν* 57
καὶ ἐλευθερωθέντα τοῦ πάθους. εἶθ' οὕτως θερμὴν καὶ νεαρὰν τροφὴν δίδου.

Περὶ σκοτοδινίας τοῦ ἱέρακος.

Ὅταν σκοτοδινίᾳ ὁ ἱέραξ καὶ ἴλιγγι συνέχηται καὶ οὐ δύναται ἵστασθαι, τρῖψον ἀγριοσταφίδος κόκκους ε', καὶ σήσας αὐτὰ δὸς αὐτῷ φαγεῖν μετὰ κρέατος. ἂν δὲ ἑκὼν οὐ λαμβάνῃ ταῦτα, σὺ τὸ στόμα αὐτοῦ ἀνοίξας θὲς ἐντός, καὶ μετὰ μίαν ὥραν ἢ δύο ἐμέσει τὸν χυμόν, καὶ τοῦ πάθους ἐλευθερωθήσεται. εἶτα δὸς αὐτῷ τροφὴν πρόσφατον.

Εἰς ὀφθαλμῶν πάθος.

65 *Οὐκ ὀλίγοις δοκεῖ μοι πάθεσι περιπίπτειν τὸν ἱέρακα τοῖς ὀφθαλμοῖς· ἃ γὰρ κἂν τοῖς ἄλλοις τῶν ζῴων, ταῦτα καὶ αὐτῷ συμβαίνει. οἱ οὖν ἀμαθῶς περὶ τούτων γράφοντες τὰ πλεῖω παρέλιπον· ἐγὼ δὲ τὰ ἐκείνων ἀσαφῆ καὶ ἀμαυρὰ ὡς οἷόν τε διασαφήσω καὶ λευκανῶ.*

Digitized by Google

Περὶ πάθους ὀφθαλμῶν.

Ποικίλοις πάθεσιν οἱ ὀφθαλμοὶ τῶν ἱεράκων περιπίπτουσι· ὅσα γὰρ τοῖς ἄλλοις ζῴοις συμβαίνει, τοσαῦτα καὶ αὐτοῖς. ὅσοι γοῦν οὐ μετὰ πείρας ἠθέλησαν περὶ τούτου γράψαι, τὰ πλείω παρείασαν· νῦν δὲ ἐγὼ βούλομαι εἰπεῖν καὶ περὶ ἐκείνων σαφέστερον καὶ περὶ τῶν ἄλλων, ὅσα γράψαι ἐκεῖνοι οὐκ ἠδυνήθησαν.

Περὶ λευκώματος καὶ νεφέλης ἱεράκων.

Τὰς ἐπιπολῆς γινομένας ἐν τοῖς ὀφθαλμοῖς τῶν 66
ἱεράκων παρεμποδίσεις εἰς τὸ ὁρᾶν οἱ μὲν νεφέ- 10
λας καλοῦσιν οἱ δὲ λευκώματα. ταῦτα δὲ συμβαίνει ἢ ἀπὸ λευκώματος ἢ ἀπὸ ῥήγματος. θεραπεύσεις δὲ οὕτω. λαβὼν μέλι Ἀττικὸν ἄκαπνον, καὶ κροκοδειλιάρας κόπρου λευκῆς τὰ ἴσα μίξας, ἐν ἰγδίῳ τρίβε ἐπιμελῶς ἕως γλοιῶδες γένηται· καὶ μετὰ πτεροῦ 15
58 *ἐπίχριε τοὺς ὀφθαλμοὺς αὐτοῦ. εἰ δὲ προσκρούσας τὸν ὀφθαλμὸν ἀλγεῖ καὶ δακρυρροεῖ, ἅλας Καππαδοκικὸν μασήσας καλῶς, προσφύσα τὸν ὀφθαλμὸν αὐτοῦ, ἢ τὸ ἅλας αὐτὸ λύε μετὰ ὕδατος καὶ διύλιζε πρὸς τὸ μὴ ῥύπον τινὰ ἐμπεσεῖν τῷ ὀφθαλμῷ, εἶτα* 20
ἐν τῷ στόματι λαμβάνειν ἐκ τοῦ διυλίσματος καὶ προσφυσᾶν τῷ ὀφθαλμῷ αὐτοῦ. ἕτεροι δὲ τὸ αὐτὸ ἅλας εἰς παροψίδα μεθ' ὕδατος λύσαντες πτερῷ ἐγχρίουσι τὸν ὀφθαλμόν, καὶ ποιοῦσι τοῦτο τῆς ἡμέρας πολλάκις. βέλτιον ἐν τῷ στόματι λαμβάνειν τὸ 25
ἅλας καὶ προσφυσᾶν διὰ τὸ μὴ κρατεῖσθαι αὐτὸ συνεχῶς καὶ τὰς τῶν ἀνθρώπων ὄψεις καὶ χείλη φοβεῖσθαι.

Περὶ λευκώματος καὶ νεφέλης τῆς γινομένης ἐν ὀφθαλμοῖς τῶν ἱεράκων. 30

Τὰ ἐπιπροσθοῦντα τοὺς ὀφθαλμοὺς τῶν ἱεράκων καὶ οὐκ ἐῶντα αὐτοὺς καθορᾶν, οἳ μὲν αὐτὰ καλοῦσι λευκώ-

Digitized by Google

ματα, ἕτεροι δὲ νεφέλας. ταῦτα δὲ γίνονται ἢ ὑπὸ ῥευματισμοῦ ἢ ὑπὸ πληγῆς. θεραπεύσεις δὲ αὐτὰ οὕτως. λαβὼν ἄπαπνον μέλι καὶ κροκοδείλου κόπρον λευκὴν ἐξ ἴσου, τρῖψον αὐτὰ καλῶς ἵνα γένηται γλίσχρον· καὶ λαβὼν ἐκ τούτου μετὰ πτεροῦ ἐπίχριε τοὺς ὀφθαλμοὺς αὐτοῦ. ἐὰν δὲ ὑπὸ πληγῆς ἀλγῇ τοὺς ὀφθαλμούς, καὶ δάκρυον ἐξ αὐτῶν ἐκχῦται, μάσησον καλῶς ἅλας Καππαδοκικόν, καὶ ἐμφύσα τοῦτο τοῖς ὀφθαλμοῖς αὐτοῦ ἢ διαλύσας τοῦτο μετὰ ὕδατος καὶ σαγγελίσας αὐτὸ ἀγγείῳ καθαρῷ, ἵνα μὴ ῥυπωθῇ, ἐμφύσα αὐτὸ τῷ στόματί σου.

Ἐὰν λευκανθῇ ὁ ὀφθαλμὸς ἢ ἀπὸ πληγῶν ἢ ἀπὸ αἵματος.

67 Σηπίας ὄστρακον λαβὼν καὶ αὐτοῦ τοῦ ἱέρακος τὸν ἀπόκατον, τὸ ἴσον καθαρῶς καὶ εὐφυῶς ἀνελόμενος, ἵνα μὴ ῥύπος συνεπακολουθήσῃ σοι, καὶ χαλβάνης καθαρᾶς καὶ μέλιτος ἀκάπνου τὰ ἴσα βαλὼν ἐν θυίᾳ, λύων καλῶς, εἶτα πτερῷ ὑπάλειφε τὸν ὀφθαλμόν, καὶ ἀποκαταστήσεις αὐτὸν ἐν ὀλίγαις ἡμέραις ὑγιῆ.

Περὶ λευκώματος τοῦ γινομένου ἐν ὀφθαλμῷ τοῦ ἱέρακος ἢ ὑπὸ πληγῆς ἢ ὑπὸ αἵματος.

Λαβὼν σηπίας ὄστρακον καὶ τὴν τοῦ ἱέρακος κόπρον ἐκ τόπου ἀρυπαίτου καὶ χαλβάνην καθαρὰν καὶ μέλι ἄπαπνον, ἅπαντα ἐπίσης, διάλυσον αὐτὰ ἐν θυΐᾳ· καὶ λαβὼν ἐκ τούτου μετὰ πτεροῦ χρῖε τὸν ὀφθαλμὸν τοῦ ἱέρακος.

Ἄλλο. 59

68 Χρυσολαχάνου σπέρμα λαβὼν τρῖψον καλῶς, καὶ σήσας λεπτῷ κοσκίνῳ ἐπίπασσε τὸν ὀφθαλμόν.

Ἄλλως.

Σπέρμα χρυσολαχάνου τρίψας σῆσον αὐτὸ καὶ πάσον τοὺς ὀφθαλμοὺς αὐτοῦ.

Digitized by Google

Ἄλλο.

Λιβάνου καθαροῦ καὶ σηπίας ὄστρακον τὰ ἴσα κό- 69
ψας καὶ σήσας λεπτῷ κοσκίνῳ ἐμφύσα τῷ ὀφθαλμῷ.

Ἄλλως.

Λίβανον καθαρὸν καὶ σηπίας ὄστρακον τετριμμένα καὶ 5
σεσησμένα ἐξ ἴσου ἐμφύσησον αὐτὰ τοῖς ὀφθαλμοῖς αὐτοῦ.

Εἰς τὸ αὐτό.

Κισσὸν διαμασησάμενος τὸν χυλὸν προσφύσα τῷ 70
ὀφθαλμῷ, καὶ θεραπεύσεις.

Ἄλλως. 10

Μασήσας κισσὸν ἐμφύσησον αὐτὸν τοῖς ὀφθαλμοῖς αὐτοῦ.

Ἄλλο.

Κισσοῦ χυλὸν καὶ πηγάνου χυλὸν ἴσα μίξας ἐγ- 71
χυμάτιζε τὸν ὄρνιν. 15

Ἄλλως.

Κισσοῦ ζωμὸν τῷ τοῦ πηγάνου ἐπίσης μίξας χρῖε τὸν ὀφθαλμὸν αὐτοῦ.

Ἄλλο.

72
Κυάμους μέλανας καύσας καὶ ἐν ἴσῳ μέλιτι μί- 20
ξας χρῶ.

Ἄλλως.

Κυάμους μέλανας καύσας ἔνωσον αὐτοὺς τῷ μέλιτι, εἶτα χρῖε τὸν ὀφθαλμὸν αὐτοῦ.

Ἄλλο. 25

Ἀμμωνιακὸν ἀποβρέξας μετὰ γυναικείου γάλακτος 73
καὶ λειώσας ἐν θυΐᾳ, πτερῷ ἐμβρέχων ὑπάλειφε τὸν ὀφθαλμόν.

Digitized by Google

Ἄλλως.

Ἀμμωνιακὸν βρέξας γάλατι γυναικείῳ τρῖψον αὐτὸ ἐν τῇ θυΐᾳ, καὶ βάψας ἐν αὐτῷ τὸ πτερὸν ἄλειφε τὸν ὀφθαλμὸν αὐτοῦ.

Ἄλλο. 60

74 *Μέλιτι ἀκάπνῳ ὑπάλειφε τὸν ὀφθαλμόν.*

Ἄλλως.

Μέλιτι ἀκάπνῳ χρῖε τὸν ὀφθαλμὸν αὐτοῦ.

Ἄλλο.

75 *Ἄμπελον ὑγρὰν λαβὼν καὶ καύσας καλῶς, τὴν τέφραν ἀνελόμενος, μετὰ γήρως ὄφεως τετριμμένου μίξας τὰ ἴσα, μετὰ πτεροῦ παράπεμπε τῷ ὀφθαλμῷ ἠρέμα δὶς τῆς ἡμέρας. τοῦτο δὲ ἐνεργέστερον ποιήσεις, ἐὰν τὴν κεφαλὴν πρότερον τοῦ ἱέρακος καθάρῃς τῷ γεγραμμένῳ διαχρίσματι· πάντα γὰρ ὑφαιρεῖ, καὶ στέλλει τὸ κατερχόμενον ἐκ τῆς κεφαλῆς ῥεῦμα.*

Ἄλλως.

Βρυονίαν χλωρὰν καύσας καὶ τὴν τέφραν αὐτῆς ἐνώσας ὄφεως δέρματι ἐπίσης θὲς αὐτὸ μετὰ πτεροῦ ἡσύχως ἐν τῷ ὀφθαλμῷ αὐτοῦ· ποίει δὲ τοῦτο δὶς τῆς ἡμέρας. ἐὰν οὖν καθαίρῃς τὴν κεφαλὴν αὐτοῦ πρότερον ᾧ προείπομεν διαχρίσματι, ὠφεληθήσεται ὁ ἱέραξ μᾶλλον ὑπὸ τούτου· καθαίρει γὰρ πάντα χυμόν, ἵστησι δὲ καὶ τὸ κατερχόμενον ἐκ τῆς κεφαλῆς ῥεῦμα.

Ἄλλο.

76 *Γῆρας ὄφεως λαβὼν ξήρανον καὶ κόψον αὐτό, καὶ σήσας ἔχε ξηρόν, φυλάττων αὐτὸ ἀδιάπνευστον· ἐπὶ δὲ τῆς χρείας ἐμφύσα τῷ ὀφθαλμῷ, ἢ μέλιτι μίξας ἔγχριε τῷ πτερῷ.*

Digitized by Google

Ἄλλως.

Δέρμα ὄφεως ξηράνας τρῖψον αὐτὸ καὶ σῆσον καὶ φύλαττε αὐτὸ ξηρόν, καὶ μὴ ἐάσῃς αὐτὸ τὴν ὀσμὴν ἀποβαλεῖν. ὅταν δὲ χρεία γένηται, ἐμφύσα αὐτὸ τοῖς ὀφθαλμοῖς τοῦ ἱέρακος ξηρὸν ὄν, ἢ ἕνωσας αὐτὸ μέλιτι χρῖε τὸν ὀφθαλμὸν αὐτοῦ μετὰ πτεροῦ.

Ἄλλο.

Ἄρτον καύσας, ἅλατι ἀμμονιακῷ συνλεάνας καὶ προσμίξας ἀλόην ὑπατικὴν χρῶ· ἀποκαθαίρει γάρ. 77

Ἄλλως.

Καύσας ἄρτον τρῖψον αὐτὸν ὁμοῦ μετὰ ἅλατος ἀμμονιακοῦ, θὲς δὲ ἐν τούτοις καὶ ἀλόην καὶ ἐμφύσα αὐτὰ τοῖς ὀφθαλμοῖς αὐτοῦ.

61 *Ἄλλο.*

Σηπίας ὄστρακον, μαράθρου χυλόν, κρόκου, σμύρνης, τῷ ἴσῳ μέλιτι μίξας, λειώσας χρῶ. 78

Ἄλλως.

Σηπίας ὄστρακον, ζωμὸν μαράθρου, κρόκον, σμύρνην, μέλι. ἐπίσης λειώσας αὐτὰ χρῖε.

Ἄλλο.

Χολὴ κυνεία μέλιτι ἐνουμένη καὶ ἐπιχριομένη αἴρει λευκώματα. 79

Ἄλλως.

Τῇ τοῦ κυνὸς χολῇ σὺν μέλιτι χρῖε τὸ λεύκωμα, καὶ καθαρισθήσεται.

Ἄλλο.

Τρυγόνος ὄρνιθος ἀπόπατος σὺν μέλιτι ἀλειφόμενος λευκώματα ἰᾶται. 80

Digitized by Google

Ἄλλως.

Τρυγόνος κόπριον ἐνώσας τῷ μέλιτι χρῖε τοὺς λευκωθέντας ὀφθαλμούς.

Ἐὰν πληγῇ ὁ ὀφθαλμὸς τοῦ ἱέρακος ὁποιῳδήποτε τρόπῳ.

81 *Ἅλας ἀμμονιακὸν μασησάμενος ἐμφύσησον τῷ ὀφθαλμῷ, εἶτα μέλιτι ἀκάπνῳ μικρὸν ὑπάλειφε.*

Ἐὰν πληγῇ ὁ ὀφθαλμὸς τοῦ ἱέρακος ὑπό τινος συμβάματος.

Ἅλας ἀμμονιακὸν μασήσας ἐμφύσα αὐτὸ τῷ ὀφθαλμῷ τοῦ ἱέρακος, εἶτα χρῖε αὐτὸν μέλιτι ἀκάπνῳ.

Ἐὰν φλεγμαίνῃ ὀφθαλμός.

82 *Ὀπὸν βαλσάμου ἐγχυμάτιζε τῷ ὀφθαλμῷ, καὶ τὴν ὑπερῴαν αὐτοῦ ὑπάλειφε τῷ αὐτῷ.*

Περὶ φλεγμαίνοντος ὀφθαλμοῦ ἱέρακος.

Βαλσαμελαίῳ χρῖε τὸν ὀφθαλμὸν καὶ τὸν οὐρανίσκον τοῦ ἱέρακος.

Ἄλλο. 62

83 *Ἀγριελαίας φύλλων ὁ χυλὸς φλεγμονὰς στέλλει καὶ πραΰνει ἐγχριόμενος.*

Ἄλλως.

Ὁ ζωμὸς φύλλων ἀγριελαίας φλεγμονὰς θεραπεύει χριόμενος.

Ἄλλο.

84 *Ἀνεμώνης ῥίζα ἐν οἴνῳ γλυκεῖ ἑψηθεῖσα καὶ ἐπιχριομένη φλεγμονὰς καταστέλλει.*

Ἄλλως.

Πίτυος ῥίζας θερμάνας οἴνῳ γλυκεῖ χρῖε· θεραπεύει γὰρ καὶ αὐτὸ φλεγμονάς.

Digitized by Google

Ἐὰν ἐξαίφνης φλεγμαίνῃ ὁ ὀφθαλμός.

Ἀνδράχνης φύλλα χυλώσας καὶ ὄπιον καὶ κρόκον τὰ ἀρκοῦντα μίξας τῷ χυλῷ ἔγχριε. 85

Περὶ φλεγμονῆς τῆς ἐξαίφνης γινομένης ἐν τῷ τοῦ ἱέρακος ὀφθαλμῷ.

Ἀτράχνης φύλλα τρίψας ἐν θυΐᾳ καὶ ἐνώσας τούτοις ὄπιον καὶ κρόκον τὸ ἱκανόν, τῷ ζωμῷ τούτων χρῖε τὸν ὀφθαλμὸν τοῦ ἱέρακος.

Ἄλλο.

86

Σπόγγον ὀξυκράτῳ χλιαρῷ βρέξας περίθες τῷ ὀφθαλμῷ.

Ἄλλως.

Βάψας σπόγγον ἐν ὕδατι χλιανθέντι καὶ ὄξει ἐπίθες αὐτὸ τοῖς ὀφθαλμοῖς τοῦ ἱέρακος.

Πῶς δεῖ καίειν τοὺς ῥευματιζομένους ὀφθαλμούς.

Λαβὼν ῥαφεῖον ὀξὺ ἐκ χαλκοῦ πυρροῦ, καὶ ἐκπυρώσας αὐτὸ καλῶς, τοῦ πάσχοντος μέρους τὸ ἐπάνωθεν τοῦ ὀφθαλμοῦ ἐπικείμενον δέρμα καῦσον, καὶ ἀνασταλήσεται τὸ ῥεῦμα τοῦ ὀφθαλμοῦ. 87

Περὶ τοῦ πῶς δεῖ καίειν τοὺς τοῦ ἱέρακος ὀφθαλμοὺς ῥευματισθέντας.

Λαβὼν σιδήριον ὀξὺ δίκην βελόνης πύρωσον αὐτὸ καλῶς καὶ καῦσον τὸ δέρμα ἄνωθεν τοῦ πάσχοντος ὀφθαλμοῦ, καὶ σταθήσεται τὸ ῥεῦμα.

63 *Εἰς ἀμβλυωπίαν.*

Ἀμβλυωπεῖν πολλάκις συμβαίνει τοῖς ἱέραξιν ἀπὸ καπνοῦ πολλοῦ καὶ δριμύτητος καὶ ἀπὸ ὑγρᾶς κορύζης, ὁπόταν ῥεῦμα πολὺ καὶ δριμὺ περὶ τοὺς 88

Digitized by Google

ὀφθαλμοὺς ἐπέλθῃ. θεραπεύσεις δὲ ὑπαλείφων μέλι ἄκακνον καὶ κρόκον καὶ σχοίνου ἄνθος καὶ λευκὸν φοῦ καὶ χυλὸν μαράθρου, ποτὲ μὲν ὁμοῦ ποτὲ δὲ χωρίς.

Εἰς ὀφθαλμοὺς ἀνεῳγμένους μέν, βλέποντας δέ.

Γίνεται πολλάκις ἡ τοιαύτη ἀσθένεια τοῖς ἱέραξι ὑπο κατνοῦ πολλοῦ καὶ δριμύτητος καὶ ἐξ ὑγρᾶς κορύζης, ὅταν ῥεῦμα πολὺ καὶ δριμὺ τοῖς ὀφθαλμοῖς αὐτοῦ ἐπέλθῃ. λαβὼν οὖν μέλι ἄκακνον καὶ κρόκον καὶ σχοίνου ἄνθος καὶ τὸ τοῦ φοῦ λευκὸν καὶ ζωμὸν μαλάθρου χρῖε ποτὲ μὲν ὁμοῦ ποτὲ δὲ κεχωρισμένως.

Ἐὰν ἀπὸ κρούσματος αἱματωθῇ ὀφθαλμὸς τοῦ ἱέρακος.

89 Νεοττὸν περιστερᾶς λαβὼν καὶ ἀπὸ τῶν ἀγκώνων τὰ πολλὰ ἐκτίλλας πτερά, καὶ πτύξας τὸν ἱέρακα εὐφυῶς, ἔκθλιβε τοῖς δακτύλοις ταῦτα καὶ τὸ ἀποστάζον ἐξ αὐτῶν αἷμα ἐμπίπτειν τῷ ὀφθαλμῷ τοῦ ἱέρακος ποίει. μετὰ δὲ δύο ἢ τρεῖς ἡμέρας λαβὼν δρόσον τὴν ἐπικειμένην τοῖς λαχάνοις ἔκπλυνε συνεχέστερον τὸν πεπονθότα ὀφθαλμὸν παρ' αὐτῆς.

Ἐὰν ὑπὸ πληγῆς αἱμάσσῃ ὁ ὀφθαλμὸς τοῦ ἱέρακος.

Λαβὼν νεοττὸν περιστερᾶς ἀνάσπασον τὰ πτερὰ τῆς μασχάλης αὐτοῦ, εἶτα τὸν ἱέρακα περιελίσσας ἐπιδεξίως, ἄνοιγε τοὺς ὀφθαλμοὺς αὐτοῦ καὶ ἔνσταζε ἐκ τοῦ αἵματος τῶν πτερῶν τοῦ νεοττοῦ· ἔχουσι γὰρ αἷμα πλεῖστον τὰ ἄκρα τῶν πτερῶν. μετὰ δὲ δύο ἢ καὶ τρεῖς ἡμέρας λάμβανε τὴν δρόσον τὴν ἐπιγινομένην τοῖς λαχάνοις καὶ πλύνον συχνῶς τὸν πάσχοντα ὀφθαλμὸν τοῦ ἱέρακος.

Εἰς ὑπόχυσιν ὀφθαλμῶν ἱέρακος.

90 Ὑπόχυσις λέγεται, ὅταν ἀπαθῶν φαινομένων τῶν ὀφθαλμῶν οὐχ ὁρᾷ τὸ ζῷον ἐν τοῖς ἔνδον μέρεσι 64.

Digitized by Google

τοῦ ὀφθαλμοῦ, ἐμπεσούσης ὕλης τινὸς παχείας ἀφανοῦς, κωλυούσης τὴν ὅρασιν. ἐὰν οὖν ἐπιχυθῇ τοὺς ὀφθαλμοὺς ὁ ἱέραξ, καὶ συνεχέστερον ὡς καθεύδειν μέλλων ποιῇ, καὶ ἀνεφγμένους ἔχων τοὺς ὀφθαλμοὺς οὐχ ὁρᾷ, μέλι καὶ ῥόδα εἰς πηγαῖον ὕδωρ ἀφεψήσας ἱκανῶς ἀπὸ τοῦ ὕδατος τούτου πτερῷ ἔγχριε τοὺς ὀφθαλμοὺς αὐτοῦ.

Εἰς ἐπίχυσιν τῶν ὀφθαλμῶν τοῦ ἱέρακος.

Ἐπίχυσις λέγεται ὅταν οἱ ὀφθαλμοὶ τοῦ ἱέρακος καθαροί εἰσι καὶ οὐ βλέπει· ἐμπίπτει γὰρ τοῖς ὀφθαλμοῖς αὐτοῦ ἔνδοθεν ὕλη ἀφανὴς καὶ παχεῖα, ἥτις οὐκ ἐᾷ τοῦτον ὁρᾶν· ἀεὶ γὰρ δοκεῖ κοιμᾶσθαι, καὶ οἱ μὲν ὀφθαλμοὶ αὐτοῦ ἀνεφγμένοι εἰσίν, οὐχ ὁρᾷ δέ. ῥόδα μετὰ μέλιτος θέρμανον καλῶς μετὰ ὕδατος ῥέοντος ἐκ πηγῆς, καὶ βάπτων ἐν αὐτῷ πτερὸν χρῖε τοὺς ὀφθαλμοὺς αὐτοῦ.

Ἄλλο.

Λαβὼν μέλι ἄκαπνον καὶ χολὴν γυπὸς τὸ ἴσον 91
ἔγχριε μετὰ πτεροῦ εὐφυῶς πρωῒ καὶ ἑσπέρας· καὶ ἀποκαταστήσεται ὁ ὀφθαλμὸς τοῦ ἱέρακος εἰς τὸ βλέπειν τρανῶς καὶ ὀξέως.

Ἄλλως.

Λαβὼν μέλι ἄκαπνον καὶ χολὴν ἀετοῦ γυπὸς καλουμένου χρῖε τοῦτον μετὰ πτεροῦ ἐπιδεξίως ἔωθεν τῆς ἡμέρας καὶ πρὸς ἑσπέραν, καὶ οὕτως τοῦ ὁρᾶν τεύξεται.

Εἰς ἀμβλυωπίαν ἀπὸ καπνοῦ.

Ἐν τῷ βαστάζεσθαι τὸν ἱέρακα μύει συνεχῶς 92
τοὺς ὀφθαλμούς, πλήττει, καὶ δακρυρροεῖ. ὀπὸν βαλσάμου ἔμβαλε εἰς τὰς ῥῖνας, καὶ θεραπευθήσεται.

Περὶ τῆς τοῦ ἱέρακος ἀμβλυωπίας τῆς ὑπὸ καπνοῦ γινομένης.

Ὅταν αὐτὸν ταῖς χερσὶ φέρῃς καὶ τοὺς ὀφθαλμοὺς καμ-

Digitized by Google

μύῃ συχνῶς, καὶ ἐκ τῶν ὀφθαλμῶν αὐτοῦ δάκρυα στάζῃ, θὲς ἐν τοῖς μυκτῆρσιν αὐτοῦ βαλσαμέλαιον, καὶ ἰαθήσεται.

Καθαρτικὸν διδόμενον ἀμβλυωποῦντι ἱέρακι.

93 Πεπέρεως γράμμ. δύο, κόστου γράμμ. δύο, φύλλου γράμμ. β', ναρδοστάχυος, εὐφορβίου, ζιτζιβέρεως, 65 ἀγρίας σταφίδος, λασάρου γράμμ. α' ϛ', καρυόφυλλον γράμμ. α', κόκκους δάφνης γράμμ. β'. ταῦτα πάντα κόψας καὶ σήσας ἐν λεπτῷ κοσκίνῳ ἔμβαλε εἰς καλάμην ἢ εἰς χαλκοῦν αὐλόν, ὥστε διαφυλάττεσθαι καὶ μὴ γίνεσθαι ἔκπνουν· ἐπὶ δὲ τῆς χρήσεως ἀναπτύξας τὸ στόμα τοῦ ἱέρακος οἴνῳ παλαιῷ πρόβρεχε τὴν ὑπερῴαν αὐτοῦ, καὶ οὕτως ἐμφύσα τὸ στόμα αὐτοῦ σφοδρῶς πρὸς τὸ κατακλυσθῆναι τὸ καθαρτήριον· εἰς ἕκαστον δὲ μυκτῆρα τόσον ἔμβαλε ὅσον χωρεῖ. τοῦτο δὲ ποίει ἐκ τρίτου. εἶθ' οὕτως τῷ δακτύλῳ λαβὼν μέλιτος Ἀττικοῦ ἐπίπαττε αὐτῷ ἀπὸ τοῦ καθαρτικοῦ ξηρίου, καὶ ἀναπτύξας τὸ στόμα τοῦ ἱέρακος πάλιν τὴν ὑπερῴαν καὶ τὸν φάρυγγα ἀνάτριβε, καὶ μετὰ πτεροῦ ποιήσεις αὐτὸ καταποθῆναι. εἶτα στῆσον αὐτὸν εἰς τὸν ἥλιον, ἵνα πάντας τοὺς ἐγκειμένους ἐν τῇ κεφαλῇ καὶ τῇ γαστρὶ χυμοὺς διαλυθῇ καὶ καθαρθῇ, καὶ μετὰ ὥρας πέντε δὸς αὐτῷ περιστερὰν φαγεῖν, καὶ μέχρι ὥρας ἐννάτης ἀπάξεις αὐτὸν εἰς τὸ ὕδωρ, ὥστε αὐτὸν πιεῖν καὶ συγχωρεῖν λούσασθαι. ἐκκαυθεὶς δὲ ὑπὸ τοῦ καθαρτηρίου καὶ πιὼν σφόδρα ὠφεληθήσεται. καὶ τῇ ἑξῆς 66 ἐμβαλεῖν εἰς θήραν περδίκων, ὅπως τραφεὶς ἀπ' αὐτῶν ὠφεληθήσεται πλέον.

Καθαρτήριον διδόμενον ἀμβλυωποῦντι ἱέρακι.

Πέπερι κόκκους ιβ', κόστου κόκκους ιβ', φύλλου ἀρω-

Digitized by Google

ματικοῦ κόκκους ιβ', ναρδοστάχυος, ἐφορβίου, ζιντζιβέρεως, ἀγριοσταπίδος, πυρέθρου κόκκους θ', καρυόφαλον κόκκους ς', δαφνόκοκκα κόκκους ιβ'. ταῦτα πάντα τρίψας σῆσον αὐτὰ μετὰ κοσκίνου πυκνοῦ, καὶ βαλὼν αὐτὰ ἔν τινι καλαμίσκῳ πώμασον αὐτά, ἵνα μὴ τὴν ὀσμὴν ἀπολέσωσιν. ὅταν δὲ χρεία γένηται, ἄνοιγε τὸ τοῦ ἱέρακος στόμα καὶ βρέχε τὰ παρίσθμια αὐτοῦ παλαιῷ οἴνῳ, καὶ οὕτω φύσησον σφοδρῶς ἔνδον τοῦ στόματος αὐτοῦ, ἵνα κατέλθῃ τὸ καθαρτήριον. θὲς δὲ ἐν ἑκάστῳ μυκτῆρι αὐτοῦ τοσοῦτον ὅσον χωρεῖ. τοῦτο δὲ ἐκ τρίτου ποίει, εἶτα τῷ σῷ δακτύλῳ λαβὼν μέλι καλὸν ἔνωσον αὐτὸ τῷ ξηρανθέντι καθαρτικῷ, καὶ ἀνοίξας τὸ τοῦ ἱέρακος στόμα χρῖε αὖθις τὸν οὐρανίσκον αὐτοῦ. θὲς δὲ μετὰ πτεροῦ καὶ ἐν τῷ λαιμῷ αὐτοῦ, καὶ βροχθιζέτω τοῦτο. εἶτα στῆσον αὐτὸν πρὸ τοῦ ἡλίου, καὶ διαλυθήσονται οἱ χυμοί, οἵτινες κεῖνται ἐν τῇ κεφαλῇ αὐτοῦ καὶ ἔνδον τῆς κοιλίας αὐτοῦ, καὶ καθαρισθήσεται. καὶ μετὰ πέμπτην ὥραν δὸς αὐτῷ περιστερὰν καὶ ἐν τῇ ἐννάτῃ ὥρᾳ πινέτω καὶ λουέσθω ἐν ὕδατι· ὄλψα γὰρ αὐτῷ ἐπιγενήσεται ὑπὸ τοῦ καθαρτηρίου, καὶ ὠφελήσει τοῦτον πάνυ τὸ ποτόν. καὶ ἐς αὔριον βάδιζε μετ' αὐτοῦ εἰς τὴν τῶν περδίκων θήραν, ἵνα πέρδικα καταφαγὼν ὠφεληθήσηται μᾶλλον.

Εἰς σκώληκας τοὺς ἐν ὀφθαλμοῖς.

Τῶν σκωλήκων ἡ γένεσις ἐν τοῖς ὀφθαλμοῖς 94
συμβαίνει τοῖς ἱέραξιν ὁπόταν ἐμφορηθῶσιν ἐκ πολλῶν χρόνων κρεῶν ῥυπαρῶν καὶ δυσόσμων. καὶ ἐκ τούτων ἐπαθροισθεῖσα σηπεδονώδης τις ὕλη περὶ τὴν κεφαλὴν τοῦ ἱέρακος ῥευματίζεσθαι ποιεῖ τοὺς ὀφθαλμοὺς ἔνδον ἀπὸ τοῦ ἐγκεφάλου, καὶ τὸ φερόμενον ῥεῦμα σεσηπὸς ὑπάρχον τίκτει τοὺς σκώληκας. παρέπεται τούτοις νυγμὸς τῶν ὀφθαλμῶν καὶ παλμὸς συνεχής, καὶ διὰ τῶν ῥινῶν αἷμα ἐκφέρει. θεραπεύειν οὖν χρὴ τὰ οὕτω πάσχοντα τῶν ζῴων τὸν τρόπον τοῦτον. τὸν ἱέρακα λαβὼν εὐφυῶς ταῖς χερσὶν ὑπ' ἄλλου κατασχεθῆναι ποίησον, εἶθ' οὕτως ἐπαίρειν τὰ βλέφαρα αὐτοῦ ἠρέμα, καὶ εἰς μέλι Ἀττικὸν ἐμ-

Digitized by Google

βάπτειν σπόγγον τρυφερόν, καὶ μετ' αὐτοῦ ἁρπάζειν τοὺς ἐμφωλεύοντας σκώληκας· προσιζάνουσι γὰρ τῇ τοῦ μέλιτος γλυκοπαχεῖ συστάσει, καὶ ἑλευθεροῦνται τοῦ πάθους ** ὑπὸ πολλῶν θηρευτῶν καὶ τοῦτο σ
5 ἐφεύρηται γινόμενον. βελόνην λαβόντες ὀξεῖαν καὶ λεπτοτάτην τοὺς σκώληκας ἕνα καθ' ἕνα ἁρπάζουσι, καὶ οὕτως θεραπεύουσι.

Περὶ σκωλήκων τῶν ἐν ὀφθαλμοῖς τούτων γινομένων.

10 *Ποιοῦσιν οἱ ἴέρακες σκώληκας ἐντὸς τῶν ὀφθαλμῶν αὐτῶν, ὅταν φάγωσιν ἐπὶ πολὺν κρέας ῥύπου μεστὸν καὶ ὀδωδός· ἐκ τούτου γὰρ ἀθροισθείσης πεπηγμένης ὕλης ἐν ταῖς κεφαλαῖς αὐτῶν ῥευματισμὸν πάσχουσιν οἱ ὀφθαλμοὶ αὐτῶν ἔνδοθεν τοῦ ἐγκεφάλου. τὸ δὲ σαπηδὲν αἷμα γεννᾷ σκώλη-*
15 *κας. γίνονται δὲ ἐν τοῖς ὀφθαλμοῖς αὐτῶν καὶ παλμοὶ συχνοί, ῥέει δὲ καὶ ἐκ τῶν μυκτήρων αὐτῶν αἷμα. ἀνατεινέτω οὖν τις τὰ βλέφαρα αὐτῶν ἡσύχως, σὺ δὲ βάπτε ἐν μέλιτι καλῷ σπόγγον ἁπαλόν, καὶ σὺν αὐτῷ ἅρπαζε τοὺς σκώληκας ἐκ τῶν βλεφάρων αὐτῶν· πολλοῦσι γὰρ εἰς τὴν παχεῖαν*
20 *γλυκύτητα τοῦ μέλιτος καὶ ἐξέρχονται, καὶ ἀπαλλάττονται οἱ ἴέρακες τοῦ πάθους. οἴδαμεν δὲ ὅτι πολλοὶ τῶν θηρευτῶν καὶ τοῦτο ἐποίησαν. λαβόντες βελόνην ὀξεῖαν καὶ λεπτὴν ἁρπάζουσι τούτους μετ' ἐκείνης, καὶ οὕτως θεραπεύουσι τὸ πάθος.*

25 *Ἄλλο.*

95 *Ἦπαρ βοὸς καῦσον καὶ τρῖψον ὡς χνοωδέστατον γενέσθαι, καὶ μετὰ καλαμίσκου ἐμφύσησον εἰς τοὺς ὀφθαλμοὺς καὶ τὰς ῥῖνας, καὶ θεραπεύσεις.*

Ἄλλως.

30 *Ἦπαρ βόειον καύσας τρῖψον αὐτὸ καὶ ἐμφύσα τοῦτο τοῖς ὀφθαλμοῖς αὐτοῦ καὶ τοῖς μυκτῆρσι, καὶ ἰαθήσεται.*

Digitized by Google

Ἐὰν ἀφρὸν ἐκβάλῃ τῶν ὀφθαλμῶν.

Σκυλλόπουλον γαλαθηνὸν ἀνασχίσας θέρμὸν ἔτι 96
ὂν δίδου φαγεῖν τῷ ἱέρακι ἐπὶ δυσὶν ἢ τρισὶν ἡμέραις.

Περὶ τοῦ ἐξερχομένου ἀφροῦ ἐκ τῶν ὀφθαλμῶν τοῦ ἱέρακος. 5

Διάρρηξον σκύλακα τιθηνούμενον ἔτι καὶ δὸς αὐτῷ προσφάτως, καὶ ἐν δυσὶν ἡμέραις ἰαθήσεται.

Ἐὰν ἐξ ἀφροῦ συμβῇ λευκωθῆναι τὸν ὀφθαλμὸν τοῦ ἱέρακος.

Γῆρας ὄφεως λαβὼν καῦσον καὶ ἐπίπασον τὸν 97
ὀφθαλμόν· εἶθ' οὕτως ἁλὸς ἀμμωνιακοῦ μετὰ πτυέ- 10
λου ἀναλυθέντος, ἐξ αὐτοῦ τὸν ὀφθαλμὸν ἐπίχριε, καὶ εἶθ' οὕτως δὸς αὐτῷ φαγεῖν κορώνην.

Ἐὰν ὑπὸ ἀφροῦ λευκὸς γένηται ὁ ὀφθαλμὸς αὐτοῦ. 15

Λαβὼν δέρμα ὄφεως καῦσον αὐτὸ καὶ τούτῳ πάττε τὸν ὀφθαλμὸν αὐτοῦ· εἶτα τῷ πτυέλῳ διαλύσας ἅλας ἀμμωνιακὸν χρῖε τὸν ὀφθαλμὸν αὐτοῦ, καὶ οὕτω ἐσθιέτω κορώνην.

68 *Πῶς δεῖ φλεβοτομεῖν τὸν ἱέρακα καὶ ποίῳ* 20
τρόπῳ.

Ἐὰν βούλῃ φλεβοτομῆσαι ἱέρακα, ἐν οἰκήματι 98
κατάκλεισε, καὶ ὡς πρὸς τοὺς μηροὺς τίλον τὰ πτερά, ἵν' εἰς ἀμφοτέρους τοὺς πόδας ὦσιν αἱ φλέβες φα- 25
νεραί, καὶ οὕτως φλεβοτόμει αὐτόν· εἰ δὲ μὴ ὑπο-
πίπτοιεν αἱ φλέβες, τὴν τοῦ πρώτου δακτύλου φλέβα τέμνε. τοῦτο δὲ ποίει τῷ ἱέρακι, ὅταν κακόχυμος ᾖ καὶ εἰ διαφόροις περιπέπτωκεν νοσήμασι.

Περὶ τοῦ πῶς δεῖ τὴν τοῦ ἱέρακος φλέβα τέμνειν καὶ ποίῳ τρόπῳ. 30

Ἐὰν θέλῃς τὴν τοῦ ἱέρακος φλέβα τέμνειν, καθείρξας

Digitized by Google

αὐτὸν ἐν τῇ οἰκίᾳ ἀνάσπασον τὰ πτερὰ τῶν μηρῶν αὐτοῦ, καὶ θεασάμενος τὰς φλέβας τέμνε τὴν φλέβα αὐτοῦ. ἐὰν δὲ αἱ φλέβες ἀκριβῶς οὐ θεωρῶνται, τέμνε τὴν φλέβα τοῦ μέσου δακτύλου. τοῦτο δὲ ποίει ὅταν ὁ ἱέραξ κακόχυμος ᾖ καὶ πλείστας ἀσθενείας κεκτῆται.

Εἰς δυσκωφοῦντα ἱέρακα.

99 Πεπέρεως λευκοῦ, πεπέρεως μακροῦ τὸ ἴσον κόψας καὶ σήσας δὸς αὐτῷ φαγεῖν μετὰ κρέως μέχρι τριῶν ἡμερῶν, καὶ ὑπακούσει σου καλούμενος.

Περὶ ἱέρακος τοῦ δυσκόλως ἀκούοντος, ὅταν αὐτὸν κράζωσιν.

Πέπεριν λευκὸν καὶ τὸ μακρὸν πέπεριν ἐπίσης τρίψας, σῆσον αὐτά, καὶ ἐσθιέτω αὐτὰ ἐν τρισὶν ἡμέραις μετὰ κρέατος χοιρείου. καὶ τότε τῆς φωνῆς σου ἀκούων ἐλεύσεται πρός σε κατασπάς.

Εἰς καπνισθέντα ἱέρακα.

100 Ἀρξαμένην τὴν τῆς καπνοῦ νόσον γνωρίσεις οὕτω. στυγνὸν ὁρῶν τὸν ἱέρακα καὶ παρὰ τὸ ἔθος εἰς γῆν κεκυφότα καὶ πταίροντα συνεχῶς καὶ καρηβαροῦντα, τά τε τῶν ὀφθαλμῶν κάτωθεν βλέφαρα μεστὰ ὄντα ὑγρῶν, καὶ προστρίβοντα ἑαυτὸν τῷ ξύλῳ ἢ τῷ ἀνδρὶ τῷ βαστάζοντι, ἢ τοῖς ὄνυξιν ἀποτινάσσοντα αὐτοῦ τὰς ῥῖνας. τὰς μὲν ἀπὸ τοῦ καπνοῦ γενομένας βλάβας θεραπεύσεις ῥᾳδίως. πρῶτον μὲν ἀφιστάναι τῆς βλαπτούσης αὐτὸν αἰτίας, ἤγουν τοῦ καπνοῦ· ἔπειτα οἴνῳ παλαιῷ προσφυσᾶν συνεχέστερον τὰς ὄψεις αὐτοῦ. εἰ δὲ προκατειλημμένος ἤδη τῷ χρόνῳ φαίνεται καὶ βαρυνόμενος, σκόρδου βραχύ τι μέρος λαβὼν καὶ μετὰ οἴνου παλαιοῦ τρίψας ἔμβαλε μετὰ πτεροῦ εἰς τὰς ῥῖνας αὐτοῦ. τὸ αὐτὸ δὲ θρᾷ καὶ ὀπὸς βαλσάμου ἐνσταζόμενος ταῖς ῥισί. καὶ γάρος πρω-

Digitized by Google

τεῖον μετὰ οἴνου καὶ ῥοδίνου ἐλαίου τὸ ἴσον ἀναλαβὼν ἔγχριε πτερῷ, ἐμβάπτων τῆς ῥινὸς καὶ τὴν ὑπερῴαν τοῦ ζῴου, καὶ στῆσον αὐτὸν εἰς ἥλιον ὥραν μίαν. εἶθ' οὕτως δίδου αὐτῷ φαγεῖν νευρῶδες κρέας, καὶ θεραπεύσεις.

Περὶ τοῦ καπνισθέντος ἱέρακος.

Ἐὰν πάσχῃ ὑπὸ καπνοῦ ὁ ἱέραξ, τοιαῦτα σημεῖα αὐτῷ ἐπιφανήσονται. κάθηται μαρανθέντι ἐοικώς, κύπτει δὲ πάνυ χαμαὶ καὶ συχνῶς ἀποπταίρει, καὶ τὰ κάτω τῶν βλεφάρων αὐτοῦ γέμει ὕδατος, καὶ τῷ ξύλῳ προστρίβεται ἐὰν κάθηται ἢ τῷ ἔχοντι αὐτόν, ἢ τοῖς ὄνυξιν αὐτοῦ τοὺς μυκτῆρας ἀποξέει. γίνωσκε δὲ ὡς εὐκόλως θεραπεύεται ἡ ὑπὸ τοῦ καπνοῦ γινομένη ἀσθένεια. πρῶτον μὲν ἀποχώρισον αὐτὸν τοῦ καπνοῦ, εἶτα πότιζε αὐτὸν συχνῶς οἶνον παλαιόν. καὶ ἐὰν ἐκ τούτου οὐ θεραπευθῇ, λαβὼν βραχὺ σκορόδου, τρῖψον αὐτὸ ἐν τῇ θυΐᾳ καὶ ἔνωσον αὐτὸ παλαιῷ ὕδατι καὶ θὲς αὐτὸ μετὰ πτεροῦ ἐν τοῖς μυκτῆρσιν αὐτοῦ. ὠφελεῖται δὲ πάνυ καὶ ὅτε ἐνστάζεις τοῖς μυκτῆρσιν αὐτοῦ βαλσαμέλαιον καὶ γάρος καλὸν μετὰ οἴνου καὶ ῥοδέλαιον. ἐὰν δὲ ἑνώσῃς αὐτὰ ἐπίσης καὶ χρίσῃς ἐξ αὐτῶν μετὰ πτεροῦ τοὺς μυκτῆρας αὐτοῦ καὶ τὸν οὐρανίσκον καὶ στήσῃς αὐτὸν πρὸ τοῦ ἡλίου ἐπ' ἀκμῆ καὶ ἔκτοτε δώσῃς αὐτῷ κρέας μετὰ νεύρων, καὶ οὕτω θεραπευθήσεται.

Εἰς τὸν αὐτόν.

101

Καπνισθεὶς ὠγκωμένους φέρει τοὺς ὀφθαλμούς, οἰδημένην τὴν κεφαλήν, τὴν ῥῖνα ἐμπεφραγμένην. θεράπευε οὕτως. πεπέρεως μακροῦ κοκκία ε', κόστου γ' γράμμ. γ', καρυοφύλλου γράμμ. α', καστορίου γράμμ. α', σχίνου ἄνθος γράμμ. β', σταφίδος ἀγρίας κόκκους ζ', πεπέρεως κοινοῦ κόκκους ιγ', κρόκου γράμμ. α', ὀποβαλσάμου γράμμ. β', τραγακάνθης γράμμ. β', ἀνεμώνης βοτάνης γράμμ. α'. ταῦτα ξηρὰ κόψας καὶ σήσας λεπτοτάτῳ κοσκίνῳ ἐπίβαλε τούτοις τοῦ ὀποῦ

Digitized by Google

βαλσάμου, καὶ μετ' οἴνου στύφοντος διάχριε τὸν ἱέρακα. ἐὰν δὲ ἴδῃς αὐτὸν ἀγωνιῶντα καὶ στενοχωρούμενον, μέλιτι ἀλβανουρίῳ διάχριε τὴν ὑπερῴαν αὐτοῦ τοῦ ζῴου πρὸς τὸ καταγλυκανθῆναι, πρόσραινε αὐτόν, ἵνα μὴ ἀγωνιᾷ.

Ἄλλως.

Ὅταν πάσχῃ ὑπὸ κατηνοῦ, ἡ κεφαλὴ αὐτοῦ ἐξογκοῦται, καὶ οἱ ὀφθαλμοὶ καὶ οἱ μυκτῆρες αὐτοῦ φράττονται. τοῦτο δ' οὕτως θεράπευσον. πέπεριν μακρὸν κόκκους ε', νάστον κόκκους ιη', καρυόφαλον κόκκους ς', σχοῖνον ἄνθος κόκκους ιβ', ἀγριοσταφίδα κόκκους ζ', πέπεριν κόκκους ιγ', κρόκου κόκκους ς', ζωμὸν βαλσάμου ἢ ἡδυόσμου κόκκους ιβ', τετράγκαθον κόκκους β'. τρίψας αὐτὰ ξηρανθέντα σῆσον αὐτὰ διὰ κοσκίνου πυκνοῦ καὶ ἕνωσον αὐτὰ ζωμῷ βαλσάμου καὶ οἴνῳ στύφοντι καὶ χρῖε τὸν ἱέρακα. ἐὰν δὲ ὑπὸ τούτου ὀδυνᾶται, χρῖε τὸν οὐρανίσκον αὐτοῦ λευκῷ μέλιτι, ῥᾶνον δὲ αὐτὸν καὶ ὕδατι.

Ἄλλο.

102 Σκόρδον λίαν τρίψας δίδου φαγεῖν τῷ ἱέρακι μετὰ κρέως καὶ γάλακτος αἰγείου· μέλιτι εὐθὺς βάλε εἰς τὰς ῥῖνας αὐτοῦ, ἅπαξ τῆς ἡμέρας ἢ δίς, καὶ οἴνῳ στύφοντι προσφυσῶν αὐτοῦ τῇ ὄψει.

Ἄλλως.

Τρίψας σκόροδον δὸς αὐτῷ φαγεῖν τοῦτο μετὰ προβείου κρέατος καὶ γάλατος αἰγείου. εὐθὺς δὲ καὶ ἐν τοῖς μυκτῆρσιν αὐτοῦ θὲς μέλι, ἅπαξ ἢ δὶς τῆς ἡμέρας· ῥᾶνον δὲ τοῦτον καὶ ἐπὶ τοῦ προσώπου οἴνῳ στύφοντι.

Ἄλλο.

103 Ἱέρακι κατηνῷ μὴ προσεγγιζέτω διὰ τὸ βλάπτεσθαι καὶ κόρυζαν ὑπομένειν καὶ τὰ πτερὰ αὐτοῦ φρύγεσθαι.

Digitized by Google

Ἄλλως.

Μηδοπωσοῦν τῷ καπνῷ τοῦτον ἐγγίσῃς· βλάπτεται γὰρ πάνυ καὶ ποιεῖ καὶ κόρυζαν, τὰ δὲ πτερὰ αὐτοῦ εἰς ξηρότητα μεταβάλλονται.

Περὶ κατάρρου. εἰς κατάρρουν.

Πρὸς κατάρρουν ἐπιστημόνως χρή σε διδόναι 104
τι *κρέας ἐκ τῆς τοῦ τραχήλου συννευρίας, ἵνα κατασύρων ἐκφράττηται. βασταζέσθω δὲ καλῶς καὶ ἐμπείρως καὶ ἀνεξικάκως.*

Περὶ ῥευματισμοῦ.

Φερέτω τοῦτον ταῖς χερσὶν ἀνὴρ εὖ εἰδὼς τῆς θηρευτικῆς, καὶ διδότω αὐτῷ ἐκ τῶν σφονδύλων κρέας μετὰ νεύρων, ἵνα ἕλκοντος τοῦ ἱέρακος τοῦτο ὁ ῥευματισμὸς καταπαύηται.

Περὶ κορύζης, πῶς γίνεται καὶ ὅπως γνωρίζεται καὶ πῶς θεραπεύεται.

Τὰ τῆς κορύζης εἴδη διάφορα ὄντα καὶ ποικίλα 105
τίκτονται ποτὲ μὲν ἀπὸ κρεῶν σεσημμένων, ὁτὲ δὲ ἀπὸ χρόνου τῇ κοιλίᾳ, ἄλλοτε δὲ ἀπὸ ῥεύματος κεφαλῆς ἐμπεσόντος τῷ φάρυγγι, καὶ ἀπὸ λιμοῦ συνεχοῦς καὶ ἀπὸ ἀδηφαγίας γεννᾶται πολλῆς καὶ ἀπὸ πληγῆς δὲ πολλάκις ἐπενεχθείσης τῇ κεφαλῇ τοῦ ἱέρακος, καὶ ἀπὸ ἀναθυμιάσεως χαλεποῦ ἀέρος, καὶ ἀπὸ ἀναθυμιάσεως τῆς γαστρὸς ὑπὸ λίθου γεγενημένης. γνωρίζεται δὲ καὶ ἀπὸ τῆς γλώττης περίττωμα ποιούσης ὑποκάτωθεν μέλαν, καὶ ἀπὸ πτερμῶν καὶ διοιδήσεως τῶν ὄψεων, ἄλλοτε ἀπὸ τοῦ τὴν κεφαλὴν προστρίβειν τῷ ξύλῳ καὶ ἐπικαθῆσθαι ταῖς πτέρυξιν, ἔσθ' ὅτε καὶ ἀπὸ τοῦ ἀποτινάσσειν τοῖς ὄνυξι τὰς ῥῖνας αὐτοῦ, πολλάκις δὲ καὶ ἀπὸ τοῦ μηδὲ τὴν τροφὴν

Digitized by Google

ὁμοίως παραδέχεσθαι. εἴδη δέ ἐστι κορύζης τέσσαρα· ξηρά, ὑγρά, κατεχομένη καὶ νοσερά, σὺν ἄλλαις πα-
ρυσί, λαθροκόρυζα καὶ στηθοκόρυζα. περὶ οὖν τούτων ἑκάστων ἐπισκεπτέον καὶ θεραπευτέον.

Πόθεν ἡ κόρυζα γίνεται καὶ πῶς γινώσκεται καὶ πῶς θεραπεύεται.

Πολλὰς καὶ δυσγνώστους διαφορὰς ἡ νόσος τῆς κορύζης ἔχει· γίνεται γὰρ καὶ ἐκ κρέατος ὀδωδότος καὶ ὑπὸ πλείστου κάπνοῦ καὶ ὑπὸ φλέγματος, ὅπερ κεῖται ἔνδον τῆς κοιλίας αὐτοῦ, καὶ ὑπο κεφαλικοῦ ῥεύματος κατερχομένου εἰς τὸν λαιμὸν αὐτοῦ, καὶ ὑπὸ πολλῆς πείνης καὶ ὑπὸ πολλῆς τροφῆς καὶ ὑπὸ πληγῆς καὶ ὑπὸ ἀνέμου. γινώσκεται δὲ τοῦτο τὸ πάθος καὶ ὑπὸ τῆς γλώττης· ὑπὸ ταύτην γὰρ ποιεῖ φῦμα μέλαν, καὶ ἀποπταίρει πάνυ· τοὺς δὲ μυκτῆρας αὐτοῦ ἀποξέει τοῖς ὄνυξι, καὶ τὰς πτέρυγας αὐτοῦ τανύει, καὶ ἔοικε τῷ θέλοντι καλύψαι τὴν κεφαλὴν αὐτοῦ. ἀλλ' οὐδὲ ἐσθίει κατὰ συνήθειαν. ταύτης δὲ διαφοραὶ τέσσαρές εἰσι, ξηρὰ καὶ ὑγρά, κατεχομένη καὶ νοσερά. εἰσὶ δὲ καὶ ἄλλαι δύο, ἡ λεγομένη λαθροκόρυζα καὶ στηθοκόρυζα. μέλλομεν οὖν εἰπεῖν ἑκάστης τὴν θεραπείαν.

Εἰς ξηρὰν κόρυζαν.

106 Ξηρὰ μέν ἐστι κόρυζα, ὅταν πταρνυμένου ἱέρακος οὐδὲν διὰ τῶν ῥινῶν ἐκπέμπεται. θεραπεύεται δὲ τοῦτον τὸν τρόπον. πίσσαν καθαρὰν τρίψας λίαν λεπτὴν καὶ μετὰ ὄξους δριμέος φυράσας· λείου ἐν ἰγθίῳ, ἕως γλοιώδες γένηται· εἶτα πτερῷ ἀνελόμενος μέσον τῶν ῥινῶν ἔμβαλε ἅπαξ τῆς ἡμέρας. ὁρῶν δὲ αὐτὸν ὠφελούμενον, καὶ τῇ δευτέρᾳ ἡμέρᾳ ἰάτρευε ὁμοίως· ἐὰν δὲ βέλτιον αὐτὸν ἴδῃς ἔχοντα, θεράπευε αὐτὸν τῇ αὐτῇ ἀγωγῇ καὶ τῇ τρίτῃ. παρ' ἑκάστην δὲ θεραπείαν μετὰ τὴν τῆς ὑπαλείψεως πέψιν μέλιτι χρῖε αὐτοῦ τὸν φάρυγγα, ἵνα ὑπὸ τοῦ ὄξους καταφλεγέντα σχεδὸν ἀνακτήσῃ. βέλτιον δ' ἂν εἴη,

Digitized by Google

κἂν μικρὰ μέρη κρεῶν χρίσας πρὸ τῆς θεραπείας ἐπιδοίης αὐτῷ, ἵνα τὸ μοχθηρὸν τῆς θεραπείας τούτοις μᾶλλον ἢ τοῖς πνεύμασιν ἐγκύψῃ τοῦ ἱέρακος. εἰ οὖν ὠφεληθῇ ἐκ ταύτης τῆς θεραπείας, γάρον ἡδὺ πρῶτον λαβών, ὁμοίως διὰ τῶν ῥινῶν πέμπε, καὶ αὐτὸ ἅπαξ τῆς ἡμέρας ποίει. ἐπὰν δὲ ἴδῃς ὅτι ἐμμένει ὁμοίως ἡ κόρυζα μὴ νικηθεῖσα τῇ τῶν προρρηθέντων φαρμάκων θεραπείᾳ, περιστερὰν δίδου φαγεῖν· εἰ δ' οὐκ ἔχεις, δίδου χοίρειον κρέας θερμὸν μετὰ ἐλαίου, καὶ θεραπεύσεις. εὑρὼν δ' ἐγὼ ἀπὸ πείρας πολλῆς ἐπὶ τούτου τοῦ πάθους τὰ τοῦ σιδήρου ὑυπάρια ἤτοι ἀποκάθαρσιν κοπεῖσαν λεπτὴν καὶ σησθεῖσαν μετὰ κρέως δοθεῖσάν τε ἐπὶ τρισὶν ἡμέραις, ἐθεράπευσα. ἄριστα δὲ ποιεῖ πρὸς πᾶσαν νόσον γλαῦξ πρὸς θοίνην δοθεῖσα.

Περὶ ξηρᾶς κορύζης.

Ξηρὰ κόρυζα λέγεται ὅταν τοῦ ἱέρακος ἀποπταρόντος οὐδὲν ἐξέρχεται τοῖς μυκτῆρσιν αὐτοῦ. ἰατρεύεται δὲ οὕτως. πίσσαν καθαρὰν τρίψας ἕνωσον αὐτὴν τῷ ὄξει, ἵνα γλισχρὸν γένηται· καὶ λαβὼν αὐτὸ πτεροῦ θὲς τοῦτο ἐν τοῖς μυκτῆρσιν αὐτοῦ ἐν μιᾷ μόνῃ ἡμέρᾳ. ἐὰν οὖν ὁρᾷς αὐτὸν ὡς ὠφελεῖται ὑπὸ τούτου, ποίησον αὐτὸ καὶ ἐν δευτέρᾳ ἡμέρᾳ· καὶ εἰ πρὸς παντελῆ ὑγίειαν μέλλει ἐλθεῖν, ποίησον τοῦτο καὶ ἐκ τρίτου. ὅταν δὲ τοῦτον χρίσῃς, μετ' ὀλίγον τὸν λαιμὸν αὐτοῦ χρῖε μέλιτι, ἵνα ἐκ τῆς δριμύτητος τοῦ ὄξους θεραπευθῇ ὁ λαιμὸς αὐτοῦ. καλόν ἐστιν καὶ ἐὰν πρὸ τῆς ἰατρείας ταύτης δώσῃς αὐτῷ βραχὺ κρέατος κεχρισμένον τῇ ἀλοιφῇ, ἵνα δυνηθῇ δεχθῆναι τὴν πικρίαν τῆς ἀλοιφῆς ταύτης· ἐὰν γὰρ τὸ παράπαν νήστις ἐστι, βλαφθήσεται ὑπὸ τῆς ἰατρείας ταύτης. εἰ δὲ ὠφελεῖται ἐκ ταύτης τῆς ἰατρείας, θὲς ἐν τοῖς μυκτῆρσιν αὐτοῦ εὔοσμον γάρος ἅπαξ τῆς ἡμέρας· ἐὰν δὲ οὐκ ὠφελῆται ἐκ ταύτης, δὸς αὐτῷ περιστεράν. ἂν δὲ οὐ κέκτησαι ταύτην, δὸς αὐτῷ κρέας χοίρειον θερμαινόμενον μετὰ ἐλαίου, καὶ θεραπευθήσεται. ἐγὼ

Digitized by Google

δὲ ἀπὸ πολλῆς πείρας εὗρον διὰ τὸ πάθος αὐτὸ ὡς ὁ ἰὸς τοῦ σιδήρου σεσηπμένος διὰ κοσκίνου ὠφελεῖ αὐτὸν ἐσθιόμενος μετὰ κρέατος ἐν τρισὶν ἡμέραις. ὠφέλιμός ἐστι καὶ ἡ γλαῦξ ἐν πάσῃ νόσῳ ἐσθιομένη ὑπὸ τοῦ ἱέρακος.

Διάχρισμα χειμερινὸν εἰς πᾶσαν κόρυζαν.

107 *Πεπέρεως γράμμ. β', καστορίου γράμμ. β', ζιτζιβέρεως γράμμ. α', κόστου γράμμ. α', ναρδοστάχυος γράμμ. α', εὐφορβίου γράμμ. α', πυρέθρου κεράτιον α', ἀγριοσταφίδος κεράτιον α', ἀγαρικοῦ γράμμ. α'. ταῦτα πάντα κόψας καὶ σήσας λεπτοτάτῳ κοσκίνῳ ἀναλάμβανε μέλιτι καλῷ καὶ οἴνῳ παλαιῷ, καὶ χρῖε τὴν ὑπερῴαν αὐτοῦ, καὶ στήσας αὐτὸν ἐν ἡλίῳ ἐπὶ ὥραν μίαν εἶθ' οὕτως δίδου αὐτῷ περιστεράν * * ἀσάρου, πεπέρεως τὰ ἀρκοῦντα καὶ μέλιτος καὶ οἴνου βαλὼν ἐγχυμάτιζε διὰ τῶν ῥινῶν, καὶ ἵστα μετὰ τὸν ἐγχυματισμὸν ἐπὶ τὸν ἥλιον ὥρας δύο.*

Πάσμα χειμωνικὸν εἰς πᾶσαν κόρυζαν.

Πέπερι κόκκους ιβ', καστορίου κόκκους ιβ', ζιντζίβερ κόκκους ιβ', κόστον κόκκους ς', ναρδοστάχυος κόκκους ς', ἐφόρβιον κόκκους ς', πύρεθρον κόκκους ς', ἀγριοσταφίδα κόκκους ς', ἀγαρικοῦ κόκκους ς'. ταῦτα συνθλάσας ἐν θυΐᾳ σῆσον αὐτά, ἔνθες δὲ αὐτοῖς καὶ μέλι καὶ οἶνον παλαιόν, καὶ ἐνώσας αὐτὰ χρῖε τὸν οὐρανίσκον αὐτοῦ πρὸ τοῦ ἡλίου, καὶ μετὰ μίαν ὥραν δὸς αὐτῷ περιστεράν.

Εἰς ξηρὰν κόρυζαν.

108 *Τοῦ κορυζῶντος ἱέρακος οἰδοῦσιν οἱ ὀφθαλμοί, καὶ πταρμοὶ πολλοὶ ἐπιγίνονται, καὶ ταχείας τῆς βοηθείας χρῄζει τῷ ἐν πρώτοις εἰρημένῳ διαχρίσματι μέχρι τελείας θεραπείας. εἰ δὲ μὴ εἴη, παραχρίσματι χρᾶ τοιῷδε. σκόρδου χυλὸν μίξας μετὰ οἴνου στύφοντος διάχριε τὴν ὑπερῴαν τοῦ ζῴου, καὶ δίδου*

Digitized by Google

θερμοφαγεῖν. μὴ συγχωρήσῃς ὕδατος ἀπογεύσασθαι, ἐὰν ἐκ τοῦ χυλοῦ τοῦ σκόρδου ἀπεγεύσατο.

Πρὸς ξηρὰν κόρυζαν.

Τοῦ ἱέρακος τοῦ ἔχοντος κόρυζαν οἱ ὀφθαλμοὶ αὐτοῦ ἐξογκοῦνται καὶ ἀποπταίρει πάνυ. ἔστιν οὖν ἀναγκαῖον ἵνα εὐθὺς αὐτὸν θεραπεύσῃς μετὰ τοῦ χρίσματος ὃ προείπομεν· εἰ δὲ οὐκ ἔχεις ἐκ τούτου, θὲς ἔνδον τοῦ οὐρανίσκου αὐτοῦ ζωμὸν σκορόδου μετὰ οἴνου στύφοντος, καὶ δὸς αὐτῷ ἐσθίειν θερμαινόμενα. καὶ εἰ κατέπιεν ἐκ τοῦ σκορόδου, μὴ ἐάσῃς αὐτὸν πιεῖν ὕδωρ.

Ἄλλο.

Κορύζης εἰσὶν εἴδη διάφορα. τούτων ἡ ξηρά, 109
ἥτις ἐστὶ σφαιρώδης, ἐὰν ἀγριοποιήσῃ, διὰ τῶν ὀφθαλμῶν τοῦ ζῴου ὁ ἀφρὸς ἐξέρχεται· εἶτα ἡ κεφαλὴ αὐτοῦ καὶ αἱ ῥῖνες ὕδωρ ἐκπέμπουσιν, ὡς μετ' ὀλίγον εἰρήσεται ἐπὶ ὑγρᾶς. ἔστιν οὖν ἐπικίνδυνον τοῦτο τὸ πάθος. κατ' ἀρχὰς μὲν θεράπευε τῷ τοιῷδε χρίσματι. φύλλα γράμμ. γ', ἀνήθου γράμμ. γ', λασάρου γράμμ. γ'. πάντα τρίψας καὶ σήσας ἀνάτριβε τὸν οὐρανίσκον αὐτοῦ μέχρι δύο ἢ τριῶν ἡμερῶν, ὁρῶν αὐτὸν ὠφεληθέντα.

Ἄλλως.

Διάφορα γένη εἰσὶ κορυζῶν ὡς προείπομεν. ἐκ τούτων δὲ πάντων μία ἐστὶν ἡ ξηρά, ἥτις καὶ στρογγύλη ἐστίν. αὕτη οὖν ὅταν ἐπιγένηται τῷ ἱέρακι, ἐξέρχεται τῶν ὀφθαλμῶν αὐτοῦ ἀφρός, καὶ ἐκ τῶν μυκτήρων αὐτοῦ ὕδωρ, ὥσπερ καὶ ἐπὶ τῆς ὑγρᾶς. ἔστιν οὖν τοῦτο τὸ πάθος ἐπικίνδυνον, καὶ κατ' ἀρχὰς θεραπευέτω οὕτω. φύλλου ἀρωματικοῦ κόκκους ιή, ἀγριοσταφίδα κόκκους ή, πέπερι κόκκους ζ', ναρδοστάχυος κόκκους ιή, ἀνήθου κόκκους ιή, λασάρου κόκκους ιή. ταῦτα συνθλάσας, σῆσον αὐτὰ καὶ χρῖε τὸν οὐρανίσκον αὐτοῦ ἐν δυσὶν ἢ τρισὶν ἡμέραις, ἐὰν ὁρᾷς αὐτὸν ἐπὶ τὸ κρεῖττον ἐπανερχόμενον.

Digitized by Google

Ἄλλο.

110 Καρυόφυλλον λαβὼν κεκομμένον καὶ σκόρδου χυλὸν καὶ μέλι διάχριε τὸν ἱέρακα. τὸ τῆς κορύζης πάθος προστείνεται τῷ ἱέρακι, ἐάν ἐστιν ἐν οἰκήματι ἔχοντι καπνόν· τὴν δὲ δριμύτητα τοῦ καπνοῦ ἁρπάζει ἡ κεφαλή, καὶ ἐμφραχθεῖσα σφηνοῖ τοὺς μυκτῆρας τοῦ ζῴου. Θεραπεύεται δὲ καθαιρόμενος τῷ προγεγραμμένῳ πρὸς ἀμβλυωπίαν καθαρτικῷ καὶ τοῖς ἐπιχρίστοις τοῖς εἰς τὴν κεφαλήν, ἐπιχρίων τὴν ὑπερῴαν καὶ τοὺς μυκτῆρας.

Ἄλλως.

Λαβὼν καρυόφαλον καὶ ζωμὸν σκορόδου καὶ μέλι χρῖε αὐτόν. σκόπει οὖν ἵνα μὴ καπνὸς εἰσέρχηται ἐν τῇ οἰκίᾳ ἐν ᾗ πάθηται· βλάπτει γὰρ αὐτὸν ὁ καπνὸς πάνυ, τῆς κεφαλῆς αὐτοῦ τὴν τοῦ καπνοῦ δριμύτητα λαμβανούσης· ἐπιγίγνεται δὲ αὐτῷ ἐν τοῖς μυκτῆρσιν ἔμφραξις. Θεραπεύεται δὲ καὶ κατὰ τοῦτο ἐκ τῆς ἰατρείας, ἧς προείπομεν περὶ τῆς ἀμβλυωπίας. καὶ ἐὰν αὐτὸν χρίσῃς καὶ ἐν τοῖς μυκτῆρσι καὶ ἐν τῷ οὐρανίσκῳ ἐκ τοῦ χρίσματος οὗ προείπομεν, χρίσῃς δὲ καὶ τὴν κεφαλὴν αὐτοῦ ὅταν ἀμβλυωπῇ, ὠφεληθήσεται πάνυ.

Ἄλλο.

111 Γνωρίζεται ὅταν χασμᾶται συνεχῶς καὶ ῥέγχῃ. Θεράπευε οὖν τῷ διαχρίσματι τούτῳ. κόστου γράμμ. ς', πύρεθρον γράμμ. θ', φύλλα γράμμ. β', βουτύρου κοχλιάριον ἥμισυ. τὰ ξηρὰ κόψας καὶ λειώσας ἐπίβαλε τοῖς ὑγροῖς, καὶ ἀναλαβόμενος διάχριε τρίβων ἐπιμελῶς τὴν ὑπερῴαν αὐτοῦ.

Ἄλλως.

Ἐὰν πάσχῃ ὑπὸ καπνοῦ, καὶ χαίνει συχνῶς καὶ ῥέγκει. λαβὼν οὖν κόστου κόκκους γ', πύρεθρον κόκκους νδ', φύλ-

Digitized by Google

λου ἀρωματικοῦ κόκκους ιβ', βούτυρον κοχλιαρίου τὸ ἥμισυ, καὶ τρίψας τὰ ξηρά, ἔνωσον αὐτὰ τοῖς ὑγροῖς καὶ χρῖε ἐξ αὐτῶν τὸν οὐρανίσκον αὐτοῦ.

77 Ἕτερον ἐπίχριστον.

Ὀπίου γράμμ. α', κόστου γράμμ. α', φύλλα γράμμ. α'. ταῦτα κόψας ἀναλάμβανε. 112

Ἕτερον ἐπίχριστον.

Ὄπιον κόκκους ς', κόστον κόκκους ς', φύλλου ἀρωματικοῦ κόκκους ς', πέπεριν κόκκους μ', καστόριον κόκκους ιβ', ἐφόρβιον κόκκους ς'. ταῦτα τρίψας χρῖε τὸν οὐρανίσκον αὐτοῦ.

Διὰ ῥινῶν.

Γάρον μετ' οἴνου καὶ ῥοδέλαιον τὸ ἴσον φυρά- 113
σας δίδου διὰ ῥινῶν πρὸς τὸ ὑγραίνεσθαι αὐτήν, εἶθ' οὕτως στῆσον αὐτὸν εἰς ἥλιον καὶ δίδου νευρῶδες κρέας τίλλειν πρὸς τὸ καταγαγεῖν αὐτὸν ἀπὸ τῆς κεφαλῆς εἴ τι δοκοίη ὑγρὸν ἔχειν διὰ ῥινῶν.

Ἕτερον, ὅπερ ἐν τοῖς μυκτῆρσι τοῦ λέρακος τιθέασι.

Γάρος, οἶνον καὶ ῥοδέλαιον, ἐνώσας αὐτὰ ἐπίσης, θὲς αὐτὰ ἐν τοῖς μυκτῆρσιν αὐτοῦ, ἵνα ὑγραίνωνται. ἔκτοτε δὲ στῆσον αὐτὸν πρὸ τοῦ ἡλίου, δὸς δὲ αὐτῷ κρέας μετὰ νεύρων ἔλκειν· ἐξελεύσονται γὰρ ἐκ τῶν μυκτήρων αὐτοῦ ὅσα ὑγρὰ κέκτηται ἐν τῇ κεφαλῇ αὐτοῦ.

Ἄλλο.

Λάσαρον εἴτε ὑγρὸν εἴτε ξηρὸν δίδου διὰ τῶν 114
ῥινῶν.

Ἕτερον.

Λάσαρον, εἴτε ὑγρόν ἐστιν εἴτε ξηρόν, θὲς ἐν τοῖς μυκτῆρσιν αὐτοῦ.

Digitized by Google

Ἄλλο ἐπίχριστον.

115 *Λαβὼν κονίαν στακτὴν βάλε αὐτὴν μεθ' ὕδατος εἰς ἀγγεῖον ἔχον ὀπὴν μικρὰν εἰς τὸν πυθμένα, καὶ ἔασον ἀπορρεῦσαι. εἶτα ἐκ τοῦ διυλίσματος τρίβε τὴν ὑπερῴαν αὐτοῦ, μὴ συγχωρῶν τὸ σύνολον καταπιεῖν ἐξ αὐτοῦ. ὄψει δὲ ὑγρὰ φερόμενα διὰ τῶν μυκτήρων, ἅπερ ἀποσπόγγιζε καθαρῷ σπογγιαρίῳ μετὰ ὕδατος θερμοῦ.*

Ἕτερον ἐπίχριστον.

Σῆσον τέφραν, καὶ βαλὼν ταύτην ἐν στάμνῳ τινὶ μετὰ ὕδατος ποίησον ὑποκάτω ὀπὴν μικράν, καὶ ἔασον ἐξελθεῖν τὸ ὕδωρ, καὶ ἐκ τοῦ ὕδατος τούτου χρῖε τὸν οὐρανίσκον αὐτοῦ. σκόπει δὲ ἵνα μὴ ἐξ αὐτοῦ καταβροχθίσῃ. καὶ ἴδοις ἂν τῶν ὑγρῶν ὅσα ῥεύσουσιν ἐκ τῶν μυκτήρων αὐτοῦ, καὶ μετὰ καθαροῦ σπόγγου καὶ ὕδατος χλιανθέντος ἀποψᾶν αὐτὸν θέλε.

Ἄλλο. 78

116 *Σταφίδος ἀγρίας ἐξάγια β', πεπέρεως οὐγγ. δ', κόστου οὐγγ. μίαν, λασάρου ἐξάγια β', πυρέθρου οὐγγ. δ'. ταῦτα λειώσας καὶ σήσας λεπτῷ κοσκίνῳ ἔχε ξηρόν, παραφυλάττων ἀδιάπνευστον. ἐπὶ δὲ τῆς χρείας ἀνοίξας τὸ στόμα αὐτοῦ προσφύσα οἴνου παλαιοῦ ἀκράτου· εἶθ' οὕτως μέλιτος ἀκάπνου διάχρισον τὸν φάρυγγα, καὶ σφίξας τὸ στόμα τοῦ ζῴου, ἐκμύξας τοὺς μυκτῆρας αὐτοῦ, ἕως οὗ ἡ τοῦ μέλιτος ποιότης προσεγγίσῃ τῷ στόματί σου, καὶ οὕτως διάχριε τὸ ξηρόν, καὶ στῆσον αὐτὸν ἐν ἡλίῳ.*

Ἕτερον.

Ἀγριοσταφίδα ἐξάγια β', πέπεριν οὐγγίας δ', κόστου οὐγγίαν α', λάσαρον ἐξάγια β', πύρεθρον οὐγγίας δ', τρίψας αὐτὰ σῆσον. ἔχε δὲ ταῦτα ἔν τινι ἀγγείῳ κεκλεισμένα, ἵνα

Digitized by Google

μὴ τὴν ὀσμὴν αὐτῶν ἀποβάλωσιν. ὅταν δὲ ὁ ἱέραξ πάσχῃ ὑπὸ τῆς νόσου ταύτης, ἀνοίξας τὸ στόμα αὐτοῦ, πότιζε αὐτὸν οἶνον παλαιόν. χρῖε δὲ καὶ τὸν λαιμὸν αὐτοῦ μέλιτι καλῷ, ἔπειτα δὲ κλείων καὶ συνέχων τὸ στόμα αὐτοῦ ἐμφύσα τοῖς μυκτῆρσιν αὐτοῦ, ἄχρις ἂν ἔλθῃ ἡ γλυκύτης τοῦ μέλιτος εἰς τοὺς μυκτῆρας αὐτοῦ. χρίσας δὲ αὐτόν, ἐξ ἐκείνου στῆσον αὐτὸν πρὸ τοῦ ἡλίου.

Προφυλακτικὸν κορύζης παντοίας.

Σταφίδος ἀγρίας κόκκους γ' κόψας καὶ σήσας 117
μετὰ κρέως μέρη τρία δίδου τῷ ἱέρακι εἰς τροφὴν
μέχρι τῶν τεσσαράκοντα ἡμερῶν. οὕτω δὲ καὶ βα-
σταζόμενος καὶ ἐγκλειόμενος οὐδέποτε τῷ τῆς κορύ-
ζης πάθει ἁλώσεται.

Προφυλακτικὸν πρὸς πᾶσαν κόρυζαν.

Τρίψας ἀγριοσταφίδος κ" γ' δὸς αὐτῷ φαγεῖν μετὰ
τριῶν τεμαχίων κρέατος ἄχρι τεσσαράκοντα ἡμερῶν· ἔπ-
τοτε γὰρ οὐχ οἷός τε ἔσται πονῆσαι κόρυζαν, οὔτε ἐὰν αὐ-
τὸν ταῖς χερσὶ φέρῃς, οὔτε ἐὰν αὐτὸν καθείρξῃς.

Κοινὴ θεραπεία πρὸς τὸ μὴ ὑπό τινος κο-
ρύζης ταχέως βλαβῆναι τὸν ἱέρακα.

Λαβὼν σκόρδου καλὸν μονοσκέλιδον καὶ ἐπι- 118
μελῶς λειώσας ἐπάλειφε τὴν κεφαλὴν αὐτοῦ, καὶ
κατ' ὀλίγον δίδου φαγεῖν τῷ ἱέρακι, καὶ κοινὸν ἔλαιον
δοθὲν ὁμοίως καὶ μέλι. ταῦτα ἐνεργήσειν ποιήσει,
καὶ βούτυρον ὁμοίως δοθέν· καθαίρει γὰρ πάντα τὰ
ἐγκείμενα τῇ κοιλίᾳ τοῦ ζῴου βλαβερά, μάλιστα δὲ
χειμῶνος ὥρᾳ, διὰ τὸ ἐκθερμαίνειν αὐτοῦ τὰς δυνά-
μεις τῇ φυσικῇ ἐνεργείᾳ. καὶ ἡ θερμοφαγία δὲ τῶν
προγεγραμμένων πτηνῶν καὶ ζῴων ὠφέλιμος, μάλι-
στα δὲ ἡ τῶν μυῶν, φυσικήν τινα πρὸς σωτηρίαν
ἔχουσα ὠφέλειαν τούτῳ τῷ ζῴῳ.

Digitized by Google

Θεραπεία ἵνα μὴ βλαφθῇ τάχιστα ὑπὸ κορύζης.

Λαβὼν σκόροδον καλὸν τρῖψον αὐτὸ καὶ χρῖε τὴν κεφαλὴν αὐτοῦ, καὶ μετ' ὀλίγον δὸς αὐτῷ φαγεῖν. καὶ ἐὰν δώσῃς αὐτῷ ἔλαιον καὶ μέλι καὶ βούτυρον, ταῦτα καθαίρουσιν αὐτὸν ὑπὸ πάντων ὅσα κέκτηται ἔνδον τῆς κοιλίας αὐτοῦ βλαβερά. αὕτη ἡ Θεραπεία διδομένη ἐν τῷ χειμῶνι κρείττων ἐστί· θερμαίνει γὰρ αὐτὸν ἐκ φυσικῆς τινὸς ἐνεργείας. καὶ ὠφελεῖ αὐτὸν πάνυ φαγεῖν θερμοὺς τοὺς προγεγραμμένους ὄρνιθας. μᾶλλον δὲ ὠφεληθήσεται, εἴπερ μύας ἐσθίει.

Διάχρισμα πρὸς ξηρὰν κόρυζαν ἱέρακος.

119 Λαβὼν ὀπὸν βαλσάμου καὶ βουτύρου τὸ ἴσον ἑκάτερα διάχριε τὸν ἱέρακα λουόμενον. σκόρδου χυλὸν καὶ ὑοσκυάμου χυλὸν τὸ ἴσον μίξας καὶ οἴνου στύφοντος τὸ ἀρκοῦν διάχριε τὴν ὑπερῴαν τοῦ ἱέρακος, καὶ ἀνακρημνῶν τὰς ῥῖνας αὐτοῦ πρὸς τὸ ἀναδραμεῖν ἀπὸ τῆς ὑπερῴας πρὸς τοὺς ἄλλους τόπους τὴν θεραπείαν, εἶθ' οὕτως στῆσον ἐν ἡλίῳ, καὶ θεραπεύσεις. 79

Διάχρισμα πρὸς ξηρὰν κόρυζαν.

Λαβὼν ζωμὸν βαλσάμου καὶ βούτυρον ἐπίσης χρῖε τὸν ἱέρακα μετὰ τὸ λουσθῆναι αὐτόν, σκορόδου δὲ ζωμῷ καὶ οἴνῳ στύφοντι χρῖε τὸν οὐρανίσκον αὐτοῦ. ἀνάτεινον δὲ αὐτὸν ἐκ τῆς ῥινός, ἵνα εἰσέρχηται ἐκ τοῦ οὐρανίσκου αὐτοῦ πανταχόθεν ἡ τοιαύτη ἰατρεία. μετὰ ταῦτα στῆσον αὐτὸν πρὸ τοῦ ἡλίου καὶ θεραπευθήσεται.

Περὶ κατεχομένης κορύζης ἱέρακος.

120 Ἡ δὲ κατεχομένη κόρυζα, δι' ἧς γίνεται πᾶσα ἡ ὄψις τοῦ ἱέρακος κατασιελομένη ἢ βεβρεγμένη ὁμοίως ὕδατι * * πέμπουσαν ἀπὸ τῶν ῥινῶν· ἄρχεται δὲ ἀπὸ τῶν ὀφθαλμῶν ἐπιδεικνύειν τὴν τοῦ πάθους

Digitized by Google

ἐνέργειαν. χρὴ οὖν βοηθεῖν οὕτως. λαβὼν σιδηρῖτιν βοτάνην, τρῖψον αὐτὴν ἐν ὑγδίῳ μετὰ οἴνου παλαιοῦ καλοῦ καὶ μέλιτος τοῦ ἀρκοῦντος, ἕως οὗ γλοιῶδες γένηται. εἶτα βάπτων χοίρειον μῦν σκληρὸν δίδου φαγεῖν τῷ ζῴῳ· εἰ γὰρ ψαύσαιτο, διαφθερεῖ αὐτό, καὶ θεραπευθήσεται ὁ ἱέραξ ἄνευ τινὸς ἀμφιβολίας. τοσαύτην δὲ ἔχει φυσικὴν δύναμιν, ὥστε εἰ συνεψηθῇ μύκησι θανατοποιοῖς, τοῦ ἐν αὐτοῖς θανατοποιοῦ καθαίρειν φαρμάκου, καὶ ποιεῖν ἐπιτηδείους αὐτοὺς πρὸς τροφήν.

Περὶ τῆς λεγομένης κατεχομένης κορύζης.

Ἡ λεγομένη κατεχομένη κόρυζα γινώσκεται ἀπὸ τοιούτων σημείων. ἔχει ἐν τοῖς ὀφθαλμοῖς αὐτοῦ ὡς σίελον ἢ λήμας ἀνισχύρους, ῥέει δὲ καὶ ἐκ τῶν μυκτήρων αὐτοῦ ὕδωρ. θεράπευε δὲ αὐτὸν οὕτω. τρίψας ἐν τῇ θυΐᾳ βοτάνην τὴν λεγομένην σιδέτην μετὰ οἴνου καλοῦ παλαιοῦ καὶ μέλιτος τοῦ ἀρκοῦντος, ποίησον αὐτὰ γλισχρὰ καὶ βάφων ἐν αὐτοῖς μῦν χοίρειον πάρεχε αὐτῷ, καὶ ἰαθήσεται ἀναμφιβόλως.

Περὶ νοτιάδος.

Νοτιὰς δὲ κόρυζα λέγεται, ἥτις καὶ νότον ἔχει καὶ ἀφρωδές τι ἀπὸ τῶν ὀφθαλμῶν πέμπει καὶ τὴν κεφαλὴν οἰδαίνει καὶ διὰ τῶν ῥινῶν οὐδὲν πέμπει. ἐπικίνδυνον μὴ προληφθὲν καὶ σχεδὸν ἄθικτον. νοήσεις δὲ ὅταν τῶν ὀφθαλμῶν τὰς γωνίας ἴδῃς ἑκατέρωθεν ἀφρὸν ἐχούσας ὀλίγον. θεραπεύσεις οὖν καὶ ταύτην οὕτως. λαβὼν ἀγρίας σταφίδος κόκκους ζ', πεπέρεως κόκκους ζ', ὁμοῦ κόψας ἐν θυΐᾳ Αἰγυπτίῳ καὶ τρίψας ἐπιμελῶς μετ' οἴνου, ἔχε ἐν ἑτοίμῳ. εἶτα μικρὰ τεμάχια κρέως μέλιτι χρίσας δὸς τῷ ἱέρακι πρὸς τὸ φαγεῖν πέντε ἢ ἕξ. καὶ μετὰ ταῦτα λαβόμενος αὐτοῦ τῶν ποδῶν καὶ κατέχων ἐν τοῖς κόλποις

121

Digitized by Google

ἐπιμελῶς τοῖς δακτύλοις καὶ προσέχων ὥστε μὴ βλαβῆναι αὐτοῦ τοὺς ἐλατῆρας τῶν πτερῶν ἢ τῆς οὐρᾶς, πρῶτον μὲν τὴν γλῶτταν αὐτοῦ ἐξέλκων ἅμα ἠρέμα ὑποκάτωθεν ὅρα· εἰ γὰρ πρόσκειται ἐν αὐτῇ ὥσπερ γλωττίδιον μικρόν, ὅπερ ἐστὶ τοῦ πάθους ὑπόστασις, ἀφαίρει ἠρέμα ἀποξέων τῷ ὄνυχι, ἕως οὗ καθαρὸς γένηται ὁ τόπος· ἔπειτα οἴνῳ παλαιῷ τόν τε φάρυγγα αὐτοῦ καὶ τὸν οὐρανίσκον πλῦνε, τρίβων ἐπιμελῶς τοῖς δακτύλοις. ἔπειτα ἐκμυζήσας αὐτοῦ τὰς ῥῖνας τῷ στόματι ὁ θηρατὴς καὶ λαβὼν τὸ ξηρίον τὸ γεγενημένον ἐκ τῶν προκειμένων εἰδῶν, τριβέτω τὴν ὑπερῴαν τοῦ ἱέρακος. χρῶ δὲ καθ' ἑκάστην θεραπείαν ἐκ τοῦ προρρηθέντος ὅσον δύο κυάμων τὸν σταθμόν. ἔπειτα στῆσον αὐτὸν ἐν ἡλίῳ μικρόν, ἕως οὗ καὶ μόνον θερμανθῇ· εἶτα ἀφίστα αὐτὸν τοῦ ἡλίου δεσμεύων ἐν σκιᾷ, παραφυλάττων ἕως οὗπερ ἐκβάλῃ τὴν νόσον διὰ τῶν ῥινῶν καὶ τοῦ στόματος καὶ τὰ μικρὰ τμήματα τῶν κρεῶν, ἅπερ πρὸ τῆς θεραπείας ἔλαβε· ἴδοις γὰρ ἂν ἰλυώδη φλέγματα παραπλησίως πέμποντα τὸν ἱέρακα ἐκ τῆς ἐνεργείας τοῦ φαρμάκου. ὅταν τοίνυν ἴδῃς αὐτὸν καθαρθέντα καὶ μηδὲν ἐκπέμποντα, μέλιτι χρῖε αὐτοῦ τὸν φάρυγγα καὶ τὴν ὑπερῴαν ὡς προείρηται, ἵνα καταγλυκανθῇ ὁ ἱέραξ ἀπὸ τῆς πικρίας τοῦ φαρμάκου· καὶ δίδου περιστερὰν ἐσθίειν ἢ κρέας προβάτου θερμὸν ἢ τῶν ἄλλων ζῴων τῶν εὐχύμων, ἵνα σχίζων αὐτὸ ὁ ἱέραξ ἐκ τοῦ αἵματος αὐτοῦ πίῃ, καὶ σπαιρόντων τῶν κρεῶν αὐτοῦ. εἴ τι δ' ἂν ἔχῃ πλέον ἐν αὐτῷ, ἐκβαλεῖ. τοῦτο δὲ ποίει μέχρι τριῶν ἡμερῶν, ἐλαίου ἀπεχόμενος ὁμοίως ὥσπερ ἐπὶ τῆς κατεχομένης κορύζης, ὡς εἴρηται. εἰ δὲ τὸ πάθος ἐπιμείνῃ τὸ προκατειληφὸς τὸν ἱέρακα, ἤδη

Digitized by Google

προσάξεις αὐτῷ ἕτερον θεραπείας τρόπον τοιόνδε. λαβὼν ἀγριομηλέας καὶ ὑοσκυάμου οἱουδηποτοῦν ἴσον ἑκατέρῳ σταθμῷ, συμμίξας καπνελαίῳ, εἶτα ποιήσας κολούρια ἐξ αὐτῶν, καὶ ὀπὸν βαλσάμου χρίσας, δίδου ἐν κολούριον αὐτῷ προποτίσας οἴνῳ τῷ στόματι τοῦ ἱέρακος· τὸ δὲ καθ' ἓν κολούριον, ἂς ἱστᾶ γράμμ. α'. θεραπεύσεις δὲ τὸ αὐτὸ πάθος καὶ ἄλλως. πεπέρεως οὐγγ. α', λασάρου γράμμ. γ', κόστου γράμμ. ε', ἀγριοσταφίδος κόκκους ι', φύλλα γράμμ. ε'. ταῦτα κόψας καὶ σήσας λεπτοτάτῳ κοσκίνῳ, ἔχε ξηρόν, καὶ ἐξ αὐτοῦ τρίβε τὴν ὑπερφαν καὶ τὸν φάρυγγα.

Περὶ ὑγρᾶς κορύζης.

Ἡ ὑγρὰ κόρυζα ἐκχέει ἐκ τῶν ὀφθαλμῶν αὐτοῦ ὥσπερ ἀφρόν, ποιεῖ δὲ καὶ τὴν κεφαλὴν αὐτοῦ ἐξοιδηκυῖαν, ἐκ δὲ τῶν μυκτήρων αὐτοῦ οὐδὲν ἐξέρχεται. ἔστιν οὖν αὕτη πάνυ ἐπικίνδυνος, πρὸς τούτοις δὲ καὶ ἀνίατος. γνοίης δ' ἂν αὐτὴν ἀκριβῶς, ὅταν ἴδῃς τὰς τῶν ὀφθαλμῶν αὐτοῦ γωνίας ἔχοντας βραχὺ καθάπερ ἀφρόν. θεραπεύεται δὲ καὶ αὕτη οὕτως. ἀγριοσταφίδος κ" ζ' θλάσον αὐτὰ ἐν τῇ θυΐᾳ μετὰ οἴνου, καὶ ἐνώσας αὐτὰ παρασκεύασον, καὶ τεμὼν κρέας τεμάχια μικρὰ πέντε ἢ καὶ ἕξ, χρῖε αὐτὰ μέλιτι καὶ πρόσθες αὐτῷ. εἶτα λαβὼν αὐτὸν ἐκ τῶν ποδῶν καλῶς (σκόπει δὲ ἵνα μὴ θλάσῃς ἢ τοὺς ἐλάτας αὐτοῦ ἢ τὴν οὐρὰν αὐτοῦ) ἕλκε ἔξω τὴν γλῶτταν αὐτοῦ ἡσύχως καὶ ὅρα ὑποκάτω αὐτῆς, καὶ ἐὰν ἴδῃς ὡς μικρὸν παραγλωσσίδιον, ξῦσον αὐτὸ ἐπιδεξίως τοῖς ὄνυξί σου, ἕως ἂν καθαρισθῇ· ἡ γὰρ δύναμις τῆς τοιαύτης ἀσθενείας ἐκεῖνό ἐστιν. εἶτα πλῦνον τὸν οὐρανίσκον καὶ τὸν λαιμὸν αὐτοῦ μετὰ παλαιοῦ οἴνου, τρῖβε δ' οὖν αὐτὸν ἐπιμελῶς τῷ σῷ δακτύλῳ. καὶ τῷ στόματί σου τοὺς μυκτῆρας αὐτοῦ ἐκμυζήσας τῷ χρίσματι ὅπερ ἐποίησας, χρῖε τὸν οὐρανίσκον αὐτοῦ, χρῖε δ' ἐκ τούτου καθ' ἑκάστην ἡμέραν ἴσον δυσὶ κυάμοις, καὶ στῆσον αὐτὸν πρὸ τοῦ ἡλίου ἐπ' ὀλίγον, ἵνα θερμανθῇ. εἶτα δῆσον αὐτὸν ἐν σκιᾷ τινὶ καὶ ἐνέδρευε αὐτόν, ἕως ἂν ἐξέλθῃ τῶν μυ-

Digitized by Google

κτήρων αὐτοῦ καὶ τοῦ στόματος ἡ νόσος ἅπασα. ἐξεμέσειεν δὲ ἂν καὶ τὰ τοῦ κρέατος τεμάχια, ἅπερ αὐτῷ πρὸ τῆς ἰατρείας ἔδωκας, καὶ φλέγματα καθάπερ βόρβορον, τῇ ἐνεργείᾳ τῆς ἰατρείας. ὅταν οὖν ἅπαντα ἐξέλθωσιν αὐτοῦ καὶ ἕτερα ἔτι ἐξελθεῖν οὐ δύνωνται, χρῖε τὸν λαιμὸν αὐτοῦ καὶ τὸν οὐρανίσκον μέλιτι, καὶ δὸς αὐτῷ περιστερὰν ἢ κρέας θερμόν· ἐὰν γὰρ ἐξ αὐτῶν αἷμα πίῃ, περιθρέξεται τοῦτο ἔνδοθεν, καὶ εἴ τι ἂν ἄλλο κεκτῆται ἔνδον, εὐθὺς αὐτὸ ἐκβαλεῖ. ποίει δὲ τοῦτο ἐν τρισὶν ἡμέραις. ἀπεχέσθω δὲ οὗτος ἐλαίου. καὶ ἐὰν ἐκ τούτου οὐκ ἰαθῇ, λαβὼν ἀγριομηλέαν καὶ τὴν λεγομένην δαιμονιαρέαν ἐξίσου καὶ κapνέλαιον, ὅπερ καὶ κάπνιον λέγεται, ἐμβαλόντες γὰρ αὐτῷ ἔλαιον, καπνέλαιον λέγουσι τοῦτο. θὲς οὖν ἐξ αὐτοῦ ἐν τῇ ἀγριομηλέᾳ καὶ ἐν τῇ δαιμονιαρέᾳ, καὶ ποίησον αὐτὰ ὡς θρυαλλίδος, καὶ δὸς αὐτῷ μίαν ἐκ τῶν θρυαλλίδων κεχρισμένην ζωμοῦ βαλσάμου. σταθμιζέτω δὲ ἡ θρυαλλὶς κ" ς'. πλάττε δὲ αὐτὸν οἷνῳ ἔνδον τοῦ στόματος. θεραπεύσεις δὲ τοῦτο τὸ πάθος οὕτως. πέπεριν οὐγγίαν μίαν, λάσαρον κ" ιή, νάστον κ" λ', θλάσας αὐτὰ ἅπαντα σῆσον καὶ ἐξ αὐτῶν τρῖβε τὸν οὐρανίσκον καὶ τὸν λαιμὸν αὐτοῦ.

Περὶ κορύζης ὑγρᾶς.

122 Τῆς δὲ ὑγρᾶς κορύζης εἰσὶν σημεῖα τοιάδε. πρῶτον ὕδωρ τρέχει ἀπὸ τῶν ῥινῶν, ἔπειτα πταρνυμένου σιέλοι καὶ μύξαι παχεῖαι τῶν ῥινῶν ἐξέρχονται. τὰ δὲ τῶν ὀφθαλμῶν κοιλώματα πληροῦνται ὑγροῦ, καὶ φυσᾶται καὶ οἰδαίνει. θεραπεύσεις οὖν καὶ τοῦτο τοῖς αὐτοῖς φαρμάκοις κατὰ τὸν αὐτὸν τρόπον τῆς νοτίας κορύζης· ἀμφότερα δὲ μίαν ἔχουσιν ἀπαλλαγὴν καὶ πάθους θεραπείαν.

Περὶ ὑγρᾶς κορύζης.

Τῆς ὑγρᾶς κορύζης τὰ σημεῖά εἰσι ταῦτα. πρῶτον μὲν ῥέει ὕδωρ ἐκ τῶν μυκτήρων αὐτοῦ, ἔπειτα δὲ ἀποπταίρει, καὶ ἐξέρχεται τῶν μυκτήρων αὐτοῦ πτύελος καὶ μύξα πα-

Digitized by Google

χεῖα, καὶ κύκλωθεν οἱ ὀφθαλμοὶ αὐτοῦ γεμίζουσιν ὕδατος καὶ ὀγκοῦνται. θεράπευε δὲ αὐτὸν τῇ προρρηθείσῃ ἰατρείᾳ.

Ἄλλο.

Λάσαρον βαλὼν εἰς ὕδωρ ἕα αὐτὸ ἀποβραχῆ- 123
ναι, καὶ ὅταν διαλυθῇ ἐν τῷ ὕδατι, λαβὼν νεοττὸν περιστερᾶς, ἔτι ἐνθέρμου ὄντος τοῦ κρέως, ἐμβάπτων τῷ εἰρημένῳ ἀποβρέγματι, δίδου τῷ ἱέρακι.

Ἕτερον.

Θὲς ἐν ὕδατι λάσαρον καὶ διαλυέσθω, καὶ λαβων νεοττὸν περιστερᾶς βάφε ἐν αὐτῷ τοῦτον θερμὸν ἔτι ὄντα, καὶ ἐσθίετω τοῦτον ὁ ἱέραξ.

Ἄλλο.

Ὁ ἱέραξ ὅταν διὰ στόματος καὶ ῥινῶν ὑγρὸν 124
διόλου ἐκπέμπῃ καὶ τὰ βλέφαρα ὀγκωμένα ἔχῃ, οὕτως δραστικωτέραν διαχρίσματος χρείαν οὐκ ἔχει· οὐδὲ γὰρ ὀνίνησιν αὐτόν, ἀλλ' ἐπὶ πλέον φέρει ἐξ αὐτοῦ τὴν ὑγρότητα τῆς κορύζης. χρῶ δὲ τῷ βοηθήματι τούτῳ μόνῳ. πεπέρεως κοπανισμένου καὶ κοσκινισμένου διὰ ῥινῶν ξηρὸν καταφυσούμενον ἀποκαθίστησιν ὑγιῆ τὸν ἱέρακα.

Ἕτερον.

Ὅταν ῥέῃ διὰ παντὸς ἐκ τοῦ στόματος αὐτοῦ καὶ τῶν μυκτήρων ὑγρόν, καὶ ὥσι καὶ τὰ βλέφαρα αὐτοῦ ὀγκωμένα, ἰατρευέτω οὕτω. τρίψας πέπερι ἐμφύσησον αὐτὸ ξηρὸν τοῖς μυκτῆρσιν αὐτοῦ, καὶ ἰαθήσεται.

84 Ἄλλο.

Τείνεται ἡ κεφαλή, καὶ οἱ ὀφθαλμοὶ οἰδαίνονται, 125
καὶ ῥέγχει. θεραπεύσεις δὲ ταύτῃ τῇ θεραπείᾳ· πεπέρεως κόκκους μ', κόστου γράμμ. δ', ὀπίου γράμμ.

Digitized by Google

α', φύλλα γράμμ. β', ἀγριοσταφίδος κόκκους κ', πυρέθρου γράμμ. β', εὐφορβίου γράμμ. β', ὀποβαλσάμου κοχλία γ'. τὰ ξηρὰ κόψας ἐπίβαλε τοῖς ὑγροῖς· τὸ δὲ ὄπιον ἀπόβρεχε οἴνῳ καὶ ἐπίβαλε τοῖς ὑγροῖς καὶ χρῶ.

Ἕτερον.

Ἐκτείνει τὴν κεφαλὴν αὐτοῦ, καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ἐξοιδοῦνται, καὶ ῥέγκει. θεραπεύεται δὲ οὕτω. πέπεριν κ" μ', κόστου κ" ιβ', ὀπίου κ" ς', φύλλου ἀρωματικοῦ κ" ιβ', ἀγριοσταπίδος κ" κ', πυρέθρου κ" ιβ', ἐφορβίου κ" ιβ', κόστου ἕτερα κ" ιβ', ζωμὸν βαλσάμου τρία τῶν κοχλιαρίων. τὰ ξηρὰ τρίψας ἐν τῇ θυΐᾳ, ἔνωσον αὐτὰ τοῖς ὑγροῖς, καὶ τὸ ὄπιον διαλύσας μετὰ οἴνου ἔνωσον αὐτὸ τούτοις, καὶ λάτρευε τὸν ἱέρακα.

Ἄλλο.

126 . Τῆς ὑγρᾶς κορύζης φανερὰ πάθη εἰσί· ῥεῦμα φερόμενον ἀπὸ τῶν ὀφθαλμῶν καὶ τῶν ῥινῶν. ἰάσῃ οὖν τὸ πάθος τῇ ὑποτεταγμένῃ θεραπείᾳ. πρῶτον διαχρίειν τὴν ὑπερῴαν τῷ εἰρημένῳ διαχρίσματι ἐξαγίου ἥμισυ· ἐπιμένοντος δὲ τοῦ πάθους, θαφνίνῳ ἐλαίῳ ἐγχυμάτιζε εἰς ἑκάστην ῥῖνα σταγόνας δύο. εἰ δ' οὐχ οὕτως ὠφελεῖται τὸ ζῷον, καυτήρια προστίθει ἐν τῷ βρέγματι, ὡς μετ' ὀλίγον εἰρήσεται· ἔστω δὲ τὸ ξηρίον πήγανον τετριμμένον εὖ μάλα, καὶ ξηρὸν ἐμφύσα διὰ τῶν μυκτήρων τοῦ ἱέρακος. μὴ λειπέσθω δὲ θερμοφαγίας τῆς δι' ὀρνέων. ἐν ἡλίῳ μὴ συγχώρει τὸ σύνολον· ὕδατι δὲ ὀλίγῳ χρήσθω, διὰ τὴν τῶν βοηθημάτων προσαγωγήν.

Ἕτερον.

Τῆς ὑγρᾶς κορύζης τὰ πάθη ἐπίδηλά εἰσι· ῥεῦμα γὰρ πολὺ τρέχει ἐκ τῶν ὀφθαλμῶν αὐτοῦ καὶ ἐκ τῶν μυκτήρων.

Digitized by Google

θεράπευε δὲ τοῦτον τῇ προγεγραμμένῃ ἰατρείᾳ. χρῖε πρῶτον τὸν οὐρανίσκον αὐτοῦ ἐκ τοῦ χρίσματος ἐκείνου κ" ιβ'. εἰ δὲ οὐκ ὠφελεῖται ὑπὸ τούτου, θὲς ἐν ἑκάστῳ τῶν μυκτήρων αὐτοῦ θαφνελαίου σταλαγμοὺς δύο, καὶ ἐσθιέτω ἀεὶ θερμοὺς νεοττούς, καὶ πρὸ τοῦ ἡλίου μὴ στήσῃς αὐτόν, πάρεχε δὲ αὐτῷ καὶ βραχὺ ὕδατος διὰ τὸ βοήθημα.

Εἰς τὸ αὐτὸ ἄλλο.

Ὁπόταν ἔχῃ ὁ ἱέραξ ὑγρὰν κόρυζαν, γνωρίζεται 127
ἀπὸ τοῦ περὶ τῶν ὀφθαλμῶν, περὶ τὰς γωνίας, τουτέστι περὶ τοὺς κροτάφους, καθ' οὓς φέρεται ὑγρὸς ἀφρός, καὶ πταίρει συνεχῶς, καὶ ὡς δοκεῖ κατακλίνειν ἐσθίων, μὴ ἐσθίων. θεραπεύσεις δὲ οὕτως. μάδιζε τὰ πτερὰ τῶν κροτάφων αὐτοῦ, καὶ τὰς ἐν αὐτοῖς φλέβας φανερὰς ποιήσας πάσον αὐτὰς ἀνήθου ῥίζαις κοπείσαις καὶ σησθείσαις, ἢ πυρώσας σιδήριον λεπτὸν καῦσον τὰς φλέβας εὐφυῶς. καὶ θεραπεύσεις, εἰ εὐθέως ἐπιχέοις τοῖς τόποις ἄκρατον οἶνον.

Ἕτερον εἰς αὐτόν.

Ὅταν ἔχῃ ὁ ἱέραξ ὑγρὰν κόρυζαν, ἐξέρχεται ἐκ τῶν πηγῶν τῶν ὀφθαλμῶν αὐτοῦ ἀφρὸς ὑγρός, καὶ συχνῶς ἀποπταίρει, καὶ δοκεῖ σοι ὅταν ἐσθίῃ ὅτι κατακλίνει μὴ ἐσθίων. ἰατρεύεται δὲ οὕτως. ἀνάσπασον τὰ πτερὰ τῶν μιλίγγων αὐτοῦ καὶ τὰ τῶν ὀφρύων αὐτοῦ, καὶ ἢ πάσον τοὺς δηλωθέντας τόπους ῥίζαις ἀνήθου τετριμμέναις καὶ σεσησμέναις, ἢ καῦσον τὰς φαινομένας φλέβας ἐντέχνως. καὶ ἰαθήσεται, εἰ βρέξειας πρῶτον τοὺς τόπους οἴνῳ ἀκράτῳ.

Πρὸς τὰ τῆς ὑγρᾶς κορύζης γινόμενα φύματα.

Γίνεται πολλάκις φύματα εἰς τὰς ῥῖνας τῶν ἱε- 128
ράκων ἐκ τοῦ πάθους τῆς ὑγρᾶς κορύζης· ἴαμα δὲ τούτου γάρος πρωτεῖον ἐγχυματιζόμενον, καθ' ἑκάστην ὥραν σταγόνες τρεῖς.

Digitized by Google

Πρὸς τὰ ἀπὸ τῆς ὑγρᾶς κορύζης γινόμενα φύματα.

Ἐὰν ποιήσῃ ὁ ἱέραξ ἐν τοῖς μυκτῆρσιν αὐτοῦ ὑπὸ τοῦ πάθους τούτου φύματα, ἔνσταξε αὐτοῖς καθ' ὥραν σταλαγμοὺς τρεῖς ἐκ γάρου, καὶ ἰαθήσεται.

Πρὸς φλεγμονὴν ῥινῶν. 86

129 *Γνωρίζεται καὶ ὅταν φλεγμάνῃ τοὺς μυκτῆρας αὐτοῦ. ὑγρὸν κολλῶδες ἐκφέρει περὶ τοὺς ὀφθαλμοὺς αὐτοῦ καὶ τὸ στόμα. θεραπεύεται οὕτως. πτελέας ἀγρίας σπέρμα κόψας, καὶ συντρίψας μετὰ ἐλαίου, ποίει ὡς κολλούρια, καὶ χρῶ ἀνατρίβων τὴν ὑπερῴαν τοῦ ζῴου· εἰς δὲ τὰς ῥίνας αὐτοῦ ἔνσταξε ῥόδιον ἀπὸ ὄμφακος ἐλαίου κατασκευασθέν.*

Περὶ φλεγμονῆς τῶν μυκτήρων.

Ὅταν ἴδῃς ὅτι ἐξέρχεται ἐκ τοῦ στόματος αὐτοῦ καὶ ἐκ τῶν ὀφθαλμῶν ὑγρὸν ὡς κολλῶδες, γίγνωσκε ὅτι οἱ μυκτῆρες αὐτοῦ φλεγμαίνουσι. θεράπευε δὲ αὐτὸν οὕτως. σπέρμα ἀγρίας πτελέας τρίψας μετὰ ἐλαίου ποίησον σφαῖρας τοῦτο, καὶ χρῖε ἐξ αὐτῶν τὸν οὐρανίσκον αὐτοῦ, καὶ τοῖς μυκτῆρσιν αὐτοῦ ἔνσταξε ῥοδέλαιον μετὰ ἐλαίου ὀμφακίνου ἐλαίας.

Πρὸς τοὺς ἀπὸ ῥινῶν φέροντας μύξας.

130 *Λαβὼν πεπέρεως κόκκους ις΄ βάλε αὐτοὺς ἐν ὑγδίῳ, καὶ λειώσας καλῶς σαπώνιν καὶ στακτὴν σεσησμένα λεπτῷ κοσκίνῳ καὶ ταῦτα κατὰ ἀναλογίαν τοῦ πεπέρεως ἐμβαλὼν καὶ ἀναμίξας, μετὰ τὸ φαγεῖν τὸν ἱέρακα ὑπάλειφε τοὺς μυκτῆρας αὐτοῦ, καὶ ἰᾶται.*

Περὶ τῶν ἱεράκων ὧν οἱ μυκτῆρες μύξαν ἐκπέμπουσι.

Πέπερι κ" ις΄ τρίψας ἐν τῇ θυΐᾳ καλῶς καὶ σήσας τέφραν ἔνωσον αὐτὴν τῷ νίτρῳ κατὰ τὴν ποσότητα τοῦ πεπέ-

Digitized by Google

ρεως, καὶ μετὰ τὸ φαγεῖν τὸν ἱέρακα θὲς ἐξ αὐτῶν ἐν τοῖς μυκτῆρσιν αὐτοῦ, καὶ ἰαθήσεται.

Ἐὰν ἐκ τῶν μυκτήρων ὕδωρ φέρῃ.

Ῥαφάνου σπέρμα κόψας καὶ σήσας διάχριε τοὺς 131
μυκτῆρας αὐτοῦ.

Ἐὰν ἐκπέμπῃ ἐκ τῶν μυκτήρων αὐτοῦ ὕδωρ.

Σπέρμα ῥαφάνου ἐν θυΐᾳ τρῖψον καὶ χρῖε τοὺς μυκτῆρας αὐτοῦ.

87 Ἄλλο.

Λαβὼν βοτάνην φιλάνθρωπον καλουμένην, τὸ 132
σπέρμα τρῖψον καὶ σῆσον λεπτοτάτῳ κοσκίνῳ, καὶ διαστείλας τὸ στόμα τοῦ ἱέρακος, εὐφυῶς τρῖβε μετ' αὐτοῦ τὸν οὐρανίσκον, καὶ ὄψει θαυμαστῶς ἀποκαθαῖρον τὰς μύξας.

Ἕτερον.

Τῆς λεγομένης φιλανθρώπου βοτάνης τὸ σπέρμα τρίψας σῆσον αὐτὸ καὶ ἐξ αὐτοῦ τρῖβε τὸν οὐρανίσκον αὐτοῦ, καὶ ἰαθήσεται.

Περὶ στηθοκορύζης.

Στηθοκόρυζα γίνεται τῷ ἱέρακι ἐκ πολυχυμίας· 133
δεινὸν δὲ τὸ πάθος παρ' αὐτὰ μὴ βοηθούμενον. σημεῖον δὲ τοῦ πάθους ἄσθμα βαρύ, ὡς ἐκ γυμνασίας, καὶ περὶ τὸ στῆθος τοῦ ἱέρακος ὑγρὰ ἐπισωρεύονται, ἅτινα καὶ ῥέγχειν ποιοῦσι τὸ ζῷον. βοηθητέον οὖν τὸν τρόπον τοῦτον. καθ' ἑκάστην ἡμέραν διδόντες εἰς τροφὴν περιστεράν, ποτίζοντες αὐτὸν ὑδρόμελι ἢ δροσάτον· ἃ συνεχέστερον κινέτω ὁ ἱέραξ, ἕως παντελοῦς ἀποκαταστάσεως. θερμὴ δὲ θεραπεία οὐδ' ὅλως ὠφελεῖν πεπείραται, ἀλλὰ μᾶλλον

Digitized by Google

ἓα ψυχροφαγεῖν δι' ὠμῶν κρεῶν, καὶ σύμφυτον βαλὼν μέσον τοῦ κρέως δίδου τῷ ζῴῳ τμήματα τρία μικρά.

Περὶ στηθοκορύζης.

Στηθοκόρυζα γίνεται ἐκ κακοχυμίας· φαίνεται δὲ ἐκ τῶν σημείων τούτων. ἀσθμαίνει βαρέως, ὥσπερ ἐκ πολλοῦ μόχθου· κέκτηται δὲ καὶ ἐν τῷ στήθει αὐτοῦ πλεῖστα ὑγρά, καὶ ἐκ τούτων ῥέγχει. ἰάτρευε δὲ αὐτὸν οὕτως. καθ' ἑκάστην ἐσθιέτω περιστεράν, καὶ πότιζε αὐτὸν ὑδόμελι ἢ δροσάτον. πότιζε δὲ αὐτὸν ἐκ τούτων συχνῶς ἄχρι τοῦ ἰαθῆναι· εὕρομεν γὰρ ἐκ πολλῆς πείρας ὅτι οὐκ ὠφελεῖται ὁ ἱέραξ ἐσθίων τὰ θερμαίνοντα τῇ ἀσθενείᾳ ταύτῃ συνεχόμενος. ἐσθιέτω οὖν πάντα τὰ ψύχοντα, θὲς δὲ ἔνδον τριῶν τόμων κρέατος σύμφυτον, καὶ δὸς αὐτῷ ἐσθίειν.

Ἄλλο. 88

134 Συνεχῶς ῥέγχει καὶ κέχηνε τὴν γλῶτταν προβάλλων. θεραπεύεται οὖν τούτῳ τῷ βοηθήματι. βούτυρον λειώσας μετὰ δροσάτου καὶ φύλλου Ἰνδικοῦ κεκομμένου καὶ σεσησμένου ὀλίγου καὶ ἀναφυράσας ὁμοῦ ἔμβαλε αὐτὸ εἰς δέρμα μυὸς ἐκδαρέντος, εἶτα διαστείλας εὐφυῶς τὸ στόμα τοῦ ἱέρακος δίδου πιεῖν τὸ κατασκευασθὲν δέρμα· δίδου δὲ καὶ περιστερὰν ἐσθίειν, ὡς προείρηται, καὶ εἰς ἑκάστην ῥῖνα δάφνινον ἔλαιον ἔνσταζε, καὶ ὑπαίθριον ἑστάναι κέλευσον, καὶ ἀποκαταστηθήσεται.

Ἕτερον.

Ἐὰν συχνῶς ῥέγχῃ, θεραπευθήσεται οὕτω. βούτυρον καὶ δροσάτον καὶ φύλλον Ἰνδικὸν τετριμμένον καὶ σεσησμένον, μίγνυε ταῦτα πάντα ὁμοῦ, καὶ θὲς αὐτὰ ἐν δέρματι μυὸς μικροῦ. καὶ ἀνοίξας τὸ στόμα αὐτοῦ ἐπιδεξίως πότισον αὐτὸν τοῦτο, δὸς δὲ αὐτῷ καὶ περιστερὰν ὡς προείπομεν. ἔνσταζε δὲ καὶ τοῖς μυκτῆρσιν αὐτοῦ δαφνέλαιον, καὶ ἱστάτω ἐν ὑπαίθρῳ τόπῳ, καὶ ἰαθήσεται.

Digitized by Google

Περὶ λαθροκορύζης.

Σανδαράχης οὐγγ. α', βουτύρου οὐγγ. β', ᾠῶν 135
δύο τὰ λευκά, ἐλαίου δαφνίνου οὐγγ. τὸ ἥμισυ, μέλιτος καλοῦ οὐγγ. ς', μυελοῦ ἐλαφείου οὐγγ. β'. ὁμοῦ ἐμβαλὼν ἀνάμιξον καὶ σφαιροποιήσας εἰς μικρὰ ἐπίδος φαγεῖν τῷ ἱέρακι.

Περὶ λαθροκορύζης.

Ἀρσενίκιον ἐρυθρὸν οὐγγίαν μίαν, βούτυρον οὐγγίας β', ἐκ τοῦ λευκοῦ τῶν ᾠῶν β', δαφνελαίου ἐξάγια γ', μέλι καλὸν ἐξάγια γ', μυελὸν ἐλάφου οὐγγίας β', ταῦτα πάντα ἑνώσας ποίησον αὐτὰ σφαίρας μικράς, καὶ πρόσθες αὐτῷ.

Βοήθημα βρώσιμον ποιοῦν πρὸς στηθοκόρυζαν.

Νοσεῖ τὴν νόσον ταύτην ὁ ἱέραξ ἐπὶ πολὺ κα- 136
πνισθείς. σημεῖον δὲ τοῦ πάθους, τὰ βλέφαρα αὐτοῦ πελιδνά, καὶ ἀπὸ ῥινῶν ἀφρὸν ἐκπέμπει, καὶ ῥέγχει ἰσχυρῶς. ἰάσῃ οὖν οὕτως. λαβὼν ὑοσκυάμου σπέρμα γράμμ. α', λασάρου γράμμ. β', πεπέρεως γράμμ. α', ὁμοῦ λειώσας μέλι ἄκαπνον, μίξας διάχριε τὴν ὑπερῴαν, καὶ διαναστήσας πολὺ δίδου θερμοφαγεῖν.

Βοήθημα πρὸς στηθοκόρυζαν καὶ πρὸς τὰ γινόμενα πάθη ἐν τῷ λαιμῷ τοῦ ἱέρακος.

Πάσχει ὁ ἱέραξ τοῦτο τὸ πάθος ὑπὸ πολλοῦ κάπνου. κέκτηται οὖν σημεῖα τοιαῦτα. εἰσὶ στυγνὰ καὶ ὁμαλὰ τὰ βλέφαρα αὐτοῦ, καὶ ἐκ τῶν μυκτήρων αὐτοῦ πέμπει ἀφρὸν καὶ ῥέγχει μάλα. λαβὼν οὖν δαιμονιαρέας κ" ς', λάσσον κ" ιβ', πέπερι κ" ς', καὶ τρίψας αὐτὰ ὁμοῦ, χρῖε τὸν οὐρανίσκον αὐτοῦ, καὶ ἐσθιέτω θερμαίνοντα.

Ἄλλο.

137
Κόστου, πεπέρεως μακροῦ, ὑοσκυάμου σπέρμα-

Digitized by Google

τος τὸ ἴσον, λασάρου γράμμ. α', πεπέρεως γράμμ. α', ἕκαστα λειώσας καὶ σήσας, μέλιτι διάχριε τὴν ὑπερῴαν τοῦ ἱέρακος.

Ἕτερον.

Κόστον, μακροπέπεριν, σπέρμα μανδραγόρας ἐπίσης, λάσαρον κ" ς', πέπεριν κ" ς', τρίψας ἐν θυΐᾳ σῆσον αὐτά, θὲς δὲ ἐν αὐτοῖς καὶ μέλι, καὶ χρῖε τὸν οὐρανίσκον αὐτοῦ.

Ἄλλο.

138 Μέλιτι ἀκράτῳ τὴν ὑπερῴαν καὶ τὸν φάρυγγα προσφύσα ἢ ἀνάτριβε ἐπὶ συχνῷ σκορόδῳ κεκαρμένῳ καὶ πλατυκυμίνῳ καὶ σταφίδος ὑγρᾶς τῷ ἴσῳ σταθμῷ λαβών, λειώσας αὐτὰ καλῶς καὶ βούτυρον ἀναλαβὼν ὑπάλειφε τὸ κρέας τὸ διδόμενον εἰς τροφὴν τῷ ἱέρακι.

Ἕτερον.

Μέλιτι καλῷ χρῖε τόν τε οὐρανίσκον καὶ τὸν λαιμὸν αὐτοῦ· λαβὼν δὲ ἐπίσης καὶ σκόροδον κεκαθαρισμένον καὶ πλατυκύμινον καὶ ἀγριοσταφίδα, ἕνωσον αὐτὰ τῷ βουτύρῳ καὶ βάπτων ἐν αὐτοῖς κρέας πρόσθες αὐτῷ.

Ἄλλο.

139 Ἱέραξ λαθροκορύζῃ ἐμπεσὼν ἐνδείκνυται ἀπὸ τοῦ φλεγμαίνειν τὰ περὶ τοὺς μυκτῆρας καὶ ῥέγχειν· ἔσθ' ὅτε δὲ οὐ ῥέγχει, ἀλλὰ φλεγμαίνει μόνον. συμβαίνει δὲ τούτοις τοῖς ζῴοις τὸ τοιοῦτον πάθος, ὁπόταν βραχῇ πολλά, καὶ ἀπὸ καπνοῦ πολλοῦ, ὡς προείρηται. θεράπευε δὲ τούτῳ τῷ τρόπῳ. λαβὼν τὸ λεγόμενον ὀνόσκορδον λείου ἐν ὑγδίῳ· εἶτα εἰς ὀθόνιον λεπτὸν ἀπόθλιβε, καὶ λαβὼν τὸν χυλὸν προσφύσα τοὺς μυκτῆρας αὐτοῦ.

Ἕτερον.

Ἐὰν ἔχῃ ὁ ἱέραξ λαθροκόρυζαν, φαίνεται ἀπὸ τῶν τοι-

Digitized by Google

οὐταν σημείων, φλεγμαίνουσιν οἱ μυκτῆρες αὐτοῦ, καὶ ῥέγχει. ἄλλοτε δὲ οὐ ῥέγχει, ἀλλὰ φλεγμονὴν μόνον οἱ μυκτῆρες αὐτοῦ ποιοῦσιν. ἐπιγίνεται δὲ αὐτῷ ἡ ἀσθένεια αὕτη ἢ ἀπὸ ὑετοῦ πολλοῦ ἢ ἀπὸ καπνοῦ ὡς προείπομεν. θλάσον οὖν ἐν θυΐᾳ σκόροδον καὶ τοῦτο σαπελίσας ὑφάσματι λεπτῷ θὲς ἐν τοῖς μυκτῆρσιν αὐτοῦ.

Ἕτερον.

Κόκκους κνίδης ζ΄ ἢ θ΄ δίδου λειώσας μετὰ κρέως μέρη τρία. 140

Ἕτερον.

Ἐκ τοῦ σπέρματος τῆς κνίδης κόκκους ἑπτὰ ἢ ἐννέα θλάσας δὸς αὐτῷ μετὰ τριῶν τεμαχίων κρέατος ἐσθίειν αὐτά.

Ἄλλο.

Λίγὸς ἄρρενος τὸ μέσον τῆς σφαγῆς αἷμα λαβών, ἢ μετὰ τοῦ ὀλίγου ἐκχυθῆναι αἷμα, ὑπόδεξαι εἰς ποτήριον ἢ εἰς ἕτερον ἀγγεῖον, καὶ ἔα παγῆναι, καὶ δίδου τῷ ἱέρακι φαγεῖν. 141

Ἕτερον.

Τράγειον αἷμα λαβὼν ἡνίκα σφάξωσιν αὐτὸν καὶ ῥεύσῃ ὀλίγον πρῶτον χαμαί, εἶτα λαβὼν αὐτὸ ἔασον πηγνύναι καὶ πρόσθες τοῦτο τῷ ἱέρακι.

Περὶ τῶν κατὰ τὸ στόμα γινομένων παθῶν τοῦ θερμίου.

Ἔστι πάθος θέρμιον κατονομαζόμενον ἔνδον τοῦ στόματος παρὰ τὸ χεῖλος τοῦ ἱέρακος γινόμενον· ὀπαὶ γάρ τινες μεγάλαι καὶ σηραγγώδεις εἰσίν, ἐν αἷς ἐπιρρεῖ τὰ ὑγρά, ὅθεν οὐδὲ τελειοῦται, ἀλλὰ κατὰ μέρος φυσᾶται, ἐπεισρεόντων ἐν τῇ ὀπῇ τῶν ἀγρίων 91 τῶν λεγομένων ὑγρῶν ἐπισυναγομένων. χρὴ οὖν ἀναπτύξαντας τὸ τοῦ ἱέρακος στόμα πρῶτον μὲν τὴν 142

Digitized by Google

τῆς ὀπῆς λεπίδα πτερῷ ὑποκαθαίρειν, εἶτα τὸν τόπον μέλιτι διὰ τοῦ πτεροῦ ὑποχρίειν, ὥστε πᾶσαν ἐκκαθᾶραι τὴν ἔσωθεν κόπρον· ἐπὶ δὲ τὸ στόμα τοῦ τρήματος οὐ μὴν ἀλλὰ καὶ ἐνδότερον τῆς ὀπῆς χαλκίτην κεκομμένον ἐμβάλλειν, ἕως ἂν ἐξαναλώσῃ τὸ σεσηπός· κατεσθίει γὰρ ἅπαντα τὰ τοῦ θερμίου ἐνηλώματα. καὶ τούτου γενομένου ἀπαλλάττεται τὸ ζῷον τοῦ πάθους.

Περὶ τῶν κατὰ τὸ στόμα γινομένων παθῶν καὶ περὶ τοῦ λεγομένου θερμίου.

Ἔστι πάθος τὸ λεγόμενον θέρμιον. γίνεται οὖν τοῦτο τοῦ χείλους αὐτοῦ ἔνδοθεν· γίνονται γὰρ ὀπαὶ μεγάλαι καὶ σομφαί, αἵτινες ὑγρῶν ἐντὸς γεμίζονται. ἀνοίξας οὖν τὸ στόμα αὐτοῦ ἴδοις ἂν ἐν τῇ ὀπῇ ὡς λεπίδα. καθάρισον δὲ αὐτὴν μετὰ πτεροῦ, καὶ χρῖε τὸν τόπον μέλιτι, εἶτα θὲς τὸ λεγόμενον καλτίκιν τετριμμένον, καὶ οὕτω καταδαπανηθήσονται αἱ ῥίζαι τοῦ θερμίου.

Πρὸς ἄφθας ἱεράκων τὰς καὶ ψύδρακας λεγομένας.

143 Γνωρίζεται ὁ ἱέραξ ἄφθας ἔχων ὅταν ἡ ὑπερῴα αὐτοῦ ὁλόλευκος ᾖ καὶ ὡς κέγχρου κόκκοι μικροὶ ἐμφαίνονται ἐν τῷ στόματι τοῦ ζῴου. θεράπευε οὖν τῷ τρόπῳ τούτῳ. λαβὼν ῥάκος λινοῦν λεπτὸν περιδέσμει τῷ λιχανῷ σου δακτύλῳ· εἶτα εἰς ῥοδόμελι ἐμβάπτων τρῖβε τὴν ὑπερῴαν αὐτοῦ καὶ τὴν γλῶσσαν. εἰ δ' οὐκ ἔστιν εὐπορία ῥοδομέλιτος, οἰνομέλιτι χρῶ καὶ θερμοφαγεῖν δίδου.

Πρὸς τὰς ἄφθας τὰς καὶ ψύδρακας λεγομένας.

Ὅταν πάσχῃ ὁ ἱέραξ ταύτην τὴν νόσον, ἅπας ὁ οὐρανίσκος αὐτοῦ λευκός ἐστι, καὶ γεμίζεται τούτων καὶ τὸ στόμα αὐτοῦ, ὡς κέγχρου σπέρματος. θεράπευε δὲ αὐτὸν οὕτω.

Digitized by Google

περιειλήσας τὸν δάκτυλόν σου ὑφάσματι λεπτῷ βάπτε αὐτὸν ἐν ῥοδομέλιτι, καὶ τρῖβε τὸν οὐρανίσκον αὐτοῦ καὶ τὴν γλῶτταν. ἐὰν δὲ οὐκ ἔχῃς ῥοδόμελι, ἐναθήτω οἶνος μέλιτι, καὶ ἐσθιέτω θερμά.

56 Ἄλλο. 5

Οἴνῳ στύφοντι μετὰ ῥοδομέλιτος διάκλυζε τὸ 144
στόμα τοῦ ἱέρακος ἢ αὐτὸ μόνον ῥοδομέλιτι ἢ ῥοδίνῳ ἐλαίῳ κατασκευασθέντι ἀπὸ ὄμφακος.

Ἕτερον περὶ αὐτοῦ.

Οἴνῳ στύφοντι καὶ ῥοδελαίῳ κλύζε τὸ στόμα αὐτοῦ ἢ 10
ῥοδομέλιτι μόνον ἢ ῥοδελαίῳ ἐξ ἐλαίου ὀμφακίνου.

Ἄλλο.

Ὀμφάκινον λειώσας σὺν οἰνομέλιτι χρῖε τὴν 145
ὑπερῴαν καὶ τὴν γλῶτταν αὐτοῦ.

Ἕτερον περὶ αὐτοῦ. 15

Ζωμὸν ὄμφακος ἑνώσας μέλιτι καὶ οἴνῳ χρῖε τὴν γλῶτταν αὐτοῦ καὶ τὸν οὐρανίσκον.

Ἄλλο.

Πρὸ τῆς θεραπείας τρῖψον αὐτὰς μετὰ ὄξους καὶ 146
μέλιτος, ἕως καθαρθῶσιν· εἶθ' οὕτως ῥοδομέλιτι ἐπ- 20
άλειφε συνεχῶς.

Ἕτερον.

Τὰς ἅφθας τρῖβε πρῶτον ὄξει, ἕως οὗ καθαρισθῶσιν· εἶτα χρῖε τοὺς τόπους ῥοδομέλιτι συχνῶς.

Ἄλλο. 25

Κηκίδας θλάσας ἕψησον ἐν ὕδατι καὶ διηθήσας 147
ἴσον τῷ ἀφεψήματι μέλι μίξας ἕψει πάλιν ἕως μελιτώδους συστάσεως, εἶτα πορφυρᾶν κροκύδα ἑλίξας δα-

Digitized by Google

κτύλῳ σου, διάχριε ἐκ τοῦ κατασκευασθέντος τὸ στόμα πανταχόθεν τοῦ ἱέρακος.

Ἕτερον.

Θλάσας κηκῖδας βράσον αὐτὰς μετὰ ὕδατος, καὶ σακελίσας αὐτὰ ὁμοῦ, ἵνα γένωσιν ὡς μέλι κατὰ τὸ πάχος. καὶ περιειλήσας τὸν σὸν δάκτυλον ὑφάσματι βάψον ἐν αὐτῷ καὶ χρῖε τὸ στόμα αὐτοῦ ἅπαν.

Ἄλλο.

148 Ἐὰν συμβῇ ἄφθαν ἐν τῇ κεφαλῇ ἔχειν τὸ ὄρνεον, μετὰ βίας ἐκ τῆς χειρὸς καταβαίνει. μετὰ δὲ τὸ κατελθεῖν ἐὰν ἴδῃς βιαίως ἀναπνέον, ἴσθι τὸ ἧπαρ αὐτοῦ ἕλκος ἔχειν καὶ ἀνιάτως νοσεῖν. εἰ δὲ περὶ τὴν κεφαλὴν μόνην τὸ πάθος εἵλεται, πρῶτον μὲν διά- 22
χρισον ὀπῷ βαλσάμου, εἶτα μετὰ μίαν ἡμέραν διάχρίσματι ἔχοντι ῥοδέλαιον καὶ μέλι χωρὶς εὐφορβίου. ἐὰν δὲ φλεγμαίνωσι, κρόκον καὶ λευκὸν ᾠοῦ μίξας διάχριε.

Ἕτερον.

Ἐὰν συμβῇ τῷ ἱέρακι ἔχειν ἐν τῇ κεφαλῇ ἄφθαν, ἐκ τῆς χειρὸς τῆς φερούσης αὐτὸν οὐχ οἷός τέ ἐστι καταβαίνειν· ὅταν δὲ καταβῇ, ἀσθμαίνει βιαίως. γίνωσκε οὖν ὅτι τὸ ἧπαρ αὐτοῦ κέκτηται ἕλκος, καὶ αὕτη ἡ νόσος ἀνίατός ἐστιν. ἐὰν δέ ἐστιν ἐν τῇ κεφαλῇ αὐτοῦ μόνον ἡ τοιαύτη νόσος, πρῶτον χρῖε αὐτὸν ζωμῷ βαλσάμου, καὶ μετὰ μίαν ἡμέραν διάχρισον αὐτὸν ῥοδελαίῳ καὶ μέλιτι. ἐὰν δὲ αἱ φλεγμοναὶ ἐξογκῶνται, ᾠοῦ τῷ λευκῷ καὶ σκορόδῳ χρῖε ταύτας.

Πρὸς φλυκταίνοντας ἱέρακας.

149 Ἐὰν ἐν τῷ στόματι φλύκταιναι γένωνται ἢ ἄλλῳ μέρει τοῦ σώματος, πτύξας τὸ ὄρνεον εὐφυῶς, ὑπ' ἄλλου τὸ στόμα διανοιγῆναι ποίησον, καὶ βελόνῃ τὰς

Digitized by Google

φλυκταίνας ἀνοίξας ἓα μικρὸν αὐτὰς διαπνεῦσαι· εἶτα ῥοδομέλιτι χρῖε τοὺς τόπους.

Περὶ τῶν γινομένων φυσκῶν ἐν τῷ τοῦ ἱέρακος στόματι.

Ἀνοιγέτω ἕτερος μὲν τὸ τοῦ ἱέρακος στόμα προσεκτῶς, ἕτερος δὲ τῇ βελόνῃ ταύτας ἐκκεντείτω. ὅταν δὲ τῆς ὕλης κενωθῶσι, χρῖε τοὺς τόπους ῥοδελαίῳ.

Πρὸς τοὺς χαίνοντας καὶ προβάλλοντας τὴν γλῶτταν.

Τὰς ἴνας τοῦ κρέως εἰς δροσάτον ἐμβρέξας πα- 150
ράβαλε αὐτῷ ἡμέραν μίαν. μετὰ ταύτην τῇ ἑξῆς 10
μίξας τῷ δροσάτῳ φύλλον Ἰνδικὸν σεσησμένον, καὶ βούτυρον ἀνακόψας εἰς δέρμα μυὸς μικροῦ ἔμβαλε, ὡς δύνασθαι γεμισθῆναι, καὶ δίδου καταπίνειν, καὶ τῇ τρίτῃ ἡμέρᾳ δαφνίνου πρωτείου δίδου μίαν στα- 15
γόνα διὰ τῶν ῥινῶν.

Περὶ τῶν πεχηνότων καὶ τὴν γλῶτταν αὐτῶν ἔξω τοῦ στόματος ἐκτεινόντων.

Βάψον κρέας ἐν δροσάτῳ καὶ δὸς αὐτῷ ἐν μιᾷ ἡμέρᾳ, καὶ τὴν ἐπιοῦσαν ἐνώσας τῷ δροσάτῳ φύλλον Ἰνδικὸν σεσημ- 20
μένον, μίγνυε ταῦτα τῷ βουτύρῳ καὶ θὲς αὐτὰ ἐν δέρματι μυὸς μικροῦ (πληρωθήτω δὲ τούτων καλῶς), καὶ πότισον αὐτὸν καὶ ἐν τρισὶν ἡμέραις ἔνσταζε τοῖς μυκτῆρσιν αὐτοῦ δαφνέλαιον σταλαγμὸν ἕνα.

98 ### Εἰς φέγχοντα. 25

Ἐὰν φέγχῃ ὁ ἱέραξ καὶ στενοχωρῆται καὶ βιάζη- 151
ται τοῦ φαγεῖν, γίνωσκε ὅτι φλέγμα ἐντὸς τοῦ φάρυγγος ἔχει. Θεραπεύσεις δὲ εἰ ῥίνισμα σιδήρου λεπτὸν μετὰ κρέως δώσεις θερμοῦ.

Digitized by Google

Περὶ τοῦ ῥέγχοντος ἱέρακος.

Ἐὰν ῥέγχῃ καὶ ὀδύνην ἔχῃ καὶ φαγεῖν οὐχ οἷός τε ᾖ, ἴσθι ὅτι ἔνδον τοῦ λαιμοῦ αὐτοῦ φλέγμα κέκτηται. δὸς οὖν αὐτῷ κρέας μετὰ ψηγμάτων σιδήρου, καὶ ἰαθήσεται.

Ἄλλο.

152 *Ζιτζιβέρεως, θείου ἀπύρου καθαροῦ τὰ ἴσα λειώσας μετὰ ἐλαίου ῥοδίνου, δίδου αὐτῷ φαγεῖν μετὰ κρέως.*

Ἕτερον.

Ζιντζίβερ καὶ θεῖον καθαρὸν μὴ ἀπτημένον ἐπίσης τρίψας ἕνωσον αὐτὰ ῥοδελαίῳ, καὶ βάφων ἐν τούτοις κρέας πρόσθες αὐτὸ τῷ ἱέρακι.

Ἄλλο.

153 *Καὶ μόνον τὸ ῥόδινον ἔλαιον μετὰ κρέως διδόμενον θεραπεύει ἐκβάλλον τὰ ἐγκείμενα τῷ θώρακι.*

Ἕτερον.

Ῥοδέλαιον μόνον μετὰ κρέατος ἐὰν ἐσθίῃ, ὠφεληθήσεται.

Ἄλλο.

154 *Αἰγὸς χολὴν ἄβρομον χλιάνας ἐγχυμάτιζε τὸν ὄρνιν.*

Ἕτερον.

Αἰγείαν χολὴν πρόσφατον χλιάνας ἔγχει ἐπ' αὐτῷ.

Ἄλλο.

155 *Ζιτζιβέρεως μέρος ἓν κεκομμένον, βουτύρου μέρος ἕν, ῥοδίνου ἐλαίου τὸ ἀρκοῦν μετὰ κρέως δίδου τῷ ἱέρακι φαγεῖν.*

Digitized by Google

Ἕτερον.

Ζιντζίβερ τετριμμένον μετὰ βουτύρου καὶ ῥοδελαίου πρόσθες αὐτῷ μετὰ κρέατος.

Πῶς ἐπιγνωστέον τὸν πνεύμονα τοῦ ἱέρακος πεπονθότα, καὶ ὅθεν γέγονεν, καὶ πῶς θεραπευθήσεται.

Ἐὰν ὁ ἱέραξ εἴτε ἑστὼς εἴτε κινηθεὶς ἀναπνέῃ 156
94 βαρέως, ὡς μόλις ἀνέλκειν τὸ πνεῦμα καὶ ὡς ἀκούεσθαι τὸν ἦχον πόρρωθεν, γίνωσκε ὑπὸ πλεονασμοῦ θερμοτέρου, ὕλης ἐμπεσούσης ἐκείνῳ τῷ μέρει, τοὺς πνεύμονας καταφλεχθέντας πεπονθέναι. τοῦτο δὲ συμβαίνει καύματος ὥρᾳ βασταχθέντος αὐτοῦ ἀπείρως καὶ ἀπορριφθέντος τῆς χειρός, [θερμοῦ δὲ ὄντος τοῦ περιέχοντος φύσει καὶ τῆς φύσεως πλέον πυρακτούσης βλάπτεσθαι τοὺς πνεύμονας αὐτοῦ καὶ ὑπὸ τῆς ἐκπεμπομένης καὶ ἀνελκομένης τοῦ ἀέρος θερμότητος] καὶ κακῶς δὲ συλληφθεὶς δι' ἀτεχνίαν τοῦ βαστάζοντος αὐτὸν διασπᾷ τοὺς πνεύμονας. θεραπεύσεις οὖν τὸν τρόπον τοῦτον. φακῆν ἀνεφθὸν τρίψας καὶ μέλιτι φυράσας μετὰ κρέως δίδου φαγεῖν τῷ ἱέρακι, συμπλέκων ὀλίγον ῥίνισμα λεπτὸν σιδήρου, καὶ θεραπεύσεις παραχρῆμα.

Περὶ τοῦ γινώσκειν πῶς πάσχει ὁ ἱέραξ τὸν πνεύμονα αὐτοῦ καὶ ἐκ ποίας αἰτίας, καὶ πῶς δεῖ τοῦτον ἰατρεύειν.

Ἐὰν ἀσθμαίνῃ βιαίως καὶ ψόφον ποιῶν πόρρωθεν ἀκούηται, γίνωσκε ὡς θερμοτέρα ὕλη ἐπεισπεσοῦσα τῷ πνεύμονι αὐτοῦ κατέκαυσεν αὐτόν. τοῦτο μὲν οὖν αὐτῷ ἐπιγίνεται, ὅταν βαστάζηται ὑπό τινος καύσωνος πολλοῦ ὄντος· γίνεται δὲ καὶ ὅταν ὑπὸ ἀπείρου τινὸς φέρηται ταῖς χερσί. τρίψας οὖν φακὸν ὠμόν, ἕνωσον αὐτὸν μέλιτι, καὶ

Digitized by Google

βάφε ἐν αὐτοῖς ῥίζας, θὲς δὲ ἐν τούτοις καὶ βραχὺ ψῆγμα σιδήρου, καὶ πρόσθες αὐτῷ.

Ἄλλο.

157 Τοὺς τὸν πνεύμονα πάσχοντος ἱέρακας δυσιάτους γίνωσκε εἶναι πλὴν ἐν ἀρχῇ τοῦ πάθους. ἰασάμεθα δὲ τούτους πολλάκις, δόντες ψυχρὸν μόνον ὕδωρ εἰς κόρον· ἢ ῥοδόμελι μετὰ μέλιτος ψυχράναντες πιεῖν τὸ ζῷον ἐκελεύσαμεν, καὶ ἐθεραπεύθη.

Ἕτερον.

Τὸ τοιοῦτον πάθος δυσκόλως θεραπεύεται· ὅμως δὲ πλείστοις ἰατρείαν ἐχορηγήσαμεν τοῦτο τὸ πάθος διανοήσαντες. ἐδώκαμεν δὲ αὐτοῖς ὕδωρ ψυχρὸν κατακόρως ἢ ῥοδόμελι μετὰ ψυχροῦ ὕδατος.

Ἄλλο. 95

158 Ἱέραξ ὅτε πυκνὸν εἰσπνέει καὶ ὕδωρ πολὺ ἐπιζητεῖ, τὸν πνεύμονα πάσχειν εἴωθε. θεραπεύεται δὲ μέλιτι ἀκράτῳ, ἐγχριόμενος τὴν ὑπερῴαν αὐτοῦ· εἶτα κρόκον λειώσας μετ' οἴνου καὶ κρόκον ᾠοῦ, καὶ συμμίξας ἐγχυμάτιζε τῷ ζῴῳ, καὶ καλῶς ἕξει.

Ἕτερον.

Ὁ ἱέραξ ὅταν συχνῶς ἀσθμαίνῃ καὶ διψᾷ πάνυ, τὸν πνεύμονα αὐτοῦ πάσχει. τρῖβε οὖν τὸν οὐρανίσκον αὐτοῦ μέλιτι ἀκράτῳ καὶ διάλυσον κρόκον μετὰ οἴνου καὶ τὸ τοῦ φοῦ ἀχρόν, καὶ μίγνυε αὐτὰ ὁμοῦ καὶ ἐπίχεε ταῦτα τῷ ἱέρακι, καὶ ἰαθήσεται.

Ἄλλο.

159 Γλάρων νεοττοὺς δίδου φαγεῖν τῷ ἱέρακι ἐπὶ συχνόν, καὶ ὠφεληθήσεται.

Digitized by Google

Ἕτερον.

Ἐσθιέτω νεοττοὺς λάρου, καὶ ἰαθήσεται.

Ἄλλο πρὸς στενοχώρησιν.

Στενοχωρεῖ δὲ ὁ ἱέραξ εἰς τὸ τραφῆναι, βίᾳ τε 160
καταπίνει, φλεγμαινούσης τοῦ φάρυγγος αὐτοῦ. ἰάσῃ δ
οὖν ** ῥίνισμα σιδήρου λεπτότατον μέρος α΄ καὶ
κρέας θερμὸν μέρος α΄ καὶ φοῦ κρόκον μίξας δίδου
τῷ ζώφ.

Ἕτερον.

Ὅταν φλεγμαίνῃ ὁ λαιμὸς τοῦ ἱέρακος, ὀδύνην λαμβά- 10
νει ἐσθίων, καὶ βιαίως τὰ ἐσθιόμενα καταβροχθίζει. πάρεχε
οὖν αὐτῷ κρέας θερμαῖνον μετὰ ψιγμάτων σιδήρου σὺν τῷ
ξανθίζοντι τοῦ φοῦ.

Ἄλλο εἰς κυνάγχην.

Ἐλαίου καὶ οἴνου καὶ μέλιτος τὸ ἴσον λαβὼν μι- 161
ξον καὶ μετὰ κρέως δίδου φαγεῖν· κάλλιον δέ ἐστιν 15
εἰ ἐπιμένῃ τὸ κρέας ἐν αὐτοῖς, καὶ οὕτως δοθῇ.

Εἰς κατάπτωσιν καὶ στενοχωρίαν φάρυγγος.

Λάσαρον μετ' οἴνου λειώσας ἔμβρεχε εἰς αὐτὰ 162
κρέας καὶ δίδου. 20

Εἴωθε πολλάκις τοῖς ἱέραξιν ἐξ ἀδηφαγίας ἢ
κακοχυμίας ἔνδοθεν ὑπὸ τὸ στῆθος καὶ τὴν καρδίαν
καὶ τὰς μασχάλας ὅμοια φλυκτίσιν ἢ χοιράσι τίκτε-
σθαι πεπληρωμένα ὑγρῶν· ἅτινα εἰ μὴ ταχέως θε-
ραπευθῶσι, καταναλίσκει οὐκ εἰς μακρὰν τὸν ἱέρακα. 25
γνωρίσεις οὖν τὸ πάθος ἐντεῦθεν, ὅταν ὁρᾷς αὐτὸν συν-
εχῶς ἐφιέμενον τοῦ ὕδατος· βλέπων γὰρ τοῦτο ἢ φρέαρ
ἢ λίμνην ἐκκαίεται ἀπελθεῖν ἐκεῖσε, καὶ συνεχῶς
ἀφίπταται καὶ ὅμοιος ** ὑπὸ τοῦ πυρώδους ὑγροῦ.

Digitized by Google

θεραπεύσεις δὲ οὕτως. προβάτου κρέας ψυχρὸν μέλιτι χρίσας δίδου φαγεῖν ἡμέρᾳ μιᾷ μόνῃ, ἑτέρᾳ δὲ ἡμέρᾳ Ἱσπανικὸν ἔλαιον μετὰ κρέως δίδου φαγεῖν. εἰ δὲ τούτων δοθέντων μηδὲν ὠφεληθῇ, συνάγαγε τρίχας ἀπὸ χαίτης χοίρου τραχείας, καὶ εἰς λεπτὰ λίαν συγκόψας αὐτὰς κοπίδι, συμμιξας τῷ κρέατι δίδου φαγεῖν· κατελθόντα γὰρ τὰ λεπτὰ τῶν τριχῶν τὰ συγκοπέντα καὶ προσπεσόντα ταῖς προειρημέναις φλυκταίναις διατιτρώσκει καὶ ῥήγνυσιν, ἐκχυθέντος δὲ τοῦ ὑγροῦ ἐκείνου ἐλευθεροῦται τὸ ζῷον θανάτου. τούτου δὲ γενομένου, τῇ ἐπαύριον χρῆσαι τῇ διὰ τοῦ μέλιτος θεραπείᾳ, καὶ παντοιοτρόπως ἀπαλλάξεις αὐτὸ τῆς νόσου.

Περὶ ἀσθενείας καὶ στενοχωρίας λαιμοῦ.

Λάσαρον μίγνυε μετὰ οἴνου, καὶ βάπτων κρέας πάρεχε αὐτῷ.

Ἕτερον.

Γίνεται ἡ τοιαύτη νόσος ἢ ὑπὸ πολλῆς τροφῆς ἢ ὑπὸ κακοχυμίας ἔνδοθεν τοῦ στήθους αὐτῶν καὶ κατὰ τὴν καρδίαν καὶ κατὰ τὰς μασχάλας αὐτῶν ὥσπερ φύσκαι ἢ ὥσπερ ἐξοχάδες γέμουσαι ἕλκους. ἐὰν οὖν οὐκ ἰατρεύσῃς αὐτὸν εὐθέως, ἀπόλλυται. γινώσκεται οὖν ἐκ τῶν τοιούτων σημείων. διψᾷ πάνυ, καὶ ἐὰν ἴδῃ φρέαρ ἢ λίμνην, πέτεσθαι ἐκεῖθεν βούλεται. λαβὼν οὖν πρόβειον κρέας πρόσφατον, βάπτε αὐτὸ ἐν μέλιτι, καὶ ἐσθιέτω ἐν ἡμέρᾳ μιᾷ· τὴν δὲ ἐπιοῦσαν πάρεχε αὐτῷ κρέας ἐσθίειν μετὰ ἐλαίου σὺν ὑφάσματι. ἐὰν δὲ οὐκ ὠφεληθῇ ὑπὸ τούτων, συνάξας ἐκ τοῦ χοιρείου ἐπισκυνίου τρίχας τραχείας, κόψον αὐτὰς λεπτῶς, καὶ ἐνώσας αὐτὰς τῷ κρέατι πρόσθεν αὐτῷ. ἐκκεντήσουσιν οὖν τὰς φύσκας, καὶ κενωθήσονται τοῦ ἕλκους. τὴν δὲ ἐπιοῦσαν δὸς αὐτῷ κρέας καὶ μέλι ἅμα, καὶ ἰαθήσεται.

Εἰς δίψαν ἱέρακος.

163 Ἱέραξ συνεχῶς πίνων καὶ πολὺ ἐν τῷ βαστάζε-

Digitized by Google

σθαι ἐκρίπτων ἑαυτὸν ὅταν ὕδωρ βλέπῃ, δῆλον ὡς ἔνδον περὶ τὸν λαιμὸν τὰς λεγομένας χοιράδας ἀναφαίνει ἢ περὶ τὸν πρόλοβον ἢ περὶ τὰς μασχάλας, αἵτινες παρέχουσιν αὐτῷ τὴν δίψαν. τάχιον δὲ ὀφείλει ἰατρεύεσθαι· εἰ δὲ μή, ἀπόλλυται. θεραπεύσεις δὲ αὐτὸν ποτὲ μὲν μέλι αὐτῷ διδοὺς μετὰ κρέως, ποτὲ δὲ καὶ ῥόδινον.

Περὶ δίψης ἱέρακος.

Ὁ ἱέραξ ὅταν συχνῶς πίνῃ καὶ βλέπῃ αὖθις εἰς ὕδωρ καὶ ἐκ τῆς χειρὸς πίπτῃ εἰς αὐτό, ἔνδοθεν τοῦ λαιμοῦ αὐτοῦ ἢ τῶν μασχαλῶν ἢ τοῦ ἀφεδρῶνος αὐτοῦ ἔχει ἐσχάδας, καὶ ὑπ' ἐκείνων οὕτω διψᾷ. δεῖ οὖν ἵνα αὐτὸν ἰατρεύσῃς εὐθέως· ἐὰν δὲ μή, τοῦ ζῆν ἀποβαλεῖται. πάρεχε οὖν αὐτῷ κρέας σὺν μέλιτι, ἄλλοτε δ' αὖ κρέας σὺν ῥοδομέλιτι, καὶ ἐσθιέτω.

Εἰς τὸν ζητοῦντα ὕδωρ.

Κρόκον μετ' οἴνου Ἀμιναίου λειώσας δίδου αὐ- 164
τῷ, καὶ καλῶς ἕξει.

Φύλλα σκορόδου καὶ βλίτου βοτάνης ἐπιμελῶς τρίψας ἐν ξυλίνῳ ἰγδίῳ διὰ δίδρακος ξυλίνου, δίδου πρῶτον φάσσαν ζῶσαν φονεῦσαι, καὶ ὅταν ἄρξηται ἐσθίειν, τῷ αἵματι αὐτῆς καὶ τῷ κρέατι παράτριβε τὰς βοτάνας καὶ δίδου ἐσθίειν.

Περὶ ἱέρακος ὕδωρ ζητοῦντος.

Φύλλα σκορόδου καὶ βλίτου θλάσον ἐν ξυλίνῃ θυΐᾳ, καὶ δὸς αὐτῷ πρῶτον φάτταν, ἵνα πνίξῃ αὐτήν. καὶ ὅταν ἐσθίῃ τὸ κρέας καὶ τὸ αἷμα αὐτῆς, χρῖε αὐτὸν τῷ τεθλασμένῳ σκορόδῳ καὶ τῷ βλίτῳ, καὶ ἰαθήσεται.

Εἰς ἀπόστημα ἱέρακος.

Ἐὰν ἀπόστημα ἔχῃ ὁ ἱέραξ, ταχὺ ἀναπηδᾷ. ἀπο- 165

Digitized by Google

στημάτων δὲ εἰσὶ δύο γένη, τὸ μὲν λιθῶδες τὸ δὲ αἱματῶδες. θεραπεύεται δὲ οὕτως. λαβὼν ἀθλαντον ἕψει ἕως οὗ λείψῃ τὸ τρίτον· εἶτα διηθήσας αὐτὸ καὶ τῷ διηθίσματι βαλὼν μικρὰν τίτανον ζέουσαν καὶ μέλιτος τὸ ἀρκοῦν ἀναφυράσας ὁμοῦ, εἶθ' οὕτως καθάρας τὸν ἱέρακα διὰ τῆς συνεχοῦς δόσεως τοῦ καστιλίου πρὸς τὸ ἀπορριφθῆναι πᾶσαν ῥυπαρίαν τὴν ἐγκειμένην ἐν αὐτῷ, δίδου τότε φαγεῖν αὐτῷ ἐκ τοῦ κατασκευασθέντος εἰς μέρη κρεῶν κατὰ μέρη δι' ὅλης τῆς ἡμέρας, πρῶτον μὲν δύο μέρη, καὶ μετ' ὀλίγον δύο ἢ τρία ἴσα ἐὰν δέχηται λαβεῖν, ὡς εἶναι τὰ πάντα πέντε ἢ ἕξ· καὶ ἔασον τὴν ἡμέραν ἐκείνην μηδὲν ἄλλο φαγεῖν. καὶ ἀπὸ τούτου γνώσῃ εἴτε τοῦ αἱματώδους ἔχει τι ἢ τοῦ λιθώδους ἀποστήματος.

Περὶ ἀποστήματος ἱέρακος.

Δύο γενναί εἰσι τὰ ἀποστήματα, τὸ μὲν ἓν ὥσπερ λίθος, τὸ δ' ἕτερον ὥσπερ αἷμα. λαβὼν οὖν πολύτριχον βράσον αὐτό, ἕως ἂν ἀποτριτωθῇ, καὶ σακελίσας αὐτὸ κάτεχε ὑπὸ τὸ σακελιστήριον, καὶ βαλὼν ἐν αὐτῷ ὀλίγην τίτανον ἅπτουσαν καὶ μέλι ἐξίσου τούτοις, ἀνακύκησον αὐτά. καὶ πάρεχε συχνῶς τῷ ἱέρακι ἐξ αὐτῶν, καὶ καθαρισθήσεται τοῦ ἔνδοθεν ῥύπου. εἶτα ἐξ αὐτοῦ ἐν τόμοις δυσὶ κρέατος βαλὼν πρόσθες αὐτῷ, καὶ μετ' ὀλίγον ἐὰν ταῦτα λαμβάνῃ, πρόσθες αὐτῷ ἑτέρους δύο ἢ τρεῖς. ἔστωσαν οὖν οἱ τόμοι ἅπαντες πέντε ἢ ἕξ, καὶ πᾶσαν τὴν ἡμέραν ἀνυέτω σὺν τούτοις, καὶ ὑπὸ τούτου νοήσεις ἂν ὁποῖόν ἐστι τὸ ἀπόστημα.

Δι' ὧν χρὴ σημείων συνιδεῖν τὸν ἐντὸς πόνον τοῦ ἱέρακος πόθεν γίνεται καὶ πῶς θεραπεύεται. 99

166 Ἐὰν ἱέραξ ἔστω ἐπὶ τῆς χειρὸς ἢ καὶ ἐπὶ τοῦ ξύλου πυκνότερον ἀναπαύηται καὶ ἀφιστάμενος βραδέως ἀνίπταται καὶ πάνυ ὀλίγου ἐσθίῃ καὶ στυ-

Digitized by Google

γνὸς ὑπάρχῃ τήν τε κόπρον μέλαιναν καὶ παχεῖαν ἐκπέμπῃ, καὶ μάλιστα νεαρὸν κρέας καὶ καθαρὸν εἰληφώς, γίνωσκε αὐτὸν ὀδυνώμενον ταῦτα πάσχειν τὰ σημεῖα, ἅτινα συμβαίνει ὑπὸ χυμῶν παχέων μήπω συντακέντων γεγνᾶσθαι ἐν τῇ κοιλίᾳ, ἔκ τε κρεῶν ὀδωδότων καὶ βοτανῶν, ἃς ἐπὶ τῆς γῆς πολλάκις καθεζόμενος ἕλκει καὶ κατεσθίει τῷ στόματι. θεράπευσον δὲ οὕτως. λαβὼν ἀνδράχνην, καὶ ὀλίγον τρίψας, ἔπειτα βουτύρῳ συμμίξας, δίδου τῷ ἱέρακι μετὰ κρέως προβατείου θερμοῦ· ἢ καὶ πήγανον ὃ Ῥωμαῖοι προσαγορεύουσι ῥοῦταν λειώσας οἴνῳ παλαιῷ δίδου ἐπιμελῶς καθ' ἑκάστην ἡμέραν κοχλιαρίων τριῶν ποσότητα ἐπὶ τρισὶν ἡμέραις, καὶ ἀπαλλάξεις τῆς νόσου.

Ἐκ ποίων σημείων γινώσκεται ὁ ἱέραξ ὅτι πάσχει ἔνδοθεν, καὶ ἐκ τίνος γίνεται, καὶ τίνι τρόπῳ θεραπευθήσεται.

Ἐὰν ἀναπαύηται ὁ ἱέραξ συχνῶς, ὅταν ἐν τῇ χειρί τινος πάθηται ἢ ἐν τῷ ξύλῳ, καὶ ἀσθενὴς ᾖ ἐν τῷ πέτεσθαι, καὶ ἐὰν ἐσθίῃ ὀλιγάκις, καὶ ἐὰν ὡς μαραινόμενος ᾖ, καὶ τὸ ἀφόδευμα αὐτοῦ παχὺ καὶ μέλαν ὑπάρχῃ, καὶ μάλιστα ὅταν ἐσθίῃ κρέας πρόσφατον καὶ ἀρύπωτον, γίνωσκε ὅτι πόνον κέκτηται ἔνδον. γίνεται δὲ τοῦτο τὸ πάθος ἐν τῇ κοιλίᾳ αὐτοῦ ὑπὸ πολλῶν χυμῶν ἢ ἐκ κρέατος ὀδωδότος ἢ ὑπὸ βοτανῶν· πολλάκις γὰρ ἐσθίει βοτάνης ὅταν χαμαὶ καθίσῃ. θλάσας οὖν γῆς ἔντερα θὲς ἐν αὐτοῖς καὶ βούτυρον, καὶ ἔνωσον αὐτὰ τῷ κρέατι καὶ πρόσθες αὐτῷ· ἔστω δὲ τὸ κρέας πρόβειον καὶ θερμαῖνον. ἢ τρίψας πήγανον, πάρεχε αὐτὸ μετὰ οἴνου χλιανθέντος ἐν τρισὶν ἡμέραις, καὶ ἰαθήσεται.

Εἰς ἀφανῆ νόσον ἱέρακος.

Ἱέρακος δείκνυται νόσος ἀφανής, ὅταν ἐπὶ θήρᾳ μὴ βούληται ἀπογεύσασθαι. τότε ἴσθι αὐτὸν τῶν

ἐντός τι πάσχειν. δὸς οὖν αὐτῷ μέλι καὶ βούτυρον μετὰ κρέως θερμοῦ, καὶ θεραπεύσεις. κάλλιστον δὲ ποιήσεις ἐὰν δώσῃς αὐτῷ εἰς θερμοφαγίαν περιστερᾶς νεοττύν· πασῶν γὰρ τῶν ἀντιδότων σχεδὸν τὸ θερμοφαγεῖν ἐστὶ κρεῖττον.

Περὶ νόσου κρυπτομένης.

Φαίνεται οὖν τοῦ ἱέρακος ἡ κρυπτομένη νόσος, ὅταν οὐ βούληται ἐν τῇ θήρᾳ ἅπτεσθαι τοῦ θηρευθέντος ὀρνέου. δὸς οὖν αὐτῷ κρέας θερμαῖνον μετὰ βουτύρου καὶ μέλιτος. κρεῖττον δέ ἐστιν ἐὰν αὐτῷ προσθέσῃς νεοττὸν περιστερᾶς· τὸ γὰρ ἐσθίειν θερμὰ κρεῖττόν ἐστι τῶν ἄλλων θεραπειῶν.

Εἰς στυγνὸν καὶ ἀκηδιακότα.

168 Λαβὼν βούτυρον νεαρὸν καὶ ἀρσενικοῦ κόκκινον καὶ σανδαράχην τὸ τρίτον τοῦ βουτύρου μῖξον εἰς ἕν, καὶ μετὰ κρέως νεοσφαγοῦς εἰς θοίνην τῷ ἱέρακι δίδου.

Περὶ τοῦ μαραινομένου καὶ ζοφωμένου.

Λαβὼν βούτυρον πρόσφατον καὶ ἀρσενίκιον ἐρυθρὸν ὅσον ἐστὶ τὸ τρίτον τοῦ βουτύρου, καὶ ἑνώσας αὐτοῖς κρέας θερμαῖνον πρόσθες αὐτῷ.

Ἄλλο.

169 Σημεῖον τοῦτο. ἀεὶ ἰσχνός ἐστι, στυγνάζων καὶ φρίσσων τὴν ἰδέαν. τούτου θεραπεία, περιστερὰν λαβὼν πότισον αὐτὴν μελίκρατον πρὸ μιᾶς ἡμέρας, εἶτα οὕτως παράβαλε, καὶ θεραπεύσεις.

Πρὸς πάθη ἀπόκρυφα καὶ πλήγματα ἔνδοθεν. 101

170 Στύρακος πρωτείου γράμμ. ἥμισυ, βουτύρου νεα-

Digitized by Google

ροῦ οὐγγ. α', μυελοῦ ἐλαφείου οὐγγ. α', μέλιτος καλοῦ καὶ ἐλαίου Ἱσπανικοῦ τὸ ἀρκοῦν, ταῦτα μίξας θέρμανον ἐπὶ μαλθακοῦ πυρὸς μέχρις ὅτου μιγῶσι, καὶ ψύξας δίδου φαγεῖν μετὰ κρέως ἢ εἰς θέρμα μυὸς ἐμβαλών, καὶ ἀποκατασταθήσεται ὑγιὴς ὁ ἱέραξ, ἐὰν τὰ ἔνδον πάσχῃ.

Περὶ παθῶν καὶ πληγῶν τῶν ἔνδον κεκρυμμένων.

Στύρακος καλοῦ κ'' γ', βούτυρον καλὸν οὐγγίαν μίαν, ἐλάφειον μυελὸν οὐγγίαν μίαν, μέλι καλὸν μετὰ ἐλαίου Καταλανικοῦ, ἑνώσας ταῦτα πάντα θέρμανον αὐτὰ ἐν τῇ πυρκαϊᾷ μετεχούσῃ θερμότητος οὐ πολλῆς, ἔστ' ἂν θερμανθῶσι καὶ ἑνωθῶσιν. εἶτα ψυχρανθέντων τούτων πάρεχε μετὰ κρέατος τῷ ἱέρακι, ἢ βαλὼν αὐτὰ ἐν θέρματι μυὸς πρόσθες αὐτῷ, καὶ ἰαθήσεται.

Ἄλλο.

Ἐγκέφαλον προβάτου δὸς αὐτῷ μετὰ ῥέου Πον- 171
τικοῦ κεκομμένου καὶ σεσησμένου.

Ἄλλο.

Περιστερὰν πότισον ἐψήματι καὶ ἔασον ταύτην 172
ἐπὶ μίαν ἡμέραν, εἶτα ζῶσαν τῷ ἱέρακι δίδου φαγεῖν.

Ἄλλο.

Λαβὼν κοτύλον ἀγγεῖον ἔμβαλλε μέλι καὶ ἐλαίου 173
Ἱσπανικοῦ ἀνὰ κοχλιάριον ἓν καὶ φοῦ τὸ λευκόν, καὶ ἀναφυράσας ἐπίπαττε κεκομμένου ἁλὸς Καππαδοκικοῦ γράμμ. δύο. εἶθ' οὕτως μικρὰ μέρη κρεῶν ἔμβαλλε καὶ δίδου τῷ ἱέρακι.

102

Εἰς λεπτυνόμενον ἀδήλως.

Ἐὰν μὴ πάθους προηγουμένου λεπτύνηται τὸ 174

Digitized by Google

ὄρνεον καὶ ᾗ ἀνόρεκτον, βούτυρον παλαιὸν ὀλίγον ἐνθερμον παράβαλε, καὶ θεραπεύσεις. εἶτα θεραπίδια καὶ στακτὴν δρυΐνην λαβὼν ἔγχεε μετὰ ἀνάγκης, καὶ λοικὸν διάφορα στρουθία θηρῶν αὐτῷ παράβαλε κατ' ὀλίγον, καὶ θεραπεύσεις τὸ πάθος κατὰ μικρόν· κατὰ βάθος γὰρ ὂν οὐκ ἐν βραχεῖ ἰαθήσεται.

Ὅταν λιποσαρκῇ ὁ ἱέραξ χωρὶς φανερᾶς νόσου.

Ὅταν λιποσαρκῇ ἄνευ νόσου καὶ ἀνορεξίαν κεκτῆται, πρόσθες αὐτῷ βραχὺ βουτύρου παλαιοῦ ἐνθέρμου. εἶτα λαβὼν τέφραν ξύλου δρυΐνου καὶ τὸ λεγόμενον θεραπίδιον θὲς ἐν τῷ λαιμῷ αὐτοῦ καὶ ἀκουσίως, καὶ πρόσθες αὐτῷ νεοττοὺς παντοίων ὀρνίθων, καὶ θεραπευθήσεται οὐ τάχιστα· εἰς βάθος γὰρ τὸ πάθος ὃ κέκτηται ἀφικνεῖται. τούτου δὲ ἕνεκεν βραδέως θεραπευθήσεται.

Πρὸς φθίνοντα.

175 *Λαβὼν περιστερὰν καὶ ποτίσας αὐτὴν ὄξος δῆσον αὐτῆς τὸ στόμα, ὡς μὴ ἀπερεύξηται τὸ ὄξος, καὶ κρεμάσας ἕα ἕως οὗ τὸ κρέας αὐτῆς διαλυθῇ. εἶτα δίδου φαγεῖν.*

Περὶ ἱέρακος φθειρομένου.

Λαβὼν περιστερὰν πότισον αὐτὴν ὄξος καὶ δῆσον τὸ στόμα αὐτῆς ἵνα μὴ ἐκχυθῇ. καὶ κρεμάσας αὐτὴν ἔασον ταύτην, ἕστ' ἂν τὸ ὄξος διέλθῃ διὰ πάντων τῶν κρεάτων αὐτῆς, εἶτα πρόσθες αὐτῷ.

Πρὸς πᾶν νόσημα ἱέρακος.

176 *Λαβὼν σιναπίδιν καὶ πιτύαν τοῦ γάλακτος λευκήν, ἧς ἡ πνοὴ δριμεῖα, δίδου μετὰ κρέως τῷ ἱέρακι ὡσεὶ κεράτιον ἕν· δεῖ δὲ ἑστᾶν αὐτὸν εἰς ὕδωρ καλὸν ἐπὶ πλείστας ὥρας, καὶ τοὺς μυκτῆρας αὐτοῦ*

Digitized by Google

ἀλείψεις, ἵνα σπᾶται διὰ τῶν μυκτήρων τὴν τοῦ φαρμάκου δύναμιν.

Ἐν ὁποιῳδήτινί ἐστι νοσήματι.

Λαβὼν σιναπίδιον καὶ ὀρὸν λευκὸν γάλακτος ἔχοντα ὀσμὴν ὁριμείαν πάρεχε ἐξ αὐτῶν τῷ ἱέρακι μετὰ κρέατος κ" ς', καὶ στῆσον αὐτὸν ἐν ὕδατι καλῷ ἐπὶ πολλὴν ἀκμήν. χρῖε δὲ τοὺς μυκτῆρας αὐτοῦ ἐκ τοῦ ῥηθέντος ὀροῦ καὶ τοῦ σιναπιδίου.

Πρὸς τὸ λιπαρὸν ἱέρακα καὶ τῆς θήρας ἀμελοῦντα λεπτῦναι καὶ θηρατικὸν ἀποφῆναι.

Τὸν ὑπὸ τρυφῆς ὑπερσαρκήσαντα καὶ διὰ κόρον 177
ὑβρίζοντα καὶ ἀμελοῦντα τῆς θήρας λεπτυνεῖς οὕτως καὶ ἐπανάξεις εἰς τὸ θηρᾶν. χελώνην ἔνυδρον λαβὼν δίδου φαγεῖν ἅπαξ τῆς ἡμέρας ἢ καὶ δὶς, ἕως οὗ εἰς μέτρον ἐκ τῆς πολυσαρκίας ἀποκατασταθῇ· κενώσει γὰρ τὰς πληρώσεις, καὶ ἐνδεία τροφῆς καὶ τέχνῃ φύσις παρακελεύεται.

Περὶ ἱέρακος τοῦ μὴ βουλομένου ἐκ πάχους θηρεῦσαι, καὶ περὶ τοῦ λιποσαρκῆσαι αὐτόν, καὶ πῶς δεῖ ποιῆσαι αὐτὸν ὀρέγεσθαι τῆς θήρας.

Τῷ ἐξ ἀδηφαγίας παχυνθέντι ἱέρακι καὶ οὐ θέλοντι θηρεῦσαι, πάρεχε αὐτῷ ἅπαξ καὶ δὶς τῆς ἡμέρας χελώνην ἔνυδρον, καὶ γενήσεται οὕτως ὡς αὐτὸς θέλεις.

Ἄλλο.

Λαβὼν γλήχωνα καὶ σκόρδον τὸ ἴσον τρίβε ἀμ- 178
φότερα καὶ μετὰ βοείου κρέατος δίδου φαγεῖν, καὶ ἰσχνὸς ἐνταῦθα γενήσεται, ὥσπερ τι ἄχθος τὸ ἐκ τῆς ἀπληστίας ἀποσεισάμενος.

Digitized by Google

Ἕτερον.

Βλήχωνα καὶ σκόροδον ἐξ ἴσου τρίψας θὲς αὐτὰ ἐν κρέατι βοείῳ, καὶ πάρεχε αὐτῷ, καὶ λιποσαρκήσει.

Εἰς ἰσχνωθέντα ἱέρακα ἐξ ἀδήλου αἰτίας.

179 *Χοίρειον κρέας μετὰ ἐλαίου κοινοῦ δίδου τῷ ἱέρακι πρὸς τὸ ἀνακτᾶσθαι αὐτόν, καὶ εὐθέως γενήσεται λιπαρός.*

Περὶ μαρανθέντος ἱέρακος ὑπὸ ἀσθενείας κρυφίας καὶ λιποσάρκου γινομένου.

Χοίρειον κρέας ἐσθιέτω μετὰ ἐλαίου καὶ παχυνθήσεται.

Εἰς ἀνάκτησιν ἱέρακος. 104

180 *Ἀνακτώμεθα ἱέρακα ποτίζοντες ἀφέψημα συμφύτου καὶ διδόντες φαγεῖν χοίρειον κρέας μετὰ βουτύρου καὶ μέλιτος.* [*τὸν δὲ ὑπὸ τροφῆς ἀμελοῦντα τῆς θήρας λεπτυνεῖς, εἰ δώσεις φαγεῖν χελώνην ἔνυδρον.*]

Εἰ θέλεις παχυνθῆναι τὸν ἱέρακα.

Σύμφυτον βράσας ἔνωσον τὸν ζωμὸν τούτου βουτύρῳ καὶ μέλιτι ἐν χοιρείῳ κρέατι, καὶ πρόσθες αὐτῷ.

Ἄλλο.

181 *Κόκκου γηπονόμου μετὰ κρέως χελώνης ἐνύδρου ἐπὶ τρισὶν ἡμέραις δίδου καὶ λεπτυνθήσεται.*

Πρὸς καύσωνα ἱέρακος.

182 *Τοὺς ἱέρακας τοὺς ἐν θέρει θηρῶντας ἀνάγκη καυματοῦσθαι ὑπὸ χολῆς. καὶ ἡλιωθέντα αὐτὸν πολὺ δίδου λεκίθους φοῦ φαγεῖν μετὰ ῥοδίνου, πέμπειν τε εἰς ὕδωρ καὶ εἰς εὔπνουν τόπον ἱστᾶν.*

Digitized by Google

Ἕτερον περὶ καύσωνος λέρακος.

Ὁ λέραξ ἐὰν θηρεύῃ τὸ θέρος, ὑπὸ τῆς πλείστης θερμότητος τοῦ ἡλίου πυρετὸς αὐτῷ γίνεται. πάρεχε οὖν αὐτῷ ῥοδέλαιον σὺν τῷ ξανθίζοντι τῶν ᾠῶν, καὶ κάθιζε αὐτὸν ἐν ὕδατι, στῆσον δὲ αὐτὸν ἔνθα ὁ ἀὴρ πνέει, καὶ ἰαθήσεται.

Πρὸς ἐκχόλωσιν λέρακος.

Ἰοῦ ἀνέφθου καὶ ἐλαίου Ἱσπανικοῦ καὶ οἴνου 183
παλαιοῦ τὸ ἴσον εἰς ἀγγεῖον βαλὼν καὶ ἀναμίξας δίδου μετὰ κρέως ἐμβάπτων.

Περὶ λέρακος τοῦ ὑπὸ τῆς χολῆς πάσχοντος.

Λαβὼν ἰὸν χαλκίνου ἀγγείου καὶ ἔλαιον Καταλανικὸν καὶ οἶνον παλαιὸν ἐξ ἴσου, καὶ ἑνώσας αὐτὰ βάψον ἐν αὐτοῖς κρέας, καὶ πρόσθες αὐτὸ τῷ ὑπὸ τῆς χολῆς πάσχοντι λέρακι.

105 *Εἰς κοπωθέντα.*

Μῦν λαβὼν περισσότερον δίδου φαγεῖν, καὶ 184
ἰάσεις.

Περὶ τοῦ μοχθήσαντος λέρακος.

Μύα ἐσθιέτω καὶ ἰαθήσεται.

Εἰς ψυχθέντα.

Πολλοὶ μὲν τὸ ζῷον εἰς θέρμην ἀπήγαγον καὶ 185
ἐθέρμαινον, ἀλλ' οὐδὲν ὠφέλησαν, χεῖρον δὲ ἐποίησαν. πτύξας οὖν καὶ τυλίξας ἱματίῳ ἀπόθου εἰς ἐπιτήδειον τόπον, βούτυρον δὲ μετὰ κνίδης σπέρματος δίδου αὐτῷ εἰς τὸ θερμανθῆναι, καὶ ἀνακτήσει.

Περὶ λέρακος ψυχρανθέντος.

Πολλοὶ τοῦτον τιθέασιν ἐν τόπῳ θέρμην ἔχοντι. βλάβεται οὖν μᾶλλον ὑπὸ τούτου. σὺ δὲ τοῦτον περιειλήσας

Digitized by Google

ῥάκεσι, θὲς αὐτὸν ἐν ἐπιτηδείῳ τόπῳ καὶ πάρεχε αὐτῷ βούτυρον μετὰ σπέρματος κνίδης, καὶ ἰαθήσεται.

Εἰς χολωθέντα ἱέρακα.

186 Προϊμων στειρῶν τὰ ἱεράκια, τοῦτ' ἔστι λήγοντος τοῦ θέρους ἢ ἀρχομένου φθινοπώρου καὶ προϊμως πάνυ κρατηθέντος ἐκ τῆς ἀγριότητος καὶ χρονίσαντος ἐν κονταρίῳ καὶ ἡλιωθέντος ἢ κοντομαχήσαντος θαλφθέντος καὶ ἀγωνιάσαντος χολωθήσεται. σημεῖα δὲ τῷ πάθει. στυγνὸς ὅλος ἐστί, καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ξηροὶ καὶ στυγνοί, καὶ κοῖλοι φαίνονται· ἐφίεται ὕδατος πολλὰ καὶ τρέμει ὅλος· τὰ πτερὰ διεσπαρμένα καὶ ἀνώμαλα ἔχει, καὶ ποτὲ μὲν συστέλλει, ποτὲ δὲ ἁπλοῖ· τοὺς πόδας ἔχει ἐπιμέλανας καὶ ψυχροὺς ἀπὸ τῶν ὀνύχων μέχρι τῶν γονάτων, καὶ ἀποτζυλᾷ διεσπαρμένα καὶ δυσώδη, καὶ ὀδυνᾶται ἐκ τῆς ἀμέτρου χολώσεως καὶ ξηρότητος. Θεραπεύσεις οὖν οὕτως. ὕδωρ ῥόδινον ἐγχυμάτιζε, καὶ τροφὴν πάρεχε ἀπὸ ῥοδίνου καὶ ὀμφακίνου ἐλαίου μετ' αἰγείου κρέατος, καὶ στῆσον ἐν τῇ γῇ ψῦχος ἐχούσῃ, καὶ ἔασον ὅλην τὴν ἡμέραν· τῇ νυκτὶ δὲ εἰς ὕπαιθρον ἵστα τόπον, καὶ ἀπὸ τούτου θηραπευθήσεται. θερμὴν δὲ τροφὴν μηδ' ὅλως δώσῃς, ἀλλὰ μηδὲ βαστάσῃς αὐτὸν μέχρις ἰάσεως παντελοῦς. πινέτω δὲ ἑσπέρας ὕδωρ, ἵνα τὸ θερμὸν τῆς χολῆς κερασθῇ τὸ ψυχρὸν τῆς πόσεως.

160

Περὶ ἱέρακος τοῦ ὑπὸ τῆς χολῆς πάσχοντος.

Ὅσοι τῶν ἱέρακων ὑπὸ τῆς χολῆς πάσχουσιν, ἔχουσι σημεῖα τοιαῦτα. μαραινομένοις ἐοίκασι καὶ τοὺς ὀφθαλμοὺς αὐτῶν ξηροὺς ἔχουσι καὶ στυγνοὺς καὶ ἀποκεκομμένους, καὶ μάλα τὸ ὕδωρ ἀγαπῶσι, καὶ τρέμουσι καὶ τὰ πτερὰ αὐτῶν πεφρικότα ἔχουσι, καὶ ποτὲ μὲν ἐκτείνει τὰ πτερα αὐτοῦ,

Digitized by Google

ποτὲ δὲ συστέλλει αὐτά. καὶ οἱ πόδες αὐτῶν ἐκ τῶν ὀνύχων μέχρι τῶν γονάτων μέλανές εἰσι καὶ ψυχροί, καὶ τὴν κόπρον αὐτοῦ ῥίπτει σποράδην καὶ ὀδωδυῖαν. θεράπευσον οὖν αὐτὸν οὕτω. βρέχε αὐτὸν μύρῳ καὶ πρόσθες αὐτῷ ῥοδέλαιον ἐξ ἐλαιῶν ὀμφακίνων μετὰ κρέατος αἰγείου, καὶ στῆσον αὐτὸν χαμαὶ ἐπὶ ψυχρᾶς γῆς, καὶ ἱστάτω ἐκεῖ πανημέριον. τὴν δὲ νύκτα κάθιζε αὐτὸν ἐν τόπῳ ὑπαίθρῳ, καὶ μὴ ἐσθιέτω μηδὲν θερμαῖνον, μηδὲ τῇ χειρί σου κάτεχε αὐτὸν ἕστ' ἂν ὑγιὴς γένηται.

Πρὸς κοπωθέντα καὶ μὴ ἐσθίοντα.

Τὸν ἐκ θήρας καὶ μακρᾶς πτήσεως κεκοπωμένον καὶ ἀμελοῦντα τροφῆς ἐπανάξεις εἰς ἕφεσιν τροφῆς εἰ χοίρειον κρέας εἰς ὄξος δριμὺ ἐμβαλὼν ἑάσεις αὐτὸ καλῶς ποιωθῆναι. εἶτα δώσεις μερίδας τρεῖς, καὶ ἀνακληθήσεται ἡ ὄρεξις. 187

Περὶ τοῦ ἔχοντος ἀνορεξίαν ὑπὸ μόχθου.

Ἐὰν τὴν ἀνορεξίαν ὁ ἱέραξ ὑπὸ μόχθου πεκτῆται, βάψον χοίρειον κρέας ἐν ὄξει καλῶς, καὶ ποιήσας αὐτὸ τόμους τρεῖς πρόσθες αὐτῷ, καὶ οὕτω ποιήσει ὄρεξιν ταχέως.

Πρὸς πεφυσημένον ἱέρακα.

Φυσᾶται πολλάκις ἱέραξ ἢ ὅταν πληγῇ ὑπὸ ἄλλου ἱέρακος, ἢ ἀπὸ τοῦ εἰσελθεῖν εἰς βάτον καὶ νυγῆναι ταῖς ἀκάνθαις. καὶ θεραπεύσεις οὕτως. πτύξας τὸν ἱέρακα χλιαρῷ ὕδατι κατάβρεχε ὅλον τὸ σῶμα αὐτοῦ, καὶ βελόνῃ ῥαπτικῇ κατακέντει τὸ φυσηθὲν δέρμα ἐλαφρῶς πάνυ, ὥστε μὴ ἅψασθαι τῆς σαρκός, καὶ ἐκφυσᾶται. εἰ δὲ ἐπιμένει τὸ φύσημα, θηριακὴν ὑγροτέραν ὡς μέγεθος κυάμου οἴνῳ παλαιῷ ἀνάλυσον καὶ ἐγχυμάτισον τὸν ἱέρακα διὰ τοῦ πόματος, καὶ ἰαθήσεται. εἰ δὲ ἐν βουβῶνι ἢ ἐν μασχάλῃ πληγῇ, ῥόδινον καὶ κηρὸν τήξας μαλθακῷ πυρὶ λάβε καὶ 188

Digitized by Google

σύμφυτον κεκομμένον καὶ λεπτὸν πάνυ, καὶ ἀναμαλάξας ἐπιτίθει τῇ πληγῇ.

Περὶ ἱέρακος ὀγκουμένου.

Ὀγκοῦται ὁ ἱέραξ ὅταν πληγῇ ὑφ' ἑτέρου ἢ ἐὰν τύχῃ εἰσελθεῖν αὐτὸν ἔν τινι τόπῳ βατώδει καὶ ὑπὸ τῶν ἀκανθῶν κεντηθῇ. θεράπευε δὲ αὐτὸν οὕτω. λοῦσον αὐτὸν πάντοθεν μετὰ ὕδατος χλιανθέντος, καὶ κέντει τὸ οἴδημα οὐ μετὰ ἰσχύος βελόνῃ ῥαπτῶν. σκόπει δὲ ἵνα μὴ κεντήσῃς τὴν σάρκα αὐτοῦ ἀλλὰ μόνον τὸ δέρμα, καὶ ἰαθήσεται. ἐὰν δὲ ἐκ τούτου οὐκ ἐξογκωθῇ, ἀνάλυσον θηριακὴν ἴσην κυάμῳ μετὰ παλαιοῦ οἴνου καὶ πότισον αὐτόν. ἐὰν δὲ τὴν πληγὴν ὑπὸ τὴν μασχάλην κεκτῆται ἢ ἐν τῇ λαπάρᾳ, ἀνάλυσον κηρὸν σὺν ῥοδελαίῳ· θὲς δὲ ἐν αὐτοῖς καὶ σύμφυτον τεθλασμένον καλῶς, καὶ ἐπίθες αὐτὰ τῷ οἰδήματι, καὶ ἰαθήσεται.

Πρὸς πεφυσιωμένην ἔχοντα τὴν γούλαν.

189 Χαλκῇ ῥαφίδι κατατίτρωσκε αὐτὴν καὶ οἰνελαίῳ θερμῷ ὕγρανον, καὶ καλῶς ἕξει.

Περὶ τοῦ ἔχοντος ἐν τῷ στόματι αὐτοῦ οἰδήματα.

Χαλκῇ βελόνῃ κέντει αὐτὰ καὶ ἐπίχριε αὐτοῖς χλιανθὲν οἰνέλαιον, καὶ ἰαθήσεται.

Εἰς τὸ αὐτό.

190 Σημεῖον τοῦτο δείκνυσιν ὁ ὄρνις. σκοτοῦται 108 καὶ στῆναι οὐ δύναται. δίδου οὖν αὐτῷ γλυκυρρίζης καὶ μαλάχης τὸ ἴσον.

Περὶ τοῦ αὐτοῦ.

Ὅταν πάσχῃ ὑπὸ τούτου τοῦ νοσήματος, σκοτοδινεῖται καὶ οὐ δύναται σταθῆναι. πάρεχε οὖν αὐτῷ γλυκύρριζον καὶ μαλάχην ἐπίσης.

Digitized by Google

Πρὸς κακοστομαχοῦντα ἱέρακα.

Ἐὰν ὑπὸ κακοχυμίας κακοστομαχήσῃ ἱέραξ, λα- 191
βὼν ῥόδινον παλαιὸν μετὰ κρέως δίδου αὐτῷ φα-
γεῖν. γνωρίζεται δὲ ἀπὸ τοῦ χασμᾶσθαι αὐτὸν δι'
ὅλης τῆς ἡμέρας.

Περὶ τοῦ ἀλγοῦντος τὸν στόμαχον.

Ἐὰν ὑπὸ κακοχυμίας πάσχῃ τὸν στόμαχον αὐτοῦ, δὸς
αὐτῷ κρέας μετὰ ῥοδελαίου. ἐπιγινώσκεται δὲ οὕτω· χά-
σμην γὰρ ὅλην τὴν ἡμέραν ποιεῖται.

Ἄλλο.

Δίδου αὐτῷ μετὰ κρέως ὀπὸν Κυρηναϊκὸν καὶ 192
λασάριον ὅσον μέγεθος κόκκου πεπέρεως, καὶ πα-
ραχρῆμα ὄρεξιν αὐτῷ ἐμποιήσεις, καὶ ἀποκαταστή-
σεις εὔρωστον.

Ἕτερον.

Δὸς αὐτῷ μετὰ κρέατος ὀπτοῦ Κυρηναϊκὸν καὶ λάσαρον
ἴσον κόκκῳ πεπέρεως, καὶ ἰαθήσεται.

Εἰ ἀτονεῖ ἢ ἀνορεκτεῖ, πόθεν δεῖ γνωρίσαι
καὶ πῶς θεραπεύσεις.

Πολλάκις ὑπὸ καμάτου πολλοῦ συντριβεὶς ἢ κα- 193
κῶς βαστασθεὶς ἢ κακῶς συλλεχθεὶς τῷ τῆς χειρὸς
ἀποπτῆναι ἢ μαχεσάμενος πρὸς ὄρνεον ἰσχυρῶς ἢ
προσραγεὶς τινι τῷ καιριωτέρῳ μέρει τοῦ σώματος
ἐπὶ τοῦ ξύλου στρεβλωθέντος τοῦ δεσμοῦ ἐκλύεται
τὸν στόμαχον καὶ εἰς τὸ τῆς ἀπεψίας ἐμπίπτει πάθος.
γνωρίζεται δὲ πρῶτον ἀπὸ τοῦ μὴ συνήθως ἐσθίειν
ἢ τὴν τροφὴν μηδ' ὅλως ἐθέλειν λαβεῖν ἢ καὶ λίαν
βραχὺ λαμβάνοντα ἢ καὶ βραδύτερον ἀπεκτοῦντα ἢ
καὶ ἑστῶτα ἢ καὶ ἀφεθέντα εἰς θήραν ὀλίγον ἢ οὐδ'

Digitized by Google

ὅλως πτῆναι δυνάμενον ἢ καὶ πρὸ τῶν ποδῶν τοῦ θηρατοῦ ἀποκρίνοντα ἡμίπεπτον τὴν τροφήν. θεραπεύσεις δὲ οὕτως. ᾠοῦ τὸ λευκὸν ἐπιμελῶς χωρίσας τοῦ προκώδους βάλε εἰς θυΐαν σὺν μέλιτι μέχρι ἡμίσεος κοχλιαρίου, καὶ ἐλαίου Ἱσπανικοῦ κοχλιάριον ἓν καὶ Ἀμναίου οἴνου τὸ ἴσον· καὶ πεπέρεως κόκκους τρεῖς ἰδίᾳ τρίψας καὶ ἐνώσας καὶ τὸ κρέας χρίσας δίδου αὐτῷ φαγεῖν. εἰ δὲ μὴ θέλει λαβεῖν, κρατήσας αὐτὸν εἰς τὸν κόλπον καὶ μικρὰ λίαν τεμάχια διελὼν τὸ κρέας, εἶτα ἐμβρέξας σταθμὸν οὐγγ. α′ ** καὶ θεασάμενος αὐτὸν πέφαντα, εἰ τὸ ἀφόδευμα πεπεμμένον ἐστὶν οἷον τὸ κατὰ φύσιν, προστίθει τῇ τροφῇ ἄχρις ἂν εἰς τὸ ὡρισμένον καταστῇ μέτρον. καὶ εἰ μὲν ἅπαξ δοὺς θεραπεύσεις, εὖ ἂν ἔχοι· εἰ δὲ μή γε, κέχρησο τῇ αὐτῇ θεραπείᾳ μέχρι τριῶν ἡμερῶν, καὶ ἀναμφιβόλως ἀπαλλάξεις αὐτὸν τοῦ πάθους. καὶ ῥαφάνης σπέρμα 110
λειοτριβήσας μετὰ οἴνου ἀψινθίτου μὴ ἐψηθέντος, βρέχων τὸ κρέας δίδου φαγεῖν. εἰ δὲ μὴ βούλεται φαγεῖν, κατασχὼν αὐτὸν ὡς προείρηται τῶν ποδῶν θεραπεύσεις, καὶ προβάτου δὲ παραχρῆμα σφαγέντος κεφαλὴν θερμὴν δὸς αὐτῷ φαγεῖν, καὶ θεραπεύσεις.

Ἐὰν ἀνίσχυρος ᾖ καὶ ἀνόρεκτος, πῶς γνώσῃ αὐτὸν καὶ πῶς αὐτὸν ἰατρεύσεις.

Ἐπιγίνεται τοῦτο τὸ νόσημα αὐτῷ ἢ ὑπὸ πολλοῦ μόχθου ἢ ὑπὸ ἀπειρίας τοῦ θηρευτοῦ, καὶ μὴ ἐπισταμένου καλῶς κατέχειν αὐτὸν ἐν τῇ χειρὶ ἢ ὑπὸ τῆς τοῦ θηρευτοῦ ἀφέσεως, ἢ ἐὰν μαχεσάμενος ἑτέρῳ τῶν ὀρνίθων πληγωθῇ· γινώσκεται δὲ πρῶτον μὴ ἐσθίων κατὰ τὸ σύνηθες, ἢ καὶ βραχύ τι ἐσθίων οὐ πέψιν ποιεῖ, ἢ ἐὰν αὐτὸν αφιέναι βουληθῇς εἰς θήραν, οὐδαμῶς δύναται πετάσαι ἢ ἔμπροσθεν τοῦ θηρευτοῦ ἀποπατεῖ ἡμιτελῆ τῇ ἀπεψίᾳ. θεραπεύεται δὲ οὕτω. θεὶς λευκὸν ᾠοῦ καὶ μέλι ἡμίσεος κοχλιαρίου καὶ

Digitized by Google

ἔλαιον Καταλανικὸν ἑνὸς κοχλιαρίου καὶ οἶνον τοσοῦτον, τρῖψον καὶ τρεῖς κόκκους πεπέρεως καὶ ἕνωσον ἅπαντα. βάφων δὲ ἐν αὐτοῖς κρέας πρόσθες αὐτῷ. καὶ ἐὰν οὐ λαμβάνῃ τοῦτο ἐκών, μερίσας τὸ κρέας ἐν μικροῖς τόμοις, βρέξον ἐξ αὐτοῦ σύριγγιαν μίαν, καὶ ἀνοίξας τὸ στόμα αὐτοῦ θὲς αὐτό. ἐὰν δὲ ἴδῃς τὸ ἀφόδευμα αὐτοῦ ἐλθὸν εἰς πέψιν, πάρεχε αὐτῷ πλέον, ἕστ' ἂν ἀποκατασταθῇ εἰς τὴν προτέραν συνήθειαν τῆς τροφῆς. ἐὰν δὲ θεραπευθῇ τὸ πρῶτον, καλῶς ἔξει· ἐὰν δὲ μή, ποίησον οὕτως ἐν τρισὶν ἡμέραις, καὶ θεραπευθήσεται ἄνευ λόγου. καὶ ἐὰν ἐν ῥαφάνου σπέρματι βάψῃς τὸ κρέας καὶ παρέχῃς αὐτῷ, θεραπείαν ἕξει καὶ ἐξ αὐτοῦ. ἐὰν δὲ καὶ αὐτὸ οὐ λαμβάνῃ ἑκών, πάρεχε αὐτῷ καὶ ἄκοντι ὡς προείρηται, καὶ κεφαλὴν πρόσφατον προβάτου ἐὰν δώσῃς αὐτῷ, ἰαθήσεται.

Πῶς ἀπεψίαν γνωρίσεις, καὶ ὅπως θεραπεύσεις.

Ῥᾷστα νοεῖται ἡ ἀπεψία παρὰ τοῦ θηρευτοῦ· 194
φέρει γὰρ καὶ λείψανον τῇ ἐπιούσῃ ἡμέρᾳ. τοῦτο δὲ πάσχει ἢ δι' ἀτονίαν καὶ πολὺν κάματον ἢ διὰ κρέως πλῆθος ἀμέτρου δοθέντος αὐτῷ ἢ διὰ τὸ μὴ παντελῶς κινεῖσθαι ἢ διὰ τὸ κακῶς βασταχθῆναι ἢ συλλεχθῆναι ἀτέχνως. ἀπαλλάξεις δὲ αὐτὸν τοῦ πάθους τῇδε τῇ θεραπείᾳ. στακτὴν δρυΐνην λαβὼν καὶ ὕδατι ταύτην διηθήσας κέλευε ῥοφᾶν τὸν θηρατὴν ὅσον λαβεῖν τὸ στόμα αὐτοῦ δύναται, καὶ κρατήσας τὸν ἱέρακα ὡς προείρηται ἐμβαλέτω τῷ φάρυγγι αὐτοῦ, καὶ ῥάκει δὲ ἠρέμα θερμαίνων προσαγέτω τῇ ἀπέπτῳ τροφῇ. ὅταν δὲ πέψῃ, μετ' ὀλίγον δὸς αὐτῷ
111 τροφὴν βραχεῖαν, χρώμενος τῇ διὰ τοῦ ᾠοῦ θεραπείᾳ τῇ ἀνωτέρω γεγραμμένῃ· βέλτιον δὲ ποιήσεις, εἰ δοίης τὴν θεραπείαν σὺν κρέατι θερμῷ. εἰ δὲ μηδενὸς τῶν προρρηθέντων σημείων φαινομένου φαγεῖν μὴ θέλει ὁ ἱέραξ, οὐδὲν ἧττον χρήσῃ τῇ προρ-

Digitized by Google

ρηθείσῃ θεραπείᾳ καὶ τοῖς ἄλλοις βοηθήμασι πρὸς ἀνάληψιν τῆς δυνάμεως αὐτοῦ.

Περὶ τοῦ πῶς δεῖ γνῶναι ἀπεψίαν ἱέρακος καὶ πῶς αὐτὴν θεραπεῦσαι.

Ῥᾳδίως ὁ θηρευτὴς τὴν ἀπεψίαν γινώσκει, ἐὰν εὕρῃ τὴν ἐπιοῦσαν κατέχοντα τὸν ἱέρακα ἐν τῷ στόματι αὐτοῦ τι τῆς τροφῆς. τοῦτο δὲ γίνεται ἢ ἐξ ἀσθενείας στομάχου ἢ ὑπὸ πολλοῦ μόχθου ἢ ὑπ' ἀδηφαγίας ἢ ὑπὸ τοῦ καθίσαι αὐτὸν ἐπὶ πολὺ ἢ ὑπὸ ἀφέσεως ἀτέχνου. ἰᾶτρευε δὲ αὐτὸν οὕτω. τέφραν δρυΐνην, ποιήσας αὐτὴν μετὰ ὕδατος κατασταλάκτην, ῥόφησον ἐξ αὐτῆς τῷ στόματί σου ὅσον δύνῃ, καὶ θὲς ἐν τῷ λαιμῷ αὐτοῦ, καὶ καταπινέτω αὐτήν. θερμάνας δὲ μετὰ ταῦτα ὑφάσματα, θὲς αὐτὰ ἐπὶ τῆς τροφῆς ἧς οὐκ ἐπέφθη, ἔστ' ἂν πέψῃ αὐτήν. ἐπειδὰν δ' αὐτὴν πέψῃ, δὸς αὐτῷ φαγεῖν τὴν διὰ τοῦ λευκοῦ ᾠοῦ τροφήν, ὡς προειρήκαμεν. εἰ δὲ καὶ ἄνευ αἰτίας οὐ βούλεται φαγεῖν, καὶ οὕτως ἐσθιέτω τὴν τροφὴν ταύτην, καὶ μεταβληθήσεται εἰς ὄρεξιν.

Εἰς δυσπεπτοῦντα καὶ ἀναβάλλοντα τὰ κρέατα.

195 Οἶνον παλαιὸν δὸς αὐτῷ μετὰ κρέως, καὶ εἰς ὄρεξιν ἔλθῃ· καὶ μετὰ μίαν ἡμέραν πέντε κόκκους γηπονόμου κόψας δίδου αὐτῷ μετὰ τεμαχίου κρέως, ἵνα μὴ ἐμπαθὴς γένηται.

Περὶ ἱέρακος τοῦ μὴ καλῶς ποιοῦντος πέψιν καὶ ἐμέσαι θέλοντος.

Κρέας μετὰ παλαιοῦ οἴνου ἐσθιέτω, καὶ ὄρεξιν ἀνακαλέσει. καὶ τὴν ἐπιοῦσαν τρίψας πέντε κόκκους πυρέθρου πάρεχε αὐτῷ μετὰ κρέατος.

Εἰς ἀπεπτοῦντα.

196 Ἐὰν ἀπεπτῇ ὁ ἱέραξ καὶ ἐμῇ τὴν τροφήν, θεράπευε οὕτως. κόστου φύλλα ἀνὰ δραχμὴν μίαν, λα-

Digitized by Google

σάρου δραχμῆς ἥμισυ μετὰ πρωτείου μέλιτος ἀναμίγνυε καὶ δίδου τῷ ἱέρακι· καὶ ὀλίγον αὐτὸν διαστήσας δίδου περιστερὰν εἰς τροφήν.

Εἰς μὴ δυνάμενον πέψαι τὴν τροφήν.

Ἐὰν οὐ δύνηται πέψαι καὶ ἐξεμέττῃ, δὸς αὐτῷ φύλλα κόστου κ" ς', λάσαρον κ" γ' μετὰ μέλιτος καλοῦ, καὶ ἐσθιέτω· καὶ ἐπ' ὀλίγην ἀκμὴν πάρεχε αὐτῷ περιστεράν.

112 Ἄλλο πρὸς ἀπεπτοῦντα ἱέρακα.

Κρόκον ᾠοῦ νεαροῦ καὶ μέλιτος καὶ ἐλαίου τὸ 197
ἀρκοῦν μίξας καὶ φυράσας δὸς αὐτῷ φαγεῖν μετὰ κρέως. τινὲς δὲ καὶ οἶνον μιγνύουσι, ὡς ἐνεργέστερον αὐτὸ ποιῆσαι.

Ἕτερον περὶ αὐτοῦ.

Ὠιοῦ προσφάτου τὸ ὠχρὸν καὶ μέλι καὶ ἔλαιον ἐνώσας πάρεχε αὐτῷ ἐσθίειν μετὰ κρέατος. εἰ δὲ βούλει, θὲς καὶ οἶνον· ὠφελεῖ γὰρ καὶ οὗτος.

Ἄλλο.

Εἰς τρία τεμάχια κρέως ῥέον Ποντικὸν βαλὼν 198
δίδου φαγεῖν.

Ἕτερον.

Ἐν τρισὶ τόμοις κρέατος θεὶς ῥέον Ποντικον πάρεχε αὐτῷ.

Ἄλλο.

Φύλλα ναρδοστάχυος καὶ γηπονόμου ἴσα τρίψας 199
καὶ μίξας οἴνῳ Ἀμιναίῳ ἐγχυμάτιζε.

Ἄλλο.

Γηπόνομον λειώσας βάλε μέσον τοῦ κρέως. πει- 200

Digitized by Google

νῶντι δὲ αὐτῷ παράβαλε, τοῦ μὴ αἰσθέσθαι τῆς ὀδμῆς, ἐπεὶ οὐ μὴ λάβῃ αὐτό.

Ἕτερον.

Τρίψας κενταύριον θὲς αὐτὸ ἐν μέσῳ τοῦ κρέατος ὅταν πεινῇ, ἵνα μὴ αἰσθανόμενος τῆς ὀσμῆς τούτου οὐ φάγῃ αὐτό.

Εἰς ναυτιῶντα.

201 Βαλὼν ἄσσαρον εἰς ὕδωρ ἔμβρεχε ἐν αὐτῷ χοίρειον κρέας, καὶ δίδου τῷ ζῴῳ κατὰ μέρος. καὶ ἕως τρώγει, βρέχε ἐκ τοῦ ὕδατος τὸ κρέας.

Πρὸς ἐμέσαντα. 113

202 Ἐμέσας ἱέραξ γνωρίζεται ἀπὸ τοῦ εἶναι στυγνός. θεραπεύεται δὲ οὕτως. φύλλου μέρος ἓν καὶ κόστου τὸ ἴσον καὶ πεπέρεως κόκκους δύο, κόψας ταῦτα καὶ μέλιτι φυράσας δίδου φαγεῖν ἐπὶ μιαν ἡμέραν.

Περὶ ἐμέσαντος ἱέρακος.

Ὅταν ἐμέσῃ ὁ ἱέραξ, πάθηται μαραινόμενος. θεραπεύεται δὲ οὕτω. φύλλου ἀρωματικοῦ καὶ κόστου ἐπίσης καὶ πεπέρεως κόκκους β' τρίψας ἔνωσον αὐτὰ μέλιτι, καὶ πάρεχε αὐτῷ φαγεῖν ἐφ' ἡμέρας μιᾶς.

Εἰς βλαβέντα τὸν στόμαχον καὶ περὶ ἀνορεξίας.

203 Ἐὰν διαμείνωσιν αἱ τροφαὶ ἐν τῷ στομάχῳ τοῦ ἱέρακος ἄπεπτοι [ὃ καὶ γούλα ὀνομάζεται], καὶ ταῦτα οὐκ ἐμέσῃ ἄχρι δεκάτης ὥρας τῆς ἡμέρας, μηδὲν λαβέτω, ἀλλὰ χλιαρὸν ὕδωρ μετ' ἐλαίου καὶ ἁλὸς ἀναπτύξας τὸ στόμα αὐτοῦ ἔγχει ἢ θαλάσσιον ὕδωρ χλιαρόν, καὶ μετὰ μίαν ὥραν ἀποπατήσει, καὶ ὠφεληθήσεται. εἶτα λαβὼν στρουθοὺς τρωγλίτας δύο δίδου ζῶντας αὐτῷ πρὸς τροφήν. εἰ δὲ πρὸ τροφῆς ἐμέσῃ, μηδὲν λαβέτω εἰ μὴ μόνον ὑδρέλαιον χλια-

Digitized by Google

ρόν, καὶ τῇ ἑξῆς κρατήσας ὄρνιθος κατοικιδίου νεοττόν, καὶ οἶνον ποτίσας καὶ ἐλαύνων ἐπὶ πολύ, δὸς τοὺς αὐτοῦ μηροὺς ἐμφαγεῖν αὐτῷ, ἐμπιεῖν δὲ καὶ
114 τοῦ αἵματος. εἰ δὲ μὴ ἰσχύσῃ φαγεῖν αὐτούς, πιέτω μόνον τὸ αἷμα. εἰ δὲ ἐκ τούτου μηδεμίαν ὠφέλειαν δέξαιτο, μῦν ἢ νυκτερίδα λαβὼν τοῦτῳ δίδου φαγεῖν, καὶ ὠφεληθήσεται.

Περὶ βλαφθέντος στομάχου ἱέρακος.

Ἐὰν ὁ στόμαχος τὰ ἐναποτεθέντα σιτία σχῇ, καὶ οὐκ ἐμέσῃ αὐτὰ ἄχρι τῆς ἑνδεκάτης ὥρας, μὴ ἐσθιέτω, ἀλλὰ χλιαρὸν ὕδωρ μετὰ ἐλαίου καὶ ἅλατος ἢ θαλάττης ὕδωρ χλιαρὸν ἀνοίξας τὸ στόμα αὐτοῦ πότισον αὐτὸν ἐξ αὐτοῦ, καὶ μετ' ὀλίγον ἐκπενώσας τὴν κόπρον ἐλευθερωθήσεται τῆς βλάβης· δὸς δὲ αὐτῷ στρουθοὺς ἐσθίειν ζῶντας. ἐὰν δὲ πρὸ τοῦ ἐσθίειν ἐμέσῃ, μὴ πάρεχε αὐτῷ φαγεῖν, μόνον δὲ τὸ χλιαρὸν ὕδωρ μετὰ ἐλαίου. τὴν δὲ ἐπιοῦσαν πότισον ἀλέκτορα οἶνον νεοττὸν ἔτι ὄντα, καὶ ταράξας αὐτὸν ἄνω καὶ κάτω καὶ ἀνακυκήσας αὐτὸν πάνυ, δὸς τῷ ἱέρακι τοὺς μηροὺς αὐτοῦ ἐσθίειν, τὸ δὲ αἷμα αὐτοῦ πινέτω. ἐὰν δὲ οὐ δυνηθῇ φαγεῖν τούτους, πινέτω μόνον τὸ αἷμα. καὶ ἂν οὕτως οὐκ ὠφεληθῇ, μῦν ἢ νυκτερίδα ἐσθιέτω, καὶ ἰαθήσεται.

Ἔτι περὶ ἐμέτου.

Βούτυρον νεαρὸν καὶ μέλι καὶ ἀφρόνιτρον καὶ 204
μελαίνης περιστερᾶς κόπρον καὶ ἔντερα γῆς δεσμώσας ἐν ῥάμμασι κρέμα μέχρι τοῦ ψυγῆναι· οὖρον δὲ ἀνθρώπινον λαβὼν καὶ οἶνον ὀλίγον πάντα μίξον αὐτοῖς, καὶ τὸ κρέας ἐμβάπτων δίδου τῷ ἱέρακι.

Ἄλλο.

Θηράσας νυκτερίδας ε' σφάξον αὐτὰς καὶ τὸ 205
αἷμα αὐτῶν ὑπόδεξαι ἐν ἀγγείῳ ὑελίνῳ, καὶ ἔα ξηρανθῆναι, καὶ τρίψας λεπτῶς ἰδίᾳ ἔχε. καὶ ὅταν

Digitized by Google

χρεία γένηται, θηράσας ἑτέρας τρεῖς, ἐμβρέξας οἶνον παλαιὸν εὐώδη ἐπίπαττε ἐκ τοῦ ξηροῦ, καὶ δίδου τῷ ἱέρακι ἐσθίειν.

Περὶ ἐμέτου.

Βούτυρον πρόσφατον καὶ μέλι καὶ ἀφρόνιτρον καὶ μέλανος περιστερᾶς πόπρον καὶ γῆς ἔντερα, δήσας αὐτὰ μετὰ σχοινίου λεπτοῦ κρέμασον αὐτά, ἵνα ψυχρανθῶσι. καὶ λαβὼν ἀνθρώπινον οὖρον καὶ οἶνον ὀλίγον, ἔνωσον αὐτὰ ὁμοῦ πάντα, καὶ θεὶς κρέας ἐν αὐτοῖς πρόσθες τῷ ἱέρακι. σφάξον δὲ ἔτι πέντε νυκτερίδας, καὶ βαλὼν τὸ αἷμα αὐτῶν ἐν ὑέλῳ ξήρανον, εἶτα τρίψας αὐτὸ φύλαττε. ὅταν δὲ χρεία γένηται, εὑρὼν ἑτέρας τρεῖς τῶν νυκτερίδων, βρέξον αὐτὰς μετὰ εὐόσμου οἴνου, καὶ πάττων αὐτὰς τῷ ξηρανθέντι αἵματι πρόσθες αὐτῷ.

Περὶ τοῦ τὸ ἧπαρ πάσχοντος.

206 Τὸ ἧπαρ παθὼν ὁ ἱέραξ [ἢ ὑπὸ κυνὸς ἀνασχισθεὶς] ἐκ τοῦ σημείου τοῦδε γνωρίζεται. στυγνὸν ἔχει τὸ 115 εἶδος καὶ τοὺς πόδας κιτρίνους. ὄροβον οὖν λειώσας καὶ φυράσας μέλιτι καὶ εἰς παστέλιον ποιήσας δὸς αὐτῷ, καὶ ἀποκαταστήσεις αὐτὸν ὑγιῆ.

Ἄλλο.

207 Ἀξούγγιν προσφάτου φασιανοῦ δίδου φαγεῖν, καὶ ἰαθήσεται.

Ἐὰν ἀλγῇ τὸ ἧπαρ.

Ὅταν ἀλγῇ ὁ ἱέραξ τὸ ἧπαρ, κάθηται ὥσπερ μαραινόμενος, καὶ οἱ πόδες αὐτοῦ εἰσὶν ὠχροί. τρίψας οὖν ὀρόβιν ἔνωσον αὐτὸ μέλιτι, ἵνα γένῃ ὡς σησαμοῦς, καὶ πρόσθες αὐτῷ· ἢ ἡδύοσμον θλάσας πάρεχε αὐτῷ μετὰ κρέατος, καὶ ἰαθήσεται. ἐὰν δὲ αὐτῷ παράθῃς καὶ στέαρ φασιανοῦ, ὠφελη-θήσεται πάνυ.

Digitized by Google

Περὶ ἑλμίνθων.

Ἐκ τούτων τῶν σημείων ἐπιγνώσῃ τὸν ἱέρακα 208
εἰ ἔχει ἕλμινθας. ἱστάμενος ἐπὶ τοῦ κοντοῦ ὅταν
βούληται καταπετάσαι τὰς ἑαυτοῦ πτέρυγας, ἐμποδί-
ζεται, ὡς εἰ εἶχε τὰ νεῦρα διεστραμμένα, καὶ τρέμει,
καὶ τοὺς πόδας ἕνα παρ' ἕνα πετεννύει ἐκ τῆς τοῦ βα-
στάζοντος χειρὸς ἢ ἐκ τοῦ κοντοῦ, καὶ ἀποτίλλει τὰ
πτερὰ αὐτοῦ ἢ τὰ ἀπὸ τοῦ στήθους ἢ τὰ ἐκ τῶν μη-
ρῶν, οὐ θέλει τε ἵστασθαι οὔτε εἰς τὴν χεῖρα οὔτε εἰς
τὸν κοντόν. καὶ ἀπὸ τοῦ πατήματος γινώσκεται· ἀπο-
κρεμᾶται γὰρ ὡς ἕλμινς. θεραπεύσεις οὖν οὕτως.
λαβὼν καρπὸν βαλσάμου κόκκους τρεῖς καὶ ἐλαφείου
μυελοῦ καὶ κνίδης ὀλίγους κόκκους καὶ μελάνθης τὸ
116 ἴσον, ὁμοῦ πάντα λειώσας καὶ περδικῖτιν βοτάνην
προμεμαρασμένην συγκόψας καὶ μίξας τοῖς προειρη-
μένοις, δὸς τῷ ἱέρακι μετὰ πέρδικος κρέως· ἐὰν δὲ
τούτου μὴ εὐπορῇς, κἂν ὄρνιθος κατοικιδίου· καὶ
ἐκφέρει τοὺς ἕλμινθας ἢ διὰ τοῦ στόματος ἢ διὰ τῆς
ἕδρας.

Περὶ σκωλήκων.

Ἐκ τούτων τῶν σημείων γνοίης ἂν τὸν ἱέρακα εἰ κέκτη-
ται σκώληκας, ὅταν κάθηται ἐπὶ τοῦ δόρατος καὶ βούληται
καταπετάσαι καὶ κωλύηται ὥσπερ οἱ τὰ νεῦρα διεστραμμένα
ἔχοντες, καὶ τρέμῃ, καὶ αἴρων ἄνω τοὺς πόδας αὐτοῦ τιθῇ
πάλιν αὐτοὺς ἢ ἐὰν κάθηται ἢ ὅταν τις αὐτὸν ταῖς χερσὶ
φέρῃ, καὶ ἀνασπᾷ οὗτος ἢ τοῦ στήθους αὐτοῦ τὰ πτερὰ ἢ
τῶν μηρῶν αὐτοῦ, καὶ οὐ βούληται ἐπικαθίσαι ἢ τῷ δόρατι
ἢ τῇ χειρί τινος, καὶ τὸ ἀφόδευμα αὐτοῦ ἐξέρχηται ὥσπερ
σκώληξ. λαβὼν οὖν ἐκ τοῦ καρποῦ τοῦ βαλσάμου κόκκους
τρεῖς, καὶ ἐλάφειον μυελόν, καὶ σπέρμα ὀλίγον κνίδης, καὶ
ἕτερον τοσοῦτον μελανθίου, καὶ περδικῖτιν βοτάνην ξηράν,
θλάσον αὐτὰ καὶ ἑνώσας πάντα πρόσθες αὐτῷ μετὰ κρέα-
τος περδίκων. εἰ δὲ οὐ κέκτησαι πέρδικας, ἔστω ὀρνίθων,

Digitized by Google

καὶ ἐκπίμψει τοὺς σκώληκας ἢ ἐκ τοῦ στόματος αὐτοῦ ἢ ἐκ τοῦ ἀφεδρῶνος αὐτοῦ.

Ἄλλο.

209 Ἱέραξ ὀχλούμενος ὑπὸ ἑλμίνθων κτήσει κέχρηται πολλῇ καὶ συνεχεῖ. ἰάσῃ οὖν εἰ μετὰ παστίλου δώσεις πέπερι φαγεῖν.

Ἕτερον.

Ὁ ἱέραξ οταν ἔχῃ σκώληκας, ἀναπετᾷ πάνυ. ἂν οὖν δώσῃς αὐτῷ μυραμοῦντα μετὰ πεπέρεως, ἰαθήσεται.

Ἄλλο.

210 Ἐλάφου μυελὸν καὶ γηπόνομον λειώσας δίδου αὐτῷ μετὰ κρέως, καὶ ῥίπτει τὰς ἕλμινθας.

Ἕτερον.

Ἐλάφειον μυελὸν καὶ γηπόνομον τρίψας πάρεχε αὐτῷ μετὰ κρέατος, καὶ ἀπορρίψει τοὺς σκώληκας.

Ἄλλο.

211 Σησάμου λαβὼν καὶ μελάνθης τὸ ἴσον, κόψας καὶ λειώσας ἐπίπασσε τούτοις καὶ στακτὴν δρυΐνην, καὶ ἀναμίξας μετὰ κρέως δίδου φαγεῖν τῷ ἱέρακι, καὶ ὑγιῆ ἀπεργάσῃ.

Ἕτερον.

Σήσαμον καὶ μελάνθιον ἐπίσης τρίψας θὲς ἐν αὐτοῖς καὶ τέφραν δρυΐνην, καὶ ἑνώσας αὐτὰ κρέατι πρόσθες αὐτῷ.

Ἄλλο.

212 Ἀλόην καθαρὰν λαβὼν καὶ λείαν ποιήσας μετὰ μελικράτου ἐγχυμάτιζε τῷ ζῴῳ.

Digitized by Google

Ἕτερον.

Ἀλόην καθαρὰν τρίψας θὲς καὶ ὑδρόμελι καὶ κατασπινέτω ταύτην ὁ ἱέραξ.

Ἄλλο.

Λαβὼν σκόροδον χύλωσον, καὶ τὸν χυλὸν μετὰ 213
ὀμφακίνου ἐλαίου ἐξ ἴσου μίξας ἐγχυμάτιζε.

Ἕτερον.

Θλάσας σκόροδον καὶ ἑνώσας τὸν ζωμὸν τοῦ σκορόδου ἐπίσης ἐλαίῳ ὀμφακίνῳ πάρεχε αὐτῷ καταπίνειν ταῦτα.

Εἰς πόνον ἐντέρων.

117

Ὅταν τὸ ἔντερον πονῇ ὁ ἱέραξ, ἐκ τούτου δεί- 214
κνυται, ἐκ τοῦ σφίγγειν συνεχῶς τὴν χεῖρα τοῦ βαστάζοντος τοῖς ποσὶ καὶ τὸν κοντὸν λακτιζειν ἐν τῷ καθέζεσθαι. τινὲς οὖν εἰρήκασι σανδαράχην δίδοσθαι αὐτῷ μετὰ κρέως θερμοῦ καὶ βουτύρου.

Περὶ πόνου ἐντέρων.

Ὅταν ἀλγῇ τὰ ἔντερα ὁ ἱέραξ, γνοίης ἂν ἐκ τούτου· σφόδρα γὰρ τὴν κατέχουσαν αὐτὸν χεῖρα τοῖς ποσὶν ἐπιλαμβάνεται· ἐὰν δὲ κάθηται ἐπὶ τοῦ δόρατος, λακτίζει αὐτό. πάρεχε οὖν αὐτῷ κρέας θερμαῖνον μετὰ ἀρσενικοῦ ἐρυθροῦ καὶ βουτύρου.

Ἄλλο.

Εἰ δὲ τὰ ἐντὸς πάσχει πάντα σὺν τοῖς ἐντέροις, 215
τότε δίδοσθαι αὐτῷ οἶνον ἀμηναῖον μετὰ ῥυτῆς βοτάνης λελειωμένης ἡμέρας τρεῖς ἀνὰ κοχλιάριον α΄.

Πῶς χρὴ τὸν λιθιῶντα ἐπιγνῶναι, καὶ ἐκ ποίας αἰτίας οἱ λίθοι γίνονται.

Γεννᾶσθαι ἐν τοῖς σπλάγχνοις εἴωθε λίθος, 216
κρέας λιπαρὸν λαβόντος τοῦ ἱέρακος ἢ ὄζον ἡμε-

Digitized by Google

ρῶν πολλῶν, καὶ τὸ τοῦ ἐρωδίου δὲ κρέας δοθὲν λίθους ποιεῖ. γνωρίζεται δὲ πρῶτον μὲν ἀπὸ τοῦ μετὰ ἀνάγκης ἀποπατεῖν, δεύτερον δὲ ἀπὸ τῆς κόπρου· ἐκπεμφθεῖσα γὰρ οὐ [δι' ὅλου ἐδάφους] συννημμένη καὶ ἀδιάκοπος κεῖται, ὥσπερ ἡ τῶν ὑγιαινόντων δεί- 118
κνυται, ῥάβδοις παραπλησίως τὴν ἔκτασιν ἔχουσα, ἀλλὰ διακοπτομένη καὶ πάγοις ὁμοία. συμβαίνει δὲ τὸ μετὰ ἀνάγκης ἐκπέμπεσθαι διὰ τὸ τὸν ἐμπίπτοντα λίθον τῷ πόρῳ ἐμποδίζειν τὴν ἔξοδον τοῖς ὑγροῖς. [ἀπὸ μόνης δὲ τῆς κόπρου οὐδεὶς δύναται διαγνῶναι τὸ πάθος, μεταβαλομένης αὐτῆς]. σημειώσῃ δὲ καὶ ἑτέρῳ τρόπῳ. ἐὰν ἐφεστὼς τῇ χειρὶ τοῦ θηρατοῦ ἢ τῷ ξύλῳ σαλεύῃ συνεχέστερον, γίνωσκε αὐτὸν ὑπὸ λίθου διοχλούμενον τοῦτο ποιεῖν, καὶ θεραπεύσεις οὕτως. γογγύλην ἀπὸ γῆς, καὶ ταύτην κοιλάνας εἰς βάθος ἔμβαλε ἅλας τραχὺ ὅσον λαβεῖν δύνασαι τοῖς δύο δακτύλοις, εἶτα εἰς χύτραν ἔμβαλε καινήν, ἐπιθεὶς ἄνθρακας ἐπ' αὐτῇ· καὶ ἐπειδὰν λυθῇ τὸ ἅλας τῆς γογγύλης, εἰς αὐτὸ βάψας χοίρειον κρέας νεαρὸν δίδου φαγεῖν. μετὰ δὲ βραχὺ εἰς ὕδωρ αὐτὸν δῦσον σχεδὸν ὅλην τὴν ἡμέραν, καὶ ἔα ἑστάναι, καὶ αὐτὸν ἡδόμενον τῷ ὕδατι διὰ τὸ ἐκπεφρῦχθαι ἐκ τῆς ἅλμης καὶ διψῶντα δὲ ἄφες πιεῖν ὅσον δύναται· τοῦτο γὰρ διαλυθέντα ὑπὸ τοῦ φαρμάκου τὸν λίθον ἐκβάλλει 119
κατὰ λεπτόν. τοῦτο δὲ ποιήσας χρῶ καὶ ταύτῃ τῇ θεραπείᾳ. μελάνθης σπέρμα τρῖβε μετὰ μέλιτος καὶ ἐλαίου, καὶ δίδου τρὶς τῆς ἡμέρας· τῇ δ' ἑξῆς εἰς νεαρὸν κρέας ἁλὸς βραχὺ ἐνρίψας δίδου τὸ κρέας φαγεῖν· τῇ δὲ τρίτῃ δίδου περιστερᾶς νεοσσὸν μικρὸν μηδέπω ἔχοντα πτερὰ πολλά, ἵνα μετὰ τῶν ὀστέων συγκοπέντα αὐτὸν φάγῃ. ἔστι δὲ καὶ ἄλλως θεραπεῦσαι. ἐπειδὰν ἐπὶ τῆς χειρὸς ἑστῶτα ἴδῃς ἀποπατῆ-

Digitized by Google

σαι βουλόμενον, μὴ δυνάμενον δέ, ἅμα τῷ ἀνοῖξαι τὸν δακτύλιον ὑποβαλὼν τῆς δεξιᾶς χειρὸς τοὺς ἰατρικοὺς δύο δακτύλους κάτωθεν ἄνω, σφίγγε τὸν λίθον πλησίον ὄντα τοῦ δακτυλίου· φέρει γὰρ αὐτὸν ἐγγὺς ὑπὸ τῆς ἀνάγκης. ἔπειτα πιάσας καὶ ἐξελὼν τοῦτον, θεράπευσον τὸν τόπον ἐλαίῳ ῥοδίνῳ, ὅθεν εἵληφας τὸν λίθον. καὶ αἷμα τράγου παγὲν καὶ ἀντὶ κρέως δοθὲν οὐγγ. α΄ λύει τὸν λίθον· πλέον δὲ δοθὲν βλάπτει αὐτόν. καὶ μῦς δὲ δοθεὶς αὐτῷ εἰς θοίνην, εἰ καὶ βραδύτερον τοῦ τραγείου αἵματος, ἀλλ' ὅμως λύει τὸν λίθον. τινὲς δὲ καὶ βούτυρον εἰρήκασιν ὠφελεῖν.

Πῶς δεῖ γνῶναι ἐὰν κεκτῆται λίθους ὁ ἱ ραξ καὶ ἐκ ποίας αἰτίας γίνονται.

Γίνονται ἐν τοῖς σπλάγχνοις τῶν ἱεράκων λίθοι ἢ ὑπὸ κρέατος λιπαροῦ ἐὰν φάγωσιν ἢ ὑπὸ κρέατος ὀδωδότος ἢ ὑπὸ κρέατος πελαργοῦ. γινώσκεται δὲ ἐκ τούτου, ὅτι τὸ ἀφόδευμα αὐτοῦ βιαίως ῥίπτει· δεύτερον ὅτι τὸ ἀπορριπτόμενον ἐξ αὐτοῦ ἐσπαρμένον ἐστί· κωλυόμενον γὰρ ὑπὸ τῶν λίθων ἐξέρχεται βιαίως. καὶ οὐ μόνον τοῦτο ὁρᾷ, ἀλλὰ ἢ ἐν χερσὶ πάθηται ἢ ἐν ξύλῳ, συχνῶς κινεῖ τοὺς πόδας αὐτοῦ. θεραπεύσεις δὲ αὐτὸν οὕτως. λαβὼν γογγύλην κοίλανον αὐτὴν δίκην ποτηρίου, καὶ θὲς ἐντὸς ἅλας ὅσον δύνασαι ὁράξασθαι τοῖς δυσὶ σου δακτύλοις· θεὶς δὲ αὐτὴν ἐν χύτρᾳ καινῇ στῆσον ἐπ' ἀνθράκων. ὅταν δὲ ἴδῃς ὅτι τὸ ἅλας διαλέλυται, βάψον ἐν αὐτῷ κρέας χοίρειον πρόσφατον, καὶ πρόσθες τῷ ἱέρακι· μετ' ὀλίγον δὲ στῆσον αὐτὸν ἐπὶ ὕδατος καὶ τὴν ἡμέραν ἅπασαν ἀνυσάτω οὕτω· ἐὰν δὲ διψήσῃ ὑπὸ τοῦ ἅλατος, ἔασον αὐτὸν πιεῖν ὅσον βούλεται, καὶ διαρραγήσεται ὁ ἔνδον λίθος καὶ ἐξελεύσεται ταχέως. μετὰ ταῦτα δὲ ποίησον καὶ ταύτην τὴν ἰατρείαν. τρίψας μελάνθιον ἔνωσον αὐτὸ μετὰ μέλιτος καὶ ἐλαίου, καὶ πάρεχε αὐτῷ τρὶς τῆς ἡμέρας, καὶ τὴν ἐπιοῦσαν βαλὼν ἐν κρέατι προσφάτῳ βραχὺ ἅλατος πρόσθες αὐτῷ. τὴν δὲ τρίτην ἡμέραν δὸς αὐτῷ περιστερᾶς νεοττόν, καὶ θλάσας τὰ ὀστέα αὐτοῦ ἐσθιέτω αὐτόν. ἔστι δὲ καὶ

Digitized by Google

ἄλλη ἰατρεία. ὅταν ἴδῃς αὐτὸν βουλόμενον ἀπορρῖψαι τὴν κόπρον καὶ οὐ δύνηται, θὲς ἔνδον τοῦ ἀφεδρῶνος αὐτοῦ τοὺς δύο σου δακτύλους ἄνω καὶ κάτω· ἕλκεται γὰρ ὁ λίθος μικρὸν ἔξωθεν· καὶ ἐπιλαβὼν τοῦτον τοῖς δακτύλοις σου ἐξελκύσεις αὐτὸν τὸ παράπαν. εἶτα ἐπίθες ῥοδέλαιον ἐπὶ τοῦ τόπου ἔνθα τὸν λίθον ἐξέβαλες. καὶ ἐὰν φάγῃ αἷμα τράγειον πεπηγμένον ἀντὶ πρέατος οὔγγιαν μίαν, διαῤῥήγνυσι τοὺς λίθους· ἐὰν δὲ φάγῃ πλέον, βλαφθήσεται. καὶ μὴν ἐὰν φάγῃ, διαλύσει τοὺς λίθους, ὅμως βραδύτερον ἢ τὸ τράγειον αἷμα. λέγουσι δὲ ὡς καὶ ὁ βούτυρος ὠφελεῖ.

Ἄλλο. 120

217 Συμβαίνει λιθιᾶν τοὺς ἱέρακας ἀπὸ τοῦ ῥυπαρὰ κρέα ἐν τῇ ἐγκλείστρᾳ φαγεῖν περισυρέντα ἐν τῷ ἐδάφει διὰ τό τινας προσδεσμεῖν τὰ κρέα ἐν τῇ ἐγκλείστρᾳ καὶ οὕτως ποιεῖν τοὺς ἱέρακας ἐσθίειν, ἢ διὰ τὸ μὴ ἐσχηκέναι ὕδωρ ἀρκοῦν ἐν ταῖς ἐγκλείστραις. γέγραπται δὲ περὶ τούτου αὐτάρκως ἐν τῷ περὶ ἐγκλείστρας. γνωρίζεται δὲ ὁ λιθιῶν ἀπὸ τοῦ ἀφοδεύειν μετὰ βίας καὶ αὐτὰ δὲ τὰ ἀφοδεύματα τραχεῖα εἶναι καὶ διεσπαρμένα. ὄψει δὲ αὐτὸν καὶ παρακαμμύοντα τοὺς ὀφθαλμοὺς καὶ νυστάζοντα καὶ ἐν τῷ ἀφοδεύειν κυώμενον τὸν δακτύλιον καὶ στριγγίζοντα. θεραπεύεται δὲ οὕτως. ῥόδινον ἀπὸ ὀμφακίνου ἐλαίου κατασκευασθὲν λαβὼν ὡς δύο κοχλιάρια, καὶ ᾠοῦ τὸ λευκὸν ἐν ἀγγείῳ βαλών, καὶ ἀναταράξας ἱκανῶς ὥσθ' ἑνωθῆναι, ἀναπτύξας τὸν ἱέρακα δίδου διὰ στόματος.

Ἕτερον περὶ αὐτοῦ.

Γίνονται δὲ οἱ λίθοι καὶ ὅταν συμβῇ αὐτῷ φαγεῖν κρέας πεφυρμένον, ἔτι ἐν μούτῃ ὄντι, καί τινες τὸ κρέας δήσαντες παρέχουσιν αὐτῷ τότε· τὸ γὰρ κρέας φυρόμενον τῇ κόνει ἐσθίοντος τοῦ ἱέρακος, οἱ λίθοι γίνονται ἔνδον, ἢ ὅταν οὐκ ἔχῃ ὕδωρ πολὺ ὅταν πτερορρυῇ. γινώσκεται δὲ ἐκ τούτου ὅ

Digitized by Google

ἱέραξ ὁ ἔχων λίθους, ἕκ τε τοῦ ῥίπτειν τὴν κόπρον αὐτοῦ βιαίως, ἡ δὲ ῥῖψις αὐτοῦ σκληρὰ καὶ διεσπαρμένη, καὶ ἀεὶ ὁ ἱέραξ τοὺς ὀφθαλμοὺς καμμύει, καὶ δοκεῖ ὅτι ἀεὶ νυστάζει. λαβὼν οὖν ῥοδέλαιον κοχλιαρίων δύο τὸ γινόμενον ἐξ ὀμφακίνου ἐλαίου καὶ τὸ λευκὸν τοῦ ᾠοῦ, πρόσθες αὐτῷ, καὶ ἰαθήσεται.

Ἄλλο.

Ἐμφρασσομένης τῆς ἕδρας ὑπὸ γεννηθέντος λί- 218
θου οὐ δύναταί τι βαλεῖν, ἀλλὰ μετὰ βίας ἀπορρομ-
βίζει στριγγίζων. θεραπείαν δὲ δίδου τοιάνδε. χρυ-
121 σίδιον λαβὼν ἢ ἀρρενικὸν σχιστὸν καὶ λειώσας
καλῶς καὶ μετὰ μέλιτος ἀναλαβὼν δὸς τῷ ἱέρακι.
καὶ χελώνην δὲ ποταμίαν δίδου πρὸς θοίνην· δε-
δοκίμασται γάρ.

Ἕτερον.

Ὑπὸ τοῦ λίθου ἐμφράττεται ὁ ἀφεδρὼν αὐτοῦ, καὶ οὐ
δύναται τὴν κόπρον ἐκρίπτειν. λαβὼν οὖν ἀρσενίκιον σχι-
στὸν τρῖψον αὐτὸ καλῶς, καὶ ἑνώσας τοῦτο μέλιτι πάρεχε
αὐτῷ. καὶ χελώνην ποταμίαν ἐὰν αὐτῷ δώσῃς, οἶδαμεν διὰ
πείρας ὡς ὠφεληθήσεται.

Ἄλλο ἄριστον.

Κοκκίου χαλβάνης, κοχλιαρίου ἑνὸς ἕψημα, καὶ 219
βούτυρον ἄπαστον ὡσεὶ κοκκία τρία ἀρίστως τὸν λί-
θον λύουσιν.

Λιθιῶντος ἱέρακος οἰδοῦσιν οἱ ὀφθαλμοὶ καὶ ὡς
νεφέλην ποιοῦσι, καὶ φυσᾷ διὰ τῶν ῥινῶν [ὥσπερ
ἐπὶ τῶν ἐστηθισμένων ἱεράκων]. καὶ τοὺς μὲν ὀφθαλ-
μοὺς πυριᾶν μετὰ βενετίκης βοτάνης καὶ ὕδατος ὀμ-
βρίου, τῷ δὲ ἱέρακι δίδου φαγεῖν σκυλάκιον γαλα-
θηνὸν ἔτι τυφλὸν ὃν μέχρι τριῶν ἢ τεσσάρων ἡμερῶν
πρὸς τὸ καταρρῦψαι τὴν κοιλίαν αὐτοῦ· εἶθ' οὕτως
δίδου ἁλόην καθαρὰν κέρατος ἑνὸς τὸ μέγεθος παρὰ

Digitized by Google

μίαν ἡμέραν. εἰ δ' ἐπιμείνῃ καὶ οὐ διαλυθῇ, καῦσον αὐτὸν μετὰ κλήματος ἀμπέλου μέσον τῆς κεφαλῆς μεταξὺ τῶν δύο ὀφθαλμῶν εἰς τὸ κοίλωμα, ἕως ἂν ἴδῃς τὰ βλέφαρα τῶν ὀφθαλμῶν φρίσσοντα. εἶτα ῥοδίνῳ ἐλαίῳ χρῖσον τὸν μικρὸν δάκτυλον τῆς χειρός, καὶ ὑπόβαλε εἰς τὴν ἕδραν τοῦ ζῴου εὐφυῶς, 122 διαλύων τὸν λίθον, καὶ θεραπευθήσεται.

Ἕτερὸν πάνυ καλόν.

Χαλβάνιν κ" α΄, ἕψημα κοχλιαρίου ἑνός, καὶ βούτυρος ἄνευ ἅλατος ὅσον κ" γ΄ διαλύουσι τοὺς λίθους πάνυ ῥᾳδίως.

Ὅταν οἱ ὀφθαλμοὶ τοῦ ἱέρακος δακρύωσιν.

220 Ἐπφαζούσης ὄρνιθος τὰς λεκίθους τρίψας καὶ ἀκατίδας φρύξας καὶ τρίψας καὶ μίξας, εἶτα σχινοσάπωνον καὶ μέλι ἄκαπνον καὶ βούτυρον ἄναλον καὶ ἔλαιον ὅμοιον καὶ ἀφρόνιτρον τοῖς εἰρημένοις μίξας καὶ ἀναφυράσας, ἐπιβαλὼν καὶ ὕδωρ θερμὸν ὀλίγον ἕνου τὸ κρέας καὶ δίδου ἐσθίειν τῷ ἱέρακι.

Ὅταν ἐκ τῶν ὀφθαλμῶν αὐτοῦ δάκρυα χέωνται.

Λέκιθον ᾠῶν τρῖψον, φρύξας δὲ καὶ κουβαρίδας τρῖψον καὶ αὐτὰς καὶ ἕνωσον. εἶτα νίτρον σχίνου καὶ μέλι ἄκαπνον καὶ βούτυρον ἄνευ ἅλατος καὶ ἔλαιον ἅλατος χωρὶς καὶ ἀφρονίτρον ἕνωσον αὐτὰ ἅπαντα, θὲς δὲ ἐν αὐτοῖς καὶ ὕδατος βραχὺ χλιαροῦ, καὶ ἀναμίξας αὐτὰ τῷ κρέατι πάρεχε τῷ ἱέρακι.

Ἄλλο.

221 Γίνεται ἡ λιθίωσις ἐπὶ πολὺ ἀπὸ αἰγείου κρέατος λιπαροῦ. φέρε δ' αὐτὸν εἰς ὕδωρ καὶ ἕκλυε τὴν λιθίωσιν. καὶ ἐὰν ἀφοδεύσας πόρρω ῥίψῃ τὴν κόπρον καὶ οἷον κέγχρια σκορπίσῃ, δίδου αὐτῷ ἅλας Καππαδοκικὸν τῷ προειρημένῳ τρόπῳ καὶ δαφνέλαιον. ἐπίχριε τὰς ῥῖνας αὐτοῦ καὶ ἵστα εἰς ἥλιον.

Digitized by Google

Ἄλλο.

Κλήματα ἀμπέλου καύσας ἐν καθαρῷ τόπῳ καὶ 222
128 *τέφραν ποιήσας βάλε εἰς ποτήριον ὑέλινον καὶ ὕδωρ καὶ ποίησον στακτήν· καὶ ἐκ τούτου τοῦ ὕδατος λαβὼν κοχλιάριον καὶ ἐλαίου καὶ ῥοδίνου τὸ ἴσον δίδου* 5 *μετὰ κρέατος τῷ ἱέρακι.*

Ἕτερον περὶ λίθων.

Καύσας κλήματα ἐν τόπῳ καθαρῷ θὲς τὴν τέφραν αὐτῶν ἐν ποτηρίῳ ὑελίνῳ μετὰ ὕδατος καὶ ποίησον καταστα-
λάκτην· θὲς δὲ ἐξ αὐτῆς καὶ ἐλαίου καὶ ῥοδελαίου ἐξ ἑκά- 10
στου ἓν κοχλιάριον, καὶ βάπτων ἐν αὐτοῖς κρέας πάρεχε αὐτῷ.

Εἰς πάσχοντα τὰς ψύας.

Εἰ συμβῇ ἀπὸ τοῦ κακῶς βαστάξεσθαι τὰς ψύας 223
ἀλγῆσαι, βαλὼν οἶνον καλὸν εἰς χύτραν ζέσον καὶ 15
ἐπάνω κράτησον τὸ ὄρνεον καλῶς, ἵνα ὁ ἀτμὸς τοῦ οἴνου ἐπὶ τοὺς μηροὺς καὶ ἐπὶ τὰς ψύας αὐτοῦ ἀν-
ἐλθῃ. κίνει δὲ τὴν χύτραν ἕως οὗ καταψυχθῇ, εἶτα λαβὼν ἐκ τοῦ οἴνου μετὰ σπόγγου ἄνωθεν ὑπόβρε-
ξον τὸ ζῷον μετὰ χόρτου ὑποστρωννύς. 20

Περὶ τοῦ ἀλγοῦντος τοὺς μηροὺς καὶ τὰς ψύας.

Βράσας ἐν χύτρᾳ οἶνον καλὸν κάτεχε τὸν ἱέρακα ἐπάνω τῆς χύτρας, ἵνα ὁ ἀτμὸς τοῦ οἴνου ἀναβαίνῃ ἕως τῶν μη-
ρῶν αὐτοῦ καὶ τῶν ψυῶν. ψυχρανθείσης δὲ τῆς χύτρας βάπτε ἐν αὐτῇ σπόγγον καὶ βρέχε τὸν ἱέρακα ἔνθα ἀλγεῖ, 25
εἶτα κάθισον αὐτὸν ἐν ξηροῖς χόρτοις.

Εἰ ψύχος πάσχει καὶ χαλᾷ τὰ πτερά.

Βοτάνην τὴν καλουμένην ἐβίσκην ἑψήσας μεθ' 224
ὕδατος ἅλα χλιανθῆναι τὸ ἑψηθὲν ὕδωρ, καὶ οὕτως κατάντλει τὰς ψύας τοῦ ἱέρακος. πρότερον δὲ χλιαρῷ 30

Digitized by Google

ὕδατι καταντλείσθω καὶ δεσμείσθω ἐπ' ἐδάφους, καὶ ὑποστρωννύσθω χόρτῳ διὰ τὸ ἀναπαύσασθαι αὐτόν.

Ἐὰν ἀλγῇ τὰς ψύας αὐτοῦ καὶ φθείρῃ καὶ τὰ πτερὰ αὐτοῦ.

Μαλάχην λευκὴν βράσας ἐν ὕδατι ἔασον ψυχρανθῆναι, εἶτα ἄντλει τὸν πάσχοντα τόπον· καὶ πρῶτον μὲν οὖν τοῦτον ἄντλει μετὰ ὕδατος γλιαροῦ, εἶτα ὑποστρώσας χαμαὶ χόρτα κάθισον αὐτὸν ἵνα ἀναπαύηται.

Ἄλλο.

225 Εἰς βαλανεῖον εἰσαγέτω αὐτόν, καὶ ἐν τῇ θέρμῃ 124
κρατείτω εἰς τὴν ἔμβασιν, καὶ μὴ βρεχέτω, ἀλλὰ δονείτω τὸ θερμόν, ἵνα ὑπὸ τοῦ ἀτμοῦ θερμαίνηται. προσέχειν μέντοι ἵνα μὴ ἀποκαταβῇ τῆς χειρὸς καὶ κινδυνεύσῃ· εἶτα ἐξαγαγὼν αὐτὸν καθισάτω ἐπὶ ὀλίγην ὥραν, περισκέπων αὐτὸν ἐκμαγείῳ. ἀφοδεύσει δὲ αἷμα μετὰ τρίτην ἡμέραν.

Ἕτερον περὶ αὐτοῦ.

Θεὶς αὐτὸν ἐν λουτρῷ περίχεε αὐτὸν ὕδωρ θερμανθέν, καὶ πρόσεχε ἵνα μὴ ἀπὸ τῆς χειρός σου πεσὼν κινδυνεύσῃ. εἶτα ἐξαγαγὼν αὐτὸν τοῦ λουτροῦ κάτεχε αὐτὸν μικρὸν κεκαλυμμένον ῥάκεσι, καὶ τῇ τρίτῃ ἡμέρᾳ αἷμα ἀπορρίψει.

Ἄλλο.

226 Συμφύτου μέρη τρία δίδου τῷ λέρακι μετὰ κρέως, καὶ εἰ οὐδὲν ὠφεληθῇ, ἐλαφικὴν βοτάνην μίξας συμφύτῳ δὸς αὐτῷ τρία μέρη, καὶ ἀποκαταστήσεις ὑγιᾶ.

Εἰς ψώραν ** οὐ μικρᾷ τῇ καλῇ καὶ συντρόφῳ ὑγιείᾳ τοῦ λέρακος.

227 Ἡ κνησμώδης καὶ ψωρώδης ἐπιγενομένη διάθεσις αὐτὸν τοῖς ὄνυξι καὶ τῷ ῥάμφει καταναγκά-

Digitized by Google

ζουσα ὡς πολέμιον χρῆσθαι. σὺ δὲ πτύξας αὐτὸν σαβάνῳ τοὺς τόπους ἔκθλιψον, ἕως οὗ αἱμαχθῶσιν· εἶτα χυλὸν κωνείου βοτάνης ἐπίχριε μέχρι τριῶν ἡμερῶν, εἶθ' οὕτως ὄξει δριμυτάτῳ ἀπόπλυνε, εἶτα
125 λίβανον ἄρρενα λαβὼν καὶ μετὰ ὄξους ἀποβρέξας καὶ λειώσας κατάχρισον τοὺς ψωριάσαντας τόπους, κατέχων τὸν ἱέρακα ἕως οὗ ξηρανθῇ τὸ ἀλειφθέν.

Περὶ ψώρης.

Περικαλύψας αὐτὸν ῥάκεσιν ἀπόξυσον τὰς ψώρας, ἕως οὗ αἷμα ἐξέλθῃ· εἶτα τρίψας κώνειον χρῖε τοὺς τόπους ἐν τρισὶν ἡμέραις. μετὰ ταῦτα πλῦνον τοὺς τόπους μετ' ὄξους δριμυτάτου, καὶ λαβὼν λίβανον ἀρσενικὸν διάλυσον αὐτὸν μετὰ ὄξους, καὶ χρῖσον τοὺς τόπους καὶ κάτεχε αὐτὸν ἕστ' ἂν ξηρανθῇ τὸ ἐπίχρισμα.

Ἄλλο.

Σαπώνιν, ἀφρόνιτρον τὰ ἴσα μίξας ὄξει δριμυ-228
τάτῳ ἄλειφε τὸν ἱέρακα, προθερμάνας αὐτὸν ἐν βαλανείῳ ἢ ἐν ἡλίῳ· καὶ τῇ ἐπαύριον ἀπόπλυνον μετὰ ὕδατος γλυκέος θερμοῦ, καὶ εὐθέως ἰαθήσεται.

Ἕτερον.

Νίτρον μετὰ ἀφρονίτρου ἐπίσης ἕνωσον αὐτὰ ὄξει, καὶ χρῖε τὸν ἱέρακα. θέρμαινον δὲ αὐτὸν ἢ ἐν λουτρῷ ἢ ἐν ἡλίῳ, τὴν δὲ ἐπιοῦσαν πλῦνον αὐτὸν ὕδατι γλυκεῖ θερμανθέντι, καὶ εὐθέως ἰαθήσεται.

Ἄλλο.

Ὑδράργυρον μετὰ σιέλου λειώσας ἄλειφε τὸν 229
ἱέρακα.

Ἄλλο.

Ἄσφαλτον μετὰ ἐλαίου παλαιοῦ καὶ ὄξους ἕψη-302
σας ἕως ἡμίσεος, ὑπάλειφε θερμῶς τὸ ζῷον.

Digitized by Google

Ἕτερον.

Ἐὰν βράσας πίσσαν μετὰ ἐλαίου καὶ ὄξους χρίσῃς αὐτὸν θερμανθέντα, ἰαθήσεται.

Εἰς λειχῆνας.

231 *Νίτρον Ἀλεξανδρινὸν λειώσας λεπτὸν πάνυ μετα* 5 *ὄξους δριμυτάτου χρῖε τὸν λειχηνιάσαντα τόπον.*

Περὶ λειχήνων.

Νίτρον Ἀλεξανδρινὸν διαλύσας μετὰ ὄξους δριμυτάτου χρῖσον τὸν πάσχοντα λέπρα.

10 *Εἰς φθεῖρας λέπρας.*

232 *Φθεῖρες γίνονται μὲν ἀεὶ ὑπὸ κακοχυμίας τῶν κρεῶν καὶ ἐξ ἀπεψίας τοῦ ζῴου, ὅταν ὁ θηρατὴς* 126 *ἀσκόπως καὶ ἀφελῶς ἀπέπτῳ τυγχάνοντι τῷ λέπρᾳ ἐπιβάλλῃ ἄλλην τινὰ τροφήν, μήπω τῆς ἑτέρας πε-*
15 *φθείσης. γνωρίζεται δὲ ῥᾷστα. περιθέουσι τοὺς ὀφθαλμοὺς καὶ τὰ ἄκρα τῶν ὀφθαλμῶν, καὶ περιίπτανται εἰς τὸν φέροντα αὐτὸν ἄνδρα. θεραπεύσεις δὲ οὕτως. σανδαράχην μετὰ βουτύρου ἢ κρέας ἐλαίῳ περιχρίσας δίδου αὐτῷ φαγεῖν, ἢ σαπώνιν χλιαρῷ*
20 *ὕδατι λελυμένον. χρῖσον οὖν αὐτὸν καθαρὸν ἐπιτηρήσας ἀέρα, καὶ θεραπεύσεις. καὶ χιτῶν δὲ καθαρὸς περιδυθεὶς τῷ λέπρᾳ εἰς ἥλιον θερμὸν ἀνιμᾶται αὐτούς.*

Περὶ φθειρῶν.

25 *Ἐπιγίγνονται τῷ λέπρᾳ φθεῖρες ὑπὸ κακοχυμίας ἢ ὅτε πρὸ τοῦ πέψαι αὐτὸν τὴν τροφὴν ὁ θηρευτὴς ὑπὸ ἀπειρίας προσφέρῃ αὐτῷ ἑτέραν. γινώσκεται δὲ ῥᾳδίως. περιτρέχουσι γὰρ αὗται κατά τε τοὺς ὀφθαλμοὺς αὐτοῦ καὶ τὰ βλέφαρα αὐτοῦ καὶ περὶ τὸν κατέχοντα αὐτόν. θεραπεύεται δὲ*

Digitized by Google

οὕτως. ἀρσενίκιον ἐρυθρὸν μετὰ βουτύρου ἐὰν φάγῃ ἢ κρέας ἀλειμμένον ἐλαίῳ, ἢ περικαλύψας αὐτὸν ὑφάσματι καινῷ στῆσον αὐτὸν πρὸ τοῦ ἡλίου, καὶ οὕτως ἐξέλθωσιν ἀπ' αὐτοῦ.

Ἄλλο.

Ἐὰν φθείρας ποιήσῃ ἱέρακ, οὐ λίαν ἐκ τούτου 233
βλάπτεται, τρέφεται δὲ μᾶλλον καὶ πρὸς θήραν ὁρμᾷ· τοῦτο δὲ συμβαίνει αὐτῷ ἐκ τοῦ ἔγγιστα ἱστασθαι ὀρνιθίων ἢ ἐκ λιμοῦ. καπνῷ μέντοι μὴ προσεγγιζέτω διὰ τὸ βλάπτεσθαι. φθείρας δὲ ποιεῖ καὶ κόρυζαν καὶ κατάρρουν, καὶ τὰ πτερὰ αὐτοῦ φρύγεται.

Ἱέρακ φθειριῶν σημεῖα ταῦτα δείκνυσι. συνεχῶς φθειρίζεται, τίλλων τὰ πτερά. τινὲς δὲ ὠφελεῖται. θέρμους δὲ ἑψήσας μικροὺς καὶ πτύξας λοῦσον αὐ-
127 τόν, φροντίζων ὥστε μὴ ἐγγίζειν τῇ κεφαλῇ αὐτοῦ τὸ ζέμα· καὶ στῆσον αὐτὸν ἐν ἡλίῳ ὥραν μίαν. ἄρας δὲ αὐτὸν ἐκεῖθεν εἰς γλυκὺ ὕδωρ λοῦσον· οἴνῳ δὲ αὐστηρῷ καταφύσησον τὰ τούτου πτερά, ἵνα μὴ καταψοφίσῃ τὸ δέρμα αὐτοῦ.

Ἕτερον.

Βράσας θέρμους τῷ ζωμῷ αὐτῶν λοῦσον αὐτόν. πρόσεχε οὖν ἵνα μὴ τὸ ἀπόζεμα τῶν θέρμων προσεγγίσῃ τῇ κεφαλῇ αὐτοῦ, καὶ στῆσον αὐτὸν πρὸ τοῦ ἡλίου ἐν ὥρᾳ μιᾷ. ἔπειτα λοῦσον αὐτὸν ἐν ὕδατι γλυκεῖ καὶ βρέξον τὰ πτερὰ αὐτοῦ οἴνῳ σφοδρῷ.

Ἄλλο.

Ὅταν ἔχῃ φθείρας ἱέρακ, λαβὼν ἀπὸ κλήματος 234
ἢ συκῆς ἢ ἐλαίας κονίαν, λεπτῶς κοσκινίσας ἔμπασσε, καὶ ἐπιτίθει ὀθόνιον, καὶ ἐν αὐτῷ ἐκπεσοῦνται οἱ φθείρες. καὶ παρατιθεμένης δὲ ὄρνιθος ἡμέρου νεοσφαγοῦς μεταχωροῦσιν ἐν αὐτῇ· εἰ δὲ μή, ἀποθανεῖται.

Digitized by Google

Εἰς φρίκην τοῦ ἱέρακος.

235 *Συμβαίνει τῷ ἱέρακι φρίκη καὶ ἀπὸ φθειρῶν καὶ ἐξ ἄλλων πολλῶν νοσημάτων, συμφέρει δὲ αὐτῷ τὸ δελφάκειον κρέας· τὸ γὰρ ὀρνίθειον θερμὸν ὂν ἐπὶ πολὺ καταξηραίνει αὐτόν, καὶ τῇ ἰσχνότητι φθείρας ἐμποιεῖ. [καὶ τὸ πρόβατος τοῦτο ποιεῖ.] κορώνης δὲ κρέας ἢ κόρακος μηδὲ τὸ σύνολον **· εἰσὶ γὰρ ἁλμυρὰ καὶ πάνυ βλαβερὰ τῷ φθειριῶντι ἱέρακι.*

Περὶ φρίκης ἱέρακος.

Ἐπιγίγνεται τῷ ἱέρακι φρίκη φθειριάσαντι ἢ καὶ ὑπο πολλῶν ἄλλων νοσημάτων. ἀφελεῖται δὲ ἐν τούτῳ ὑπὸ τοῦ κρέατος τοῦ δελφακείου, κορώνης δὲ κρέας ἢ κόρακος μηδ' ὅλως πάρεχε αὐτῷ, ὅτι ἁλμυρά εἰσι καὶ φθεῖρας ποιοῦσιν.

Εἰς φρικιῶντα. 123

236 *Ὅτε φρικιᾷ ὁ ἱέραξ, τότε σώματι συμπίπτει καὶ στυγνὸν καὶ νοσῶδες βλέπει ὑπὸ τοῦ πάθους συνεχόμενος, ἀφοδεύει τε διεσπαρμένα, καὶ φθοράν τινα δυσώδη ἀποτελεῖ. ἐὰν οὖν μὴ προλάβωμεν τὸ πάθος, ἀπολεῖται τὸ ὄρνεον. οὕτως οὖν αὐτὸν ἰασώμεθα. συμφύτου κλώνακας σὺν ταῖς ῥίζαις καὶ ῥέον Ποντικὸν ἀμφότερα μίξας ἕψει μετὰ ὕδατος, ἕως ἂν ἀποτριτωθῇ, καὶ εἰς τὸ ὑπολειφθὲν τέταρτον μέρος τοῦ ἀφεψήματος ῥέον Ποντικὸν τετριμμένον ἐπιχυμάτιζε, ἐπιβαλὼν τὸν ἱέρακα μέχρι τελείας ἰάσεως αὐτοῦ. μετὰ δὲ τὸν ἐγχυματισμὸν τρέφε περιστερᾷ.*

Περὶ ἱέρακος ῥιγοῦντος.

Ὅταν ῥιγῇ ὁ ἱέραξ ὑποχαλῶν τὰ πτερὰ αὐτοῦ, ὁρᾷ λυπητικῶς καὶ ἀσθενῶς, καὶ ἀπορρίπτει διεσπαρμένην καὶ ὀδωδότα κόπρον. ἐὰν οὖν μὴ σπεύσας ἐπιμεληθῇς αὐτοῦ, ταχέως ἀπόλλυται. ἕνωσον οὖν σύμφυτον πρόρριζον ῥέῳ Ποντικῷ, καὶ βράσον αὐτὰ ὕδατι ἕστ' ἂν ἀποτριτωθῇ· ἐν

Digitized by Google

δὲ τῷ ἀπολειφθέντι θὲς ῥέον Ποντικὸν τετριμμένον, καὶ περίχεε τὸν ἱέρακα, ἄχρις ἂν γένῃ ὑγιής. μετὰ δὲ τοῦτο πρόσφερε αὐτῷ περιστεράν.

Εἰς ἀπόρροιαν πτερῶν.

Εὐχρηστότατον μάλιστα τῷ ἱέρακι ἡ τῶν πτερῶν 237
διακόσμησις καὶ πρὸς τὴν αὐτῷ προσήκουσαν ἀρε- 5
τὴν οὐχ ἥκιστα ἐπιτηδειότατον. ἐὰν οὖν συμφορά τις γένηται, ὥστε αὐτὸν πτερορρυεῖν καὶ τοῦ συμφύτου κόσμου ἀπογυμνοῦσθαι, λαβὼν δᾷδας λιπαρὰς
129 καὶ βάτου ῥίζας καὶ πλατάνου ἀνὰ δράκα μίαν καὶ 10
βαλὼν αὐτὰ ἐν χύτρᾳ ἕψει μετὰ ὄξους δριμυτάτου, ἕως ἀποτριτωθῇ· καὶ ἀνελόμενος ἔμβρεχε τούτῳ τὰ πτερὰ τοῦ ἱέρακος, καὶ τοῦ πτερορρυεῖν παύσεται.

Περὶ τοῦ ῥίπτοντος τὰ πτερὰ αὐτοῦ.

Λαβὼν ὀλίγον δᾳδὸς λιπαρῆς καὶ ἐκ τῆς ῥίζης τῆς συ- 15
κομορέας καὶ τῆς πλατάνου βράσον αὐτὰ μετὰ ὄξους δριμέος, μέχρις ἂν ἀποτριτωθῇ· καὶ βρέχε τὰ πτερὰ αὐτοῦ, καὶ ἰαθήσεται.

Εἰς σῆτας τοὺς ἐν τοῖς πτεροῖς τοῦ ἱέρακος.

Εἴωθεν ἔστιν ὅτε τὰ πτερὰ τοῦ ἱέρακος ὑπό τι- 238
νος κακοχυμίας σῆτας πριεῖν, καὶ τὸ λεπτὸν καὶ 20
ἀκραιφνὲς αὐτῶν ἀφανίζειν κατεσθίοντας αὐτά. ἐὰν οὖν ἴδῃς γυμνούμενον αὐτὸν τῶν πτερῶν, θεραπεύσεις οὕτως. λαβὼν τὸν ἱέρακα ἐν τῷ κόλπῳ δεδεμένον τοὺς πόδας σχίσον ὀρθὸν ἠρέμα τὸ πτερὸν καθ' ὃ 25
μέρος βεβρῶσθαι δοκεῖ, καὶ κάλαμον ξηρὸν ἀνασχίσας καὶ τὸν εὑρισκόμενον ἔνδοθεν καθ' ἑκάστην κοτύλην ὑμένα λευκὸν στρογγύλον λαβών, ῥάβδον λευκὴν ὥσπερ γραφεῖον γενομένην ἔμβαλε εἰς τὸ διάσχισμα τοῦ πτεροῦ ἐκείνου, καὶ τὰ ἄνωθεν μέρη καὶ 30

Digitized by Google

τὰ κάτω τοῦ πτεροῦ ἀποφράττων, ἕως ἂν καλῶς ἔχειν δοκῇ, θεραπεῦσαι τὰ πτερὰ ἀποσκεδάσας τοὺς σῆτας.

Περὶ σκωλήκων τῶν ἐν τοῖς πτεροῖς αὐτῶν κειμένων.

Ὑπό τινος κακοχυμίας γίνονται σκώληκες ἐν τοῖς πτεροῖς τοῦ ἱέρακος, καὶ ἐσθίοντες αὐτὰ ἀφανίζουσι. θεραπεύεται δὲ οὕτως. Θὲς τοῦτον ἐν τῷ κόλπῳ τῷ σῷ, ἕστωσαν δὲ οἱ πόδες αὐτοῦ δεδεμένοι, καὶ σχίσον τὸ πτερὸν ἐπιδεξίως κατὰ τὸν τόπον ὃν τοῖς ὄνυξιν ἢ τῷ ῥάμφει αὐτοῦ ξέει. καὶ σχίσας κάλαμον ξηρὸν ἔκβαλε ὅπερ κέκτηται ἔνδον ὥσπερ θρῖον διάλευτον, καὶ ποίησον ξύλον ὀξύ, καὶ θὲς τὸ εὑρεθὲν ἐν τῷ καλάμῳ ὡς θρῖον στρογγύλον ἔνδον τοῦ πτεροῦ ἄνω τε καὶ κάτω, καὶ οὕτως ἰαθήσεται.

Ἄλλο.

239 Κρηπίδων παλαιῶν ἡλάρια τὰ καλούμενα λιπόκεντρα ἀποβρέξας εἰς ὄξος ἄνυδρον ἄλειφε τὰ πτερὰ τοῦ ἱέρακος. 180

Ἄλλως.

Σίδηρον πεπαλαιωμένον θὲς ἐν ὄξει καλῷ, καὶ πείσθω· λαβὼν δὲ ἐξ αὐτοῦ χρῖε τὰ πτερὰ τοῦ ἱέρακος.

Εἰς τρώκτην σκώληκα φυόμενον τοῖς πτεροῖς αὐτοῦ.

240 Τρώκτας ἔχων ἱέραξ ἐν τοῖς πτεροῖς σημεῖον δείκνυσι τοιοῦτον. τίλλων τὰ πτερὰ αἱμάσσει, πλοῦμον δὲ εὑρήσεις ἔχοντα περὶ τὰς ῥῖνας αὐτοῦ. λασάρου οὖν καὶ σανδαράχης τὸ ἴσον κόψας εἰς λεπτὸν ἐπίπασσε, τὰ πτερὰ οἴνῳ προσφυσῶν.

Πῶς διαβιβρώσκονται τὰ πτερὰ τῶν ἱεράκων, καὶ πῶς θεραπεύονται.

241 Διαβιβρώσκονται πολλάκις τὰ πτερὰ ὑπό τινος

Digitized by Google

βλαβερᾶς κακοχυμίας. χρὴ οὖν θεραπεύειν οὕτως. νίτρον Γαλλικὸν καὶ κορίδας τὰς μήπω ἀποπεσούσας τῆς κλίνης μετὰ ὄξους δριμυτάτου τρίψας καὶ ποίησας ἔμπλαστρον καὶ διανύξας αὐτὰ ἔνθα ἂν φαίνηται τὴν ἀρχὴν ἔχειν διαβιβρώσκεσθαι, χρῖε καὶ θεραπεύσεις.

Τίνι τρόπῳ τὰ πτερὰ τοῦ ἱέρακος καταδαπανῶνται, καὶ πῶς θεραπεύονται.

Καταδαπανῶνται τὰ πτερὰ τοῦ ἱέρακος ὑπὸ κακοχυμίας. λαβὼν οὖν νίτρον καὶ κόρεις τοὺς μὴ ἀποπεπτωκότας τῆς εὐνῆς τρῖψον ἅπαντα μετὰ ὄξους δριμέος, καὶ ποίησον αὐτὰ χρῖσμα, καὶ ζήτει τὸν τόπον ἔνθα ἡ ἀρχὴ τοῦ πάθους ἐγένετο, καὶ χρῖε αὐτόν, καὶ ἰαθήσεται.

131 Ἐὰν ἐπὶ πολὺ ἱέραξ ἐπιρρευσθῇ ἢ ποιήσῃ φυσαλίδας ἐν ταῖς πίναις.

Ταύτας ἀνάσχιζε καὶ τὰς γεμούσας πίνας τρύπα, 242 καὶ μετὰ οἴνου παλαιοῦ ἀπόπλυνε τὸν τόπον, καὶ λειώσας κλήματα ἀμπέλου κεκαυμένα μετὰ χολῆς βοείας ἐπίχεε τὰς γεμούσας πίνας.

Πρὸς τὸν τὰ ἴδια πτερὰ τρώγοντα.

Ἐὰν ἱέραξ τρώγῃ τὰ ἴδια πτερὰ καὶ μὴ ἔχων 243 φθεῖρας φθειρίζηται, πτύξας ἐρεύνησον τοὺς καυλίσκους τῆς οὐρᾶς καὶ τὰ πτίλα, καὶ εὑρήσεις μικρά τινα μέλανα ἔσω εἰς τὰς ῥίζας τῶν πτερῶν. ἅτινα καὶ κατακεντήσας βελόνῃ προσφύσα οἴνῳ παλαιῷ, καὶ ἐπάνω ἐπίπασσε ῥοῶν φλοιοὺς τετριμμένους.

Ἐὰν ἐσθίῃ τὰ πτερὰ αὐτοῦ.

Ἐὰν ὁ ἱέραξ τὰ πτερὰ αὐτοῦ ἐσθίῃ, ἀλλὰ καὶ ἄνευ τοῦ ἔχειν φθεῖρας φθειρίζηται, μίγνυε οὖν τῆς οὐρᾶς αὐτοῦ τὰ πτερὰ τὰ μικρὰ καὶ τὰ μεγάλα· εὑρήσεις δέ τινα ἔσωθεν

Digitized by Google

πρὸς τὸ τέλος μεμιλανωμένα, καὶ κέντει αὐτὰ τῇ βελόνῃ, καὶ πάσον αὐτὰ παλαιῷ οἴνῳ, καὶ τρίψας καὶ ῥοιῶν φλοιοὺς πάττε.

Πρὸς θρανσίπτερον ἱέρακα.

244 Τοὺς ἀπὸ φύσεως μὴ ἔχοντας τὰ πτερὰ εὐθαλῆ ἀλλὰ θραύοντας θεραπεύσεις οὕτως. ὕδατι γλυκεῖ καὶ θερμῷ ἐπὶ συχνῷ τοὺς ἐλάτας αὐτοῦ διάχριε.

Περὶ τῶν πτερῶν τῶν θραυόντων.

Τὰ τῶν πτερῶν φύσει θραυόμενα ἄντλει αὐτὰ ἀεὶ ὕδατι γλυκεῖ χλιανθέντι.

Εἰς διαλειφόμενον. 122

245 Ἱέραξ ὅταν μέλλῃ διαλείφεσθαι, χρῖε αὐτοῦ τὴν καλουμένην ἀλειπταρέαν λασάρῳ. ἀλειπταρέα δέ ἐστι τὸ ἐπάνω τῶν ὀπισθίων τὸ ἐξιστάμενον, ὅπερ τινες καλοῦσι κριθήν.

Εἰς αὐρελατοῦντα ἱέρακα.

246 Τίλλειν αὐτῶν τὰς μασχάλας χρὴ καὶ βελόνῃ χαλκείᾳ κατακεντᾶν αὐτάς, καὶ οὐδέποτε αὐρελατήσει.

Πρὸς ἀποβάλλοντα τὰ πτερά.

247 Δάφνινον ἔλαιον ἢ καρύινον τὰς ὀπὰς χρῖε ὅθεν ῥέουσι τὰ πτερά.

Περὶ τῶν ἀνασπωμένων καὶ πιπτόντων πτερῶν.

Δαφνέλαιον ἢ καρυέλαιον θὲς ἐν ταῖς ὀπαῖς ἔνθα τὰ πτερὰ ἀπερρύησαν.

Ἄλλο.

248 Γάλακτος αἰγείου μέρος λαβὼν ἐν τῷ στόματι προσφύσησον τοὺς τόπους ὅπου ἐξέβησαν τὰ πτερά.

Digitized by Google

Ἕτερον.

Γάλα αἴγειον θὲς ἐν τῷ στόματί σου καὶ πότιζε τοὺς τόπους ἔνθα ἀπερρύησαν.

Εἰς ἀπόρροιαν πτερῶν.

Γλήχωνος γράμμ. γ', κρόκου γράμμ. ε', σανδα- 249
128 *ράχης γράμμ. γ', ὄξυ λίτρ. α', ταῦτα ἕψει μετὰ ὄξους* 5
ἀρκοῦντος καὶ ἔα καταψυχθῆναι· εἶτα τοὺς ὀφθαλμοὺς σφόγγῳ διάχριε τοῦ ἱέρακος δεύτερον τῆς ἡμέρας.

Εἰς ῥευματιζόμενον καὶ ἀπὸ τοῦ ῥεύματος ῥίπτοντα τὰ πτερά. 10

Ἐὰν ῥευματισθῇ ἱέραξ τοὺς ἀγκῶνας, ῥίπτει αὐ- 250
τοῦ τοὺς ἐλάτας. θεραπεύεται δὲ οὕτως. ἐρεύνησον καὶ βλέπε τὰ φλεβία τὰ προσκείμενα ταῖς πτέρυξι, καὶ φλεβοτόμει αὐτὰ μικρῷ φλεβοτόμῳ, καὶ μετὰ τὸ ῥεῦσαι βραχὺ τοῦ αἵματος ὄξει ψυχρῷ κατάντλει τὰς 15
πτέρυγας, ὥστε στυφθῆναι τὸν τόπον. καὶ τοῦ λοι-ποῦ οὐκέτι ῥευματισθήσεται, οὐδὲ ῥεύσουσιν αὐτοῦ τὰ πτερά.

Περὶ ἱέρακος τοῦ ῥίπτοντος τὰ πτερὰ αὐτοῦ ὑπὸ ῥευματισμοῦ. 20

Ἐὰν ὁ ἱέραξ ἀπορρίπτῃ τοὺς ἐλάτας αὐτοῦ ὑπὸ ῥευμα-τισμοῦ, ζητῶν ἀκριβῶς ὑπὸ τὰς πτέρυγας αὐτοῦ εὑρὲ μι-κράς τινας ἀρτηρίας ἃς κέκτηται ὑποκάτω, καὶ φλεβοτόμη-σον αὐτὸν μετὰ μικροῦ φλεβοτόμου· μετὰ δὲ τὸ ῥεῦσαι 25
αἷμα ὀλίγον ἐπίρρανον αὐτὸν ὄξει, ἵνα ἀποστυφθῇ. καὶ οὐκέτι βλαβήσεται ὑπὸ ῥευματισμοῦ, οὐδὲ πτερὰ ἀπορρίψει. ὅταν οὖν ἴδῃς ὅτι ἀνεφύησαν οἱ ἐλάται αὐτοῦ οἱ προπεσόν-τες, λαβὼν κόκκινον ἀρσενίκιον καὶ λίβανον ἐπίσης τρῖψον καὶ ἀναμίγνυε αὐτὰ ἐν ὄξει, καὶ χρῖε τὰς ῥίζας τῶν νέων 30
πτερῶν, καὶ οὕτως ἔμπεδα γενήσονται.

Digitized by Google

Εἰς τὸν ἀποβάλλοντα τοὺς ἐλάτας.

251 Ὅταν ἴδῃς ὅτι ἀγάγει τοὺς ἐλατῆρας αὐτοῦ τὸ ζῷον καὶ ἀναπληρώσει, λαβὼν σανδαράχην καὶ λιβάνου τὸ ἴσον κεκομμένα, ὄξει φυράσας διάχριε τοὺς ἐλατῆρας ὡς πρὸς τὰς ῥίζας αὐτῶν, καὶ στηρίζονται.

Θεραπεία εἰς κλασθέντα πτερά. 134

252 Ἐν τῷ μάχεσθαι πρὸς οἱονδήποτε ὄρνεον πολλάκις ὁ ἱέραξ κατακλᾶν εἴωθε τὰ πτερά, ἑλκόμενος περὶ τὴν γῆν ἐν τῷ κατέχειν τὸν ἀντίπαλον ὄρνιν· πολλάκις δὲ καὶ ἐφάπτεται τοῦ ξύλου ἐν τῷ ἀνίπτασθαι καὶ πάλιν τὰ πτερὰ κατακλᾷ. ἐμβραδύνοντος δὲ τοῦ θηρατοῦ τύπτων θήγει τὰς πτέρυγας· εἴωθε γὰρ ὑπὸ φυσικῆς φρονήσεως σεσοφισμένως σκέπειν τὴν κεφαλήν, ὅπερ ἐστὶν αὐτῷ ζωῆς καιριώτατον, καὶ κατὰ τῶν λαγόνων αἰκίζεσθαι. ἐὰν δὲ τοῦτο συμβῇ, τῷδε τῷ τρόπῳ θεραπεύων οὐκ ἐμποδισθήσῃ πρὸς τὴν θήραν. ἱέρακος τεθνηκότος ἔχων τὰ ἄκρα τῶν πτερῶν καὶ τῆς οὐρᾶς ἐπιστήμων σὺ καὶ θεραπείας ἀνὴρ ἐπειδὰν ἓξ ἑνὸς τῶν ἄκρων κλασθῇ πτερόν, τὸ μὲν δεξιὸν ἀπὸ τοῦ δεξιοῦ, τὸ δὲ εὐώνυμον ἀπὸ τοῦ εὐωνύμου, τὸ δὲ τῆς οὐρᾶς ἀπὸ τῆς οὐρᾶς τοῦ τεθνηκότος καταριθμῶν ὁμοίως. οἷον ἀπὸ πτέρυγος ἔστω τῶν λεγομένων ἑλατήρων τὸ πέμπτον κλασθέν. ἀπὸ τοῦ τεθνεῶτος τὸ ὅμοιον λήψῃ, καὶ ἐπὶ τῶν ἄλλων δὲ ὁμοίως ποιῶν κόψεις τὸ κεκλασμένον πτερὸν 135 μὴ πάνυ πλησίον τῆς σαρκὸς πρὸς τὸ ἐμβληθῆναι τὸ τοῦ τεθνεῶτος. εἶτα ὀξυνεῖς τὸ ἐμβαλλόμενον, καὶ ἀριθμῶν τὸ ἐπιτετμημένον ἓξ ἴσου ἐνθήσεις. καὶ δῆσον λίνῳ, κατὰ μέρος διαπείρας μετὰ τὴν εἰσβολὴν τὰ δύο πτερὰ διαμπάξ. εἶτα ἀπὸ πτεροῦ ἄλλου ποίησον ἧλον, διαπείρας κατὰ μέσον ἑκάτερα τὰ

Digitized by Google

πτερά· ἔστω δὲ τὸ λίνον μέλαν, ᾧ συνδεσμεῖς τὰ δύο πτερὰ μετὰ τοῦ ἤλου τοῦ συνέχοντος αὐτά. τοῦτο δὲ ποιήσεις ἐπὶ πτεροῦ τῆς οὐρᾶς κλασθέντος· ἐπὶ γὰρ τῶν ἀπὸ τῆς πτέρυγος κεκλασμένων πτερῶν ποιήσεις ἕτερον. λαβὼν τὸ πτερὸν κατὰ τὸν εἰρημένον ἀριθμὸν τοῦ τεθνεῶτος, καὶ πρὸς μέτρον κόψον ἴσον, ὥστε μήτε λείπειν μήτε περισσεύειν τῷ φυσικῷ μήκει, καὶ βελόνῃ σιδηρᾷ ἀποκεκαυμένῃ ἡρέμα καὶ ἐχούσῃ λίνον ἐγκάραξον πρὸς τὰ μὴ ὀρθωθέντα, ἀλλ' ἀμφότερα διεστῶτα τῶν πτερῶν. εἶτα προσαρμόσας ὡς τὴν ἀποτομὴν μὴ φαίνεσθαι, συνημμένων δὲ αὐτῶν, δέσμει ἑκάτερα τὰ μέρη τῆς βελόνης, τοῦτ' ἔστι τὰς ἀρχὰς τῶν κεκολλημένων πτερῶν λίνῳ, καὶ βρέξον αὐτὰ παραχρῆμα, ἐὰν ἐπὶ τὴν θήραν ἐπείγῃ. εἰ
136 δὲ μή, λοῦε αὐτόν, ὥστε διαβραχεῖσαν τὴν βελόνην ἰῶσαι καὶ ὥσπερ δεσμὸν ἐμποιῆσαι τοῖς πτεροῖς τὸν ἐκ τοῦ ὕδατος ἰὸν ἐγγινόμενον· τούτου γὰρ οὕτως γενομένου οὐδὲν ἐλλείψει πρὸς τὴν τοῦ ἱέρακος πτῆσιν [μετὰ τὴν πρόσθεσιν αὐτοῦ]. τινὲς δὲ τὴν βελόνην οὔρῳ ἀνθρωπίνῳ παλαιῷ προβρέχουσιν, καὶ οὕτως διαπείρουσιν.

Εἰς κλάσμα πίνης.

Λαβὼν πτελέας φλοιὸν καὶ μαλάχης ἀγρίας ῥίζαν ἕψησον σὺν οἴνῳ παλαιῷ, καὶ τῷ ζέματι κατάντλει, καὶ θεραπεύσεις. 253

Ἄλλο.

Σμύρναν ἀληθινὴν λαβὼν λείου ἐν ὑγδίῳ, καὶ ᾠοῦ τὸ πυρρὸν λαβὼν αὐτὰ ποίει τράκτωμα, καὶ ἐπιτίθει ἐπάνω στυπεῖον μετὰ πετάλων μικρῶν, καὶ δεσμεύων εὐφυῶς ἔχε παραφυλάττων τὸ ζῷον, καὶ θεραπευθήσεται. 254

Digitized by Google

Πῶς δεῖ ἐμβάλλειν ἐλάτην εἰς ἱέρακα.

255 Τῶν συνεργούντων τῇ πτήσει [τῶν ἄλλων] μάλιστα πτερῶν, οὓς ἐλάτας παρωνύμως καλοῦσι διὰ τὸ δι' αὐτῶν ἐλαύνεσθαι καὶ κώπης δίκην διατέμνε- 157
5 σθαι τὸ ἀέριον πέλαγος, τούτων ἑνὸς ἔκ τινος περιπετείας ἀποθραυσθέντος ἐγκεντρισμὸν ἡ τέχνη ἐμηχανήσατο, καὶ πόρον ἐν ἀπόροις εὗρε, παρὰ γεωργῶν ἴσως τοῦτον δανεισαμένη, οἳ πρέμνον ἀλλότριον τῷ ἡμεδαπῷ στελέχει ἐντέχνως ἐνθέμενοι τὴν ἐκείνου
10 ποιότητα τῇ ἑαυτῶν μετωχέτευσαν. οὐ φθονήσομεν οὖν καὶ τὸν τοιόνδε τρόπον ὅπως γενήσεται. λαβὼν τὸν μέλλοντα ἀντιβάλλεσθαι ἐλάτην ἀνάσχισον αὐτὸν ἐκ τοῦ ἑνὸς μέρους, ὥστε δύνασθαι αὐτὸν κλείεσθαι καὶ γίνεσθαι αὐτὸν λεπτότερον· καὶ βαλὼν ἐν θερ-
15 μῷ ὕδατι ἕα ἀπαλύνεσθαι. ἔπειτα πτύξας εὐφυῶς τὸν ἱέρακα τέμε αὐτοῦ προσεχῶς τοῦ κλασθέντος πτεροῦ τὴν πίναν· καὶ καταμετρήσας ἀκριβῶς καὶ ἐξισώσας τοῖς ἄλλοις ἐλάταις, ὥστε μήτε περιττεύειν μήτε ἐνδεῖν, τρύπα κατὰ μέσον λεπτῷ σουβλίῳ.
20 ὁμοίως θεὶς σανίδα καὶ διελάσας εἰς τὴν ὀπὴν τοῦ πτεροῦ πέρδικος βέργα ἀποσφήνου καλῶς, καὶ μετὰ ταῦτα τέμε αὐτοῦ τὰ πτερὰ τοῦ βεργίου ἐξ ἀμφοτέτων τῶν μερῶν, καὶ πάλιν ἔσωθεν τοῦ περωνίου ἄλλο περιδέσμει μιτόλινον, καὶ οὕτως ἀναλάμβανε
25 τὸν ἱέρακα τῶν κόλπων· τοῦ λοιποῦ γὰρ οὐκ ἐμπο- 158
δισθήσεται ἐν τῇ πτήσει.

Περὶ τῶν θραυσθέντων πτερῶν.

Ὅταν θραυσθῶσι τὰ πτερὰ τοῦ ἱέρακος ἢ ἐκ τῶν πτερύγων αὐτοῦ ἢ ἐκ τῆς οὐρᾶς αὐτοῦ, εὑρὼν πτερὰ ἑτέρου τοι-
30 ούτου ὀρνέου ἤδη ἀποψυγέντος, ἐκ τῆς οὐρᾶς ἐκείνου ἐγκέντριζε τῇ οὐρᾷ τοῦ τὰ πτερὰ θραύσαντος ἱέρακος, ἐκ δὲ

Digitized by Google

τῶν ἐλατῶν ἐκείνου ταῖς ἐλάταις αὐτοῦ, καὶ οὕτως ἔμπεδα γενήσονται.

Εἰς σχίσμα ἱέρακος.

Οὐδὲ τὸ τῶν πτηνῶν γένος ἀπόλεμον ἡ φύσις 256
παρήγαγεν, ἀλλὰ καὶ λίαν τῇ τῶν ὀνύχων ἀκμῇ καὶ
τῇ τοῦ ῥάμφους καθωπλισε προσβολῇ, ὥστε καὶ πρὸς
θήραν ἔχειν εὐκόλως καὶ πρὸς ἄμυναν εὐχερῶς.
ἐὰν οὖν τι τῶν κατὰ μέγεθος ἢ κατ' ἰσχὺν πλεονε-
κτούντων πτηνῶν ἀμυνόμενον καὶ τί γὰρ ἢ τὸν περὶ
ψυχῆς θέον ἀγῶνα ἢ ὄνυξιν ἀμύξῃ, ἢ τῷ ῥάμφει ἢ
τῷ ποδὶ τὸν θηρατὴν ἱέρακα πλήξῃ, καὶ πρὸς ἀθυ-
μίαν τὴν εὐθυμίαν σοι περιστρέψῃ, στέαρ χοίρειον
παλαιὸν λαβὼν καὶ μετὰ κλημάτων τέφρας ἀναδεύ-
σας βάλε αὐτὸ εἰς τὴν πληγήν, προκαθάρας αὐτὴν
καλῶς. εἶτα λαβὼν βελόνην πάνυ λεπτὴν εὐφυῶς
ῥάψον, ἵνα μή τις ἄλλη ῥυπαρία ἐμπέσῃ εἰς τὴν πλη-
γήν, καὶ ἰαθήσεται.

Ἄλλο.

Κράμβης καυλὸν καύσας καὶ χάρτην ὁμοίως, καὶ 257
τὴν ἐξ αὐτῶν κόνιν ἀνελόμενος καὶ μετὰ στέατος ὀρ-
νίθων ἀναζυμώσας, ἐπιτίθει τῇ πληγῇ.

189 ## Ἄλλο.

Ἐὰν ὑπὸ γεράνου πληγῇ, καὶ μάλιστα περὶ τὸ 258
στῆθος ἢ τὰ σαρκώδη τοῦ σώματος, οὕτως θεραπεύ-
σεις. σύμφυτον πρῶτον προπάσας εἰς τὸν τόπον ῥάπτε
αὐτόν, τριγώνοις βελονίοις χρησάμενος καὶ ῥάμματι
ἐξ ἐρίου, καὶ ἔξωθεν τῆς ῥαφῆς ἐπίπασσε σύμφυτον·
ἐὰν δὲ τὸ ῥάμμα διασπασθῇ, καὶ μὴ δύνῃ ῥάψαι
αὐτόν, τῷ πάντων εὐχερεστέρῳ χρῆσαι βοηθήματι.
λαβὼν χάρτην γεγραμμένον εἶτε καὶ ἄγραφον καῦσον

Digitized by Google

ἐπιμελῶς, καὶ ἀναμίξας ἐλαίῳ τὴν σκοδὸν τὸν τόπον ἔνθα ἐστὶν ἡ πληγὴ ἄλειφε. εἰ δὲ αἱμορροεῖ ὁ ἱέραξ ἀπὸ τῆς πληγῆς, χαλκῖτιν λαβὼν πρόπασσε εἰς τὸ τραῦμα, καὶ ὠφεληθήσεται. ἐὰν δὲ περὶ ὀστέον ἢ νευρώδη τόπον πληγῇ, λίβανον ἄρρενα κόψας ἔμπασσε, ἢ τὸ λεγόμενον κεφαλικὸν ᾧ κέχρηνται ἐπὶ τοῖς ἀνθρώποις λαβὼν ἐντίθει τῷ τόπῳ, καὶ ταχέως θεραπεύσεις. ἡ δὲ σύνθεσις τοῦ κεφαλικοῦ ἐστὶν αὕτη. ἐλαίου γλυκέος οὐγγ. δ', ἀσφάλτου, κηροῦ, πιτυΐνης ξηρᾶς, πίσσης ἀνὰ οὐγγ. ς', λιθαργύρου γρ. β', ψιμμυθίου γρ. δ' ς'', λιβάνου, ἀλόης, σμύρνης ἀνὰ γρ. δ', ὀπίου, μανδραγόρου, χυλοῦ τῶν μήλων ἀνὰ 141 γρ. δ', στυπτηρίας σχιστῆς, χαλκάνθης, χαλκίτεως, κρόκου ἀνὰ γρ. δ', ὄξους δριμυτάτου τὸ ἀρκοῦν, τὰ τηκτὰ τήξας ἐπίπαττε τοῖς ξηροῖς κεκομμένοις καὶ σεσησμένοις, ἀναμαλάξας ἀπόθου. ἐπὶ δὲ τῆς χρείας μετὰ ῥοδίνου ἀναλύων ἐπάλειφε τὴν πληγήν.

Εἰς σχίσμα ἱέρακος.

259 Ἐὰν ἀπειροτέρως ἢ ἀφυλακτοτέρως ἢ ἀπλήστοτέρως προσελθὼν ἱέραξ γεράνῳ λακτισθῇ, καὶ ὑπὸ πελαργοῦ τὸ αὐτὸ πάθῃ καὶ ῥαγῇ τὸ δέρμα αὐτοῦ, θεραπεύσεις οὕτως. λαβὼν αὐτὸν παραχρῆμα ἀνάρραψον τὴν πληγὴν βελόνῃ λεπτῇ ἐχούσῃ λίνον, καὶ συνάγαγε τὸ διεστὸς τοῦ δέρματος. ἔπειτα λαβὼν κόνιν ἀπὸ φλοιοῦ δρυὸς κεκαυμένην καὶ φυράσας μετὰ ἐλαίου γλυκέος κατάπασσε, καὶ τὴν τῶν περιστερῶν δὲ κόπρον ἀναμεμιγμένην ἐλαίῳ καὶ οἴνῳ ὡς ἔμπλαστρον ποιήσας καὶ θεὶς ἐπὶ τῇ πληγῇ οὐκ ἂν ἁμάρτοις ὡς καλλίστῃ θεραπείᾳ χρώμενος.

Digitized by Google

Ἐὰν ὑπὸ λαγωοῦ ἢ γεράνου ἢ ὑπὸ ἄλλου ὀρνέου πληγεὶς ὁ ἱέραξ διασχισθῇ τὸ δέρμα.

Ἐὰν ὑπὸ ἀπειρίας τοῦ θηρευτοῦ ἢ ὑπὸ θρασύτητος πλήξῃ ὁ ἱέραξ σφοδρῶς ἢ γέρανον ἢ λαγωόν, καὶ πληγῇ καὐτὸς ὑπ' ἐκείνων, καὶ διασχισθῇ τὸ δέρμα αὐτοῦ, θεράπευε αὐτὸν οὕτω. αὐτίκα μάλα ῥάψον τὴν πληγὴν ῥάμματι λινῷ μετὰ βελόνης, ᾗ τὰς δορὰς ῥάπτουσι. καὶ λαβὼν τέφραν φλοιοῦ δρυΐνου ἕνωσον αὐτὴν ἐλαίῳ ἄλας μὴ ἔχοντι, καὶ ἄλειφε τὸν τόπον. καὶ κόπρον περιστερᾶν ἐὰν ποιήσῃς κατάχρισμα μετὰ ἐλαίου καὶ οἴνου καὶ ἐπιθήσῃς αὐτό, ὠφεληθήσεται πάνυ.

142 *Ἄλλο.*

Ῥάπτε τὸ διαιρεθέν, εἶτα σύμφυτον μετὰ σαρκοκόλλης μίξας ἐπιτίθει, καὶ καταστήσεις ὀλίγαις ἡμέραις τὸν ὄρνιν ὑγιᾶ. 260

Ἕτερον.

Ῥάπτε τὸ σχίσμα καὶ ἑνώσας σύμφυτον τῇ σαρκοκόλλῃ θὲς ἐπάνω, καὶ μετ' ὀλίγας ἡμέρας ἰαθήσεται.

Ἄλλο.

Σαρκοκόλλης εὐμαλάκτου τετριμμένῳ αἵματι ὄρνιθος κατοικίδος νεοσφαγοῦς ἀναλάμβανε καὶ ἐπιτίθει, καὶ παραχρῆμα θεραπεύσεις. 261

Ἕτερον.

Σαρκοκόλλαν καλῶς μεμαλαγμένην ἕνωσον αἵματι ὄρνιθος σφαγιασθείσης συντόμως, καὶ ἰαθήσεται.

Εἰς πληγὴν αὐθωρὸν ἢ σύριγμα.

Εἰ συμβαίη ἢ εἰς κορώνην ἢ εἰς πέρδικα ἢ ἄλλως πως τυχηρῶς ἢ παρὰ τὴν αἰτίαν τοῦ ἱερακοτρόφου συρραγῆναι ἱέρακα, θεράπευε οὕτως. ῥέον Ποντικὸν τρίψας μετὰ οἴνου παλαιοῦ δὸς αὐτῷ. 262

Digitized by Google

Εἰς δαρέντα ἱέρακα.

263 *Ἐὰν ἱέραξ δαρῇ ὑπὸ ὀρνέου ἐν θήρᾳ, ὁ ἀπολύσας αὐτὸν ἐν αὐτῇ ἐπάνω αὐτοῦ οὐρησάτω, καὶ εὐθέως ἐπιλησθήσεται τῶν πληγῶν.*

Ἐὰν δαρῇ ὑπὸ ἄλλου ὀρνέου.

Ἐὰν δαρῇ ἐν τῇ θήρᾳ ὑπὸ ἄλλου ὀρνέου, οὐρησάτω ὁ θηρευτὴς ἐπάνω, καὶ ἰαθήσεται.

Ἐὰν δαρῇ ἱέραξ ὑπὸ ὀρνέου ἢ γεράνου.

264 *Τὸν ἀπὸ γεράνου ἢ ἐξ ἄλλου τινὸς ζῴου πλη-* 143
*γέντα ἱέρακα * * ῥῖπτε ἔνδοθεν τοῦ σχίσματος στέαρ χοίρειον, καὶ οὕτως ῥάπτε καὶ ἐπίπαττε ῥητίνην λεπτὴν ξηρὰν καὶ χαλκείου ξύσμα ἐκ τοῦ ὑποκάτωθεν μέρους τοῦ χαλκείου. τὸ δὲ ἀξούγγιν ῥῖπτε διὰ τὸ ἔχειν ἔσωθεν πιότητα.*

Εἰς τετρωμένον ἱέρακα ἀπὸ συμπλοκῆς.

265 *Κρουσθέντα αὐτὸν πτύξας κατανόησον πρὸς τὸ μὴ πληγέντα λαθεῖν, καὶ τίλλε τὸν τόπον ὅπου ἡ πληγή. ἡμέρου δὲ ἀμπέλου καύσας κλήματα προσφύσα οἴνῳ τῷ τόπῳ καὶ ἐπίπασσε.*

Ἄλλο.

266 *Ἀλόην καὶ κόπρον περιστερᾶς τὸ ἴσον κόψας καὶ σήσας, στέατι χηνείῳ ἀναλάμβανε καὶ ἐπιτίθει τῇ πληγῇ.*

Ἄλλο.

267 *Λίβανον καὶ ψιμμύθιν τὸ ἴσον μετὰ συμφύτου τὸ ἱκανὸν λειώσας ἐν ἰγδίῳ καὶ ἀναμαλάξας ἐπιτίθει.*

Digitized by Google

144 *Πρὸς τοὺς ἀνασχισθέντας ὑπὸ κυνὸς ἢ ἄστου.*

Πτύξας τὸν ἱέρακα προσφύσα οἴνῳ καὶ ἐλαίῳ 268
τὸν τόπον, καὶ ἐπίπασσε τὸ ξηρίον· τοῦ δὲ ξηρίου ἡ
σύνθεσις αὕτη. λαβὼν δρυὸς φλοιὸν καὶ κλήματος 5
τὸ ἴσον, λειώσας μίξον συμφύτῳ καὶ λιβάνῳ καὶ ἀρι-
στολόχῳ καὶ ῥητίνῃ καὶ κόπρῳ περιστερᾶς ἀγρίας,
ἑκάστου τὸ ἴσον κόψας, καὶ σήσας λεπτῷ κοσκίνῳ
ἐπίπασσε ξηρόν.

Εἰς πληγὴν ἱέρακος.

Κολοκύνθην ἀπ' ἐλαίου παλαιὰν λαβὼν καῦσον, 269
ἔπειτα λαβὼν τὴν κόνιν ἀνάφυρε οὔρῳ ἀνθρωπίνῳ 10
καὶ ἐπιτίθει· εἰ δὲ οὐκ ἔστι τοιαύτης κολοκύνθης
εὐπορία, λαβὼν ἄλλην ξηρὰν καῦσον καὶ μετ' ἐλαίου
ἀναμίξας ἐπιτίθει τῇ πληγῇ τοῦ ἱέρακος.

Ἐκ ποίας αἰτίας κλάσματα γίνεται, καὶ 15
πῶς θεραπεύεται.

Ἐν τῇ θήρᾳ πολλάκις τῶν ἰσχυροτέρων ζῴων, γε- 270
145 *ράνου δὲ λέγω καὶ χηνὸς καὶ πελαργοῦ, μαχόμενος ὁ*
ἱέραξ ἔστιν ὅτε λακτίζεται καὶ κλᾶται, ἔστιν δ' ὅτε καὶ
ἀπὸ πτέρυγος ῥαπίζεται, μὴ ἔχων τὸν πόδα ἐπὶ στι- 20
βαρᾶς βάσεως [ἢ ἐν τῷ ξύλῳ προσραγείς]. γίνονται
δὲ καὶ ἄλλαι πολλαὶ αἰτίαι τούτου τοῦ πάθους, ἃς
παραιτητέον νῦν γράφειν διὰ πλῆθος. θεραπεύσεις
δὲ οὕτως. κάλαμον ξύσας ἐπιμελῶς καὶ τὸν ἐν αὐτῷ
κόνδυλον ἐξισώσας, κύκλῳ περίδες τοῦ ὄρνιθος τῷ 25
ποδί, καὶ περίδησον ὥσπερ ἔθος ἐστὶ ποιεῖν ἐπ' ἀν-
θρώπων τῷ τοιούτῳ πάθει περιπεσόντων. ψιλὸν δὲ
ἀποδείξεις πτερῶν τὸν πεπονθότα τόπον, μάλιστα ἐὰν
περὶ τὴν μασχάλην ἢ τὸν μηρὸν συμβαίνῃ τὸ κλάσμα·

Digitized by Google

ἐὰν γὰρ ἐκβολὴν ποιήσῃ περὶ τὴν μασχάλην ὀστέον, ἀθεράπευτόν ἐστι τὸ πάθος. ἔπειτα λαβὼν ῥίζαν πτελέας καὶ ταύτην ἐκξέσας σὺν οἴνῳ πολλῷ ἕως οὗ γένηται γλοιώδης καὶ παχεῖα, συνεχέστερον τῆς ἡμέρας τὸ πεπονθὸς μέρος ἀπαντλῶν ποίει ἀδιαλείπτως ἕως ἂν θεραπεύσῃς.

Λαβὼν βοτάνην σύγχλον καλουμένην καὶ ξέσας τῷ ὕδατι κατάντλει τοὺς τόπους τοῦ κλάσματος ἐπὶ ἡμέρας ἑπτά, καὶ θεραπεύσεις· καὶ ἐπὶ πλείονας δὲ ἡμέρας ποιεῖν τοῦτο μὴ ὀκνήσῃς, ἕως οὗ θεραπεύσῃς.

Τράκτωμα εἰς κλάσμα ποδὸς ἱέρακος. 146

271 Ὕελον Ἀλεξανδρινήν, σμύρναν ἀληθινήν, πίσσαν καὶ λίβανον λειοτριβήσας καὶ ἅμα ᾠοῦ τὸ λευκὸν ἀναλαβὼν ἐπίθες, καὶ σφίγξας μετὰ ἐρίου ἀπόλυσον αὐτὸν εἰς οἴκημα. σημεῖον δὲ τοῦ καλῶς ἔχειν αὐτόν ἐστιν ὅταν εὕρῃς τὸ βοήθημα χαῦνον. λύσας οὖν τότε τὸν πόδα μαλάγματι χρῆσαι τῷ τῆς Φοινίκης, ᾧτινι χρῶνται οἱ ἰατρικοὶ ὑγιεῖς. ἡ δὲ σύνθεσις αὐτοῦ ἐστιν αὕτη. ἀμμωνιακοῦ θυμιάματος οὐγγ. α′, βδελλίου οὐγγ. α′, στύρακος οὐγγ. ϛ″, καστορίου οὐγγ. ϛ″, ἐλαίου παλαιοῦ οὐγγ. ϛ′, σικυώνου οὐγγ. ϛ′, ἰξοῦ δρυΐνου οὐγγ. α′ϛ″, βουτύρου οὐγγ. α′, τερβίνθου οὐγγ. ϛ″, κηροῦ οὐγγ. ϛ′, χαλβάνης οὐγγ. ϛ″, στέατος ταυρείου οὐγγ. ϛ″, στέατος χηνείου οὐγγ. ϛ″, τὰ πάντα τήξας καὶ ἀναμαλάξας χρῶ.

Ἐὰν θραυσθῇ ἢ ποὺς ἢ πτέρυξ αὐτοῦ.

Ἐὰν θραυσθῇ ὁ ποὺς ἢ ἡ πτέρυξ αὐτοῦ καὶ ὁ τόπος ἔτι κεκτῆται πτερά, ἀνάσπασον αὐτὰ καὶ καλάμωσον αὐτὸν σὺν ναρθηκίᾳ, καὶ δῆσον αὐτὸν ὡς καὶ τοὺς ἀνθρώπους, ὅταν αὐτῶν ἢ ἡ χεὶρ ἢ ὁ ποὺς θραυσθῇ, ἢ αὖθις λαβὼν σμύρναν ἀληθῆ καὶ πίσσαν καὶ λίβανον τρῖψον αὐτά, καὶ

Digitized by Google

ἐνώσας τῷ τοῦ ᾠοῦ λευκῷ θὲς αὐτὰ ἐπάνω, καὶ σφίγξον αὐτὸν μετὰ μαλλοῦ καὶ ἔασον αὐτὸν ἄνετον ἐν τῇ οἰκίᾳ. ὅταν οὖν ὑποχαλᾷ ὁ δεσμὸς αὐτοῦ, ἴσθι ὅτι πρὸς ὑγίειαν ἔρχεται. τότε τοίνυν λύσας αὐτὸν ποίησον τοιοῦτον ἐπίχρισμα. ἀμμωνιακὸν οὐγγίαν μίαν, βδέλλιον οὐγγίαν μίαν, στύρα ἑξάγια γ', ἔλαιον παλαιὸν οὐγγίας ς', ἀγριοαγγουριζοέλαιον οὐγγίας ς', ἰξὸν δρύινον ἑξάγια θ', βούτυρον οὐγγίαν μίαν, τζιτζιρεβινθέαν ἑξάγια θ', κηρὸν οὐγγίας ς', χαλβάνην ἑξάγια γ', στέαρ ταύρειον ἑξάγια γ', στέαρ χηνὸς ἑξάγια γ', πάντα καλῶς λύσας καὶ ἑνώσας αὐτὰ ἐπίχριε τὸν τόπον.

Ἄλλο.

272 Λαβὼν κοχλιάριον ὀρεινὸν καὶ σμύρναν καὶ κρόκον ᾠοῦ λειώσας βάλλε εἰς ἀλουτῆρα· καὶ ἐπιθήσας ἀπόλυε τὸν ἱέρακα εἰς οἴκημα σκοτεινόν, ὑποστρώσας αὐτῷ χόρτον.

147 ## Ἄλλο τῆς φοινίκης.

273 Λειώσας λιθάργυρον λίτρας γ', χαλκίτιδος οὐγγ. δ', ἀξούγγιν παλαιὸν ἀνάλατον ἐκτετηγμένον λίτρ. β', πρῶτον ὀλίγῳ ἐλαίῳ φύρα τὴν χαλκῖτιν. εἶτα μετὰ τῆς λιθαργύρου μίξας ὅλον τὸ ἔλαιον ἐπίχεε τὸ ἀξούγγιον ἐκτετηγμένον εἰς αὐτό, καὶ βαλὼν ἐν κακάβῃ γεγανωμένῃ ἕψει μαλθακῷ πυρί, κινῶν σπάθῃ φοινικικῇ. εἶτα ἆρας ἀπὸ τοῦ πυρὸς ἀναμάλαττε καὶ χρῶ.

Ἄλλο τράκτωμα.

274 Ἀμμωνιακὸν θυμίαμα, πρόπολιν, βδέλλιον, μαστίχην, ῥητίνην, κόμμι, ἀρκευθίδος κόκκους, ἑκάστου τὸ ἴσον λαβὼν λείου ἐν ὑγδίῳ· εἶθ' οὕτως λαβὼν ὄρνιθος κατοικίδος κόπρον ἔμβαλε τοῖς προλειωθεῖσι, καὶ ἀναλαβόμενος τράκτωσον καὶ συνδέσμει ὡς ἔθος ἐστὶ τοῖς ἰατροῖς ποιεῖν.

Digitized by Google

Ἄλλο.

275 *Μαρμάρου μέρος ἕν, ὀστράκου μέρος ἕν, σμύρνης μέρος ἕν, ὑελίου μέρος ἕν, λύχνου μέρος ἕν, μαστίχης, πεπέρεως, ῥητίνης, κλῆμα σταφυλῆς μελαί-* 148
5 *νης καυθὲν καὶ ξηρὸν γενόμενον μέρος ἕν, ταῦτα πάντα κόψας καὶ σήσας ἀναλάμβανε, καὶ κόπρον ὄρνιθος καὶ ὄξους τὰ ἀρκοῦντα, καὶ ἐπιδέσμει ὡς προείρηται.*

Μάλαγμα.

276 *Σμύρναν ἀληθινὴν καὶ ἀλόην ἀμφότερα μίξας*
10 *καὶ λειώσας καὶ λευκὸν ᾠοῦ ἀνελόμενος ἐπιτίθει εὐφυῶς καὶ ἐπιδέσμει, καὶ ἕα αὐτὸ ἄχρις ἂν ἀποκολληθῇ τοῦ κάσχοντος τόπου.*

Ἕτερον μαλακτικόν.

15 *Σμύρνην ἀληθῆ καὶ ἀλόην τρῖψον καὶ ἀναμίγνυε αὐτὰ τῷ τοῦ ᾠοῦ λευκῷ, καὶ θεὶς δῆσον αὐτὰ καὶ ἔασον ἕστ' ἂν ἀποκολληθῶσιν αὐτομάτως.*

Εἰς θλάσιν ποδός.

277 *Ἐπίθες τῷ ποδὶ τοῦ ἱέρακος σμύρναν καὶ λίβα-*
20 *νον ἴσον λειώσας καὶ ᾠοῦ τὸ λευκὸν ἀναλαβών· εἶτα ἐρίῳ λευκῷ ἐπιδέσμευσον, καὶ ἀπόλυσον αὐτὸν ἐν οἰκήματι, καὶ ἀποκατασταθήσεται.*

Περὶ θραυσθέντος ποδός.

Τρῖψον λίβανον καὶ σμύρναν ἐπίσης καὶ θεὶς καὶ τὸ
25 *τοῦ ᾠοῦ λευκὸν δῆσον αὐτὸν μετὰ μαλλοῦ λευκοῦ, καὶ ἔασον αὐτὸν ἐν τῇ οἰκίᾳ, καὶ ἰαθήσεται.*

Ποῖα τῶν κλασμάτων θεραπεύονται καὶ ποῖα οὔ.

278 [*Κλάσματα θεραπεύονται διάφορα.*] *ἐκ βουβῶνος*

Digitized by Google

κλασθεὶς ἱέρακ μένει ἀθεράπευτος· ὁμοίως καὶ ἐξ ἁρμοῦ καὶ ἐξ ἀκροπτέρου. τὰ δὲ δυνάμενα θεραπευθῆναι ἐκιδήσας νάρθηκι ἢ καλάμῳ ἐξίσωσον, ἢ τὸν πόδα ἢ ἕτερον μέρος, καὶ εἰς κοιτῶνα σκοτεινὸν χόρτον στρώσας ἀπόθου τὸ ὄρνεον πρὸς τὸ μὴ σκύλλεσθαι. κατάκοπτε δὲ κρέας καὶ παράβαλε αὐτὸ καὶ ἄφες ἐπὶ ια´ ἡμέρας· καὶ μετὰ ταῦτα ἄρας αὐτὸν ἠρέμα ἔξω λῦσον τὸν νάρθηκα ἀπὸ τοῦ κλάσματος. εὑρήσεις δὲ αὐτοῦ τὰ νεῦρα παρεσπασμένα. λαβὼν οὖν ἔμπλαστρον χαλαστικὸν ἐπίθες πρὸς τὸ συγχαλάσαι καὶ μαλάξαι τὰ νεῦρα. ἔστι δὲ ἡ σύνθεσις τοῦ ἐμπλάστρου αὕτη. λιθαργύρου λίτρας β´, πίσσης λίτρας α´ ς´´, ἀσφάλτου Ἰουδαϊκῆς λίτρας β´, πιτυΐνης ξηρᾶς λίτρας β´, κηρίου λευκοῦ τρακτοῦ λίτρας β´, λιβάνου λίτρας α´ ς´´, στέατος ταυρείου οὐγγ. ϛ´, ἀλθέας χυλόν, λινοσπέρματος χυλὸν ἀνὰ οὐγγ. ϛ´, ἐλαίου χαμαιμήλου τὸ ἀρκοῦν, τὰ τηκτὰ τήξας μετὰ τοῦ στέατος, τὸν δὲ λιθάργυρον καὶ τοὺς χυλοὺς ἑψήσας μετὰ ἐλαίου, ἐπίβαλε τοῖς τηκτοῖς, καὶ πάλιν ἕψει τὸ ἱκανόν, καὶ ἀνελόμενος ἐκ τοῦ πυρὸς ἐπίπαττε τὴν ἄσφαλτον καὶ τὴν λίβανον κεκομμένα, καὶ κίνει ἕως ψυχρανθῇ, καὶ ἀναμαλάξας ἔχε καὶ χρῶ.

Ποῖα τῶν θλασμάτων ὑγιαίνουσι καὶ ποῖα οὔ.

Ἐὰν θλασθῇ ὑπὸ τὴν μασχάλην ἢ ἐν ἄκρᾳ τῆς πτέρυγος ἢ ἐν ἁρμῷ τινί, ἀνίατόν ἐστι· τὰ δὲ ἐν ἑτέρῳ τόπῳ θλάσματα, ἐὰν θέλῃς αὐτὰ ἰατρεῦσαι, ἐξίσωσον τῷ τόπῳ ἢ ναρθηκίαν, καὶ δῆσον αὐτὸν καὶ ὑπόστρωσον ἐν τόπῳ σκοτεινῷ χόρτα καὶ κάθισον αὐτόν, ἵνα μὴ ἄνω καὶ κάτω περιέρχηται. κόπτε δὲ κρέας ἐν μικροῖς τόμοις καὶ παράθες αὐτῷ καὶ ἔασον ἡμέρας ια´. μετὰ ταῦτα δὲ ἐξελὼν τοῦτον λῦσον ἡσύχως τὴν ναρθηκίαν, καὶ εὑρήσεις τὰ νεῦρα αὐτοῦ παρεσπασμένα. καὶ λαβὼν λιθάργυρον λίτρας β´ καὶ Ἰουδαϊκὸν ἄσφαλτον οὐγγίας ιή´, κηρίου τράκτου λίτρας β´,

Digitized by Google

λίβανον οὐγγίας ιή, ἀλόην, σμύρναν, ἀμμωνιακόν, βδέλλιον, ῥητίνην ξηράν, στέαρ ταύρειον οὐγγίας ς', ἔλαιον, χαμαιμηλέλαιον, τὰ μὲν τρίβεσθαι δυνάμενα τρῖψον μετὰ τοῦ στέατος, τὴν δὲ λιθάργυρον καὶ τοὺς ζωμοὺς τοῦ τε λινοσπέρματος καὶ τῆς λευκῆς μαλάχης, ἕψησον αὐτὰ μετὰ ἐλαίου καὶ θὲς ἐν αὐτοῖς τὰ τριφθέντα, καὶ αὖθις ἕψησον αὐτὰ παλῶς. ὅταν δὲ τοῦ πυρὸς αὐτὰ ἐκβάλῃς, ἐπίπαττε αὐτοῦ μετὰ τοῦ Ἰουδαϊκοῦ ἀσφάλτου καὶ τοῦ λιβάνου τετριμμένου, καὶ ἔασον αὐτὰ ψυχρανθῆναι, καὶ ποιήσας αὐτὰ ἐπίχρισμα θὲς αὐτὸ ἐπὶ τοῦ ἀλγοῦντος τόπου.

Εἰς ἐκβολὴν ποδός. 150

279 Ἐὰν μὲν πτεροῖς τὸ τῶν πτηνῶν γένος ἡ φύσις ἐπλούτισε, δι' ὧν τὸν ἀέρα διατέμνειν εἴθισται, ἀλλ' οὖν οὐ μείονα τούτου καὶ τὴν ἀπὸ τῶν ποδῶν αὐτοῖς χρείαν καὶ συνέργειαν ἐνέθηκεν, εἴπερ θηρῶνται διὰ τούτων καὶ ἐγκρατεῖς γίνονται τῶν ἐχθρῶν, καὶ τῆς τροφῆς εὖ μάλα περιδραττόμενοι τὸ ἴσον βούλονται ταύτης ἡδέως τῷ ῥάμφει καὶ ἀναλαμβάνουσι. καὶ μὴν καὶ ἀναπαύλης τούτοις ἐν τῷ καθῆσθαι πρόξενοι γίνονται τὸν ἐκ τῆς πτήσεως πόνον παραμυθούμενοι. ἀλλὰ τί ἔτι νῦν τὰ τῆς φύσεως δῶρα ἀπαριθμεῖσθαι, πλὴν εἰς παρατροπήν τινων ἢ τῆς θέσεως ἐκβολήν τινα ὑπομεινάντων βοήθειαν; ἕξει δὲ ὁ τούτων τῇ φροντίδι ἐνασχολούμενος ταῦτα. ὅταν ἐκβολὴν ὑπομείνῃ ὁ λίραξ ἐν τῷ ποδὶ ἢ μετακίνησιν δακτύλου ἢ αὐτὴν τὴν θέσιν τοῦ ποδὸς βλαβῇ ἢ ἀπὸ συρίγματος ἢ ἀπὸ τοῦ περιπλακῆναι αὐτὸν ἐν τῷ κονταρίῳ μὴ κρεμαμένου καταπετάσματος, θεράπευε αὐτὸν οὕτως. σκορίαν χαλκέως λαβὼν καὶ κόψας καὶ τρίψας ἐπιμελῶς καὶ μετὰ ὄξους λειώσας, τὸν πάσχοντα τόπον 151 χρῖε. ποίει δὲ καὶ τὸ τῶν κοχλίων τῶν μικρῶν κατάχρισμα, ὡς ἐν τῷ περὶ φλεγμονῆς εἴρηται.

Digitized by Google

Περὶ δακτύλου ἢ ποδὸς ἐξαρμοσθέντος ἱέρακος.

Τρίψας καλῶς ἰὸν σιδήρου ποίησον αὐτὸν μετὰ ὄξους ἐπίχρισμα καὶ χρῖε τὸν πάσχοντα τόπον, καὶ θλάσας ὄστρακα κυκλοτερῆ, ὡς ἐγράψαμεν ἐν τῷ περὶ φλεγμονῆς, ποίει κατάπλασμα, καὶ θὲς αὐτὸ ἐπὶ τοῦ πάσχοντος τόπου.

Μάλαγμα.

Καστορίου, ἰοῦ ξυστοῦ, φύλλου, λιθαργύρου 280
ἀνὰ οὐγγ. ς″, σμύρνης, κηροῦ, ἀσφάλτου ἀνὰ οὐγγ. β′. τὸ καστόριον τὸν λιθάργυρον καὶ τὸ φύλλον κόψας καὶ σήσας καὶ ἀνακαθάρας λεπτῷ κοσκίνῳ καὶ τὰ τηκτὰ τήξας καὶ ἀναμαλάξας ἐπιτίθει προαντλῶν ὕδατι θερμῷ.

Περὶ οἰδηκότος ἤτοι σπόγγου.

Γίνεται τὸ τοιοῦτον ἀπὸ λώρου σκληροῦ ἢ ἀπὸ 281
χιόνος σκληρᾶς. ἡ οὖν θεραπεία αὕτη. ἀμυχὰς δίδου εἰς τοὺς δακτύλους κατ' ὀθὸν ἢ μετὰ φλεβοτόμου ἰατρικοῦ ἢ μετὰ ὀξυτάτης καὶ λίαν ἠκονημένης μαχαίρας· εἶτα λίβανον καὶ λιθάργυρον καὶ ὕελον Ἀλεξανδρινὴν καὶ ᾠοῦ τὸ λευκὸν καὶ κοχλίου τὸ κολλῶδες καὶ σιελῶδες λειώσας, ἅμα κατάπασσε τὸν πόδα καὶ ἐπιδέσμει, καὶ μὴ λύσῃς αὐτὸν ἄχρις ἂν ὑγιὴς γένηται. εἶθ' οὕτως οἴνῳ θερμῷ ἐπίβρεχε τὸν πόδα, καὶ καλῶς ἕξει.

Περὶ οἰδήματος ποδὸς ἢ ἀστραγάλου.

Γίνεται δὲ τοῦτο ἢ ὑπὸ λώρου μὴ μεμαλαγμένου καλῶς ἢ ὑπὸ χιόνος. ποίει δὲ ταύτην τὴν ἰατρείαν. λαβὼν φλεβότομον ἢ μάχαιραν ἠκονημένην ὀξεῖαν κέντησον αὐτὸν ἐπάνω τοῦ οἰδήματος, καὶ τρίψας λίβανον καὶ λιθάργυρον καὶ ὕελον Ἀλεξανδρινὴν καὶ ᾠοῦ τὸ λευκὸν καὶ τὰς τῶν κοχλιῶν σάρκας, ἀναμίγνυε αὐτὰ ὁμοῦ καὶ ἐπίπασσε τὸν τόπον, καὶ

Digitized by Google

δῆσας αὐτὸν μὴ λύσῃς ἄχρις ἂν ὑγιὴς γένηται. εἶτα ἄντλει αὐτὸν μετὰ οἴνου θερμοῦ, καὶ ἰαθήσεται.

Εἰς ἀνοιδοῦντα πόδα. 152

282 Κηροῦ οὐγγ. δ', στέατος ὀρνιθείου οὐγγ. β', ὀποῦ βαλσάμου τὸ ἀρκοῦν μίξας καὶ ποιήσας κηρωτὴν ἐπιτίθει.

Ἐὰν σφαιροποιηθῇ ὁ ἀστράγαλος ἤτοι φλεγμαίνῃ.

283 Λαβὼν λίβανον ἀρρενικὸν καὶ ὕελον καὶ μάρμαρον, τὸ ἴσον ἑκάστου τρίψας καὶ λειώσας ἀναλάμβανε χολὴν τράγου καὶ φοῦ τὸ λευκόν, καὶ ἐπίθες εἰς τὸν ἀστράγαλον τοῦ ἱέρακος καὶ ἐπιδέσμει εὐφυῶς.

Εἰς φλεγμονὴν ἱέρακος.

284 Λαβὼν κηκίδια καὶ σμύρναν ἀληθινὴν καὶ ἀκακίαν τὸ ἴσον ἑκάστου τρίψας καὶ λειώσας ἐν ὑγδίῳ ἐπίσταξε ὄξος· καὶ ὅταν γλοιῶδες γένηται, χρῖε τούτου τοὺς πόδας.

Περὶ φλεγμονῆς ποδῶν.

Κηκίδια, σμύρνην καὶ ἀκακίαν ἐπίσης τρίψας ἐν θυΐᾳ ἐπίσταζε ὄξος ἕστ' ἂν γένηται ἐπίχρισμα, καὶ χρῖε μετ' αὐτοῦ τοὺς φλεγμαίνοντας πόδας.

Ἄλλο.

285 Κοχλίας μικροὺς λαβὼν καὶ σὺν τοῖς ὀστράκοις αὐτοὺς θλάσας ἐπίδησον δι' ὀθονίου, καὶ τοῦ ἐπιθήματος λαβὼν χρῖε τὰ φλεγμαίνοντα τῶν ποδῶν μέρη. 153

Ἄλλο.

286 Μαρμάρου καὶ ὀστράκου ἀπὸ κατενέγξεως οἰκη-

Digitized by Google

μάτων καὶ γύψου καὶ ἀμμωνιακοῦ καὶ προπόλιος καὶ κόπρου κατοικιδίας ὄρνιθος καὶ ἅλατος γαγγρικοῦ καὶ ῥητίνης καὶ πίσσης, ταῦτα τῷ ἴσῳ σταθμῷ λαβὼν καὶ κόψας καὶ ἀναμαλάξας ἐπιτίθει.

Ἕτερον.

Ὄστρακον καὶ μάρμαρον καὶ γύψον ἐξ ἐρεπίου καὶ ἀμμωνιακον καὶ πρόπολιν καὶ κόπρον ὀρνίθων τιθασσῶν καὶ ἅλας καὶ ῥητίνην καὶ πίτταν ἐπίσης, ταῦτα τρίψας μίγνυε καὶ χρῖε τὸν πάσχοντα τόπον.

Εἰς περιστροφὴν ποδός.

Σμύρναν ἀληθινὴν καὶ κοχλίου τὸ σαρκῶδες 287
λειώσας ἐπιτίθει.

Περὶ ποδὸς ἐξαρμοσθέντος.

Σάρκα κοχλιῶν καὶ σμύρνην τρίψας μίγνυε αὐτὰ καὶ κατάπλασσε αὐτόν.

Εἰς νευροτρώτους.

Ἐκ συμπλοκῆς ἔστιν ὅτε τοῦ νεύρου ἐν τῇ τροπῇ 288
τρωθέντος συσπᾶται τοῦ ἱέρακος ὁ τρωθεὶς πούς. δεῖ οὖν τὸν περιπεσόντα τοιούτῳ πάθει ἐπαντλεῖν ἐλαίῳ χλιαρῷ, καὶ μετὰ τὴν κατάντλησιν μαλακτικὸν ἔμπλαστρον ἐπιτιθέναι. δεῖ δὲ καὶ συνεχέστερον ποιεῖν τὴν κατάντλησιν.

Περὶ πάθους νευροφάγου.

Δεῖ σε ἀντλεῖν τοῦτο τὸ πάθος μετὰ χλιαροῦ ἐλαίου, μετὰ ταῦτα θεῖναι ἔμπλαστρον μαλακτικόν. ἄντλει οὖν τοῦτο συχνῶς.

Εἰς μυρμηκίασιν.

Τὸν ἱέρακα συμβαίνει μυρμηκιᾶν, ἐπανασταθέντος 289
τινος γινομένης τυλώδους τῷ τούτου σώματι· τοιοῦ-

Digitized by Google

τον γὰρ τὸ τοῦ πάθους εἶδος περιφερὲς τυγχάνον καὶ πλατεῖαν ἔχον τὴν βάσιν πρὸς τὰς ἀποψύξεις αἴσθησιν ἐμποιεῖ τοῦ παραδήγματος μύρμηκος. χρὴ οὖν θεραπεύειν οὕτως. ἀγριοσυκῆς ῥίζαν νεαρὰν συνθλάσας ἀκόθλιψον, καὶ λαβὼν τὸν ζωμὸν ἐπάλειφε αὐτάς, καὶ θεραπευθήσεται.

Εἰς μυρμηκίασιν.

Ἡ νόσος ἡ λεγομένη μυρμηκίασίς ἐστι τοιαύτη. ἐπιγίνεται τῷ ἱέρακι ὡς φύματα. εἰσὶν οὖν πλατέα. ὅταν δὲ ἀποψυχθῶσι δάκνουσιν ὡς μύρμηκες. λαβὼν οὖν ῥίζαν πρόσφατον συκῆς ἀγρίας θλάσον αὐτὴν ἐν θυΐᾳ, καὶ σακελίσας αὐτὴν λάμβανε τὸν ζωμὸν καὶ χρῖε τὸν τόπον, καὶ λαθήσεται.

Ἄλλο.

290 Κεδρέαν μετὰ ὄξους δριμυτάτου μίξας ὑπάλειφε.

Ἕτερον.

Κεδρέαν ὄξει δριμυτάτῳ ἑνώσας χρῖε τὸν ἱέρακα.

Ἄλλο.

291 Ἀκροχορδόνην βοτάνην μετὰ πηγάνου χλωροῦ ἀναβέσμου ξηρου βαλὼν ἐν ὑγδίῳ κόψας αὐτὰ ἐπίχριε.

Εἰς ἥλους.

292 Χελώνης αἷμα λαβὼν μίξον μετὰ ὄξους δριμυτάτου καὶ ἄλειφε αὐτούς.

Εἰς ἥλους.

Χελώνης αἷμα ἑνώσας ὄξει δριμυτάτῳ χρῖε αὐτούς.

Ἄλλο.

293 Ὡς ἀνθρώπῳ, οὕτω δὴ καὶ ἱέρακι συμβαίνει ποδαλγία, ῥεύματός τινος ἄνωθεν ὥσπερ ὀχετοῦ προσ-

Digitized by Google

κάταντες καταρρέοντος, τῆς αἰτίας ἐκ μοχθηρῶν γε-
νομένης χυμῶν. δεῖ οὖν θεραπεύειν οὕτως. ἀκα-
κίας στακτῆς γράμμ. η', ἀμμωνιακοῦ θυμιάματος
γράμμ. β', ἀλόης Ἰνδικῆς γράμμ. α', βόλβου σκίλλης
γράμμ. α', κόλλης τεκτονικῆς γράμμ. α', λίβανον ἀρ-
ρενικὸν γράμμ. α', ἑλλεβόρου Κρητικοῦ γράμμ. α',
ὄξους δριμέος τὸ ἀρκοῦν. τὸ ἀμμωνιακὸν καὶ τὸν λίβα-
νον πρόχει μετὰ ὄξους, τὰ δὲ λοιπὰ κόψας καὶ τρίψας
ἐπίβαλε τούτοις, καὶ πάλιν λείου, καὶ ἀνάπλαττε τρο-
χίσκους καὶ ἔχε· ἐπὶ τῆς χρείας δὲ διαλύων ὄξει χρῶ.

Εἰς ποδαλγίαν.

Ὥσπερ ὑπὸ ῥευματισμοῦ ποδαλγία γίνεται τῷ ἀνθρώπῳ,
οὕτω καὶ τῷ ἱέρακι. γίνεται οὖν ὑπὸ κακοχυμίας. λαβὼν
οὖν ἀκακίαν ἐξάγια β', ἀλόην Ἰνδικὴν κ" ς', ἀμμωνιακὸν
κ" ιβ', σκίλλης κεφαλὴν α', κόλλαν ἣν ἔχουσιν οἱ τὸν τόρ-
νον ἐργαζόμενοι κ" ς', λίβανον ἀρσενικὸν κ" ς', ἑλλέβορον
κ" ς', ὄξους δριμέος τὸ ἀρκοῦν, τὸ ἀμμωνιακὸν καὶ τὸν
λίβανον μίγνυε τῷ ὄξει, τὰ δ' ἄλλα τρίψας ἕνωσον αὐτά,
καὶ πάλιν λυέσθωσαν μετὰ τοῦ λιβάνου καὶ τοῦ ἀμμωνια-
κοῦ, καὶ ποίησον αὐτὰς ὡς μικρὰς μαζίσκας. καὶ ὅταν ἔλθῃ
χρεία, ἀνάλυε αὐτὰ τῷ ὄξει καὶ χρῖε τὸν πάσχοντα τόπον.

Πρὸς πόρους τοὺς ἐν ποσίν.

Τοὺς δὲ πόρους τοὺς ἐν ποσὶν ἰασόμεθα διὰ294
παντὸς ὕδατι καταντλοῦντες ψυχρῷ.

Περὶ πόρων τῶν γινομένων ἐπὶ τῶν ποδῶν.

Ἀεὶ ἄντλει τούτους μετὰ ὕδατος ψυχροῦ, καὶ ἰαθήσεται.

Εἰς ῥεῦμα ποδός.

Λαβὼν πίσσαν ὑγρὰν καὶ κηροῦ ξανθοῦ **295
βάλε ἐν χύτρᾳ καὶ ἕψει· εἶθ' οὕτως ἐπίπαττε κεν-
ταύριον κεκομμένον, καὶ ἀναφυράσας ἄλειφε τοὺς
πόδας τοῦ ἱέρακος.

Digitized by Google

Περὶ ῥευματισμοῦ ποδῶν.

Ὑγρόπιεσαν θεὶς ἐν τύτρᾳ ἐφηθήτω. εἶτα τρίψας κενταύριον ἔνασον αὐτὰ καὶ χρῖε τοὺς πόδας αὐτοῦ.

Εἰς ἀποβολὴν ὄνυχος. 156

296 *Πολλάκις συμβαίνει πρὸς τὰ πολέμια τῶν ὀρνέων διαμαχόμενον τὸν ἱέρακα ἀποβαλεῖν τινὰ τῶν ὀνύχων, καὶ μάλιστα ὅταν πήξας τοὺς ὄνυχας, ὑπὸ πολλῆς ἰσχύος τοῦ πολεμεῖν ἀποστῆναι σπουδάζοντες μὴ ἀνίησιν αὐτός· οὕτως γὰρ ἐπικηθεὶς διαφθείρεται μᾶλλον, καὶ ἀποβάλλει τὸν ὄνυχα, μὴ δυνάμενος τῆς ἰσχύος καθυφεῖναι. ὃν θεραπεύσεις τόνδε τὸν τρόπον. λαβὼν τὸν ἐκβεβλημένον ὄνυχα τοῦ ἱέρακος καὶ ἐπιχρίσας τῇ τοῦ σιδήρου σκωρίᾳ λεπτῇ λίαν κεκομμένῃ (ἣν χρὴ ἔχειν ἀεὶ ὡς ξηρίον) τὸν τόπον ἔνθα ἡ ἐκβολὴ γέγονε τοῦ ὄνυχος, εἰσάγειν ἁρμοδίως, καὶ ἐπιδήσας καλῶς φύλαττε· κολλήσει γὰρ οὐκ εἰς μακρὰν ὑπὸ τοῦ φαρμάκου. δεδέσθω δὲ μέχρις ζ' ἡμερῶν ἐπιμελῶς. ἐὰν δὲ φλεγμονὴ ἐπαναστῇ ἐκ τῆς ὀδύνης, τρίψας ὄστρακον τὸ ἀρίτινον λεγόμενον, ἐπίχριε τὴν τοῦ ὄνυχος ἐκβολήν. κάλλιστον δὲ ποιήσεις εἰ καὶ ὅλον τὸν πόδα χρίσεις, ὅθεν τὸν ὄνυχα ἀντεισήγαγες ἐκβληθέντα.*

Ἄλλο. 157

297 *Εἰ συμβῇ κλάσαι τὸν ὄνυχα ἢ ἐκβαλεῖν ἀπὸ οἱασδήτινος αἰτίας, καὶ μάλιστα τῶν μεγάλων ὀνύχων, εἰ μὲν ἔξω τῆς θέσεως κλασθῇ, ἐγκλείσεις τὸν ἱέρακα δίχα δεσμῶν ἐν οἰκήματι, καὶ καλῶς εἰς τὴν χρείαν ἐπὶ τῷ παραβάλλειν τὴν τροφὴν ἄλειφε τὸν ὄνυχα ἀξουγγίῳ νεαρῷ χοιρείῳ ἢ ἀρνείῳ, καὶ ἐκ παντὸς τρόπου αὐξήσεις τὸν ὄνυχα. εἰ δὲ πλησίον τῆς θέσεως*

Digitized by Google

ἀποκλασθῇ, ὅμοιον σχῆμα ποιήσας χαλκοῦ ὄνυχος καὶ τοῦτο μεστώσας ἀξουγγίῳ χοιρείῳ, περίδησον τὸν κόνδυλον τοῦ ὀρνέου, καὶ οὕτως αὐξανόμενος ἴσος τῷ ἑτέρῳ γενήσεται.

Ἐὰν θλασθῇ ἢ ἐκβληθῇ ὄνυξ ἱέρακος.

Ἐὰν θλασθῇ ὄνυξ ἐν ἄκρᾳ, ἔασον αὐτὸν ἐν τῇ οἰκίᾳ ἄνετον, καὶ ὅταν αὐτὸν πρὸς θήραν ἐρεθίζῃς, ἐπίχριε τὸν ὄνυχα αὐτοῦ στέατι προσφάτῳ ἢ χοιρείῳ ἢ προβείῳ, καὶ ἀνατραφήσεται αὖθις ὁ ὄνυξ. ἐὰν δὲ θλασθῇ ἐκ ῥίζης, ποίησον χαλκοῦν ὄνυχα καὶ γέμισον αὐτὸν στέατος χοιρείου, καὶ θὲς αὐτὸν ἐπὶ τοῦ θλασθέντος καὶ περίδησον αὐτόν, καὶ ἐκφύσει ἕτερον ὡς τὸν ἐκβληθέντα.

Εἰς τὸ ποιῆσαι ἀπαλὸν ὄνυχα.

Στερεώσεις ἀπαλοὺς ὄνυχας τοῦ ἱέρακος εἰ μετὰ 298
ὄξους δριμέος θερμοῦ διαβρέχεις· αὐξήσεις δὲ ὑδρε-
λαίῳ χλιαρῷ διαβρέχων.

Περὶ τοῦ ἔμπεδον καὶ ἰσχυρὸν ποιῆσαι ἀπαλὸν ὄνυχα.

Βρέχε αὐτὸν μετὰ ἐλαίου χλιαροῦ καὶ ὕδατος καὶ ἀνατραφήσεται. καὶ βρεχόμενος δριμεῖ ὄξει χλιαρῷ γενήσεται ἔμπεδος.

Εἰ ὄνυξ ἀποδυθῇ.

Λιθάργυρον καὶ σμύρναν λειώσας μετὰ ὄξους 299
ἐπίχριε.

158 *Εἰς τὸ κάμψαι ὀρθότατον ὄνυχα ἱέρακος.*

Ἱέρακος εὐχερῶς κάμψεις τοὺς ὄνυχας, ἐὰν μά- 300
λαγμα ἱππιατρικὸν ἐπιθῇς, πυρίᾳ πρότερον χρώμε-
νος καὶ οὕτως κατὰ μικρὸν κάμπτων αὐτούς. ἡ δὲ
τοῦ ἱππιατρικοῦ μαλάγματος σύνθεσίς ἐστιν αὕτη.
ἰσχάδων λιπαρῶν τὰς σάρκας, σταφίδας ἄνευ τῶν

Digitized by Google

γιγάρτων ἀνὰ οὐγγ. α΄, νίτρου ὀπτοῦ οὐγγ. α΄, καρδαμώμου σπέρματος οὐγγ. α΄, ἀμμωνιακοῦ θυμιάματος οὐγγ. ϛ″, πίσσης, προπόλεως, χαλβάνης, κηροῦ, ὀποπάνακος, ἰξοῦ δρυΐνου ἀνὰ οὐγγ. γ΄, στέατος ταυρείου, στέατος ὑείου, στέατος χηνείου ἀνὰ οὐγγ. α΄. τὰ ξηρὰ κόψας καὶ σήσας καὶ τὰ τηκτὰ τήξας, ἐπέπαττε τὰ ξηρά, καὶ ἀναμαλάξας χρῶ.

Πῶς ἐπιγνάμψεις ὄνυχα ἱέρακος ὀρθὸν ὄντα.

Εἰ θέλεις αὐτὸν ἐπιγνάμψαι ῥᾳδίως, πύρωσον αὐτὸν πρῶτον. ἔπειτα λαβὼν τὸ σαρκῶδες τῶν λιπαρῶν σύκων καὶ σταφίδας ἄνευ γιγάρτων οὐγγίαν α΄, νίτρον ἑψηθὲν οὐγγίαν α΄, καρδαμώμου σπέρμα οὐγγίαν α΄, ἀμμωνιακὸν οὐγγίας τρεῖς, Κολοφωνίαν πίσσαν, σχαδόνας μελιττῶν, χαλβάνην, κηρόν, ὀποπανικόν, ἰξὸν δρύινον οὐγγίας τρεῖς, στέαρ ταύρειον, στέαρ χοίρειον, στέαρ χήνειον ἀπὸ οὐγγίας μιᾶς, τὰ ξηρὰ μὲν τρίψας, τὰ δὲ ἕτερα ἀναλύσας μίγνυε ἅπαντα, καὶ μαλάττων αὐτὰ χρῖε τὸν ὄνυχα καὶ ῥᾳδίως αὐτὸν ἐπιγνάμψεις.

Ὅπως δεῖ κινεῖσθαι τὸν ἱέρακα εἰς τοὺς πέρδικας.

301 Τοῦ ἱέρακος ἀσκηθέντος καλῶς ἐν τοῖς ἐκκλητίσμασι καὶ εἰς γνωριμότητα ἀκριβῆ τῆς τοῦ ἱερακοτρόφου φωνῆς καὶ τοῦ συριγμοῦ γενομένου, ὡς ἅπαξ λαληθέντος ἐξίπτασθαι τοῦτον εὐθέως, ἢ τῇ χειρὶ προσκαθημένου καὶ ἐξεπίτηδες παρὰ τοῦ ἱέρακος ἐκεῖσε ἀπολυθέντος καὶ ἐπιδεικνυμένου ἐπιδράττεσθαι βρώματος, καὶ ἤδη πρὸς τὸ μέλλειν θηρᾶν γεγονότος ἐπιτηδείου, δεῖ πρὸ τῆς ἡμέρας τῆς θήρας φροντίζειν καὶ τοῦτο. προσφάτως ἐξ αἰγὸς κρέατος ἢ προβάτου ἢ γρύλλου καθαροῦ καὶ μὴ νευρώδους ἢ λιπώδους ἀπογεύεσθαι τὸν ἱέρακα, τοσοῦτον ὡς μὴ ἄχρι κόρου τὴν γαστέρα ἐμπλησθῆναι, ἀλλὰ τοῦ ἀρ-

Digitized by Google

κοῦντος πρὸς κόρον τὸ ἥμισυ. εἰ δὲ ἀπορία νεαροῦ κρέατος, τοιοῦτον γενέσθω ψυχροτέρου καὶ ἐκ μιᾶς ἡμέρας τυγχάνοντος· εἰ δὲ καὶ δύο, μὴ μὴν ὡς ἔχει ψυχρότητος, οὕτω διδόσθω τῷ ἱέρακι. σοφίζεσθαι δὲ δεῖ καὶ ὡς νεαρὸν τοῦτο τυγχάνειν καὶ πρύσφατον, ψυχροτέρου τυγχάνοντος τοῦ καιροῦ καὶ ὥρᾳ χειμῶνος, τρισὶν ἅτε μεριζόμενον, ὧν πρώτη αὕτη. χλιαρῷ ὕδατι τὸ βρωθησόμενον ἐμβαλὼν καθάραι σκύβασον τὴν ἔξω ἀηδίαν· ἐάσεις δὲ μένειν ἄχρις ἂν χλιαρὸν γένηται· εἶτα ἐξαγαγὼν δώσεις εἰς θοίνην τῷ ἱέρακι. δευτέρα δέ, χλιαροῦ ὕδατος μὴ εὑρεθέντος, πυρὶ θερμανεῖς τὸ κρέας, τοῖς δακτύλοις καταψῶν καὶ συντόμως συστρέφων, ὥστε θερμανθῆναι μέν, μὴ ξηρανθῆναι δέ· καὶ οὕτω δώσεις εἰς εὐωχίαν τῷ ζῴῳ. τρίτη δέ, εἰ στερήσει ὕδατος χλιαροῦ καὶ πυρός, ὑφάσματι καθαρῷ περικαλύψεις τὸ βρῶμα καὶ τῇ οἰκείᾳ ἐναποθήσεις μασχάλῃ· οὐ μέντοι τῆς σαρκός σου ψαύειν ὀφείλει τὸ περικαλύπτον τὴν θοίνην ὕφασμα, ἀλλ' ἄνωθεν ἐσθῆτος μιᾶς ἀποτίθεσθαι, ἵνα μὴ τῆς ἀνθρωπείας ἀπολαβὼν ὀδμῆς ἀπολέσῃ μὲν καὶ τὴν οἰκείαν ῥωστικὴν δύναμιν, γένηται δὲ καὶ βλάβης τῷ ζῴῳ παραίτιον, καὶ οὕτω διαφυλαχθὲν παρεχέσθω εἰς βρῶσιν κατὰ τὸν ἀνωτέρω σκοπόν. θερμοτέρου δὲ ὄντος καταστήματος, ὕδατι τοῦ πλύνειν αὐτὸ καὶ εἰς βρῶσιν παρατιθέναι τῷ ζῴῳ· οὐχ ἁπλῶς δὲ δώσεις τὸ τοιοῦτον βρῶμα τῷ ζῴῳ, ἀλλὰ μέρος λεπτύνας τοῦ κρέατος ἐπικάλυψον ἐν τῷ μέρει βαμπάκιον καθαρόν, ὡς τὸ ὅλον δοκεῖν εἶναι κρέας. καὶ φαγὼν τοῦτο ὠφεληθήσεται οὐ μικρῶς, ὥστε τὸ χωνεῦσαι καὶ τὴν ὄρεξιν διεγεῖραι καὶ τὰ περιττὰ καὶ μοχθηρὰ ἀποσκευάσασθαι. οὕτω δὲ αὐτὸν θρέψας τῷ συνήθει τόπῳ ἐγκαθίσεις, καὶ προσμενεῖ

Digitized by Google

ἄχρις ὥρας ἡ ἢ θ΄. τηνικαῦτα δὲ τῇ λαιᾷ χειρὶ λάβῃς καὶ ἐπὶ ἀλόγου καθίσεις καὶ ἐλάσεις ἄνω καὶ 161
κάτω, ἡμέρως περιποκπύζων καὶ καταψῶν αὐτὸν τῇ δεξιᾷ χειρί· δεικνύειν τε τοῦ ἀλόγου καὶ τὰ ἐμπρόσθια καὶ τὰ ὀπίσθια βασταζομένῳ ἄχρις ἑσπέρας. συμβάλλεται δὲ τοῦτο καὶ εἰς τὴν θήραν καὶ εἰς τὸ χωνεῦσαι καὶ εἰς προθυμίαν ὀρέξεως ἐλθεῖν. ἑσπέρας δὲ τῷ συνήθει τόπῳ καθίσεις ἄχρις ὄρθρου, καὶ πάλιν ἀναστὰς καὶ βαστάσας τῇ χειρὶ πλησιάσεις τῇ φωτίᾳ, εἴτε κηρός ἐστιν ἢ λύχνος ἢ δᾷδες, μὴ μέντοι τοῦ καπνοῦ αὐτῶν, καὶ ποπκύσεις καὶ καταψήσεις, ἵνα σοι συνήθης γένηται καὶ εὐχείρωτος καὶ ἀγαπηθῇς παρ' αὐτοῦ· ἡμέρωσιν γὰρ προξενεῖ τὸ ἐπὶ χειρὸς βαστάζεσθαι καὶ μεταδιδόναι κολακείας καὶ ποπυσμάτων. ὀφείλει δὲ προσεῖναι καὶ τὸ κυνηγετικὸν κυνάριον ἔν τε ταῖς εὐωχίαις καὶ ταῖς ἄνω καὶ κάτω περιελεύσεσιν, ἵνα πρὸς ἄλληλα ἑκάτερα ἐθίζωνται, καὶ καιροῦ καλοῦντος ὡς συνεργὸν ὁρᾶν τὸν κύνα καὶ μὴ ὡς ἐκ πολεμίου ἀναπτᾶν καὶ ἐκδιδράσκειν. ἕως δὲ καταλαβούσης ἐπὶ τὴν θήραν ἐξιέναι, καὶ σκοπείσθω τόπος μὴ ἁπλῶς καθωμαλισμένος καὶ ὕπτιος, ἀλλὰ καὶ ῥύακά τινα ἐχέτω καὶ καταφυγὰς μὴ συν- 162
εχεῖς ἀλλ' ἐφ' ἱκανὸν ἀλλήλων διισταμένας, ἀλλὰ μηδὲν ἀνόδους καὶ αὖθις καθόδους, ὡς ῥύαξιν ἑτέροις αὐτὰς ἐξισοῦσθαι. ταῦτα γὰρ τοῖς μὲν διωκομένοις πτηνοῖς λυσιτελεῖ καὶ πρὸς βοήθειαν αὐτῶν καὶ διαφυγὴν ἕτοιμα· τῷ δὲ θηρατῇ ἱέρακι ** τῷ συνεχεῖ τῶν ἐπὶ τὰ ἄνω τῶν βουνῶν πτήσεων καὶ τῶν ἐπὶ τὰ βαθύτερα τὸν μόχθον τε αὔξοντα καὶ εἰς δειλίαν εἰσφέροντα καὶ κατὰ τοῦ πτηνοῦ τὸν ἱέρακα ἀποναρκοῦντα οὐχ ἥκιστα καὶ τὸν θηρατὴν ἀδόκιμον ἀποφαίνοντα. καταλαβὼν δὲ τὸν τόπον καὶ θῆλος

Digitized by Google

τοῖς πέρδιξι μὴ γεγονὼς ὀφείλεις τῷ ἐδάφει καθίσαι καὶ τῶν ἐπασμάτων τῶν περδίκων ἐπακροᾶσθαι σὺν τῷ μήπω θηρατῇ ἱέρακι· εἰώθασι γὰρ πρωῒ κελαδεῖν ἥσυχόν τι καὶ διάτορον ἅμα. ἀκολούθει τε ταῖς ἐκείνων ᾠδαῖς, καὶ τὸν τόπον ὡς οἷόν τε κατάλαβε, προσλαλῶν ἡμέρως ἔα ἔα ἔα. αὕτη δὲ ἡ φωνὴ πείθειν τοὺς πέρδικας δύναται κάτω νεύειν τὰς κεφαλὰς καὶ μὴ ταράσσεσθαι, καὶ μᾶλλον τὸν καλοῦντα ἡμέρως θεώμενοι· ὁ δὲ προσλαλῶν ὅτε δὴ καὶ πλησιάζει αὐτοῖς, συνεχῶς χρήσθω τῷ ἔα ἔα ἔα ἡμέρως, καὶ προσεχέτω τούτοις, ἵνα μὴ τοῖς ποσὶ κατὰ μικρὸν διαδράντες τῶν κοιτῶν πράγματα τοῖς θηραταῖς παρέχωσιν, ὥστε ἐφευρεῖν τούτους. τοῦ δὲ κοιτασταῦ ἀσφαλῶς τὰ ῥηθέντα ποιήσαντος ὁ θηρατὴς σὺν καὶ ἑτέρῳ κατειληφώς, τῶν θηρευτικῶν κυναρίων δεδεμένων ὄντων, καὶ μαθὼν ὅπως τε ἀκίνητοί εἰσιν οἱ πέρδικες, περισκοπείτω ἐν ἑκατέροις τοῖς μέρεσι συννηρεφῆ τε καὶ λάσιον, ὡς καὶ ἁρμόττειν εἰς καταφύγιον, καὶ οὕτως ἐν ἐκείνῳ τῷ μέρει συντάξει κατ' εὐθεῖαν τῆς θήρας συνεργούς, καὶ ὁμαλῶς ἐπιταξάτω βαδίζειν καὶ διὰ προσεχῆς, φωνάς τε ἀφιέντας συνήθεις καὶ συριγμοὺς κεχρῆσθαι ταῖς ἐπιφερομέναις ῥάβδαις ταῖς θηρατικαῖς, καὶ παίειν τοὺς κατ' εὐθεῖαν κλάδους, τὴν γῆν, τὰς βοτάνας, καὶ εἴ τι ἕτερον εὑρεθὲν παρατυχόν· ὅπου δὲ οὐδὲν σώζει ἡ ῥάβδος, πέμπειν λίθους ἢ βώλους τῆς γῆς, ὥστε τῷ συνεχεῖ τῶν κτύπων ταραχθῆναι τοὺς πέρδικας. σὺ δὲ ὁ τὸν ἱέρακα ἐν τῇ λαιᾷ φέρων πόρρωθεν ἐπανεστηκὼς προσδόκα τοὺς πέρδικας διελεύσεσθαι· καὶ ὡς ἀκούσεις τῶν παγανευτῶν τὸ 'θεώρει', εἰ ἅμα τῇ πτήσει ἐκείνων προθυμήσαι καὶ ὁ ἱέραξ, μὴ λύσῃς αὐτόν, ἀλλὰ μικρὸν ἀποστρέψας, ὡς μὴ ὁρᾶν,

Digitized by Google

διατέλεσον ἄχρις τοῦ διελθεῖν τοὺς πέρδικας ἔμπροσθεν τοῦ ἱέρακος, διὰ τὸ κατευθὺ ἐκείνων εἶναι διώκοντα, καὶ δείξας αὐτῷ αὐτοὺς καλῶς ἐκτείνας τὴν χεῖρα ἀπόλυσον αὐτὸν εὐφυῶς, κολακεύων καὶ ἐποτρύνων καὶ θαρραλέον ποιῶν καὶ τοσοῦτον αὔξων τὴν φωνήν, ὅσον ὁ ἱέραξ διίσταται καὶ πρὸς τὸν διωγμὸν σπεύδει. καὶ οὕτως ἡ λύσις τοῦ ἱέρακος γινομένη καθ' ἑκάστην ἀσφαλής· θράσος γὰρ ἐνίησι τῷ ἱέρακι καὶ προθυμίαν εἰς τὸ διώκειν, τοῖς ὠσὶν ἐκείνου τῆς φωνῆς πεμπομένης συνήθους καὶ γνωρίμου· κἂν τούτῳ γὰρ παρωθούμενος οὐδὲ τὴν τῶν ἀετῶν πτοεῖται ἐπέλευσιν, ὑπὸ τούτων κατεσθιόμενος. εἰ δὲ μήπω τοὺς πέρδικας στοχάσηται, καὶ ἅμα τῇ φωνῇ τῶν παγανευτῶν ἀπολύσεις, ἀστοχῶν τῆς θήρας καὶ θλιβήσεται καὶ ὀκνηρὸς εἰς τὸ ἑξῆς γενήσεται καὶ ἀνενέργητος. ταῦτα μὲν περὶ τῆς ἀπολύσεως. θηράσαντος δὲ τοῦ ἱέρακος ὀξεῖ χρησάμενος τῷ ποδὶ πλησιάσαι σπεῦσον τῷ θηρατῇ, καὶ ἀταράχως ἐγγίσας καὶ κολακεύσας χρῶ τῇ συνήθει φωνῇ ὦῖ ὦῖ ὦῖ· καὶ ποππύζων περικάθισον, τῇ μὲν 165
χειρὶ τῶν κοντῶν ἐπιλαβόμενος τοῦ ἱέρακος, τῇ ἑτέρᾳ δὲ αὐτοῦ τὸ οὐραῖον ἐξομαλίζων. καὶ ἔα καθάψασθαι ὡς βούληται τοῦ θηράματος καὶ κορεσθῆναι· μετὰ δὲ τὴν τροφὴν αὐτὸν ἀνελόμενος, τῇ συνήθει ἕδρᾳ τοῦτον κάθισον ἀταράχως καὶ ἄνευ ὀχλήσεως. ἐγκαθίσας δὲ τῷ συνήθει κοντῷ μὴ ἀμελήσῃς, ἀλλὰ δι' ὅλης τῆς ἡμέρας καὶ τῆς νυκτὸς πεντάκις καθάψασθαι χρεὼν καὶ μετασαλεῦσαι αὐτόν· τούτῳ γὰρ τῷ τρόπῳ καὶ τὴν τροφὴν πέψει τὴν ἐν τῇ γούλᾳ, καὶ ὑγιὴς ἔσται. εἰ δὲ ἀμελήσεις τούτου καὶ οὐ κινήσεις αὐτὸν πεντάκις καθὼς εἴρηται τῆς νυκτός [πέψαι τὰ σιτηθέντα αὐτῷ], ἡ μὲν ἐναπολειφθεῖσα τροφὴ τῇ

Digitized by Google

γούλᾳ ὀξώδης γενήσεται, καὶ οὐ μικρῶς βλάψει τὸ ζῷον, ἅμα μὲν ὡς τὴν τροφὴν μὴ πέψαι, ἅμα δὲ ὅτι καὶ τὰ μὴ πεφθέντα δυσώδη γενόμενα ἀφορήτως φέρει αὐτὸ τὸ ζῷον. εἰ οὖν τοῦτο γένηται, τὴν ἕω λαβὼν αὐτὸν βαστάζων τῇ χειρὶ καὶ περιφέρων ἄχρι δευτέρας ὥρας σκόπει ὅπου ἀφώδευσεν· εἶτα καλέσας αὐτὸν εἰς τὸ βρῶμα, μόνον ἀπογευσάσθω, καλούσης τῆς
166 αὔριον, καὶ λαβὼν ἔξελθε ἐπὶ θήραν, ποιῶν ἃ σοι ὑπεδείξαμεν. τῶν δὲ παγανευτῶν καὶ αὖθις διερευνώντων εἰ πέρδικες ἀναπτήσουσι, δεῖ σε μακρόθεν λύειν τὸν ἱέρακα κατόπισθεν αὐτῶν· οὕτως γὰρ ἀπολυόμενος σκορπίζει τοὺς πέρδικας, ἀλλ' ἠνωμένους ἐν ἑνὶ τόπῳ ὡς ἐν τῷ καταφυγίῳ περιστᾷ, καὶ τὸ ἀπὸ τούτου ἐφίστασθαί σε δεῖ βοῶντα καὶ συριγμοὺς πέμποντα καὶ λίθους ὁπότε χρεία κατ' αὐτῶν βάλλοντα. διὸ καὶ τῇ ἐφισταμένῃ ἀνάγκῃ συμβαίνει ἕνα ἢ τινας τούτων ἀναπτῆναι τοῦ καταφυγίου καὶ οὕτως θήραν ἱκανὴν τῷ ἱέρακι γενέσθαι ἐκ τούτων καὶ περαιτέρω χωρεῖν οὐ δεῖ, τέως δ' ἐπὰν τοῦ πέρδικος τοῦ πρώτου ὁ θηρατὴς ἱέρακ καθάψηται, δεῖ σε τὴν μάχαιραν σπασάμενον τεμεῖν τὸν τοῦ πέρδικος λαιμὸν καὶ τὴν κεφαλὴν διχῇ σὺν τῷ μυελῷ, καὶ ἐάσεις τὸν ἱέρακα ἰσχυρῶς τοῖς ὄνυξι καὶ τῷ στόματι καθάψασθαι τοῦ πέρδικος. καὶ οὕτως τὴν μὲν λαιὰν τῷ πέρδικι ἐπιθεῖναι καὶ τοῖς ποσὶ τοῦ ἱέρακος περιειλημένην τῷ καλουμένῳ ἐπιμανικίῳ· συνέχειν δὲ ἐπείγου ταύτην πρὸς τὸ ἀνατέχεσθαι τοῦ θηράματος. τὴν
167 δὲ ἤδη τμηθεῖσαν κεφαλὴν παραθεὶς ἄνωθεν τοῦ ἐπιμανικίου φαγεῖν τὸν ἱέρακα ἐξ αὐτοῦ παρασκεύασον, τῇ δεξιᾷ χειρὶ τῷ στόματι ταύτην πλησιάσας· ἁψαμένου δὲ αὐτῆς τοῦ ἱέρακος μὴ τὴν χεῖρα ἀντίτεινε πρὸς τὸ γενναιότερον τῆς θήρας ταύτης καθά-

Digitized by Google

ψασθαι· ἔχεται γὰρ τοῦ πέρδικος ἰσχυρῶς τοῖς ὄνυξι, καὶ ἀφεῖναι αὐτὸν οὔκουν προθυμηθήσεται. ἐνδιδόντος δέ σου τὴν δεξιὰν χαύνως τῷ στόματι καὶ τοσοῦτον ὡς μὴ δύνασθαι θοινήσασθαι τὴν τοῦ πέρδικος κεφαλήν, εἰ μὴ καὶ τοῖς ὄνυξιν αὐτῆς ἐπιλάβηται μόνος, τούτου ἀφέμενος τῆς κεφαλῆς ἐπιδράττεται. ἐκείνου δὲ περὶ τὴν κεφαλὴν ἀσχολουμένου τὸν πέρδικα ὑποκλέψας τῇ πήρᾳ ἐναπόθου· σπεῦσον δὲ συνεργῶν τῷ ἱέρακι τὰ σαρκώδη καὶ μυελώδη τῆς κεφαλῆς θοινήσασθαι, καὶ οὕτω τὸ ὀστῶδες ἀνελόμενος εὐφυῶς τῶν ὀνύχων παρέχε τῷ ζαγαρίῳ εἰς τὸ φαγεῖν καὶ προθυμοποιηθῆναι. καὶ εἰ μὲν καλῶς ἐθήρασεν, ἔχου καὶ δευτέρας θήρας· καὶ εἰ μὲν ἀπὸ πτεροῦ θηρεύσῃ, μεῖζον τὸ ἔργον· εἰ δὲ ἐν καταφυγίῳ εἰσέλθοιεν οἱ διωκόμενοι πέρδικες, ἄνω δὲ πέταται ἢ καθίσῃ ἐγγὺς ὁ ἱέραξ, δεῖ σε τὸν θηρατικὸν κύνα καλέσαι καὶ ταῖς εἰθισμέναις προσ- 168
λαλιαῖς παροτρύνειν. καὶ εἰ καταμάθοις αὐτὸν σπεύδοντα καὶ συνεχῶς ὀδμώμενον καὶ τὴν κέρκον σείοντα συχνῶς, γνῶθι ἐκεῖσε εἶναι τὰ ζητούμενα, καὶ βλέπε πότε ὁ πέρδιξ πετασθήσεται, καὶ ἅμα τῷ ἐκείνον πετάσαι βοῆσαι τὸ οὖλ οὖλ οὖλ. λάβει λαπτρύ. αὗται δὲ αἱ φωναὶ προθυμοποιοῦσι τὸν ἱέρακα καὶ εὔτονον ἀπεργάζονται. εἰ δὲ ὁ τόπος ἐστὶ χθαμαλώτερος ἢ καὶ ἄλλως ἀνεπιτήδειος ἔνθα ὁ ἱέραξ ἐκάθισε, προκάλει τοῦτον καὶ λάμβανε τῇ λαιᾷ, καὶ τὸν κύνα ἔχων ἑπόμενον. ὀφείλεις διερευνᾶσθαι. καὶ ὅταν ἴδῃς ἐκ σημείων τὴν τῶν περδίκων κίνησιν, βόα τὸ 'πρόσεχε'. ὁ δὲ ἱέραξ συνεχῶς τοῦτο ἀκούων ὅλῳ νοῒ τῇ ἀναπτήσει προσέχει τοῦ πέρδικος, καὶ ἑτοίμως ἔχει τῇ δῆσαι αὐτοῦ. εἰ δ' ὁ ἱέραξ μὲν προΐδῃ τὸ θήραμα, καὶ πρὸς αὐτό γε ὁρμήσῃ, τὸν κρατοῦντα δὲ μὴ εὕρῃ ἐγρηγορότα, καὶ περὶ τὴν πτῆσιν κωλυθῇ ἅπαξ εἴτε δίς, ὀκνηρό-

Digitized by Google

τερος περὶ τὰ ἐφεξῆς γίνεται καὶ τῆς θήρας ἐπιλήσμων· πεμπόμενος δὲ μετὰ προσοχῆς ἢ πέρδικος ἐπιλαμβάνεσθαι ἢ καὶ δύο, καὶ πολλῶν ῥᾳδίως καὶ οὐ
169 μετὰ μόχθων πολλῶν ἄχρι καὶ εἰς ἕκτον καὶ εἰς ὄγδοον λυέσθω. εἰ δὲ δυσχερείας ἐμπεσούσης τινὸς δύο ἢ καὶ τριῶν ἐπιλάβοιτο μόνον ἐν διαφόροις λύσεσι, καὶ ταῦτα καμάτῳ πολλῷ, περαιτέρω μὴ ἀπολύειν ὅλως· ἀποκναίειν γὰρ συμβαίνει τὸν ἱέρακα καὶ βουλιμιᾶν, καὶ εἰ μετὰ προθυμίας μὲν ἀπέλθῃ ῥάσῃ δ' οὖν, ὡς δειλὸς στρατιώτης, δένδρῳ τινὶ ἐγκάθηται ἐγκαλυπτόμενος, καὶ μηδὲ πρὸς τὸ τῆς χειρὸς βρῶμα καλούμενος ἐλθεῖν ὅλως ἐθέλει, λήθην ἅμα καὶ σοῦ καὶ τοῦ θηράματος ἐμποιῶν· εἰ οὖν τοῦτο γένηται, ἢ διὰ δυσχερείαν τόπου ἢ διὰ στάσιν ἀνεπιτήδειον ἢ παρὰ τὸ μὴ ἐνεργῆσαι τὸ ζαγάριον ἢ καὶ διὰ τὸ τὸν ἱέρακα ἀνόρεκτον εἶναι, ὑπεισελθεῖν δεῖ σε τὸ καταφύγιον, καὶ συνήθως τὸ ζαγάριον κατάλεγε ὥσπερ ἔθος, καὶ εἰ μέν ἐστί σοι πέρδιξ κεκρυμμένος ἢ ζῶν ἢ τεθνηκώς, ἐναπόρριπτε αὐτὸν τῷ ἱέρακι. εἰ δ' ἀπορεῖς τοιούτου, νεοσσὸν ὄρνιθος κατοικίδος ἢ περιστερὰν λεληθότως ἐπιρρίπτειν αὐτὴν τῷ ἱέρακι, καὶ φωνεῖν τῇ συνήθει φωνῇ τὸ 'οὖλα λάλα λά', καὶ ἀποτρέπειν τοῦτον ἐλθόντα καλῶς καὶ
170 μὴ σπεύδειν, μὴ καὶ ἐν ἑτέρῳ καιρῷ ἄπρακτος τοῦ θηρᾶν ἀπέλθῃς. καὶ μᾶλλον εἰ καὶ διαφόρως τοῦτο πάθοι, παντελῶς ἐπιλανθάνεται τοῦ θηρᾶν, καὶ ὅσον ἐπισπεύδεις, καὶ αὐτὸν καὶ σὲ ἀνενέργητον εἰς τὸ καθόλου καθιστᾶν. διὸ καὶ ἀχρειοῦται, εἰ μὴ πάλιν διὰ μεθόδου τοῦτον ἐπανορθώσῃς. λέγουσι γάρ τινες οἱ πρὸς θήραν ἀτέχνως καὶ ἀχρήστως ἔχοντες ὅτι πρόθυμον αὖθις καταστήσεις τὸν ἱέρακα εἰς θήραν, εἰ τροφῆς κωλύσῃς μετασχεῖν. ἔχεται οὖν καὶ τοῦ

Digitized by Google

ἴσως λογισμοῦ· ἀλλ' ὅτε λιπόσαρκος ἐστὶν ὁ ἱέραξ καὶ ἃ φασιν ἀποκαθισμένος. ἐπὶ τούτου δὲ οὐ τὸ ῥηδὲν θεραπεία, ἀλλ' ὃ λέξειν ἐπείγομαι. ἔστω ὁ ἱέραξ καὶ ἱκανὸς πρὸς τὴν θήραν, ἔστω δὲ καὶ ἀποδεδοκιμασμένος. εἰ οὖν οὐ φθάσει θηράσας, ἀλλ' ἤδη δειλαίνοιτο εἰσελθεῖν εἰς τὸ καταφύγιον, ὥστε τὸν πέρδικα ἀπεκεῖσε λαβεῖν ὃν ἐδίωκε, σὺ ῥίψεις ἑτέραν μὲν τῷ ἱκανωτέρῳ πέρδικα, ὡς δόξαι αὐτὸν εἶναι τὸν διωκόμενον· λάβῃς δὲ τοῦτον ὡς ἤδη θηράσαντα, καὶ πορρωτέρω εἶναι κελεύσεις. εἶτα ῥινηλατοῦν κυνάριον τῷ καταφυγίῳ ἐπιστήσας γνωρίζειν παρακελεύσεις τὸ θήραμα καὶ σφῶν κεχρῆσθαι ταχύτερον, 171
καὶ αἷς μάλα πρὸς ἀκριβεστέραν ἀναψηλάφησιν ἐρεθίζονται, ὡς δειλιάσαντα τῷ τῶν κλάδων συνηρεφεῖ πέρδικα ἀναπτῆναι πρὸς φυγὴν ἐξορμῆσαι.

Πῶς δεῖ ἐκφέρειν τὸν ἱέρακα πρὸς τοὺς πέρδικας, καὶ ποίαν τροφὴν δεῖ αὐτὸν ἐσθίειν καὶ πόσε. καὶ πότε δεῖ ἐσθίειν ἐν τῇ χειρί, ὄντος καὶ κυνὸς ἐγγὺς αὐτοῦ καὶ τρέφεσθαι ἔμπροσθεν αὐτοῦ, ἵνα ἐθίζηται ὁ ἱέραξ. καὶ πῶς δεῖ σε περισκοπεῖν τοὺς πέρδικας καὶ θηρεύειν, καὶ ἐν ποίῳ τόπῳ ἑστάναι, ὅταν μέλλῃς τὸν ἱέρακα ἀπολύειν. καὶ πῶς λύειν αὐτόν, καὶ περὶ ἀχρήστων ἱεράκων καὶ πῶς εὔχρηστοι καὶ καλοὶ γενήσονται, καὶ πῶς χρὴ θηρεύειν μετὰ τούτου τοὺς φασιανοὺς καὶ τὰς νήττας.

Ὁ ἱέραξ ὅταν καλῶς ἀσκηθεὶς καὶ τῆς τοῦ θηρευτοῦ φωνῆς καὶ συριγμοῦ αἰσθάνηται καλῶς, καὶ ἐκ πρώτης φωνῆς ἱπτάμενος εἰς τὴν χεῖρα αὐτοῦ κάθηται καὶ ἐσθίῃ ἐπάνω αὐτῆς, ἵνα εἴῃ πρὸς θήραν ἕτοιμος, δεῖ πρὸ μιᾶς ἡμέρας δοῦναι αὐτῷ κρέας πρόσφατον, ἢ πρόβειον ἢ αἴγειον, καθαρὸν ἄνευ νεύρων καὶ στέατος. καὶ μὴ δώσῃς αὐτῷ ἐμπλησθῆναι τούτου, ἀλλ' ὅσον βρόγχθον ἥμισυ. ἐὰν δὲ ὁ θηρευτὴς οὐ κεκτῆται πρόσφατον κρέας ἀλλὰ ἕωλον, μὴ

Digitized by Google

παρεχέτω αὐτὸ θέρμης ἄνευ, ἀλλ' ἐὰν χειμὼν ᾖ, ποιησάτω οὕτως. θέτω τὸ τοιοῦτον κρέας ἐν ὕδατι θερμανθέντι καὶ σπευσάτω ἵνα παθάρῃ αὐτὸ τοῦ ῥύπου ὅνπερ κέκτηται, καὶ ἕασον αὐτὸ ἵνα χλιανθῇ ἐντός, εἶτα πρόσθες αὐτῷ. ἐὰν δὲ ὕδωρ οὐκ ἔχει θερμανθέν, θέρμανον ἐπὶ τοῦ πυρὸς αὐτὸ καὶ μάλαττε αὐτὸ συχνῶς μετα τῶν δακτύλων σου, ἵνα χλιανθῇ καὶ μὴ ξηραίνηται, καὶ οὕτω παράθες αὐτῷ. εἰ δὲ οὔτε θερμὸν οὔτε πῦρ ἔχεις, ἐνειλήσας αὐτὸν ὑφάσμασι καθαροῖς, θὲς αὐτὸν ὑπὸ τὴν μασχάλην σου, καὶ σκόπει ἵνα μὴ αὐτὸν θήσῃς ἐπὶ τῆς σαρκός σου γυμνῆς οὔσης, ἀλλ' ἐπάνω τοῦ ἑνός σου χιτῶνος ἐξ ὧν ἔχεις, ἵνα μὴ αἰσθανόμενος τῆς ἀνθρωπίνης ὀσμῆς ἀπολέσῃ τὴν ἰδίαν καὶ ἀσθενήσῃ ὑπ' αὐτῆς. ἐὰν δὲ ἔαρ ᾖ, πλῦνον αὐτὸν ὕδατι καὶ μὴ δώσῃς αὐτῷ τὸ κρέας οὕτω φαγεῖν, ἀλλὰ διασχίσας τόμους τινὰς ἐκ τοῦ κρέατος θὲς ἔνδον βαμβάκιον καθαρόν, ἵνα ᾖ ἅπαν ὅμοιον κρέατι, καὶ πρόσθες αὐτῷ, καὶ ὠφεληθήσεται πάνυ. ἀκολούθως δὲ πέψει καλῶς τὴν τροφὴν καὶ ζητήσει εὑόρεκτα, καὶ ἅπερ ἔχει ἔνδοθεν περιττὰ καὶ βλαβερά, διαφθαρήσονται. μετὰ δὲ τὸ προσθεῖναι αὐτῷ κρέας κάθισον αὐτὸν ἐν τόπῳ ἐν ᾧ συνειθίσθη, καὶ ἕασον αὐτὸν ὀκτὼ ἢ ἐννέα ὥρας. μετὰ ταῦτα δὲ λάμβανε αὐτὸν ἐν τῇ ἀριστερᾷ σου χειρὶ καὶ δείκνυε αὐτῷ τά τε ἔμπροσθεν καὶ τὰ ὄπισθεν τοῦ ἵππου, καὶ κάτεχε αὐτὸν ἕως τῆς ἑσπέρας· συμφέρει γὰρ αὐτῷ τοῦτο καὶ ἡ θήρα καὶ πρὸς τὸ πέττειν καλῶς τὴν τροφὴν καὶ γίνεσθαι καὶ εὑόρεκτον. κατὰ δὲ τὴν ἑσπέραν κάθισον αὐτὸν ἐν τῷ τῷ συνήθει, καὶ ἐν ὥρᾳ τοῦ ὄρθρου λαβὼν αὐτὸν ἐν τῇ χειρί σου ἔγγισον αὐτὸν ἐν τῷ πυρί, καὶ ἐὰν κηρός ἐστιν ἡμμένος ἢ λύχνος ἢ δᾷδα, πρόσεχε ἵνα μὴ καπνισθῇ, καὶ κολάκευε αὐτὸν καὶ ἀποψᾶν αὐτὸν τῇ χειρί σου θέλε, ὅπως σε ἀκριβῶς γινώσκῃ καὶ ἐπιθυμῇ καθεσθῆναι ἐν τῇ χειρί σου καὶ φιλῇ σε· πάνυ γὰρ ἐκ τούτου τιθασσεύεται. δεῖ δὲ καὶ τὸν θηρευτικὸν κύνα προσεῖναι αὐτῷ ὅταν ἐσθίῃ καὶ ὅταν αὐτὸν ἄνω καὶ κάτω φέρῃς, ἵνα ἀλλήλους καλῶς γινώσκωσιν. ἐν τῇ θήρᾳ δὲ τὸν ὡς ἑταῖρον αὐτὸν εἶναι νομίσει καὶ οὔ ποτε φευξεῖται αὐτόν. ἔωθεν δὲ τῆς ἡμέρας ἔξελθε πρὸς τὴν θήραν καὶ ὅρα ἵνα μὴ ὁ τόπος ᾖ ἐπίπεδος, ἀλλ' ἐχέτω οὗτος ῥύακας καὶ καταδύσεις, οὐ πυκνάς, ἀλλὰ ἀπεχέτω ἕτερος ἑτέρου διαστήματος. ἀλλὰ μηδὲ ἀνωφερὴς καὶ κατωφε-

Digitized by Google

ἴσως λογισμοῦ· ἀλλ' ὅτε λικόσαρκος ἐστὶν ὁ ἱέραξ καὶ ἃ φασιν ἀποκαθισμένος. ἐπὶ τούτου δὲ οὐ τὸ ῥηθὲν θεραπεία, ἀλλ' ὃ λέξειν ἐπείγομαι. ἔστω ὁ ἱέραξ καὶ ἱκανὸς πρὸς τὴν θήραν, ἔστω δὲ καὶ ἀποδεδοκιμασμένος. εἰ οὖν οὐ φθάσει θηράσας, ἀλλ' ἤδη δειλαίνοιτο εἰσελθεῖν εἰς τὸ καταφύγιον, ὥστε τὸν πέρδικα ἀπεκεῖσε λαβεῖν ὃν ἐδίωκε, σὺ ῥίψεις ἑτέραν μὲν τῷ ἱκανωτέρῳ πέρδικα, ὡς δόξαι αὐτὸν εἶναι τὸν διωκόμενον· λάβῃς δὲ τοῦτον ὡς ἤδη θηράσαντα, καὶ ποῤῥωτέρω εἶναι κελεύσεις. εἶτα ῥινηλατοῦν κυνάριον τῷ καταφυγίῳ ἐπιστήσας γνωρίζειν παρακελεύσεις τὸ θήραμα καὶ σφῶν κεχρῆσθαι ταχύτερον, 171
καὶ αἷς μάλα πρὸς ἀκριβεστέραν ἀναψηλάφησιν ἐρεθίζονται, ὡς δειλιάσαντα τῷ τῶν κλάδων συννηρεφεῖ πέρδικα ἀναπτῆναι πρὸς φυγὴν ἐξορμῆσαι.

Πῶς δεῖ ἐκφέρειν τὸν ἱέρακα πρὸς τοὺς πέρδικας, καὶ ποίαν τροφὴν δεῖ αὐτὸν ἐσθίειν καὶ πότε. καὶ πότε δεῖ ἐσθίειν ἐν τῇ χειρί, ὄντος καὶ κυνὸς ἐγγὺς αὐτοῦ καὶ τρέφεσθαι ἔμπροσθεν αὐτοῦ, ἵνα ἐθίζηται ὁ ἱέραξ. καὶ πῶς δεῖ σε περισκοπεῖν τοὺς πέρδικας καὶ θηρεύειν, καὶ ἐν ποίῳ τόπῳ ἑστάναι, ὅταν μέλλῃς τὸν ἱέρακα ἀπολύειν. καὶ πῶς λύειν αὐτόν, καὶ περὶ ἀχρήστων ἱεράκων καὶ πῶς εὔχρηστοι καὶ καλοὶ γενήσονται, καὶ πῶς χρὴ θηρεύειν μετὰ τούτου τοὺς φασιανοὺς καὶ τὰς νήττας.

Ὁ ἱέραξ ὅταν καλῶς ἀσκηθεὶς καὶ τῆς τοῦ θηρευτοῦ φωνῆς καὶ συριγμοῦ αἰσθάνηται καλῶς, καὶ ἐκ πρώτης φωνῆς ἱπτάμενος εἰς τὴν χεῖρα αὐτοῦ κάθηται καὶ ἐσθίῃ ἐπάνω αὐτῆς, ἵνα εἴῃ πρὸς θήραν ἕτοιμος, δεῖ πρὸ μιᾶς ἡμέρας δοῦναι αὐτῷ κρέας πρόσφατον, ἢ πρόβειον ἢ αἴγειον, καθαρὸν ἄνευ νεύρων καὶ στέατος. καὶ μὴ δώσῃς αὐτῷ ἐμπλησθῆναι τούτου, ἀλλ' ὅσον βρόγχθον ἥμισυ. ἐὰν δὲ ὁ θηρευτὴς οὐ κεκτῆται πρόσφατον κρέας ἀλλὰ ἕωλον, μὴ

Digitized by Google

παρηχέτω αὐτὸ θέρμης ἄνευ, ἀλλ' ἐὰν χειμὼν ᾖ, ποιησάτω οὕτως. θέτω τὸ τοιοῦτον κρέας ἐν ὕδατι θερμανθέντι καὶ σπευσάτω ἵνα καθάρῃ αὐτὸ τοῦ ῥύπου ὅπερ κέκτηται, καὶ ἕασον αὐτὸ ἵνα χλιανθῇ ἐντός, εἶτα πρόσθες αὐτῷ. ἐὰν δὲ ὕδωρ οὐκ ἔχει θερμανθέν, θέρμανον ἐπὶ τοῦ πυρὸς αὐτὸ καὶ μάλαττε αὐτὸ συχνῶς μετὰ τῶν δακτύλων σου, ἵνα χλιανθῇ καὶ μὴ ξηραίνηται, καὶ οὕτω παράθες αὐτῷ. εἰ δὲ οὔτε θερμὸν οὔτε πῦρ ἔχεις, ἐνειλήσας αὐτὸν ὑφάσμασι καθαροῖς, θὲς αὐτὸν ὑπὸ τὴν μασχάλην σου, καὶ σκόπει ἵνα μὴ αὐτὸν θήσῃς ἐπὶ τῆς σαρκός σου γυμνῆς οὔσης, ἀλλ' ἐπάνω τοῦ ἑνός σου χιτῶνος ἐξ ὧν ἔχεις, ἵνα μὴ αἰσθανόμενος τῆς ἀνθρωπίνης ὀσμῆς ἀπολέσῃ τὴν ἰδίαν καὶ ἀσθενήσῃ ὑπ' αὐτῆς. ἐὰν δὲ ἔαρ ᾖ, πλεῖονον αὐτὸν ὕδατι καὶ μὴ δώσῃς αὐτῷ τὸ κρέας οὕτω φαγεῖν, ἀλλὰ διασχίσας τόμους τινὰς ἐκ τοῦ κρέατος θὲς ἔνδον βαμβάκιον καθαρόν, ἵνα ᾖ ἅπαν ὅμοιον κρέατι, καὶ πρόσθες αὐτῷ, καὶ ὠφεληθήσεται πάνυ. ἀκολούθως δὲ πέψει καλῶς τὴν τροφὴν καὶ ζητήσει εὐόρεκτα, καὶ ἅπερ ἔχει ἔνδοθεν περιττὰ καὶ βλαβερά, διαφθαρήσονται. μετὰ δὲ τὸ προσθεῖναι αὐτῷ κρέας κάθισον αὐτὸν ἐν τόπῳ ἐν ᾧ συνειθίσθη, καὶ ἕασον αὐτὸν ὀπτὼ ἢ ἐννέα ὥρας. μετὰ ταῦτα δὲ λάμβανε αὐτὸν ἐν τῇ ἀριστερᾷ σου χειρὶ καὶ δείκνυε αὐτῷ τά τε ἔμπροσθεν καὶ τὰ ὄπισθεν τοῦ ἵππου, καὶ κάτεχε αὐτὸν ἕως τῆς ἑσπέρας· συμφέρει γὰρ αὐτῷ τοῦτο καὶ ἡ θήρα καὶ πρὸς τὸ πέττειν καλῶς τὴν τροφὴν καὶ γίνεσθαι καὶ εὐόρεκτον. κατὰ δὲ τὴν ἑσπέραν κάθισον αὐτὸν ἐν τῷ τῷ συνήθει, καὶ ἐν ὥρᾳ τοῦ ὄρθρου λαβὼν αὐτὸν ἐν τῇ χειρί σου ἔγγισον αὐτὸν ἐν τῷ πυρί, καὶ ἐὰν κηρός ἐστιν ἡμμένος ἢ λύχνος ἢ δᾷδα, πρόσεχε ἵνα μὴ καπνισθῇ, καὶ κολάκευε αὐτὸν καὶ ἀποψᾶν αὐτὸν τῇ χειρί σου θέλε, ὅπως σε ἀκριβῶς γινώσκῃ καὶ ἐπιθυμῇ καθεσθῆναι ἐν τῇ χειρί σου καὶ φιλῇ σε· πάνυ γὰρ ἐκ τούτου τιθασσεύεται. δεῖ δὲ καὶ τὸν θηρευτικὸν κύνα προσεῖναι αὐτῷ ὅταν ἐσθίῃ καὶ ὅταν αὐτὸν ἄνω καὶ κάτω φέρῃς, ἵνα ἀλλήλους καλῶς γινώσκωσιν. ἐν τῇ θήρᾳ δὲ τὸν ὡς ἑταῖρον αὐτὸν εἶναι νομίσει καὶ οὔ ποτε φευξεῖται αὐτόν. ἕωθεν δὲ τῆς ἡμέρας ἔξελθε πρὸς τὴν θήραν καὶ ὅρα ἵνα μὴ ὁ τόπος ᾖ ἐπίπεδος, ἀλλ' ἐχέτω οὗτος ῥύακας καὶ καταδύσεις, οὐ πυκνάς, ἀλλὰ ἀπεχέτω ἕτερος ἑτέρου διαστήματος. ἀλλὰ μηδὲ ἀνωφερὴς καὶ κατωφε-

Digitized by Google

ρὴς ἔστωσαν, ἐοικότες ῥύακί τινι· ὁ γὰρ τόπος ὁ κεκτημένος ταῦτα ὠφελεῖ τὰ φεύγοντα ζᾶα μόνον, τὸν δὲ ἱέρακα βλάπτουσι πάνυ τὰ ἀνωφερῆ τε καὶ κατωφερῆ. ποιοῦσι δὲ αὐτον καὶ ἐν τῇ θήρᾳ ἀπρόθυμον καμόντα πάνυ. ὅτε δὲ πρὸς τόπον ἀπέλθῃς οἷον σοι εἰρήκαμεν, καὶ ἐπιτύχῃς τῶν περδίκων μὴ ἐωρακότων σε, δεῖ σε κατὰ γῆς καθίσαι καὶ ἀκούειν τῆς τῶν περδίκων φωνῆς, σέ τε καὶ τὸν ἱέρακα τὸν μηδέπω θηρεύσαντα· ἔθος γὰρ ἔχουσιν οἱ πέρδικες ἔωθεν κελαδεῖν καὶ τιτίζειν ἡδέως. σὺ δὲ ἔπου ταῖς φωναῖς ἐκείναν, λάλει δὲ καὶ ἡμέρως ἔα ἔα ἔα ἔα· αὕτη γὰρ ἡ φωνὴ ποιεῖ τοὺς πέρδικας μὴ αἴρειν τὰς κεφαλὰς ἄνω, ἀλλὰ ὁρᾶν κάτω. ὅσον οὖν ἐγγίζεις αὐτῶν, συχνοτέρως λάλει καὶ ἡμέρως τὸ ἔα ἔα ἔα, καὶ σκόπει ἵνα μὴ φύγωσιν ἐκ τοῦ αὐτοῦ τόπου περιπατοῦντός σου, καὶ μόχθον ταῖς θηρευταῖς προξενήσωσι ζητεῖν αὐτά. τὸν δὲ ἑπόμενον αὐτοῖς καθὼς εἰρήκαμεν συνεῖναι μεθ' ἑτέρου χρὴ καὶ τοὺς θηρευτικοὺς κύνας δεδεμένους ἔχειν, καὶ ἐὰν ὦσιν ἐν τῷ τόπῳ ἐκείνῳ πέρδικες, περισκοπείτω κύκλωθεν καὶ εὑρέτω τόπον θάμνων μικρῶν πλήρη καὶ καταδύσεων· εἶτα ἱστάτων ἐν ἕδρᾳ καὶ περιπατείτωσαν ἡσύχως καὶ ἀψοφητί, καὶ περισκοπήτωσαν καὶ λαλείτωσαν τας ἐθίμους αὐτῶν φωνάς, καὶ συριζέτωσαν καὶ τυπτέτωσαν τὴν γῆν τοῖς ἑαυτῶν ῥάβδοις καὶ τοὺς κλάδους τῶν θάμνων καὶ τὰς βοτάνας. ἔνθα δὲ μὴ ἐξικνοῦσι τοῖς ῥάβδοις αὐτῶν, λίθους ἢ βώλους ἀφιέτωσαν, ἵνα ὑπὸ τῶν κτύπων τούτων οἱ πέρδικες φανῶσι. σὺ δὲ ὁ τὸν ἱέρακα κατέχων τῇ ἀριστερᾷ σου χειρί, σταθεὶς ἐφ' ὑψηλοῦ τόπου πόρρωθεν ὑπόμεινον τοὺς πέρδικας, καὶ ὅταν ἀκούσῃς τοὺς εἰς ἕνεδραν ὄντας λέγειν 'βλέπε', ἐὰν προθυμήσῃ ὁ ἱέραξ ὅταν ἐκεῖνοι πέτωνται, μὴ ἐάσῃς αὐτὸν ἀλλὰ στράφηθι ὀλίγον, ἵνα μὴ ἴδῃ αὐτά, ἔστ' ἂν ἔλθωσιν ἔμπροσθεν αὐτοῦ. καὶ διώκειν αὐτὰ ἰθυνόμενα, καὶ δεῖξον αὐτῷ καλῶς πάντα, καὶ ἁπλώσας τὴν χεῖρά σου ἀπόλυσον αὐτὸν ἐντέχνως, καὶ κολακεύων αὐτὸν θάρσυνον τῇ φωνῇ σου, καὶ ὅσον ὁ ἱέραξ ῥωρωτέρω γίνεται, τοσοῦτον αὐτὸν λάλει σφοδροτέρως· ἀκούων γὰρ ὁ ἱέραξ τῆς φωνῆς σου, ἣν ἐξ ἔθους ἔγνω, τοσοῦτον ἀνδρίζεται, ἀλλ' οὐδὲ τὸν ἀετὸν φοβεῖται τὸν τοὺς ἱέρακας ἐσθίοντα. ἐὰν δὲ αὐτὸν ἀπολύσῃς πρὸ τοῦ ἰδεῖν αὐτὸν τοὺς πέρδικας, ἀποτυχὼν λυπεῖται καὶ ὀκνηρὸς καὶ

Digitized by Google

ἀνενέργητος γίνεται. ἂν δὲ πέρδικα θηρεύσῃ, τρέχε ταχέως καὶ προσεγγίσας αὐτῷ κολάκευε αὐτὸν ἡμέρως τῇ φωνῇ ἣν ἔχεις συνηθως, ἤγουν τὸ ὦῖ ὦῖ ὦῖ, καὶ κάθισον ὑποκύψας ἠρέμα. καὶ τῇ μὲν ἑτέρᾳ σου χειρὶ ἐγγὺς ἅπτου αὐτοῦ, τῇ δὲ ἑτέρᾳ ἀποψᾶν τὴν οὐρὰν αὐτοῦ θέλε, καὶ ἐκ τῆς θήρας αὐτοῦ ἐσθιέτω ὅσον θέλει. εἶτα ἀπελθὼν κάθισον αὐτὸν ἐπὶ τοῦ δόρατος ἡσύχως. ἀλλὰ δεῖ σε πεντάκις τῆς ἡμέρας καὶ τῆς νυκτός, ὡς ἀπαραίτητον χρέος, ἀνεγείρειν αὐτὸν καὶ κολακεύειν. ἂν οὖν τοῦτο ποιήσῃς, πέψει τὴν τροφὴν καλῶς καὶ εἰς εὐεξίαν ἔσεται· ἐὰν δὲ αὐτοῦ ἀμελήσῃς καὶ οὐ διεγείρῃς αὐτὸν πεντάκις τῆς ἡμέρας ὡς εἴπομεν, οὐ πέψει καλῶς, ἀλλὰ παροξυνθὲν το ἄπεπτον ἔνδοθεν βλάψει αὐτὸν πάνυ· καὶ τὸ μὲν οὐ πέψει, τὸ δέ, ὅτι τῶν ἀπέπτων ὀζόντων τὸ ζῷον οὐκ ἀνέχεται τῆς κακοσμίας ταύτης. ἂν γοῦν γένηται τοῦτο καὶ οὐ πέψῃ, λαβὼν τοῦτον ἐν τῇ χειρί σου ἔωθεν τῆς ἡμέρας κάτεχε αὐτὸν ὥρας δύο. καὶ ἐὰν ῥίψῃ τὴν κόπρον αὐτοῦ, τῇ φωνῇ σου κάλεσον αὐτὸν καὶ ἀρίστησον αὐτὸν μόνον· τὴν δὲ ἐπιοῦσαν αὖθις ἔξελθε πρὸς τὴν θήραν καὶ ποίησον ὅσα προειδιδαξάμεθά σε. ζητείτωσαν οὖν αὖθις οἱ θηρευταί, καὶ ἐὰν οἱ πέρδικες πετάσωσιν, ἔασον σὺ τὸν ἱέρακα πόρρωθεν ἐξόπισθε τῶν περδίκων· ἐὰν γὰρ οὕτως ἀφήσῃς, οὐ διασκορπίσει τοὺς πέρδικας, ἀλλὰ εἰσελεύσονται εἰς τὴν κατάδυσιν ἅμα συνηγμένοι, μετὰ ταῦτα δεῖ σε βοᾶν καὶ συρίττειν καὶ ῥίπτειν λίθους ἐπάνω αὐτῶν. καὶ οὐχ οἷόν τέ ἐστιν ὑπὸ ταύτης τῆς βίας μὴ ἐξελθεῖν τινα τῆς καταδύσεως τῶν περδίκων ἢ ἕνα ἢ δύο, καὶ ταῦτα ἀρκοῦσι τῷ ἱέρακι πρὸς θήραν, καὶ οὐ δεῖ ἔτι αὐτὸν ἐρεθίζειν. ἔπειτα τοῦ θηρευθέντος ὑπὸ τοῦ ἱέρακος τοῦ πρώτου πέρδικος τέμνε τὴν κεφαλὴν καὶ σχίσον μέσον αὐτήν, καὶ ἔασον αὐτὸν ἵνα τοῖς ὄνυξιν αὐτοῦ καὶ τῷ στόματι ἐπιλάβηται αὐτῆς σφοδρῶς. μετὰ δὲ ταῦτα ἐπίθες τὸν πέρδικα καὶ τοὺς πόδας τοῦ ἱέρακος τῇ ἀριστερᾷ σου χειρί, φορῶν καὶ χειράδας, προσέγγιζε δὲ τῷ τοῦ ἱέρακος στόματι μετὰ τῆς δεξιᾶς σου χειρὸς τὴν κεφαλὴν ἥνπερ ἔσχισας τοῦ πέρδικος. καὶ ἐὰν λάβῃ αὐτήν, σὺ μὴ κάτεχε αὐτὴν σφοδρῶς, ἵνα ἕλκῃ αὐτήν, ἀλλὰ ἔπου αὐτῷ μετὰ τῆς χειρός σου. ἐκ τούτου δὲ οὐ δυνηθήσεται φαγεῖν τι τῆς κεφαλῆς, ἕστ' ἂν λάβῃ αὐτὴν καὶ τοῖς ὄνυξι. ἐπιμελήθητι δὲ ἵνα φάγῃ τὴν σάρκα αὐτοῦ καὶ

Digitized by Google

τῶν ὀνύχων αὐτοῦ ἀριστοτ, καὶ δὸς αὐτὰ τῷ θηρευτικῷ κυνί, ἵνα φάγῃ, τοῦ γενέσθαι καὶ αὐτὸν πρόθυμον πρὸς τὴν θήραν. καὶ ἐὰν ἐκ πτεροῦ ἐθήρευσε, καλὴν θήραν ἐποίησεν. διὸ καὶ αὖθις ἀπόλυσον αὐτόν. εἰ δὲ διακόμενοι πέρδικες εἰσῆλθον τῆς καταδύσεως, καὶ ὁ ἱέραξ ἢ καθίσῃ ἐγγὺς τῆς καταδύσεως ἢ ἵπταται ἐπάνω αὐτῆς, φώνει τοῦ θηρευτικοῦ κυνός, καὶ τῇ συνήθει φωνῇ πρὸς ἀνδρίαν αὐτὸν ἐρέθιζε. καὶ ἐὰν ἴδῃς αὐτὸν ὅτι διάζεται καὶ συνεχῶς τῇ ῥινὶ ἰχνηλατεῖ καὶ τὴν οὐρὰν αὐτοῦ σείει, γίνωσκε ὅτι οἱ πέρδικες ἐκεῖ εἰσί. σκόπει δὲ πότε ὁ πέρδιξ πετασθήσεται. καὶ ὅταν αὐτὸν ἴδῃς πετώμενον, βόα σὺ τὸ ὦῖ ὦῖ ὦῖ. αὗται δὲ αἱ φωναὶ ποιοῦσι πρόθυμον καὶ ἰσχυρὸν τὸν ἱέρακα. ἐὰν δὲ ὁ ἱέραξ ἐκάθισεν ἐν τόπῳ κοίλῳ ἢ ἐν ἀνεπιτηδείῳ, πράξε αὐτόν, καὶ λαβὼν αὐτὸν ἐν τῇ ἀριστερᾷ σου χειρὶ βάδιζε, ἐπέσθω δὲ καὶ ὁ θηρευτικὸς κύων καὶ ζητείτω. ὅταν δὲ ἐκ σημείων ἴδῃς ὅτι οἱ πέρδικες πετασθῆναι μέλλουσι, βόα πρὸς αὐτὸν 'πρόσεχε'· ὁ δὲ ἱέραξ ἀκούων τὸ πρόσεχε προσέχει τὸν νοῦν τῇ τῶν περδίκων πτήσει, καὶ ἑτοιμάσθη πηδῆσαι. ἐὰν δὲ ἰδὼν πρῶτον ὁ ἱέραξ τοὺς πέρδικας ὁρμήσῃ, ὃ δὲ κατέχων αὐτὸν οὐκ ἀπολύσῃ, ἀλλὰ βραδύς τις ὢν οὗτος κατάσχῃ αὐτόν, καὶ τοῦτο ἅπαξ καὶ δὶς γένηται, οἰκεία περιπεσεῖται ὁ ἱέραξ ἐν τῇ θήρᾳ, καὶ ἐπιλήσμων ταύτης γενήσεται, ἂν οὖν λύσῃς αὐτὸν ἐντέχνως καὶ θηρεύσῃ ἕνα καὶ δύο τῶν περδίκων ἢ καὶ ἕξ, ῥᾳδίως αὐτὸν λύσεις καὶ μέχρι τῶν ὀκτώ. εἰ δὲ δύο ἢ τρεῖς θηρεύσει μόνον καὶ ταῦτα πολλάκις ἀφεθεὶς καὶ δυσπόλως ἔτι αὐτὸν μὴ ἀφήσῃς· οἰκνεῖ γὰρ ἔκποτε ὁ ἱέραξ. ἐὰν οὖν προθύμως ἐκ τῆς χειρός σου ἐξέλθῃ καὶ ἀποτύχῃ τῆς θήρας, κάθηται ἐπὶ δένδρου καὶ κρύπτεται ὡς δειλὸς στρατιώτης καὶ οὐ βούλεται πρὸς τὴν χεῖρά σου ἀποπτῆναι, ἀλλὰ καὶ σοῦ καὶ τῆς θήρας ἐπιλανθάνεται. ἐὰν οὖν γένηται τοῦτο ἢ ὑπὸ δυσκόλου τόπου ἢ ὑπὸ ἀφέσεως ἀνεπιτηδείου ἢ ὑπὸ σφάλματος τοῦ θηρευτικοῦ κυνὸς ἢ ὁ ἱέραξ οὐκ ὀρέγεται τῆς θήρας, εἴσελθε οὖν εἰς τὴν καταδυσιν καὶ φώνει τὸν θηρευτικὸν κύνα ὡς σύνηθες, καὶ ἐὰν ἔχῃς πέρδικα ἢ ζῶντα ἢ καὶ τεθνεῶτα πρόσριπτ αὐτὸν τῷ ἱέρακι. ἐὰν δ' οὐκ ἔχῃς πέρδικα, ῥῖψον πρὸς ἑαυτὸν ὄρνιθος νεοττὸν ἢ περιστεράν, καὶ κράζε αὐτὸν

τῇ συνήθει φωνῇ καὶ ἐρέθιζε αὐτόν, καὶ μὴ βιάσῃ αὐτόν, ἵνα μὴ ποιήσῃ τοῦτο αὖθις· ἐὰν γὰρ τοῦτο πολλάκις γένηται, τὸ παράπαν ἐπιλανθάνεται τῆς θήρας· παροτρύνων δὲ τοῦτον καὶ σεαυτὸν κἀκεῖνον ποιεῖς ἀνενέργητον. ἐκ τούτου δὲ φευξεῖται μάλιστα, εἰ μὴ αὖθις διά τινος τέχνης διορθώσεις αὐτόν. λέγουσι δέ τινες τῶν τῆς θήρας ἀπείρων ὅτι ἐὰν δώσῃς αὐτῷ φαγεῖν, γενήσεται αὖθις πρόθυμος εἰς θήραν. ναὶ ὅταν πίων ᾖ· πρὸς δὲ τοῦτο οὐδὲν ὠφελεῖ αὐτόν. ἀλλὰ περὶ τοῦτο νῦν ἐρῶ. ἐὰν ὁ ἱέραξ ᾖ ἐπιτήδειος καὶ δεδοκιμασμένος πρὸς θήραν, πρὸς δὲ τὸ εἰσελθεῖν ἐντὸς τῆς καταδύσεως καὶ ἐξελάσαι τὸν πέρδικα ὅνπερ ἐδίωκε δειλιᾷ, σὺ ῥῖψον ἐκεῖ ἕτερον πέρδικα, ἵνα νομίζῃ ἐκεῖνον εἶναι ὅνπερ ἐδίωκε· καὶ λαβὼν αὐτὸν ὡς θηρευθέντα ὑπὸ τοῦ ἱέρακος ῥῖψον αὐτὸν πορρωτέρω, καὶ ἔστω ὁ τόπος ἐν ᾧ αὐτὸν ῥίπτεις ὥσπερ κατάδυσις. κομίσαντος δέ σου τὸν θηρευτικὸν κύνα, ῥινηλατῶν εὑρέτω αὐτὸς τὸν πέρδικα, σὺ δὲ αὖθις λαβὼν αὐτὸν ῥῖψον ἐκ τοῦ τόπου ἐκείνου, εἰς ἣν κατάδυσιν ὁ ἱέραξ δειλιᾷ εἰσελθεῖν, καὶ τοῖς ὄνυξιν αὖθις αὐτὸν λήψεται. ἄσκει οὖν τοὺς ἱέρακας καὶ διὰ τῆς τῶν φασιανῶν θήρας, ἀλλὰ μὴ ἀπολύσῃς αὐτοὺς πρὸς τοὺς φασιανοὺς τὴν θήραν ἀνύσας. θηρευέτωσαν δὲ πέρδικας, ἵνα τῶν περδίκων γευόμενοι εὐθὺς ἀναπαύωνται, καὶ μὴ τοῦ κόπου τῶν περδίκων λήγουσι προξενήσῃς αὐτοῖς αὖθις κόπον τῶν φασιανῶν. πρὸς δὲ τὴν τῶν φασιανῶν θήραν οὐκ ἀναγκαῖαί εἰσιν αἱ φωναὶ καὶ πραυγαὶ καὶ κτύποι καὶ συριγμοὶ σφοδροί· ὅταν γὰρ ὁ φασιανὸς ἀκούῃ φωνῶν, ἡσύχως περιπατῶν φεύγει τοὺς κυνηγούς, καὶ οὐχ οἷόν τέ ἐστι θηρεῦσαι αὐτόν, εἰ μὴ ὁ κύων εὑρὼν αὐτὸν θηρεύσει. ἀλλ' ὅταν λακτίζῃς τοὺς θάμνους, καὶ οὗτοι ψόφον ἀποτελῶσι, καὶ πετᾷ ἐκ τοῦ δάσους ἐν ᾧ κεκρυμμένος ἐστί, καὶ ἐὰν ᾖς ἐγγὺς αὐτοῦ μετὰ τοῦ ἱέρακος, θηρεύσεις αὐτὸν οὐ μετὰ πολλοῦ μόχθου. ὅταν δὲ ἀφήσῃς τὸν ἱέρακα, ἀεὶ λύε αὐτὸν ἐκ τόπου ὑψηλοῦ· πάνυ γὰρ βοηθεῖται ὑπὸ τούτου. τούτῳ γὰρ καὶ τὸν πάνυ ἀσκηθέντα ἐν τῇ θήρᾳ ὠφελήσεις αὐτὸν μᾶλλον, καὶ τὸν ἀδίδακτον πολυμαθῆ καὶ ἔντεχνον δείκνυεις. εἰ βούλει δείξω σοι τίνι τρόπῳ καὶ τὰς νήττας θηρεύειν. λάμβανε ἐν τῇ ἀριστερᾷ σου χειρὶ τὸν ἱέρακα κατὰ τὸ σύνηθες, ἐν δὲ τῷ δεξιῷ σου μέρει κρέμασον

Digitized by Google

τύμπανον, ἵνα κρούῃς αὐτὸ ὅταν χρεία γένηται. λάμβανε οὖν νῆτταν τὴν εἰωθυῖαν χερσὶν ἀνθρώπων κατέχεσθαι (αὕτη γὰρ ὥσπερ καὶ ἡ ὠγρία φωνεῖ) καὶ θὲς αὐτὴν ἐν τόπῳ κοίλῳ. ἐχέτω οὖν τις τὴν νῆτταν, φράσον δὲ τῷ κατέχοντι αὐτὴν ἵνα ὅταν ἀκούσῃ τοῦ τυμπάνου ἐάσῃ αὐτήν. εἶτα μετὰ τοῦ ἱέρακος ἐγγίσας αὐτὸς κροῦσον τὸ τύμπανον, ἐκεῖνος δὲ ἀπολυσάτω τὴν νῆτταν εἰς τὸ ὕψος, καὶ σὺ τὸν ἱέρακα ὡσαύτως, καὶ δὸς αὐτὴν τῷ θηρεύσαντι φαγεῖν, καὶ κορεσθήτω ταύτης, καὶ ἔκτοτε πρόθυμος γενήσεται πρὸς τὰς ἄλλας νήττας. τοῦτο οὖν δεῖ σε ποιεῖν καὶ πρὸς τὰς ἀγρίας, ὅταν κάθηνται ἐν κοίλοις τόποις καὶ ἑλώδεσι. κλῖνον οὖν τὸν ἱέρακα πρὸς τὴν γῆν καὶ ἐπεισπήδα ταύταις κρυφίως καὶ ἐξαίφνης κροῦε τὸ τύμπανον, λάλει δὲ καὶ τὴν φωνὴν ἣν ἐξ ἔθους ποιεῖς, καὶ ὑπὸ τῶν κτύπων καὶ τῶν φωνῶν ὑψωθήσονται. καὶ οὕτως εἰ μίαν τούτων ὁ ἱέραξ ἐθήρευσεν, ἐσθιέτω αὐτήν, ἵνα θηρεύειν ὀρέγηται καὶ τὰς ἄλλας. ἔστι δὲ καὶ ἑτέρα μηχανὴ πρὸς τὴν τῶν νηττῶν θήραν. ὅταν οὐ κάθηνται ἐν τόπῳ κοίλῳ ἀλλ' ἐν ὕδατι, καὶ ὁ ἱέραξ ἴδῃ αὐτὰς πόρρωθεν καὶ ὁρμῆσαι κατ' αὐτῶν βούληται τοῦ διώκειν αὐτάς, σὺ ἀπελθὼν ἀναχώρησον μικρόν, ἵνα μὴ ἰδοῦσαι αὐτὸν φύγωσι. μετὰ ταῦτα ἐκιμελήθητι προσεγγίσαι αὐταῖς κρυφίως ὡς οἷόν τέ ἐστι, καὶ δεῖξον τότε αὐτὰς τῷ ἱέρακι. κρούσαντος δέ σου τὸ τύμπανον, ὁρμήσει κατ' αὐτῶν ὁ ἱέραξ θεασάμενος αὐτὰς ἱπταμένας, σὺ δὲ αὐτίκα λῦσον αὐτόν. μὴ οὖν ἐχέτω ὁ θηρεύων ἱέραξ κώδωνας, μηδὲ βραδὺς καὶ ἀδόκιμος ἔστω οὗτος, ἀλλὰ πάνυ ταχὺς καὶ δόκιμος.

Ὅπως δεῖ ἐθίζειν ἐν τοῖς φασιανοῖς.

302 Πλὴν καὶ ἐν τοῖς φασιανοῖς ἀσκείσθωσαν οἱ ἱέρακες, ἀλλὰ μὴ ἐν τοῖς τελευταίοις θηράμασιν· ἐν τοῖς ὑστάτοις γὰρ πέρδικες ἔστωσαν, ἵνα ἐξ αὐτῶν ἀπογευόμενοι οἱ ἱέρακες τέλος τοῦ μόχθου ἔχωσι, καὶ μὴ τῷ κεχαυνωμένῳ καὶ ῥᾳθύμῳ διωγμῷ τὸ τῆς ἀλκῆς σφοδρὸν εἰς ἀσθενεστέραν ἰσχὺν περιστῇ, εὕρεσιν φασιανῶν ἐργαζομένῳ. φωνῶν μὲν ἢ ἀλα-

Digitized by Google

λαγμῶν χρεία οὐδαμῶς, ψόφοι δὲ ἐν τοῖς εὑρισκομένοις καὶ λεπτότεροι συριγμοὶ τελείσθωσαν· φωνῶν μὲν γὰρ ἀκούων, ἡσύχως οἰκείοις ποσὶ διαδιδράσκει τοὺς θηρατάς, καὶ οὐκ ἄλλως ἐστὶ θηρευόμενος, εἰ μὴ τὸ κυνάριον αὐτὸν καταλήψεται. τῶν δὲ ἐν τοῖς κλάδοις ψόφων τελουμένων καὶ τῶν συριγμῶν περιδεὴς γεγονὼς ἐξίπταται μὲν ἐν ᾧ κέκρυπται δάσει, καὶ οὕτως ἔτι ἅπτεται, καὶ εἰ πλησίον μετὰ τοῦ ἱέρακος ὁ θηρεύων ἐστί, μόχθῳ μὲν πολλῷ οὐ χρήσεται, λύσει δὲ ἅμα τῇ πτήσει τὸν ἱέρακα ἢ εὐθέως παρασκευάσει ἁλωθῆναι ἢ εἰς μήκιστον οὐ διαφύγῃ. ἔστω δὲ καὶ σκοπὸς τῆς τοῦ ἱέρακος βοηθείας ὁ ὑποκείμενος· χρὴ γὰρ τοῦτον λυόμενον εἰς τὴν θήραν ἀπὸ ὑψηλοτέρων φαίνεσθαι τῶν μερῶν· μεγάλη γὰρ ῥοπὴ πρὸς τὸ θηρᾶν καὶ ἡ τῶν μετεώρων τόπων περισκόπησις. τούτῳ γὰρ καὶ τὸν εὐφυῆ θηρατὴν δόκιμον ἀναδείξεις, καὶ τὸν ἀφυᾶ εἰς εὐφυΐαν ἀγάγῃς οὐκ ὀλίγῃ.

Καὶ ὅπως εἰς νήσσας ἐθίζει.

Βούλει δὲ καὶ περὶ τῶν νησσῶν εἰκεῖν πῶς δεῖ 303
καὶ ταύτας θηρᾶν. ἐπὰν καταμάθῃς ἀχρειωθέντα τὸν ἱέρακα καὶ μηκέτι εἰς διωγμὸν ἐξαρκοῦντα πρὸς ἵκων, τότε ὕστατον αὐτὸν ἔθιζε ἐν ταῖς νήσσαις. οὕτως δ' ἂν ἐθίσαις. φέρεις μὲν αὐτὸν ἐν τῇ λαιᾷ χειρί, ὡς ἔθος· ἐξαρτήσεις δὲ τοῦ δεξιοῦ μηροῦ χάλκειον κύμβαλον, ὅπερ τύπτεις ὅτε χρεία. λαβὼν οὖν νῆσσαν χειροήθη λίαν (αὕτη γὰρ ταῖς ἀγρίαις ὁμοίως **)
173 τίθει ἐν τόπῳ τινὶ κατωφερεστέρῳ· εἶτα φέρε τὸν ἱέρακα πλησίον, καὶ ἐκ συνθήματος πληγέντος τοῦ κυμβάλου πετασθήτω ἡ νῆσσα παρὰ τοῦ κατέχοντος αὐτὴν εἰς ὕψος. σὺ δὲ τὸν ἱέρακα λύσεις, καὶ εὐχε-

Digitized by Google

ρῶς ταύτης δεξάμενος ἐμφορηθήσεται, καὶ ἀπὸ τοῦδε ἔσται καὶ ταῖς λοιπαῖς νήσσαις τὴν οἰκείαν ἐνέργειαν φυλάττων. τὴν αὐτὴν γὰρ τάξιν παραφυλάττειν δεῖ καὶ ἐν ταῖς ἀγρίαις· καθεζομέναις γὰρ ἐν χθαμαλω-
5 τέροις καὶ ἀλσώδεσι τόποις κλίνειν μὲν ἄχρις ἐδάφους αὐτόν, ὥστε μὴ κατάδηλον αὐταῖς γίνεσθαι· παραγίνεσθαι δὲ ἐγγύθεν ἀνοητί. καὶ τηνικαῦτα τῷ αἰφνιδίῳ ψόφῳ τῷ ἐκ τοῦ χαλκείου σκεύους καὶ τῇ συνήθει φωνῇ παρασκευάζειν ταύτας εἰς ὕψος ἐξαίρεσθαι.
10 καὶ οὕτως μιᾶς ἐκ τούτων ἁλισκομένης ἀπογεύεσθαι τὸν ἱέρακα, ὡς καὶ πρὸς τὰς ἐφεξῆς καθίστασθαι ἐπιτήδειον. ἔστι δὲ καὶ ἑτέρα τις μέθοδος τῆς τῶν νησσῶν ἁλώσεως, ὅτε μὴ ἐν λάκκῳ κάθηνται, ἀλλὰ μήκοθεν ἐν ὑδαρῷ τόπῳ καθημένας ταύτας ὁ ἱέραξ
15 θεάσηται· ὁρῶν γὰρ ταύτας εὐθὺς σφύζει πρὸς διωγμόν. ὁ δὲ κατέχων αὐτὸν περαιτέρω χωρεῖ διὰ 174
τὸ μὴ κατάδηλον αὐτὸν γενέσθαι, καὶ τραπῶσιν εἰς φυγήν. μεθ' ὃ κατὰ τὸ δυνατόν σοι κρύφιον πλησιάζεις αὐταῖς, κατάδηλον τὸν ἱέρακα ποίησον, καὶ
20 τῷ ψόφῳ τοῦ κυμβάλου πετασθῆναι αὐτὰς ποίησον, κἀντεῦθεν κατ' αὐτῶν ὁρμήσοντα τὸν ἱέρακα λῦσον. ἔστω δὲ ὁ κατὰ τῶν νησσῶν χωρῶν ἱέραξ ἄνευ κωδωνίου, καὶ μὴ τῶν ἀργῶν τις ἔστω ἀλλὰ τῶν μάλιστα ἐνεργῶν.

Digitized by Google

ΟΡΝΕΟΣΟΦΙΟΝ

ΑΓΡΟΙΚΟΤΕΡΟΝ

Digitized by Google

20 Ὅταν ἴδῃς τὸν ἱέρακα ὅτι τὴν κοιλίαν αὐτοῦ μαδίζει καὶ τὸ κῶλον αὐτοῦ, ἰδοῦ δεῖ σε νοεῖν ὅτι τηνιολίας ἔχει· δοῦναι δὲ ὀφειλεις βουτύρου κοχλιάριον α', μυελὸν ἐλάφου κεράτια γ', σμύρνης κέρ. α', μέλι τὸ ἀρκοῦν. ταῦτα μίξας καὶ μαλάξας καθ' ἑκάστην ἡμέραν δίδου ὀφὰς ζ' μετὰ κρέατος τραγείου. τοῦτο δὲ ποίει ἡμέρας ε', εἰς δὲ τὴν τελευταίαν ὀφὴν δίδου χολὴν μετὰ δακρύου ἐλάφου καὶ βίτουμε Ἰουδαϊ-

Digitized by Google

κοῦ ὅσον ἡ ἄκρα τοῦ μαχαιρίου χωρεῖ, εἰς κρέας χοίρειον ζεστὸν ἐμβαλών.

Ἐὰν ἀτριδόνας ἔχῃ.

Ὅταν ἴδῃς τὸν ἱέρακα πτερορρυοῦντα τήν τε κοιλίαν καὶ τὴν πυγήν, γίνωσκε ὅτι ἀτριδόνας κέκτηται. λαβὼν οὖν βουτύρου κοχλιάριον ἕν, ἐλάφειον μυελὸν κόκκους γ', σμύρνην κόκκους α', μέλι τὸ ἀρκοῦν, ἔνωσον αὐτὰ καὶ μάλαττε καὶ πάρεχε αὐτῷ μετὰ κρέατος αἰγείου ἑπτάκις. τοῦτο δὲ ποίει ἡμέρας ε'· τῇ δὲ τελευταίᾳ θὲς χολὴν βοείαν καὶ ἐλάφειον βάπτε μετὰ Ἰουδαϊκοῦ ἐν χοιρείῳ κρέατι θερμῷ, καὶ παράθες αὐτῷ.

Ἄλλο.

Σινωπίδιν ὀλίγον, τοῦτ' ἔστι μέλαφον, καὶ ἀπ' αὐτοῦ ὀφὰς τρεῖς εἰς ἡμέραν καὶ εἰς τὸ Σινωπίδιν βαλὼν αὐτῷ δώσεις, καὶ ἰαθήσεται.

Ἄλλο.

Χολὴν βοὸς τοῦ ἐπιλεγομένου ἄρκου, χολὴν ἐλάφου καὶ βίτουμε Ἰουδαϊκοῦ μίξας μετὰ κρέως τῷ ἱέρακι δώσεις φαγεῖν, καὶ ἰᾶται.

186 *Εἰς χολὴν ἱέρακος.*

*Ἐὰν ἱέραξ ἔχῃ χολήν, τὰ σημεῖα ταῦτα ποιεῖ. ξερᾷ φλέγματα πράσινα. καθαρίσεις δ' αὐτὸν οὕτως. βετονίκης κέρ. δ', ῥίζαν σελίνου κεράτιον α', μέλιτος κοχλιάρια β', μαῦρον σηπίας κοχλιάριον α', οἴνου καλοῦ τὸ ἀρκοῦν. ὁμοῦ ταῦτα τρίψας καὶ εἰς ἀγγεῖον βαλών, ὅταν αὐτὸν ἴδῃς ἀποβάλλοντα χολάς, τότε αὐτῷ δὸς ἐξ αὐτῆς τῆς ἰατρείας βεβαμμένας ὀφὰς ζ'· τῇ α' καὶ β' ἡμέρᾳ ἀνὰ ὀφὰς ε', τῇ τρίτῃ ὀφὰς γ'. τοῦτο ποιήσεις τρεῖς ἡμέρας μετὰ κρέατος οἱουδήποτε,

Digitized by Google

καὶ εὐθὺς αἱ χολαὶ παρέρχονται. ἢ καὶ ὀφὰς χοιρείου εἰς δροσάτον βεβαμμένας τρεῖς δὸς αὐτῷ.

Περὶ τοῦ ἔχοντος χολήν.

Ἐὰν ἔχῃ ὁ ἱέραξ χολήν, ἐμέττει φλέγματα πρασίζοντα. λαβὼν οὖν βετονίκην κ" ὀ, ῥίζαν σελίνου κ" α', μέλιτος κοχλιάρια β', σηπίας τὸ μέλαν κοχλιάριον α', οἶνον καλὸν τὸν ἀρκοῦντα τρῖψον αὐτὰ πάντα, καὶ θὲς αὐτὰ ἐν ἀγγείῳ, καὶ ὅταν τὴν χολὴν ἐμέττῃ, βάπτε ἐν αὐτοῖς κρέας τὸ τυχὸν καὶ δὸς αὐτῷ ἓν τε τῇ πρώτῃ καὶ δευτέρᾳ ἡμέρᾳ πεντάκις καὶ τῇ τρίτῃ τρίς, καὶ φθαρήσεται ἡ χολή. δὸς αὐτῷ καὶ χοίρειον κρέας βεβαμμένον ὑδροσάτῳ, καὶ ὠφεληθήσεται πάνυ.

Εἰς τὸ ξηράσαι φλέγμα ἢ χολήν.

Κοκκινίδα λαβὼν καὶ καθαρίσας αὐτὴν καλῶς, καὶ τὸ ἥμισυ θλάσας καὶ ποιήσας αὐτὸ ὅμοιον βουτύρῳ, δὸς τῷ ἱέρακι ὀφὰς ε' μετὰ κρέατος οἰουδήτινος, καὶ μετὰ μέλιτος· ἐπίβαλε δὲ ἀπ' αὐτῆς τῆς κοκκινίδος, καὶ ὅταν ὁ ἱέραξ λάβῃ, στῆσον αὐτὸν πρὸς τὸν ἥλιον, καὶ εὐθέως ἀπολύει πᾶσαν χολὴν καὶ φλέγμα. εἶται ἑπτὰ κοκκία τῆς κοκκινίδος καὶ ἕνα κόκκον πεπέρεως τρίψας ὁμοῦ, καὶ εἰς ὀφὰς τῷ ἱέρακι δός. 187

Περὶ τοῦ ἐμέσαι αὐτὸν φλέγμα ἢ χολήν.

Τρῖψον καλῶς κοκκινίδιν καὶ τρίβων ποίει αὐτὸ ὡς βούτυρον, καὶ πάρεχε αὐτῷ πεντάκις μετὰ κρέατος τοῦ τυχόντος καὶ μέλιτος, θὲς καὶ ἐκ τῆς κοκκινίδος. μετὰ ταῦτα δὲ στῆσον αὐτὸν ἐν ἡλίῳ, καὶ ἐξεμέσει ἔνδοθεν ὅσον φλέγμα καὶ χολὴν κέκτηται. εἶτα τρίψας ἑπτὰ κ" τῆς κοκκινίδος καὶ κόκκον πεπέρεως ἕνα ὁμοῦ, δὸς τῷ ἱέρακι ἅπαξ τῆς ἡμέρας.

Εἰς τὸν ῥέγκοντα καὶ τρίζοντα.

Ἐὰν ὁ ἱέραξ προσκρούσῃ τὸ στῆθος, οὕτως αὐτὸν νοήσεις. ὅταν ἴδῃς τὴν κεφαλὴν κλίνοντα καὶ

Digitized by Google

καμμύοντα, νόει ὅτι τὸ στῆθος προσέκρουσε. ταύτην δὲ τὴν ἰατρείαν ποιήσεις. ἐλάφειον μυελὸν ὅσον μέγεθος λεπτοκάρου, σανδαράχης κεράτιον α', κόκκους δάφνης β', ἐλαίου Ἱσπανικοῦ κοχλιάρια β', μέλιτος καλοῦ κοχλιάριον α', κρόκον ᾠοῦ ἑνός, οἴνου παλαιοῦ κοχλιάριον α', ὁμοῦ μίξας εἰς πυτήριον ἀπ' αὐτοῦ τὸν ἱέρακα θρέψεις εἰς κρέας οἱονδήποτε βάπτων ἡμέρας ε'.

Περὶ ῥέγχοντος ἱέρακος καὶ τρίζοντος.

Ἐὰν ὁ ἱέραξ κλίνῃ τὴν κεφαλὴν αὐτοῦ καὶ τοὺς ὀφθαλμοὺς αὐτοῦ καμμύῃ, γίνωσκε ὅτι τὸ στῆθος αὐτοῦ προσέκρουσεν. λαβὼν οὖν ἐλάφειον μυελὸν δίκην λεπτοκάρυος ἀρσενίκιν κόκκινον κ" α', δαφνόκοκκα β', ἔλαιον Καταλανικὸν κοχλιάρια β', μέλι καλὸν κοχλιάριον α', οἶνου παλαιοῦ κοχλιάριον α', τὸ ὠχρὸν ἑνὸς ᾠοῦ, ἑνώσας δὲ αὐτὰ φύλαττε ἐν ἑνὶ ποτηρίῳ, καὶ βάπτων ἐν αὐτοῖς κρέας τὸ τυχόν, παράθες αὐτῷ ἡμέρας ε', γάρος ἑνώσας τῷ μέλιτι, βάπτε ἔνδον σκύλακα, καὶ ἐξ αὐτοῦ πρόσθες τῷ ἱέρακι ἐν τρισὶν ἡμέραις. ἐὰν οὖν ἑκὼν οὐ βούληται λαμβάνειν τὴν τροφὴν ταύτην, ἀνοίγων τὸ στόμα αὐτοῦ ἐντίθει. θὲς δὲ καὶ ἐν τῷ κρέατι ψήγματα σιδήρου.

Ἄλλο.

Σπέρμα ραφάνης, πέπερι μετὰ ἀψινθίου τρίψας εἰς τροφὴν ἐκβάλῃς. εἰ οὖν πτοηθῇ ἐκ τοῦ συμβάντος, κατασταλακτὴν διυλισμένην δὸς αὐτῷ πιεῖν· καὶ ἀπὸ τότε τροφὴν ζεστὴν δώσεις αὐτῷ φαγεῖν.

Ἄλλο.

188 Γάρος καὶ μέλι μίξας καὶ σκυλλόπουλον ἀνασχίσας δὸς ἀπ' αὐτοῦ τῷ ἱέρακι. εἰ οὖν μὴ θελήσει ἅψασθαι τῆς τροφῆς διὰ τριῶν ἡμερῶν, ὀφὰς αὐτῷ δὸς καὶ μὴ θέλοντι, ἕως οὗ ἰαθῇ.

Digitized by Google

Ἄλλο.

28 Ὅταν ὁ ἱέραξ κρέας ξεράσῃ μετὰ πόνου, τότε γνῶθι ὅτι τὸ στῆθος προσέκρουσεν. οὕτως οὖν αὐτὸν θεραπεύσεις. κρόκον φοῦ, ἔλαιον Ἱσπανικὸν τὸ ἀρκοῦν, οἶνον παλαιὸν ἴσον, ταῦτα τρίψας μετὰ κρέατος δὸς τῷ ἱέρακι φαγεῖν. εἰ δὲ καὶ οὐ θέλει, κράτησον ἄκοντα, καὶ ὀφὰς εἰς τὴν ἰατρείαν ἀποβάψας ἀνάγκασον αὐτὸν φαγεῖν. ἀλλὰ καὶ σιδήρου ῥίνισμα εἰς τὸ κρέας ἔμβαλε.

Ἄλλο.

29 Ἐὰν ἱέραξ τὸ στῆθος προσκρούσῃ καὶ εἰς τὸ κοντάριον στήκων πάσας τὰς ὥρας τὸ στόμα αὐτοῦ ἀνοίγῃ, τροφῆς τῷ ἱέρακι καθ' ἡμέραν τροφὰς τρεῖς. τοῦτο ποίησον ἐπὶ τρισὶν ἡμέραις, καὶ ἀφοδεύσει καὶ ἰαθήσεται.

Ἄλλο.

30 Λίβανον ἀρρενικόν, θεῖον ἰσόσταθμα μετὰ μέλιτος καὶ οἴνου μίξας ὁμοίῳ μέτρῳ, καὶ τρίψας μετὰ 189
κρέατος χοιρείου, δὸς τῷ ἱέρακι φαγεῖν, καὶ ἰᾶται.

Ἄλλο.

31 Μυελὸν μετὰ κρέατος ὀρνιθοκούλου δώσεις φαγεῖν ἢ ἀξούγγιν χοίρειον ξεστόν· καὶ τότε θήσεις αὐτὸν ἢ εἰς τράπεζαν ἢ εἰς κράβατον, ὅπου σιγὴ καὶ ἠρεμία ἐστίν. εἰ γοῦν συσφίγγεται ἤτοι στενοχωρεῖται, γίνωσκε τοῦτον ὑγιαίνειν· εἰ δὲ τὸ κρέας ὃ ἔλαβε ξεράσῃ ὄζει, δὸς αὐτῷ κρέας μετὰ οἴνου παλαιοῦ. εἰ οὖν κενώσῃ, ἰαθήσεται· εἰ δ' οὐ κενώσῃ, φοφᾶ.

Digitized by Google

Ἄλλο.

Φολβίου, κόστου, στάχυος Ἰνδικοῦ, σιδηρίτου 32
βοτάνης, κρόκου, κηκίδος, μαστίχης, πυρέθρου, λα-
σάρου, μύρου, ἀργαλικοῦ, λιβάνου ἀρρενικοῦ, πε-
πέρεως, ἀγριοσταφίδος κόκκους ζ', σανδαράχης, κω- 5
νείου τὸ ϟ", βούτυρον, λευκὸν τοῦ ᾠοῦ. σὺν τούτοις
λάβε τὸ ἄνθος τοῦ γάρου καὶ μέλι μετὰ οἴνου καλοῦ
καὶ ἔλαιον ῥόδινον καὶ σιδήρου ῥίνισμα. ταῦτα πάντα
ἴσῳ σταθμῷ. μίξεις καὶ τρίψεις καλῶς, καὶ ποιήσεις
ὀφὰς ἀπὸ κρέατος χοιρείου, καὶ ἐξ αὐτοῦ εἰς τὸ μέσον 10
τοῦ κρέατος βαλεῖς, ἵνα μὴ φανῇ ἡ ἰατρεία, καὶ οὕ-
τως αὐτῷ δώσεις.

Ἄλλο.

Ἄνθος ῥούσιον μετὰ ὕδατος μίξεις καὶ εἰς ποτὸν 33
τῷ ἱέρακι δώσεις, καὶ τὰς αἰτίας τοῦ στομάχου ἰᾶται. 15

190

Ἄλλο.

Οἷαν ὥραν ὁ ἱέραξ τὸ στῆθος αὐτοῦ προσκρού- 34
σει, κρατήσεις τράγον καὶ σχίσεις αὐτοῦ τὸ ὠτίον,
καὶ τὸ καταρρεῦσαν αἷμα ὑποδέξῃ, καὶ διὰ στόματος
τοῦ ἱέρακος ζεστὸν αὐτὸ ἐπιδώσεις. 20

Ἕτερον.

Ἐάν που ὁ ἱέραξ προσκρούσῃ τὸ στῆθος αὐτοῦ, σχίσον
εὐθὺς τράγου ὠτίον, καὶ τὸ χυθὲν αἷμα πρόσθες αὐτῷ θερ-
μὸν ὄν.

Ἄλλο. 25

Ἡδύοσμον μετὰ γῆς κονιορτοῦ καὶ μέλι μίξας εἰς 35
τροφὴν τῷ ἱέρακι δώσεις ἢ ῥίζαν σινήπεως καὶ ῥε-
πανίου ἰσόσταθμα μίξας καὶ τρίψας. καὶ εἰς τροφὴν
ζῶσαν ἢ εἰς γάλα ἢ εἰς ἔλαιον Ἱσπανικὸν μεμιγμένα

Digitized by Google

δώσεις ἢ κάρδαμον μικτὸν μετὰ μέλιτος καὶ οἴνου, καὶ μετὰ κρέατος χοιρείου τῷ ἱέρακι δώσεις φαγεῖν.

Πρὸς τὸν σπόγγον.

36 Ἐὰν ὁ ἱέραξ σπόγγον ἔχῃ, οὕτως νοήσεις. ὅταν ἴδῃς αὐτὸν πίνοντα πλέον τῆς συνηθείας αὐτοῦ, καὶ συχνὸν πυρετὸν ἔχῃ καὶ σφικτὸν καθίσῃ καὶ οὐκ ἀπολύῃ ἀπὸ τῆς χειρὸς οὐδὲ ἀπὸ τοῦ κονταρίου, 191 ἰδοὺ ὀφείλεις γνῶναι ὅτι σπόγγον ἔχει. οὕτως οὖν αὐτὸν ἰατρεύσεις. τρίχας χοίρου πέντε κατακεκομμένας διὰ δύο δάκτυλα, ῥίνισμα σιδήρου ὅσον ἡ ἄκρα τοῦ μαχαιρίου χωρεῖ, τοσοῦτον δώσεις εἰς μίαν ὀφήν· εἶτα ταύτας τὰς τρίχας ἐμπήξας εἰς τὸ κρέας ἀναμαλάξεις μετὰ τοῦ ῥινίσματος τοῦ σιδήρου, καὶ οὕτως δώσεις ὀφὰς ζ' ἀπὸ οἱουδήτινος κρέατος. τοῦτο ποιήσεις διὰ τριῶν ἡμερῶν· καὶ ὅταν ἴδῃς τὴν κόπρον τοῦ ἱέρακος ὡς κρόκον γενομένην, γίνωσκε ὅτι ἐσχίσθη αὐτοῦ ὁ σπόγγος. ὃν ἰατρεύσεις οὕτως. δώσεις αὐτῷ κονιορτὸν κηκίδος, τὸν ὄντα εἰς τὸ μέσον τῆς αὐτῆς κηκίδος· ὀστέα φοινίκων καύσεις καὶ εἰς χοῦν μεταβαλεῖς· μέλι τὸ ἀρκοῦν. ταῦτα ἀναμίξας ἔξ αὐτοῦ δὸς τῷ ἱέρακι, καὶ θεραπεύσεις μετὰ περιστεροπούλου ἢ ὀρνιθοπούλου. καὶ δώσεις αὐτῷ καθ' ἑκάστην ἡμέραν ὀφὰς ε'· καὶ δώσεις τὴν ἐπιγεγραμμένην ἰατρείαν διὰ μιᾶς ὀφῆς, ὅσον σου ἡ ἄκρα τοῦ μαχαιρίου χωρήσει. τοῦτο ποίησον διὰ πέντε ἡμερῶν, καὶ ἰαθήσεται. καὶ ὅταν σοι τὸ σῶμα θάλλον δείξῃ, τότε εἰς τὸ κυνήγιον αὐτὸν προτρέψεις.

Περὶ τοῦ ἱέρακος τοῦ ἔχοντος σπόγγον.

80 Ὅταν ἴδῃς αὐτὸν μάλα πίνοντα καὶ ὑπὸ τῆς δίψης κατεπαιόμενον, καὶ ἢ ἐν τῷ δόρατι κάθηται ἢ ἐν τῇ χειρὶ

Digitized by Google

πάνυ ἐμπεφυώς, γίνωσκε ὅτι σπόγγον ἔχει ἔνδον. κόψας οὖν τρίχας πέντε ἐκ τῆς χαίτης τοῦ χοίρου διαίρεσον τὴν μίαν πενταχῶς. καὶ ἐν τῇ διῃρημένῃ τῶν τριχῶν θὲς καὶ ψήγματα ὀλίγα. βαλὼν δὲ ταῦτα ἐν κρέατι πέρασον καὶ τὰς ἑτέρας τρίχας διὰ τοῦ κρέατος καὶ παράθες αὐτὸ τῷ ἱέρακι, ποίησον δὲ τοῦτο ἐν ἡμέραις τρισί. καὶ ὅταν ὀλίγῃ τὴν κόπρον αὐτοῦ βεβαμμένην ὡς κρόκον, γίνωσκε ὅτι ὁ σπόγγος ἐσχίσθη. μετὰ ταῦτα δὲ λαβὼν τὸν χοῦν τὸν ὄντα ἔνδοθεν τῶν νηπιδίων καὶ καύσας τὰ τῶν φοινίκων ὀστᾶ ποίησον αὐτὰ χοῦν. καὶ ἑνώσας αὐτὰ μέλιτι βάπτε ἐν αὐτοῖς περιστερᾶς νεοττὸν ἢ νεοττὸν ὄρνιθος, καὶ πάρεχε αὐτῷ ἐν ἡμέραις πέντε καθ' ἑκάστην ἡμέραν πεντάκις, καὶ ἰαθήσεται.

122 Ἐὰν ὁ ἱέραξ ἔχῃ ἥλους ἤτοι καρφία.

37

Ἐὰν ὁ ἱέραξ ἔχῃ καρφία, οὕτως αὐτὸν γνώσῃ. ἐν τοῖς ποσὶν αὐτοῦ ἔχει πάππουλα ὀξέα. τοῦτον οὕτως ἰατρεύσεις. μύρα οὐγγ. α', μαστίχην οὐγγ. ϟ'', πυρέθρου οὐγγ. ϟ'', ἀσκαμωνίαν τὴν λεγομένην γαλακτίδα οὐγγ. ϛ'', σπέρμα ἀνήθου κέρ. ϛ', κοκκόδαφνα κέρ. ε'. ταῦτα πάντα ὁμοῦ τρίψας καὶ κοσκινίσας μίξεις εἰς ῥητίνην λευκὴν λίτρ. α', ἔλαιον ῥόδινον οὐγγ. ξ', ἀξούγγιν χοίρειον οὐγγ. γ', κηρίον κίτρινον οὐγγ. ϟ''. ὁμοῦ ταῦτα μίξας βάλε αὐτὰ εἰς κακκάβιν καινούργιον, καὶ στῆσον αὐτὰ εἰς πῦρ, ἕως οὗ ἀναλυθῇ ἡ ἰατρεία· καὶ εἶθ' οὕτως καταφέρων αὐτὸ ἀπὸ πυρός, ἵνα χλιανθῇ καὶ οὕτως καθαρίσῃς τὸν ἱέρακα μετὰ στακτῆς ἀπὸ κληματίδων γενομένης. καὶ θέρμανε τὴν αὐτὴν κατασταλάκτην, ὅσον ἡ χεὶρ σου τὴν θέρμην βαστάξει. καὶ ἀντλήσεις αὐτὸν καὶ πρὸς τὸν ἥλιον καθίσεις, ἵνα οἱ πόδες αὐτοῦ θερμανθῶσι. καὶ οὕτως ἀπὸ τῆς ἰατρείας τοὺς πόδας αὐτοῦ ἀλείψεις, εἶθ' οὕτως θρέψεις αὐτὸν κρέας βραστόν. τοῦτο ποιήσεις, ἕως οὗ καθαρισθῇ.

Digitized by Google

Εἰς πυρετὸν τοῦ ἱέρακος. 196

38 Ἐὰν ὁ ἱέραξ πυρετὸν ἔχῃ, οὕτως αὐτὸν γνωρίσεις. ὅταν ἴδῃς ἐν στόματι φλυκτίδας ἔχοντα δίκην σεμιδάλεως, γνῶθι ὅτι πυρέσσει. οὕτως οὖν αὐτὸν ἰατρεύσεις. μέλι κοχλιάριον ἕν, κρόκον ὅσον οἱ δύο σου δάκτυλοι λάβωσιν, οἶνον παλαιὸν κοχλιάριον ἕν, ἔλαιον ῥόδινον κοχλιάριον ἕν. ταῦτα μίξας καὶ τὰ φλυκτώδη μετὰ βελόνης τρυπήσας, οὕτως ἐξ ἐκείνης τῆς ἰατρείας προθρέψεις τὴν τροφὴν αὐτοῦ εἰς ταύτην ἐγκυλίσας. ἔστω δὲ αὕτη κρέας τράγειον.

Ἐὰν ὑπὸ θέρμης ὁ ἱέραξ πάσχῃ.

Ὅταν ὁ ἱέραξ κεκτῆται θέρμην, ποιεῖ ἐν τῷ στόματι αὐτοῦ φύσκας δίκην σεμιδάλεως. κατακέντησον οὖν τὰς φύσκας μετὰ βελόνης. μετὰ ταῦτα λαβὼν μέλιτος κοχλιάριον ἓν καὶ κρόκον τοῖς δυσὶ σου δακτύλοις καὶ οἴνου παλαιοῦ κοχλιάριον α΄, ἑνώσας αὐτὰ χρῖε ἐξ αὐτῶν κρέας αἴγειον καὶ παράθες αὐτῷ.

Ἄλλο.

39 Τὸ στόμα τοῦ ἱέρακος διὰ τριῶν ἡμερῶν ἀπότριβε μετὰ τοῦ δακτύλου σου, καὶ ἰαθήσεται.

40 Βετονίκην τρίψας καὶ μέλιτι μίξας τῷ ἱέρακι δίδου. αὕτη γὰρ ἡ βοτάνη μ΄ νοσήματα ἰᾶται.

Ἄλλο.

41 Ἄνθος κυδωνίας μετὰ μέλιτος μίξας εἰς κρέας ξεστὸν δώσεις τῷ ἱέρακι φαγεῖν.

Ἕτερον.

Ἄνθος κυδωνέας καὶ μέλι θεὶς ἐν κρέατι θερμαίνοντι παράθες αὐτῷ.

Digitized by Google

194 Ἄλλο.

Φολβίου κεράτια β΄, καρυοφύλλου κόκκους ε΄, 42
κρόκου οὐγγ. ⌊ι΄, σκωρίας σιδήρου κέρ. α΄, ἐλαίου
ῥοδίνου κοχλ. β΄, οἶνον καλὸν κοχλ. δύο, μέλι κοχλ.
β΄, πέπερι κόκκους ζ΄. ταῦτα πάντα κόψας καὶ μίξας
ἐξ αὐτῶν θρέψεις τὸν ἱέρακα ἡμέρας ε΄ μετὰ κρέατος
οἱουδήτινος.

Ἕτερον.

Ἐφόρβιον κ" β΄, κόστον κ" β΄, καρυόφυλλον κ" ε΄, κρό-
κον ἑξάγια γ΄, ἰὸν σιδήρου κ" α΄, ῥοδελαίου κοχλιάρια β΄,
οἴνου καλοῦ κοχλιάρια β΄, μέλιτος κοχλιάρια β΄, πεπέρεως
ἑπτὰ κ", ταῦτα πάντα ἑνώσας πρόσθες τῷ ἱέρακι μετὰ κρέα-
τος τοῦ τυχόντος.

Ἄλλο.

Ῥόδον ἀληθινὸν ψυκτὸν μετὰ ἐλαίου Ἱσπανικοῦ 43
καὶ μέλιτος καὶ οἴνου καλοῦ μίξας καὶ τρίψας, οὕτως
ἱέρακα θρέψεις.

Ἀντίδοτον διδόμενον τῷ ἱέρακι.

Ὅταν ἴδῃς τὸν ἱέρακα ὅτι τὸ κρέας εἰς λεπτὸν 44
κόπτει, γνῶθι ὅτι σικχαίνεται. στρουθία οὖν οἰκειακὰ
ζῶντα σχίσεις καὶ εἰς μέλι ἀποβάψεις καὶ δώσεις αὐ-
τῷ φαγεῖν. ἐὰν δὲ μὴ θελήσῃ, θὲς αὐτὸν ὑπτίως,
καὶ οὕτως παράβαλε ἕως τρεῖς ἡμέρας. καὶ μετὰ
ταῦτα εἰς κυνήγιον ἐξάγαγε, καὶ τὴν πρώτην δὸς
αὐτῷ φαγεῖν.

Περὶ τοῦ ἀνορεκτοῦντος ἱέρακος.

Ὅταν ἴδῃς τὸν ἱέρακα βδελυττόμενον τὸ κρέας καὶ ἀσθε-
νῶς αὐτὸ τῇ ῥινὶ ἀνασπῶντα, σχίσον νεοττοὺς ὄρνιθας κατ-
οικιδίους καὶ βάπτων αὐτοὺς ἐν μέλιτι παράθες αὐτῷ. ἂν
οὖν οὐ λαμβάνῃ αὐτοὺς ἑκών, ἀνοίγων τὸ στόμα αὐτοῦ ἐν-

Digitized by Google

τίθει αὐτὰ ἐν ἡμέραις τρισί, καὶ μετὰ ταῦτα ἐξελθὼν εἰς θήραν τὸ θηρευθὲν πρῶτον παράθες αὐτῷ.

Εἰς ἕλκος ἱεράκων. 195

45 Εἰ δὲ ὁ ἱέραξ ἕλκη ἔχει, οὕτως αὐτὸν καθαρίσεις. οἴνου ξεστίου ἓν καὶ ὕδωρ γλυκὺ θερμάνας θάλψον τὸν ἱέρακα, καὶ τοιοῦτον ἔμπλαστρον ποίησον. μαστίχην οὐγγ. α', στυπτηρίαν σχιστὴν οὐγγ. α', ῥητίνην λευκὴν οὐγγ. α', μέλι τὸ ἀρκοῦν. ὁμοῦ ταῦτα μίξας καὶ ἐξ αὐτῶν ἔμπλαστρον ποιήσας τὰς πληγὰς πρὸς τὸ ἀρκοῦν ἀλείψεις. τοῦτο ποιήσεις, ἕως οὗ καθαρισθῇ. κρέατα οὖν ἐσθιέτω ζεστὰ οἱαδήποτε· μόνον βόειον μὴ φάγῃ. κονιορτὸν σιδήρου τὸν ἀποπίπτοντα τοῦ ἄκμονος τρίψας καὶ κοσκινίσας μετὰ κρέατος χοιρείου δὸς τῷ ἱέρακι.

Περὶ ἕλκους ἱέρακος.

Ἐὰν ὁ ἱέραξ κεκτῆται ἕλκη, βαλὼν οἴνου μέτρον α' καὶ ὕδωρ γλυκὺ χλιάνας λοῦσον αὐτόν, εἶτα λαβὼν μαστίχην οὐγγίαν μίαν καὶ μέλι καὶ στύψιν οὐγγίαν μίαν, ῥητίνην λευκὴν οὐγγίαν μίαν, καὶ ἑνώσας αὐτὰ ποίησον ἔμπλαστρον, καὶ ἄλειφε τὰς πληγὰς αὐτοῦ μέχρις ἂν καθαρισθῶσιν. ἐσθιέτω δὲ κρέας θερμαῖνον τὸ τυχὸν πλὴν βόειον, ἢ πάρεχε αὐτῷ χοίρειον κρέας μετὰ ψηγμάτων σιδήρου.

Ἐὰν ὁ ἱέραξ ἔχῃ κήλην.

46 Ἐὰν ὁ ἱέραξ κηλωθῇ, οὕτως αὐτὸν θεραπεύσεις. βοτάνης γαλούτης κέρ. γ', κολιάνδρου ῥίζαν κέρ. γ', πεπέρεως κόκκους ζ', σελίνου ῥίζαν κέρ. α', πράσου ῥίζαν κέρ. α', ἔλαιον ῥόδινον, μέλι καλὸν ἴσῳ σταθμῷ δὸς τῷ ἱέρακι, καὶ ἰαθήσεται.

Ὅταν ἀφοδεύῃ τεάφιν. 196

47 Ταῦτα εἰσὶ τὰ σημεῖα. ἐὰν κόπτωνται τὰ πτερὰ

Digitized by Google

αὐτοῦ ἀπὸ τῶν πτερύγων, καὶ ἐπὶ τῶν μεταφρενῶν αὐτοῦ πτερὰ στήκωσι καὶ ἀφοδεύῃ ὡς τεάφιν καὶ φαίνηται ὡς ἀμανιτάριν, οὕτως αὐτὸν θεραπεύσεις. ποίησον ἰατρείαν τὴν λεγομένην θεοδώρητον, κρόκου, ῥέον Ποντικόν, ἄκορον, μαστίχην ἀνὰ δραχμὰς τρεῖς, ἁλόης δραχμὰς ι', ἀργαλικὸν δραχμὰς ιβ', κασσίας δραχμὰς θ', ἄσαρον, ξύλον βαλσάμου, χαμαίδρυν, πέπερι ἀνὰ δράχμας β', κόστου δραχμὰς δ', στάχυν Ἰνδικὸν δραχμὴν α', μέλιτος καλοῦ ἀπηφρισμένου τὸ ἀρκοῦν.

Ὅταν ῥίπτῃ τὴν κόπρον αὐτοῦ θείῳ ἐοικυῖαν.

Ἐὰν ἡ κόπρος αὐτοῦ θείῳ ἔοικε, καὶ τὰ μὲν πτερὰ αὐτοῦ τῶν πτερύγων πίπτονται, τὰ δὲ τοῦ νώτου αὐτοῦ ἵστανται πεφρικότα, ποίησον τὴν ἰατρείαν, ἣν λέγουσι θεοδώρητον, κρόκου, ῥέον Ποντικόν, ἄκορον, μαστίχην ἀπὸ ἐξαγίων β" κ" ς', ἁλόην οὐγγίας δ', ἀργαλικὸν ἑξάγια ε', κασσίαν ἑξάγια ε', ἄσας, ξυλοβάλσαμον, χαμαίδρον, πέπεριν ἀπὸ ἐξαγίου α", κόστον ἑξάγια γ', στάχος Ἰνδικόν, καὶ μέλι καλὸν ἐξαφρισθέν.

Εἰς τὸν βραδέως τρώγοντα.

Ἐὰν τὸν ἱέρακα ἴδῃς βραδὺ τρώγοντα καὶ τὴν τροφὴν αὐτοῦ εἰς τὸν λαιμὸν ἱσταμένην, γνῶθι ὅτι πεπαταγμένος ἐστὶν ἀπὸ τοῦ πονεῖν τὰς πλευράς. οὕτως δὲ αὐτὸν ἰατρεύσεις. σελίνου σπέρμα κεράτιον α', κόστου κεράτια β', σπέρμα κολιάνδρου κερ. β', κρόκου κέρ. α', μυελὸν ἐλάφου κερ. β', οἶνον καλόν, σπέρμα καρδάμου κεράτιον α', φολβίου κέρ. α', κύμινον τὸ ἀρκοῦν. ταῦτα πάντα ὁμοῦ τρίψας ἐξ αὐτοῦ τὴν ἰατρείαν ποίησον, καὶ τὸν ἱέρακα θρέψον μετὰ κρέατος οἰουδήτινος.

Ἐὰν βραδέως ἐσθίῃ καὶ ἀσθενῶς.

Ἐὰν ὁ ἱέραξ ἐσθίῃ βραδέως καὶ ἡ τροφὴ αὐτοῦ ἵσταται

Digitized by Google

ἐν τῷ λαιμῷ αὐτοῦ, γίνωσκε ὅτι τὰ πλευρὰ αὐτοῦ ἁλγεῖ. λαβὼν οὖν σελίνου σπέρμα κ" α΄, κόστον κ" β΄, κρόκον κ" α΄, μυελὸν ἐλάφειον κ" β΄, ἐφόρβιον κ" α΄ καὶ κύμινον τρῖψον καὶ πάρεχε τῷ ἱέρακι μετα κρέατος τοῦ τυχόντος.

Εἰς ἕλμινθας.

49 *Ἐὰν ὁ ἱέραξ ἕλμινθας ἔχῃ, οὕτως αὐτὸν γνώσῃ. συχνῶς τὴν οὐρὰν σείει. * * ὑγροπίσσιν καθαρόν, ἔλαιον Ἱσπανικόν, μέλι ὁμοῦ μίξας θρέψον ἐξ αὐτῶν τὸν ἱέρακα μετὰ κρέατος τρεῖς ἡμέρας· εἰ δὲ πλείονας τοῦτο ποιήσεις, μάλλον ὠφελήσεις.*

Περὶ ὁρμίκων ἢ μυρμήκων.

Ἐὰν ἔχῃ μύρμηκας, σείει τὴν οὐρὰν αὐτοῦ συχνῶς. ἔνωσον οὖν κρέατι ὑγροπίσσιν καθαρόν, ἔλαιον Καταλανικὸν καὶ μέλι, καὶ τρέφε αὐτὸν ἐν τρισὶν ἡμέραις. ἐὰν ποιήσῃς τοῦτο, καὶ πλέον ὠφεληθήσεται.

Ἄλλο.

50 *Πήγανον μετὰ ἐλαίου Ἱσπανικοῦ ἑψήσας καὶ τὴν τροφὴν τοῦ ἱέρακος εἰς αὐτὸ ἀποβάψας θεραπεύεται. ἢ κολίανδρον τρίψας μετὰ ἐλαίου Ἀφρικοῦ ἀπόβαψον εἰς αὐτὸ τὴν τροφὴν τοῦ ἱέρακος, ἢ σκόρδον τρίψας μετὰ γλήχωνος καὶ ἡδύοσμου τὸ κρέας ἐν τούτοις ἀπόβαφε. ἢ αὐτὰς τὰς ἕλμινθας καῦσον καὶ εἰς κρέας κοίρειον τῷ ἱέρακι δὸς ἐπὶ τρισὶν ἡμέραις, ἢ μυελὸν ἐλάφου μετὰ κρέως ζεστοῦ ἐπὶ τρισὶν ἡμέραις δός, καὶ θεραπεύσεις.*

Ἕτερον.

Πήγανον ἕψησον μετὰ ἐλαίου Καταλανικοῦ ἢ τρῖψον κολίανδρον μετὰ ἐλαίου ἢ σκόροδον μετὰ βλήχωνος καὶ ἡδυόσμου ἢ μυελὸν ἐλάφειον, καὶ βάπτε ἐν αὐτοῖς κρέας καὶ πρόσθες αὐτῷ, καὶ ἐν τρισὶν ἡμέραις ἰαθήσεται.

Digitized by Google

198 *Εἰς πρησμονὴν τοῦ φάρυγγος.*

Ἔλαιον παλαιὸν ἀπὸ καρύων μετὰ βουτύρου 51
συμμίξας τὸν οὐρανίσκον τοῦ ἱέρακος τρίβε, καὶ ἰαθήσεται. ἢ καὶ τὴν τροφὴν αὐτοῦ εἰς τὴν τοιαύτην ἰατρείαν ἔμβαφε, ἢ καὶ σευτλόρριζον μετὰ σινάπεως τρίψας καὶ ἀποπιέσας ἐξ αὐτοῦ τὰς ῥίνας καὶ τὸν οὐρανίσκον ἐπάλειφε, καὶ πᾶσαν τὴν κεφαλαλγίαν ἀποκόψεις.

Ἐὰν ὁ λαιμὸς αὐτοῦ ἐξογκωθῇ.

Ἔλαιον ἐκ καρύων ἑνώσας βουτύρῳ τρῖψον τὸν οὐρανί- 10
σκον αὐτοῦ, καὶ ἰαθήσεται. ἢ καὶ τὴν τροφὴν βάπτε αὐτὴν ἐν αὐτοῖς, ἢ σεύτλου φύλλα θλάσας καὶ σίνηπι σακέλισον αὐτὰ καὶ τὸν ζωμὸν θὲς ἐν τοῖς μυκτῆρσιν αὐτοῦ.

Εἰς τὰ σκληρὰ τοῦ ἱέρακος.

Συχνῶς τὸν πρωκτὸν τῷ κοντῷ ἐγγίζει, καὶ 52
15
ἀφοδεύει δίκην μέλανος. δεῖ οὖν σε γινώσκειν ὅτι ἀπόσκληρα ἔχει. οὕτως οὖν ἰατρεύσεις. ἀλόην ἡπατικὴν κεράτια δ', τεάφιν Ἀσιανὴν κεράτ. α', μέλιτος τὸ ἀρκοῦν. ταῦτα μίξας τὸν ἱέρακα ἐξ αὐτοῦ θρέψεις μετὰ κρέατος βοείου καθ' ἡμέραν ὀφὰς ζ', ὅσον σου 20
ἡ ἄκρα τοῦ μαχαιρίου χωρεῖ. εἰ δὲ ἡ κοιλία τοῦ ἱέρακος ἐπέχεται, τῆς κοιλίας τὰ ἔνδοθεν σὺν τῇ κόπρῳ καὶ αἷμα παιδαρίου συμμίξας εἰς τροφὴν αὐτῷ δός, καὶ λύσεις αὐτήν.

199 *Ἄλλο.* 25

Ὅταν ἴδῃς αὐτὸν τρύζοντα ἐν τῷ ἀφοδεύειν καὶ 53
οἱ ὀφθαλμοὶ αὐτοῦ κλαίωσιν, οὕτως αὐτὸν θεραπεύσεις. ὀρνιθόπουλον ζεστὸν τρεῖς ἡμέρας αὐτῷ δός, καὶ τὰ σκληρὰ ἀναλύσει· ἢ ποντικοὺς ζῶντας σὺν

Digitized by Google

ταῖς θριξὶν αὐτῷ τούτῳ δός· ἢ μέλι ἀπηφρισμένον μετὰ κρέατος ζεστοῦ ἢ μυόσκατον εἰς ὑδρόμελι τρίψας καὶ εἰς κρέας ἐπιρράνας, ἀπ' αὐτοῦ τὸν ἱέρακα κάλεσον, ἢ ἀλόην δὸς ἡπατικὴν ὅσον ἐρεβίνθου τὸ μέγεθος.

Ἄλλο.

54 Ἐλάφου μυελόν, βούτυρον, ἔλαιον νέον, σευτλόρριζον ἐκθλάσας καὶ εἰς τὸν αὐτὸν ζωμὸν συμμίξας ἀργαλικόν, ὑοσκύαμον, πολύτριχον, ἔλαιον ῥόδινον, μυόχοδον, ἐξ αὐτῶν αὐτῷ δώσεις ὀφάς. ἢ ῥίζας σινάπεως καὶ καρυοφύλλου τρίψας καὶ εἰς γάλα προβάτου ἢ εἰς ἔλαιον Ἱσπανικὸν μίξας κρέας χοίρειον τὸν ἱέρακα θρέψεις. ἢ ἀπὸ ζωμοῦ κυνοχέστου καὶ κονιορτὸν πεπέρεως καὶ σελίνου σπέρμα μετὰ μέλιτος εἰς κρέας χοίρειον βαλὼν δώσεις αὐτῷ φαγεῖν.

Εἰς τοὺς λίθους καὶ τὴν δυσουρίαν. 200

55 Ἐὰν ἱέραξ λίθους καὶ δυσουρίαν ἔχῃ; οὕτως αὐτὸν γνώσῃ. οὐκ ἀφοδεύει, εἰ μὴ ὀλίγον καὶ μετὰ τρισμοῦ τοῦ στήθους· καὶ αὐτὸ ὃ ἀφοδεύει σκληρόν ἐστιν, ὡς λίθος. ἢ ἀπὸ μιᾶς ὑδαρὸν ῥάφανον γλύψας καὶ εἰς αὐτὸ βάλε ἅλας, καὶ εἰς κακκάβιν καινὸν βάλε αὐτό, καὶ ἐπιτίθει ἀνθρακίαν μαλακήν. καὶ ὅταν λυθῇ, εἰς τὸν αὐτὸν ζωμὸν κρέας χοίρειον ἀποβάψεις, καὶ μετὰ ταῦτα εἰς λεκάνην ὕδατος πεπληρωμένην βάλε αὐτόν, καὶ ὅλην τὴν ἡμέραν ἐκεῖ ἔστω, καὶ ὅσον θέλει ἂν πίῃ, ὅτι πυρέσσει. καὶ ὅσον πίει πολὺ ἰᾶται.

Περὶ λίθων καὶ δυσουρίας.

Ἐὰν ἔχῃ ὁ ἱέραξ λίθους καὶ δυσουρίαν, ῥίπτει τὴν κόπρον ὀλίγην καὶ σκληρὰν καὶ ταύτην μετὰ βίας, καὶ τρίζει ἐν τῷ στήθει. κοίλανον οὖν ῥάφανον καὶ θὲς ἔνδον ἅλας.

Digitized by Google

τοῦτο δὲ βαλὼν ἐν καινῷ χαλκίνῳ ἀγγείῳ, ἐπίθες αὐτὸ ἐπάνω ὀλίγων ἀνθράκων. ὅταν δὲ τὸ ἅλας λυθῇ, βάπτε ἐν τῷ ζωμῷ τούτῳ χοίρειον κρέας καὶ παράθες αὐτῷ. μετὰ ταῦτα γεμίσας λεκάνην ὕδατος θὲς αὐτὸν ἔνδον· ἔστω δὲ πανημέριος ἐντὸς ταύτης καὶ πινέτω ἐκ τοῦ ὕδατος ὅσον βούλεται· ὅσον γὰρ πίνει πολύ, τοσοῦτον ὠφελεῖται.

Ἄλλο.

Φακῆν σύντριψον καὶ μετὰ ἐλαίου ῥοδίνου σύμ- 56
μιξον, καὶ μετὰ μέλιτος κρέας ἐμβάψας δὸς τῷ λέρακι. ἢ λαχάνων τὰς ῥίζας καὶ σινάπεως φύλλα σὺν αὐταῖς κοπανίσας καὶ ἀποκιέσας μετὰ δακρύων τῆς τερεβίνθου, εἰς θερμὸν συμμίξας καὶ τρίψας μετὰ ζωμοῦ τοῦ ῥαφάνου καθὼς εἴρηται, εἰς κρέας δὸς τῷ λέρακι
201 φαγεῖν ἢ βοτάνην κλυστερίαν μετὰ λευκοῦ τοῦ φοῦ καὶ μέλιτος καὶ ἅλατος ὀλίγου μίξας διὰ στόματος ἔχειν. ἢ σκελίδας τρεῖς σκορόδου ἕψησον μετὰ σπέρματος βοτάνης τῆς λεγομένης μεσικάλης, καὶ τρίψας αὐτὰ θέρμανον καὶ τῷ λέρακι δός, ἢ κρέας βόειον εἰς μέλι ἀπηρτισμένον βάψας δὸς αὐτῷ φαγεῖν.

Εἰς λεύκωμα καὶ πάταξιν ὀφθαλμῶν λέρακος.

Ἐὰν ὁ λέραξ λεύκωμα ἔχῃ εἰς τὸν ὀφθαλμόν, 57
συχνῶς μετὰ ὕδατος ψυχροῦ τὸν ὀφθαλμὸν φύσησον· εἶτα σκόρδον Καππαδοκικὸν καὶ κόκκον φάβατος μετὰ καὶ ἅλατος μάσησον, καὶ οὕτως τοὺς ὀφθαλμοὺς αὐτοῦ ἐπίρρανον. τοῦτο δὲ νῆστις ποιήσεις, ἕως οὗ καθαρισθῇ.

Ἐὰν ἔχῃ ἐν τοῖς ὀφθαλμοῖς αὐτοῦ λευκόν.

Ῥᾶνον συχνῶς ὕδατι ψυχρῷ ἐπὶ τοῖς ὀφθαλμοῖς αὐτοῦ, καὶ λαβὼν σκόροδον Καππαδοκικὸν καὶ σπέρμα ἓν τῶν κυ-

Digitized by Google

ἁμων, μάσησον αὐτὸ μετὰ ἅλατος νῆστις, ἄλειφε δὲ τοὺς ὀφθαλμοὺς αὐτοῦ ἕστ' ἂν καθαρισθῶσι.

Ἄλλο.

58 Ἅλας Καππαδοκικὸν καὶ ὀστέα σηπίας μάσησον καὶ τοὺς ὀφθαλμοὺς ἐπίρρανον. θεραπεύεται καὶ οὕτως. βοτάνην τὴν λεγομένην εὔβουλον, ἥτις εἰς τὸν κῆπον τὸν θερμὸν τοῦ Μαξιμιανοῦ γεννᾶται, τρῖψον καὶ μετὰ πανίου καθαροῦ εἵλησον, καὶ τὸν ἱέρακα ἐπιστρέψας μετὰ πτεροῦ τὸν ὀφθαλμὸν αὐτοῦ ἄλειφε. τοῦτο τρεῖς ἡμέρας ποιήσεις, καὶ ἰα- 202
θήσεται.

Ἄλλο.

59 Λεπτόκαρον λεπίσας καὶ τὸν φλοιὸν καθαρίσας μετὰ οἴνου μάσσε καὶ εἰς τὸν ὀφθαλμὸν τοῦ ἱέρακος ἐκπίασον. τοῦτο τρεῖς ἡμέρας ποιήσεις, καὶ ἰαθήσεται. τινὲς δὲ γάλα ἐκ γυναικὸς εἰς τὸν ὀφθαλμὸν τοῦ ἱέρακος βάλλουσι, καὶ καθαρίζεται. οἱ δὲ σκορπίους ἐξ ἀγροῦ δύο εἰς χύτραν καινὴν καύσαντες, ἕως οὗ εἰς κονιορτὸν γένωνται, εἰς τὸν ὀφθαλμὸν τοῦ ἱέρακος βάλλουσι, καὶ καθαρίζεται. τοῦτο ποιοῦσιν, εἰ ἔστι λεύκωμα· ἐὰν δὲ τὸν ὀφθαλμὸν παταχθῇ, συχνῶς ὕδωρ ψυχρὸν ἐπιρραίνουσι, καὶ βετονίκην κοπανίσαντες καὶ ἐκπιάσαντες τὸ ἀπόζωμον εἰς τὸν ὀφθαλμὸν ἐμβάλλουσι, καὶ θεραπεύεται. οἱ δὲ ἅλας Καππαδοκικὸν καὶ Πόντιον μασησάμενοι τὸν ὀφθαλμὸν προσφυσῶσιν. ἢ ἄλλος τις ἔφησεν ἁλὸς ἄχνην ἐπαλείφουσιν. αὕτη τοὺς δυσκωφοῦντας ὠφελεῖ εἰς τὰ ὦτα ἐμβαλλομένη. τινὲς δὲ βοτάνην ἀείζωον ἣν καλοῦσιν ἀμάραντον τρίψαντες, τὸ τρίμμα εἰς τοὺς ὀφθαλμοὺς τοῦ ἱέρακος ἐπιβάλλουσιν.

Digitized by Google

Ἕτερον.

Μασήσας λεπτόκαρον μετὰ οἴνου σακέλιζε αὐτὸ ἐπὶ τοῖς ὀφθαλμοῖς αὐτοῦ, καὶ ἐν τρισὶν ἡμέραις ἰαθήσεται. Ἕτεροι δὲ γυναικείῳ γάλατι ἐντιθέντες καθαίρουσι τοῦτο. Ἕτεροι δὲ ἐπιτιθέασι ἅλατος ἄχνην. αὕτη δὲ ἀφελεῖ καὶ τοὺς μὴ καλῶς ἀκούοντας, ἐὰν ταύτην ἐν τοῖς ὠσὶν αὐτῶν θῇσῃς. Ἕτεροι δὲ τρίψαντες ἀμάραντον ἐντιθέασι τοῖς ὀφθαλμοῖς αὐτῶν ἐκ τῶν τριμμάτων, καὶ θεραπείας ἐπιτυγχάνουσι.

Ἕτερον.

Ὄστρακον σηπίας καὶ ἅλας Καππαδοκικὸν μασήσας ἄλειφε τοὺς ὀφθαλμοὺς αὐτοῦ.

208 *Εἰς τοὺς ἐν τοῖς ὀφθαλμοῖς καταῤῥάκτας.*

Ὅταν ὁ ἱέραξ καταῤῥάκτην ἔχῃ, μέλι ἄκαπνον καὶ χολὴν γυπὸς τρίψας τοὺς ὀφθαλμοὺς ἄλειψον μετὰ μικροῦ πτεροῦ, καὶ ἰαθήσεται.

Ἕτερον.

Ὅταν ἀλγῇ τοὺς ὀφθαλμοὺς αὐτοῦ ὑπὸ ῥευματισμοῦ τῆς κεφαλῆς, χολὴν γυπὸς ἑνώσας μέλιτι ἄλειφε τοὺς ὀφθαλμοὺς αὐτοῦ μετὰ πτεροῦ, καὶ ἰαθήσεται.

Ἄλλο.

*Ἐὰν ὁ ἱέραξ τοὺς ὀφθαλμοὺς αὐτοῦ κονέσῃ ἀπὸ αἰκισμοῦ κεφαλῆς, οὕτως αὐτὸν γνώσῃ. τὰ ἐποφρύδια τῶν ὀφθαλμῶν αὐτοῦ σκεπάζει, καὶ αἱ ῥῖνες αὐτοῦ ὑπὸ τῆς ὑγρασίας ἀναμεμιγμέναι εἰσί, καὶ συχνῶς πταίρει. οὕτως οὖν αὐτὸν περιποιήσῃ. χαλβάνης κονιορτὸν καὶ ὀνοθηλείας γάλα μεμιγμένον εἰς τροφὴν αὐτῷ δώσεις, οἶνον δὲ παλαιὸν καὶ λάσαρον τετριμμένον μίξας τὰς ῥῖνας αὐτοῦ * * τρίψον τοὺς ὀφθαλμοὺς μετὰ οἴνου, καὶ ᾧοῦ τὸ λευκὸν μεμιγμένα*

Digitized by Google

ἀλείψεις, καὶ ἐν ταῖς ἡμέραις ταύταις ἔξω μὴ ἐκβάλῃς αὐτόν.

Ἕτερον.

Ἐὰν ὁ ἱέραξ ἀλγῇ τοὺς ὀφθαλμοὺς αὐτοῦ ὑπὸ κεφαλικοῦ νοσήματος, ὑποχαλᾷ τὰς βλεφαρίδας αὐτοῦ, καὶ οἱ μυκτῆρες αὐτοῦ μεστοί εἰσιν ὕδατος, καὶ ἀποπταίρει συχνῶς. ποίει οὖν χαλβάνην ὡς κόνιν καὶ μίγνυε αὐτὴν μετὰ γάλακτος ὄνου, καὶ βάπτε ἐν αὐτῷ τὴν τροφὴν αὐτοῦ, καὶ τρίψας σκορδολάζαρον ἔνωσον αὐτὴν οἴνῳ παλαιῷ καὶ ἔγχεον ἐν τοῖς μυκτῆρσιν αὐτοῦ. μίγνυε δὲ καὶ τὸ τοῦ φοῦ λευκὸν μετὰ οἴνου καὶ χρῖε τοὺς ὀφθαλμοὺς αὐτοῦ. μὴ ἔκφερε δὲ τοῦτον.

Εἰς νόσημα ἱέρακος.

62 Ἐὰν ὑπὸ νοσήματος ἱέραξ κατασχεθῇ, οὕτως αὐτὸν νοήσεις. βραδέως διορθοῦται, καὶ τοῖς ὀφθαλ- 201
μοῖς οὐ καλῶς ἐμβλέπει, καὶ τεθλιμμένος κάθηται. τοῦτον οὕτως περιποίησον. σπέρμα ῥαφάνης, ἀψίνθιον πόντιον τρίψας καὶ τὸν κονιορτὸν αὐτῶν μετὰ καλάμης τοῦ ἱέρακος ἐμφυσήσεις ταῖς ῥισί, καὶ ἰᾶται. ἄλλοι δὲ σευτλόρριζα ἄγρια ἢ κηπουρικὰ καθαρίσαντες καὶ μετὰ ὄξους τρίψαντες εἰς λινοῦν πανίον ἀποπιέσαντες, τὸν ζωμὸν διὰ τῶν ῥινῶν αὐτοῦ ἐμβάλλουσι.

Εἰς κεφαλαλγίαν.

63 Ῥίζας ἀγριομαλάχου ὡρίμου συνάξεις, καὶ τρίψας καὶ εἰς ὄξος δριμὺ ἐμβαλεῖς, καὶ μεθ' ἡμέραν εἰς τὰς ῥῖνας αὐτοῦ βαλεῖς, καὶ εἰς τὸν οὐρανίσκον, καὶ οὐδέποτε τὴν κεφαλὴν πάθῃ.

Περὶ κεφαλαλγίας ἱέρακος.

Μαλάχης ἀγρίας ῥίζας τρίψας θὲς αὐτὰς ἐν ὄξει δριμεῖ καὶ τοῦτο ἐπέχεε τοῖς μυκτῆρσιν αὐτοῦ, καὶ οὔποτε τὴν κεφαλὴν ἀλγήσει.

Digitized by Google

Ἄλλο.

Πήγανον ἄγριον μετὰ ἐλαίου Ἱσπανικοῦ εἰς τη- 64
γάνιν βαλὼν τηγάνισον. καὶ ὅταν αὐτὸ ἴδῃς ὅτι ῥού-
σιον γεγένηται, τότε κατάγαγε ἀπὸ τοῦ πυρός· καὶ
ὅταν ψυχρανθῇ, βάλε αὐτὸ εἰς βικίον ὑέλινον, καὶ
ἐξ αὐτοῦ κρέας οἷον βούλει ἐπίχριε, καὶ τὸν ἱέρακα
θρέψεις.

Ἕτερον.

Πήγανον ἄγριον μετὰ ἐλαίου Καταλανικοῦ τηγάνισον,
καὶ ὅταν ἐρυθρὸν γένηται, ἔασον αὐτὸ ψυχρανθῆναι. θεὶς
δὲ αὐτὸ ἔν τινι ἀγγείῳ, βάπτε ἐν αὐτῷ κρέας τὸ τυχὸν καὶ
παράθες αὐτῷ.

205 *Εἰς ῥεῦμα κεφαλῆς ἱέρακος.*

Ἐὰν ὁ ἱέραξ τὴν κεφαλὴν ῥευματίζηται, οὕτως 65
αὐτὸν περιποίησον. ἀλόην ἡπατικὴν ὀλίγην τρίψας
ἐξ αὐτῆς εἰς κρέας βάλε, καὶ εἰς ἑπτὰ ἡμέρας θρέ-
ψεις, καὶ ἰαθήσεται.

Περὶ ῥευματισμοῦ κεφαλῆς ἱέρακος.

Ἀλόην ὀλίγην τρίψας θὲς αὐτὴν ἐν κρέατι καὶ παράθες
αὐτῷ, καὶ ἐν ἑπτὰ ἡμέραις ἰαθήσεται.

Ἄλλο.

Βάλσαμον, πίσσαν κεδρέαν, σπέρμα εὐζώμου, 66
σπέρμα πηγάνου, ὄξος, ὁμοῦ ταῦτα τρίβοντες, ἀπ'
αὐτῶν τὴν κεφαλὴν ἀλείφουσι τοῦ ἱέρακος.

Ἕτερον.

Βάλσαμον, πίσσαν κεδρέαν, πηγάνου σπέρμα τρίψας
θὲς ὄξος καὶ ἄλειφε τὴν κεφαλὴν αὐτοῦ.

Εἰς πρησμονὴν κεφαλῆς.

Ἐὰν πρησθῇ τοῦ ἱέρακος ἡ κεφαλή, οὕτως αὐτὸν 67

Digitized by Google

περιποίησον. ἀπὸ τοῦ σινάπεως κόλλικας ε' ποιήσεις, καὶ πήγανον ἥμερον ὅσον εἰκάζεις ἀρκεῖν λάβε σευτλόρριζα ε', καὶ τρῖψον ὁμοῦ εἰς ὑγδίον καινούργιον, καὶ καλῶς εἰς κάνιν καθαρὸν ἀποπίασον. ἔξ αὐτοῦ λάμβανε εἰς τὸ τρίτον. ἐντὸς τῆς ῥινὸς βαλεῖς, καὶ πρὸς τὸν ἥλιον αὐτὸν κάθισον, καὶ ἰαθήσεται.

Ἐὰν ὀγκωθῇ ἡ κεφαλὴ αὐτοῦ.

Σίνηπι, πήγανον κηπευτικόν, τεύτλου ῥίζας πέντε, τρίψας αὐτὰ ἐν θυΐᾳ καινῇ, ἐξ αὐτῶν θὲς τοῖς μυκτῆρσιν αὐτοῦ, καὶ στῆσον αὐτὸν πρὸ τοῦ ἡλίου, καὶ ἐν τρισὶν ἡμέραις ἰαθήσεται.

Εἰς νόσον ἀφανῆ. 206

68 Ἐὰν ὁ ἱέραξ τὰ ἐντὸς αὐτοῦ νοσήσῃ ἀπὸ πολλῆς ψυχρότητος, οὕτως αὐτὸν νοήσεις. ὡς κόπρον ὀρνίθειον ἀφοδεύει ἢ ὡς κρόκον ἢ ὡς ἀληθινὸν αἷμα· ἔχει δὲ κεχαλασμένα τὰ πτερύγια καὶ τὴν κεφαλὴν ὀρθοτριχισμένην. οὕτως δὲ αὐτὸν θεραπεύσεις. ἵνα ἁρπάξῃς ἱσταμένου τοῦ χοιρείου τὸ κρέας, καὶ χλιαρῷ βουτύρῳ αὐτὸ ἀλείψεις, καὶ τῷ ἱέρακι δώσεις. ἀμέλξεις δὲ αἶγα, καὶ θερμανεῖς τὸ γάλα, καὶ ἄρτον ὁλόκοπον ἐν αὐτῷ θρύψεις, καὶ τῷ ἱέρακι δώσεις. τοῦτο ποιήσεις ἕως οὗ τὴν κόπρον καθαρίσῃ, καὶ τὸ σῶμα αὐτοῦ ἐρρωμένον ἴδῃς. ψυχροῦ δὲ μηδ' ὅλως γευέσθω.

Περὶ κρυπτῆς ἀσθενείας αὐτοῦ.

Ἐὰν ἀλγῇ ὁ ἱέραξ ἔνδοθεν, ῥίπτει ὥσπερ κατοικιδίου ὄρνιθος κόπρον ἢ ὥσπερ κρόκον ἢ αἷμα. ὑπογαλῶνται καὶ αἱ πτέρυγες αὐτοῦ καὶ τὰ τῆς κεφαλῆς αὐτοῦ πτερὰ ὄρθια ἵστανται. τεμὼν οὖν κρέας χοίρειον ἄλειφε αὐτὸ βουτύρῳ θερμῷ, καὶ τῷ ἱέρακι πρόσθες. ἀμέλξας δὲ αἶγα θέρμανον τὸ γάλα, καὶ τρίψας ἐν αὐτῷ ἄρτον παράθες τῷ ἱέρακι.

Digitized by Google

ποίει οὖν τοῦτο ἕως ἂν ῥίψῃ καλὴν κόπρον, καὶ ἴδῃς αὐτὸν ὑγιῆ. μηδενὸς δὲ μηδαμῶς τῶν ψυχρῶν γεύσηται.

Ἄλλο.

Τὸ ὑγρὸν τῆς κυδόνης ἢ κίτρου ἀποπιέσεις μετὰ 69
οἴνου παλαιοῦ ἢ μέλιτος, καὶ κρέας ἐξ αὐτοῦ ἀλεί- 5
ψεις καὶ τὸν ἱέρακα θρέψεις.

Ἕτερον.

Τὸ δάκρυον τῆς κυδωνέας ἢ τῆς κιτρέας στάξε ἐν οἴνῳ παλαιῷ ἢ μέλιτι, καὶ χρῖε κρέας καὶ πάρεχε αὐτῷ.

Εἰς κόρυζαν ξηρὰν τοῦ ἱέρακος. 10

Ἐὰν ὁ ἱέραξ κόρυζαν ἔχῃ, τὰ σημεῖα ταῦτα ποιεῖ. 70
ΧΟΙ ὅταν ἴδῃς αὐτὸν ὅτι ἵσταται χάσκων καὶ ὑγρὰ τῶν ῥινῶν οὐκ ἐκβάλλει, δεῖ σε γινώσκειν ὅτι κόρυζαν ξηρὰν ἔχει. οὕτως οὖν αὐτὸν ὠφελήσεις. ἀγριοσταφί- δος * * πεπέρεως κόκκ. ζ', φύλλου ὅσον σου οἱ δύο δά- 15
κτυλοι λάβωσι, καρυοφύλλου κόκκ. ε', στάχυν ναρδικὴν κερ. α', τρίψας ὁμοῦ καλῶς, καὶ μετὰ οἴνου παλαιοῦ τὸν οὐρανίσκον τοῦ ἱέρακος πλῦνε, καὶ ἐξ αὐτοῦ λα- βὼν ὅσον σου οἱ δύο δάκτυλοι λάβωσι, τὸν οὐρανί- σκον τοῦ ἱέρακος τρίψας, οὕτως αὐτὸν εἰς ἥλιον στῆ- 20
σον ἕως ὥρας η'. θρέψεις δὲ καὶ κρέας τράγου, καὶ ἰαθήσεται.

Περὶ κορύζης ξηρᾶς.

Ἐὰν ἔχῃ ὁ ἱέραξ κόρυζαν ξηράν, χαίνει μόνον ἱστάμε- νον, ὑγρὰ δὲ ἐκ τῶν μυκτήρων αὐτοῦ οὐκ ἐξάγει. λαβὼν 25
οὖν μέλι καλὸν καὶ σπέρμα μανδραγόρας καὶ βούτυρον καὶ τρίψας αὐτὰ ἄλειφε τὸν οὐρανίσκον αὐτοῦ, θὲς δὲ καὶ ἐν τοῖς μυκτῆρσιν αὐτοῦ, ἢ τρίψας παλαιὸν σκόροδον μετὰ πα- λαιοῦ οἴνου θὲς ἐν τοῖς μυκτῆρσιν αὐτοῦ, ἢ τρίψας κύπεριν καὶ σκόροδον, συκῆν ἀγρίαν καὶ κράμβην καὶ πέπερι θὲς 30
ἐν τοῖς μυκτῆρσιν αὐτοῦ ἐν τρισὶν ἡμέραις.

Digitized by Google

Ἄλλο.

71 *Μέλι Ἀττικόν, σπέρμα βοτάνης ὑοσκυάμου καὶ βούτυρον τρίψας, τὸν οὐρανίσκον αὐτοῦ τρῖψον, καὶ μετὰ πτεροῦ ἐπίχρισον διὰ τῶν ῥινῶν αὐτοῦ. οἱ δὲ οὕτως περιποιοῦνται. σκόροδον μετὰ οἴνου παλαιοῦ τρίψαντες διὰ τῶν ῥινῶν ἐγχέουσιν. οἱ δὲ κυπείρου κόκκους ζ', σπέρμα ἀγριοσυκῆς, κράμβην ὁμοῦ τρίψαντες, διὰ τῶν ῥινῶν ἐγχέουσιν ἐπὶ τρισὶν ἡμέραις. πολλάκις δὲ καὶ πέπερι προσμιγνύουσιν.*

Εἰς κόρυζαν ὑγρὰν ἱέρακος. 208

72 *Ἐὰν ἴδῃς τὸν ἱέρακα χάσκοντα καὶ πταίροντα καὶ ὑγρὰ διὰ τῶν ῥινῶν ἐκβάλλοντα, δεῖ σε γινώσκειν ὅτι ὑγρὰν κόρυζαν ἔχει. οὕτως οὖν θεραπεύσεις. ὑγροπίσσιν μετὰ μαλίου εἰς τὸ στόμα αὐτοῦ ἔμβαλε· καὶ ὅταν καταπίῃ, ὄξος δριμὺ διὰ τῶν ῥινῶν αὐτοῦ ἔμβαλε ἢ γάρος καλόν. καὶ πρὸς τὸν ἥλιον στήσεις, καὶ ἡνίκα τὸ ὑγροπίσσιν μετὰ τοῦ μαλίου ἐκρίψῃ, μετὰ μέλιτος τὸν οὐρανίσκον τρῖψον. ἐὰν δὲ ἴδῃς ἐν τῇ ἀρρωστίᾳ ἐγχρονίζοντα, σανδαράχην μετὰ ὄξους δριμέος τρῖψον, καὶ ἐξ αὐτοῦ τὸν οὐρανίσκον ἄλειψον. ἕτεροι δὲ οὕτως περιποιοῦνται. πεπέρεως γράμμ. α', κόστου γράμμ. ϛ', χαμαιλέοντος γράμμ. α' συμμίξαντες τὸν οὐρανίσκον αὐτοῦ τρίβουσι, καὶ ταῖς ῥισὶν ἐγχέουσιν.*

Περὶ ὑγρᾶς κορύζης.

Ἐὰν ἔχῃ ὁ ἱέραξ ὑγρὰν κόρυζαν, χαίνει καὶ ἀποπταίρει καὶ ἐκ τῶν μυκτήρων αὐτοῦ ὑγρὰ ἐκπορεύονται. Θὲς οὖν ἐν τῷ στόματι αὐτοῦ μαλλὸν καὶ ὑγροπίσσιν, ὅταν δὲ καταβροχθίσῃ αὐτό, Θὲς ἐν τοῖς μυκτῆρσιν αὐτοῦ ἢ ὄξος ἢ καλὸν γάρος, καὶ στῆσον αὐτὸν πρὸ τοῦ ἡλίου. ἰδὼν δὲ αὐτὸν ῥίψαντα διὰ τῆς κόπρου τό τε ὑγροπίσσιν καὶ τὸν μαλλόν, χρῖε

Digitized by Google

τὸν οὐρανίσκον αὐτοῦ μέλιτι. καὶ ἐὰν ῥώσεως οὐκ ἐπιτύχῃ, τρῖψον κόκκινον ἀρσενίκιν μετὰ ὄξους καὶ ἄλειφε τὸν οὐρανίσκον αὐτοῦ, ἢ λαβὼν πέπεριν κ" ς΄, κόστον ἑξάγια α΄ ͵, χαμαιλέου κ" ς΄ καὶ τρίψας αὐτὰ θὲς ἐν τοῖς μυκτῆρσιν αὐτοῦ.

Εἰς κόρυζαν βαρεῖαν.

Ἐὰν ὁ ἱέραξ κόρυζαν βαρεῖαν ἔχῃ, οὕτως αὐτὸν 73
νοήσεις. ὅταν ἴδῃς αὐτὸν πταίροντα καὶ ὑγρὰ διὰ τῶν ῥινῶν ἐκβάλλοντα ἢ διὰ τῶν ὀφθαλμῶν ἀφρόν, δεῖ σε νοεῖν ὅτι κόρυζα βαρεῖα ἐστί. τοῦτον οὕτως
209 ἰατρεύσεις. πεπέρεως κόκκους ε΄, σταφυλῆς ἀγρίας κόκκους ε΄, στάχος, σκόροδον ἕν, ὑγροπίσσιν καθαρόν, ὅσον μετὰ ἑνὸς δακτύλου ἐπαίρεις, ταῦτα ὁμοῦ τρίψας ἔπαρον ὅσον σου ἡ ἄκρα τοῦ μαχαιρίου χωρεῖ, καὶ μετὰ ἐλαίου καὶ βαλσάμου τὸν οὐρανίσκον τοῦ ἱέρακος τρῖψον, καὶ πρὸς τὸν ἥλιον στῆσον ἕως ὥρας ζ΄, καὶ θρέψον αὐτὸν μετὰ κρέατος οἰουδήτινος.

Περὶ κορύζης πάνυ λυπούσης.

Ἐὰν ἔχῃ κόρυζαν πάνυ ἀλγοῦσαν, ἀποπταίρει καὶ ἐκ τῶν μυκτήρων αὐτοῦ ὑγρὰ ἐξέρχονται ἢ ἐκ τῶν ὀμμάτων αὐτοῦ ἀφρός. λαβὼν οὖν πέπεριν κ" ε΄ ς΄, σταφίδος ἀγρίας κόκκους ε΄, στάχος, σκόροδον ἕν, ὑγροπίσσιν καθαρὸν σὺν τοῖς δυσί σου δακτύλοις τρῖψον αὐτὰ ὁμοῦ καὶ λαβὼν ἐξ αὐτῶν ὀλίγον, θεὶς καὶ βαλσαμέλαιον, ἄλειφε τὸν οὐρανίσκον αὐτοῦ. στῆσον αὐτὸν καὶ πρὸ τοῦ ἡλίου ὥρας ζ΄, παράθες δὲ αὐτῷ καὶ κρέας τὸ τυχόν.

Εἰς κόρυζαν ἀφανῆ ἱέρακος.

Ὅταν ἴδῃς τὴν κεφαλὴν τοῦ ἱέρακος ὀγκωμένην, 74
καὶ χαίτην ἔχῃ, καὶ τὸ στόμα αὐτοῦ πυκνῶς ἀνοίγῃ καὶ βραδὺ ἀφοδεύῃ, γνῶθι ὅτι κόρυζαν ἀφανῆ ἔχει. οὕτως οὖν αὐτὸν περιποιήσῃ. σπέρμα ἀγριοπηγάνου

Digitized by Google

γράμμ. α', πεπέρεως γράμμ. α', πυρέθρου γράμμ. α', σταφυλῆς ἀγρίας κόκκους κ', φολβίου γράμμ. α', κόστου γράμμ. α', ὁμοῦ τρίψας τὸν οὐρανίσκον αὐτοῦ τρίβε.

Περὶ κορύζης κρυπτῆς.

Ἐὰν ἔχῃ κρυπτὴν κόρυζαν, ἡ κεφαλὴ αὐτοῦ ἐξογκωμένη ἐστί, καὶ τὰ πτερὰ αὐτοῦ ὀρθὰ ἵστανται, καὶ συχνῶς ἀνοίγει τὸ στόμα αὐτοῦ, καὶ ῥίπτει τὴν κόπρον βραδέως. λαβὼν οὖν ἀγρίου πηγάνου σπέρμα κ" ς', πέπερι κ" ς', πύρεθρον κ" ς', κόστον κ" ς', ἀγρίας σταφυλῆς κόκκους κ', ἐφορβίου κ" ς', τρῖψον αὐτὰ ὁμοῦ καὶ ἄλειφε τὸν οὐρανίσκον αὐτοῦ.

Πρὸς κόρυζαν συνάγχης.

Ἐὰν ὁ ἱέραξ ἔχῃ κόρυζαν συνάγχης, οὕτως αὐτὸν νοήσεις. πταίρει καὶ ὁ λάρυγξ πρίσκεται ἀπὸ 210
τῶν ὑγρῶν ἃ συνάγει· οἱ ὀφθαλμοὶ αὐτοῦ ἀφρὸν ποιοῦσιν· ἡ κεφαλὴ αὐτοῦ ὀγκωμένη ἐστίν· αἱ ῥῖνες αὐτοῦ οὐδὲν ἐκβάλλουσι. τοῦτον οὕτως περιποίησον. βοτάνην τὴν λεγομένην φρυναρίαν τρίψας καὶ μίξας μετὰ οἴνου παλαιοῦ καὶ ἐμβάψας κρέας χοίρειον ζεστὸν δώσεις τῷ ἱέρακι. τινὲς δὲ ζωμὸν σεύτλου μετὰ μέλιτος ἐν ταῖς ῥισὶν ἐγχέουσιν· ἄλλοι δὲ γάλα γυναικεῖον μετὰ ζωμοῦ πηγάνου διὰ τῶν ῥινῶν αὐτοῦ ἐγχέουσιν.

Εἰς κόρυζαν κυνάγχης.

Ἐὰν ἔχῃ κόρυζαν κυνάγχης, ἀποπταίρει, καὶ ὁ λαιμὸς αὐτοῦ ἐξοιδεῖται ὑπὸ τῶν ὑγρῶν, καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ἀφροῦ πληροῦνται, ἡ κεφαλὴ δὲ αὐτοῦ ἐξογκωμένη ἐστί, ἐκ δὲ τῶν μυκτήρων αὐτοῦ οὐδὲν ἐξέρχεται. λαβὼν οὖν περιπλοκάδαν θλάσον αὐτὴν καὶ ἑνώσας αὐτὴν οἴνῳ παλαιῷ βάπτε κρέας χοίρειον θερμαινόμενον καὶ παράθες αὐτῷ, ἢ

Digitized by Google

Θὲς ἐν τοῖς μυκτῆρσιν αὐτοῦ ζωμὸν τεύτλου μετὰ μέλιτος ἢ ζωμὸν πηγάνου γυναικείῳ γάλακτι.

Εἰς κόρυζαν κεφαλαλγικήν.

Ὅταν ὁ ἱέραξ κυπτὸς σταθῇ, καὶ ἀναπνέειν ἔρχεται καὶ οὐδὲ καλῶς βλέπειν δύνηται, ἀλλ' ἐκ τῶν ὀφθαλμῶν αὐτοῦ ἀφρὸν ἐκβάλλῃ, καὶ ἡ κεφαλὴ αὐτοῦ πρίσκηται, γνῶθι ὅτι κόρυζαν ἔχει κεφαλαλγικήν. οὕτως οὖν αὐτὸν θεραπεύσεις. πεπέρεως οὐγγ. α', λασάρου γράμμ. γ', κόκκον γράμμ. γ', ἀγριοσταφίδος κόκκους ι', ἀράχνην οἰκιακὴν κόκκους ι', ταῦτα μίξας καὶ τρίψας καὶ κοσκινίσας μετὰ πτερίνου καλάμου διὰ τῶν ῥινῶν ἐμφυσήσεις, καὶ ἐξ αὐτοῦ τὸν οὐρανίσκον αὐτοῦ τρίψεις, καὶ ὄξος δριμύτατον εἰς τὰς ῥῖνας αὐτοῦ ἐμβαλεῖς. καὶ κ' ἡμέραις ἐν τῇ μούτᾳ
211 ἔστω λελυμένος, καὶ εἰς τράπεζαν ἡ τροφὴ αὐτοῦ διδόσθω.

Εἰς κόρυζαν κεφαλαλγικήν.

Ἐὰν ἔχῃ κόρυζαν τῇ κεφαλῇ ἄλγος διδοῦσαν, κάθηται ἀτόνως καὶ συχνῶς ῥέγχει καὶ οὐ καλῶς ὁρᾷ, καὶ ἐκ τῶν ὀφθαλμῶν αὐτοῦ ἀφρὸς ἐκπορεύεται, καὶ ἡ κεφαλὴ αὐτοῦ οἰδεῖται. λαβὼν οὖν πέπερι οὐγγίαν μίαν, σκορδολάζαρον ἐκ τῶν μυρεψῶν κ" ιή', κρόκον κ" ιή', σταφίδας ἀγρίας κόκκους ι', ἰστὸν ἀράχνης κ" ι', ἑνώσας αὐτὰ τρῖψον καὶ σῆσον, καὶ τίθει αὐτὰ ἐν τοῖς μυκτῆρσιν αὐτοῦ διὰ πορθμοῦ πτερίνου, καὶ ἄλειφε τὸν οὐρανίσκον αὐτοῦ. θὲς δὲ καὶ ἐν τοῖς μυκτῆρσιν αὐτοῦ ὄξος καὶ ἔστω λυτὸς ὁ ἱέραξ ἐν τῇ οἰκίᾳ, καὶ ἐσθιέτω ἐν τραπέζῃ ἡμέρας κ'.

Εἰς ποδαλγίαν ἱέρακος.

Ὅταν ἴδῃς τὸν ἱέρακα μετὰ τῶν πτερύγων αὐτοῦ συνεσφιγμένον καθήμενον ὥσπερ ἐν τῇ φωλεᾷ, δεῖ σε γινώσκειν ὅτι ποδαλγία ἐστίν. οὕτως οὖν αὐτὸν

Digitized by Google

περιποιήσῃ. οἶνον καλὸν ξεστία τρία καὶ ὁμοίως ὕδωρ ὁμοῦ μίξας καὶ θερμάνας, ὅσον ἡ χείρ σου βαστάξειν δύναται, οὕτως οὖν αὐτὸν θάλψεις. καὶ ὅταν ἀπολούσῃς, κοκκαρίσκια ποιήσας ἀπὸ μαλίου ἀπλύτου ὑποκάτωθεν τῶν πτερύγων θήσεις, καὶ βαλεῖς αὐτὸν λανάτον, καὶ καθίσεις χαμαί, καὶ θερμανεῖς αὐτόν. καὶ ὅταν ἰδῃς γυμνούμενα τὰ μέλη τοῦ ἱέρακος, τοῦτο τὸ ἔμπλαστρον ποιήσεις, σμύρνης μύρου γρ. α΄, ἀρρενικὸν σὐγγ. β΄, μαστίχης σὐγγ. α΄, ἄνθος περιπλοκάδος γρ. β΄, ἔλαιον ῥόδινον γρ. κοχλιάρ. β΄. ὁμοῦ ταῦτα μίξας ἔμπλαστρον ποιήσεις, καὶ εἰς δέρμα ἄσπρον ἐπιχρίσεις, καὶ θήσεις εἰς τοὺς πόδας αὐτοῦ· ἀλλάξεις δὲ κατὰ τρεῖς ἡμέρας, καὶ κρέατα χοίρεια ξεστὰ αὐτῷ δώσεις.

Περὶ ποδαλγίας ἱέρακος.

Ἐὰν ἔχῃ ποδαλγίαν, κάθηται συνεσταλμένος, ὥσπερ ἐν τῇ νεοσσιᾷ αὐτοῦ. θὲς οὖν οἴνου καλοῦ σταμνία γ΄ καὶ ὕδατος ἕτερα τρία, καὶ χλιανθήτωσαν μὴ μάλα, καὶ βαλὼν αὐτὸν ἐντὸς ἔασον κολυμβῆσαι. μετὰ ταῦτα δὲ ποίησας ἐκ μαλλῶν μήπω πλυθέντων ὡς στρώματα, θὲς αὐτὰ ὑποκάτω τῶν πτερύγων αὐτοῦ καὶ κάθισον αὐτὸν ἐν χθαμαλῷ τόπῳ. ὅταν δὲ γυμνωθῇ, ποίησον τοῦτο τὸ ἔμπλαστρον, σμύρναν ἑξάγια α΄, ἀρσενίκιν σὐγγίας β΄, μαστίχην σὐγγίαν μίαν, ἄνθος περιπλοκάδος ἑξάγια δύο, ῥοδελαίου κοχλιάρια β΄. ἑνώσας δὲ ταῦτα ποίησον ἔμπλαστρον ἐν τῷ τοῦ ᾠοῦ λευκῷ, καὶ ἐπίθες τοῖς ποσὶν αὐτοῦ. ἄλλαττε δὲ αὐτὸν ἕως τρίτης ἡμέρας, καὶ ἐσθιέτω κρέατα χοίρεια θερμά.

Ἄλλο. 212

78 Ἀξούγγιν ἀρκῶον θερμανεῖς ** κακκάβιν καὶ τοὺς πόδας αὐτοῦ συχνῶς ἀλείψεις. ἄλλοι δὲ οὕτως περιποιοῦνται. τοὺς πόδας αὐτοῦ μετὰ οἴνου πλύνουσι, καὶ εἰς κοντάριον πλατὺ καθίζουσιν, ἵνα οἱ δάκτυλοι

Digitized by Google

αὐτοῦ μὴ ζαρωθῶσι. τινὲς δὲ ὄξος χλίον τοὺς πόδας ἐπιβρέχουσιν. ἄλλοι ἀγριαγκουρέας ῥίζαν τετριμμένην μετὰ ὄξους τοὺς πόδας αὐτοῦ ἐν τούτῳ ἑλίσσουσι. καὶ θεραπεύεται.

Ἕτερον.

Στέαρ ἄρκτου θέρμανον ἐν χαλκίνῳ ἀγγείῳ καὶ χρῖε συχνῶς τοὺς πόδας αὐτοῦ, ἢ πλῦνον τοὺς πόδας αὐτοῦ μετὰ οἴνου καὶ κάθισον αὐτὸν ἐν δόρατι πλατεῖ, ἵνα μὴ γνάπτῃ τοὺς ὄνυχας αὐτοῦ, ἢ τρίψας ῥίζαν ἀγρίας ἀγγουρίας μίγνυε αὐτὴν μετὰ ὄξους καὶ περιέλιττε τοὺς πόδας αὐτοῦ.

Εἰς φθειριῶντα ἱέρακα.

Εἰ ὁ ἱέραξ φθεῖρας ἔχει, σανδαράχην τετριμμένην 79
εἰς ψυχρὸν ὕδωρ ἐμβαλὼν λοῦσον αὐτὸν καὶ εἰς ἥλιον στῆσον, καὶ ἀπορρίψει πάσας.

Περὶ φθειρῶν ἱέρακος.

Θεὶς κόκκινον ἀρσενίκιν ἐν ὕδατι ψυχρῷ λοῦσον αὐτὸν καὶ στῆσον αὐτὸν πρὸ τοῦ ἡλίου, καὶ ἀπαλλαγήσεται τούτων.

Ἕτερον.

Θεῖον τετριμμένον βαλὼν ἐν ὕδατι λοῦσον αὐτόν.

Ἕτερον.

Θέρμους βρέξας λοῦσον αὐτὸν ἐν τῷ ζωμῷ.

Ἕτερον.

Ἀρσενίκιν κόκκινον καὶ βούτυρον παράθες αὐτῷ μετὰ κρέατος.

Ἄλλο.

Ἔλαιον ῥόδινον μετὰ χολῆς βοείας καὶ ἀξουγγίου 80
καὶ ἐλαίου. ἄλλοι τεάφιν τετριμμένην εἰς ὕδωρ βαλόντες οὕτως λούουσιν. ἕτεροι λουπινάρια ἀποβρέ-

Digitized by Google

ξαντες, ἐξ αὐτῶν τὸν ἱέρακα λούουσιν. ἄλλοι ἀράχνην καύσαντες τὸν ἱέρακα ὑποκαπνίζουσι, καὶ εὐθέως οἱ φθεῖρες ἀποπίπτουσι. τινὲς δαφνέλαιον ἀλείφουσι τὴν κεφαλὴν τοῦ ἱέρακος. ἕτεροι σανδαράχην καὶ βούτυρον μετὰ κρέατος τῷ ἱέρακι δίδουσιν.

Εἰς ἐξάρμοσιν καὶ κλάσμα ἱέρακος.

81 Ἐὰν ὁ ἱέραξ εἰς τὸ κυνήγιον ἐξαρμοσθῇ, οὕτως αὐτὸν περιποιήσῃ. πτελέας ῥίζαν γρ. ε΄ βαλὼν εἰς χάλκωμα ἕψησον ἕως οὗ ἀποτριτωθῇ τὸ ὅπερ ἔβαλες ξεστίον τοῦ ὕδατος, καὶ ἐξ αὐτοῦ τὸν παθόντα τόπον θάλψον, καὶ ἔμπλαστρον ποίησον. μαστίχην καὶ λίβανον ἀρρενικόν, ἄνθος περιπλοκάδος, φόλβιον, ἐκ πάντων ἀνὰ οὐγγ. α΄, καὶ τρυγίαν οἴνου παλαιοῦ κοχλιάρια γ΄, πηγανέλαιον κοχλιάρια β΄, ταῦτα ὁμοῦ μίξας ἔμπλαστρον ποιήσεις, καὶ εἰς τὸν αὐτὸν τόπον θήσεις, καὶ διὰ πέντε ἡμερῶν ἀλλάξεις· εἶτα κρέας ζεστὸν τῷ ἱέρακι δώσεις.

Περὶ ἐξαρθρώσεως.

Ἐὰν ἐξαρθρωθῇ ἐν τῇ θήρᾳ, βαλὼν ἐν ὕδατι μέτρου ῥίζαν πτελέας ἐξάγια πέντε βράσον αὐτὸ ἕως οὗ ἀποτριτωθῇ, καὶ ἄντλησον τὸ ἐξαρθρωθὲν μέλος, καὶ μετὰ ταῦτα βαλὼν μαστίχην καὶ λίβανον ἀρσενικὸν καὶ ἄνθος περιπλοκάδος καὶ ἐφόρβιον ἀνὰ οὐγγίαν α΄, καὶ τρυγίας παλαιοῦ οἴνου κοχλιάρια τρία, πηγανελαίου κοχλιάρια δύο, καὶ ἑνώσας αὐτὰ ποίησον κατάπλασμα καὶ ἐπίθες αὐτῷ καὶ ἐν ἡμέραις πέντε ἄλλαττε αὐτό, ἐσθιέτω δὲ καὶ κρέας θερμαῖνον.

Εἰς κλάσμα ἱέρακος.

82 Ἐὰν ὁ ἱέραξ κλασθῇ, οὕτως αὐτὸν περιποιήσῃ, καθὼς καὶ ἀνωτέρω εἰς τὴν ἐξάρμοσιν εἴρηται. καὶ ὅταν ἀναθάλψῃς τὸν τόπον, λάβε μάλιν ἄπλυτον, καὶ

Digitized by Google

βρέξον αὐτὸ εἰς ῥόδινον ἔλαιον, καὶ εἰς τοὺς κλασθέντας τόπους θές, καὶ δῆσον μετὰ λινοῦ πανίου, καὶ εἰς σκοτεινὸν τόπον θές· καθ' ἡμέραν δὲ ζεστὴν τροφὴν λαμβανέτω. οἱ δὲ ζεστὸν ἀξούγγιον εἰς τοὺς κλασθέντας τόπους ἐπιδεσμοῦσιν, οἱ δὲ κόπρον τραγείαν ἐπιτιθέασιν, ἄλλοι δὲ ἐκ σάπωνος.

Περὶ θλάσματος.

Ἐάν τι μέλος αὐτοῦ θλασθῇ, ποίησον ὅσα εἶπον περὶ ἐξαρθρώσεως. καὶ ὅταν ἀντλήσῃς αὐτόν, βρέξον μαλλὸν ἄπλυτον ἐν ῥοδελαίῳ καὶ ἐπίθες αὐτὸ τῷ θλασθέντι μέλει, δῆσον δὲ αὐτὸ μετὰ ὀθόνης λινοῦ, καὶ κάθισον αὐτὸν ἐν σκοτεινῷ τόπῳ, ἐσθιέτω δὲ καθ' ἡμέρας κρέας θερμαῖνον. ἕτεροι δὲ στέαρ θερμαῖνον δήσαντες ἐπὶ τῷ θλάσματι ἐπιτιθέασιν, ἕτεροι δὲ κόπρον τράγων.

Εἰς κλάσμα σκέλους.

Σαπώνιν, βολβούς, κοχλίας ὁμοῦ τρίψας καὶ κοπανίσας ἅπλωσον ἐπάνω λινοῦ πανίου, καὶ ἐπίθες ἐπάνω τοῦ κλάσματος, καὶ ἰᾶται. τινὲς δὲ καταντλοῦσι τοὺς πόδας, καὶ ἀξούγγιν χοίρειον ὑπαλείφουσι, καὶ εἰς τόπον σκοτεινὸν ἐγκαθίζουσιν. οἱ δὲ ἀργαλικὸν μετὰ ἀψίνθης παλαιᾶς κοπανίσαντες τῷ τόπῳ ἐπιτιθέασιν.

Ἄλλο.

Κηρίον τρακτὸν καὶ μάρμαρον καλῶς κεκοπανισμένον καὶ κοχλίας καὶ τὸ λευκὸν τοῦ ᾠοῦ ὁμοῦ μίξας καὶ κοπανίσας εἰς τὸ κλάσμα ἐπίθες, καὶ ἰαθήσεται.

Ἕτερον.

Κηρὸν καὶ μάρμαρον καλῶς τετριμμένον καὶ κοχλίας καὶ λευκὸν ᾠοῦ τρίψας, ἐπίθες αὐτὰ τῷ θλασθέντι μέλει, καὶ ἰαθήσεται.

Digitized by Google

Πρὸς ἱέρακα ἀθετοῦντα τὸ κυνήγιον.

85 *Ποιήσεις αὐτὸν σιγασθῆναι ἡμέρας ρ΄· εἶτα ἔμπλησον αὐτὸν ἡμέρας δ΄, καὶ τὴν πέμπτην λαβὼν σκυλλόπουλον μικρὸν δὸς αὐτῷ, ἵνα σφάξῃ αὐτό. καὶ* 215
5 *τὸν τούτου μυελὸν παράβαλε, καὶ τῇ ἄλλῃ ἡμέρᾳ εἰς κυνήγιον ἔμβαλε, καὶ οἷον ἂν κυνηγήσῃ, ἐξ αὐτοῦ αὐτὸν χορέννυε.*

Ἄλλο.

86 *Ἀσάρου κέρ. γ΄ εἰς ὕδωρ κοχλ. β΄ βαλὼν δὸς*
10 *μετὰ κρέατος φαγεῖν. τοῦτο ποιήσεις τρεῖς ἡμέρας. τινὲς δὲ ἀπὸ τῆς ῥίζης τῆς μανδραγόρας ὑποκαπνίζουσιν· ἀλλὰ καὶ αὐτὸ τὸ κρέας ὃ ἐσθίει ὑποθυμιῶσιν.*

Εἰς τὸν παθόντα εἰς ὀφθαλμόν.

87 *Ἐὰν ὁ ἱέραξ ἀπ᾽ ὀφθαλμοῦ πάσχῃ, λάβε βοτάνην*
15 *τὴν λεγομένην σαυτρίαν, καὶ ὀποβάλσαμον κάπνισον, καὶ τὸ κακὸν ἀπολεῖς.*

Εἰς ἀποβολὴν ὄνυχος.

88 *Ἐὰν τοῦ ἱέρακος ὁ ὄνυξ ἐκριζωθῇ, εἰ μὲν εὕρῃς*
20 *αὐτὸν τὴν ἐκριζωθέντα· εἰ δὲ μή, ἄλλον ὄνυχα μαλακὸν ἱέρακος λαβὼν τοῦ αὐτοῦ δακτύλου οἷός ἐστιν ὁ παθών, κἄν τε ὁ μέσος κἄν τε ὁ ἀντιδάκτυλος, οὕτως περιποίησον. αἷμα περιστεροπούλου ἢ ἀπόξυσμα κολλικίου, ὅσον τρισὶ δακτύλοις λάβῃς, καῦ-*
25 *σον ἕως οὗ γένηται κονιορτός· εἶτα μαστίχην λαβὼν κόκκους γ΄, μύρα, λίβανον ἀρρενικόν, ὁμοῦ ταῦτα τρίψας ἐπίχυσον ἐπὶ τὸν ὄνυχα μετὰ τοῦ αἵματος τῆς* 216
περιστερᾶς ζεστοῦ ὄντος· καὶ ἀναγέμισον τὸν αὐτὸν ὄνυχα μετὰ τοῦ αἵματος καὶ ἔμπηξον εἰς τὸν τόπον

Digitized by Google

ἐξ οὗ ἐξέβη, καὶ ἀπασφάλισον, καὶ ποίησον ἀπὸ δέρματος ἄσπρου θήκην κατὰ τὸ μέγεθος τοῦ δακτύλου, καὶ δέσμωσον καλῶς, καὶ εἰς τὴν μοῦταν ἀπόλυσον ἕως δεκατέσσαρας ἡμέρας. θρέψον αὐτὸν κρέασι ζεστοῖς, καὶ μετὰ ταῦτα εἰς τὸ κυνήγιον ἐξάξεις.

Ἄλλο.

Ἐὰν ὁ ἱέραξ ἐκριζώσῃ τὸν ὄνυχά, εὐθὺς μετὰ 89
ἀφὸς τὸν τόπον καῦσον, καὶ τὸ αἷμα σταθήσεται.

Ἄλλο.

Λάβε ἀπὸ καυστηρίου λύχνου βράζοντος τὰ ὑπο- 90
κάτω τοῦ τραχήλου τῆς λυχνίας, καὶ συχνῶς τὸν τόπον ἄλειφε, καὶ ταχέως ἀναφυήσεται. θεράπευε δὲ οὕτως. ἀφίνθιν ἄγριον μετὰ ἀξουγγίου χοιρείου τρίψας καὶ ποιήσας σακκούλιν ἀπὸ δέρματος ἀπαλοῦ, τὰ ἐπιγεγραμμένα μαλάγματα ἀναγεμίσεις, καὶ ἐπενδύσεις εἰς ἕκαστον δάκτυλον ὅθεν ὄνυξ ἐξερριζώθη, καὶ δήσεις, καὶ διὰ τριῶν ἡμερῶν αὐτὸ ἀλλάξεις, καὶ ἰαθήσεται.

217 Ἄλλο.

Ὀστέα φοινίκων μετὰ σταφίδος καὶ μέλιτος τρί- 91
ψας καὶ εἰς κανίον λινοῦν ἁπλώσας τὸν τόπον περίδησον, καὶ εὐθέως ὁ ὄνυξ ἐκφυήσεται.

Ἄλλο.

Λίβανον ἀρρενικὸν εἰς ὕδωρ ἀπόβρεξον ψυχρόν, 92
καὶ ἐξ αὐτοῦ τοῦ ὕδατος τὸν τόπον κατάντλει καθ' ὥραν, καὶ ἰαθήσεται.

Ἄλλο.

Βούτυρον μετὰ ἀποξύσματος δέρματος εἰργασμέ- 93

Digitized by Google

νου ἐπιβαλεῖς εἰς δάκτυλον ὅθεν ὁ ὄνυξ ἐκριζωθῇ, καὶ θεραπεύεται.

Εἰς τρόμον ἱέρακος.

94 Εἰ τρόμον ὁ ἱέραξ ἔχει, οὕτως νοήσεις. ὅταν ἔχῃ τὰ πτερὰ ὡς ἂν στρουθοκάμηλος, καὶ πετάσαι οὐ δύνηται, γνῶθι ὅτι ἐπιθυμεῖ τινος. οὕτως οὖν αὐτὸν περιποίησον. * * κέρ. γ′, μύρα, λίβανον ἀρρενικὸν κέρ. γ′, μαστίχην κόκκ. γ′, σανδαράχην κέρ. γ′, φολβίου κέρ. ε′, κόστου κέρ. β′, ἀγριοσταφίδος κέρ. ε′, κύμινον Ἀλεξανδρινὸν κέρ. ε′, ἀριστολοχίας στρογγύλης φυσικῆς κέρ. γ′, μέλιτος οὐγγ. α′, ἀργα- 218
λικοῦ κέρ. γ′, κρόκου κέρ. α′, ἀλόην ἡπατικὴν κέρ. γ′, στάχος Ἰνδικὸν κέρ. γ′, στάχυν ναρδικὸν κέρ. γ′, πεπέρεως οὐγγ. ⊢″, οἴνου καλοῦ ξέστας β′, ὁμοῦ πάντα μίξας καὶ κοπανίσας μετὰ τοῦ αὐτοῦ οἴνου τρίψας ἀπ' αὐτῶν μετὰ κρέατος τραγείου θρέψεις ἡμέρας δέκα· εἶτα δι' ἄλλων δέκα ἡμερῶν δώσεις κρέας κριαρείου, εἶτα ἄλλας δέκα μετὰ περιστεροπούλου καὶ ὀρνιθοπούλου. ταῦτα δὲ μετὰ τῆς ἰατρείας ἀλείψεις, καὶ μετὰ ι′ ἡμέρας βαλὼν εἰς ὕδωρ λοῦσον αὐτόν. πλὴν ἐν αὐτῷ τῷ ὕδατι προεψήσεις ῥιζάρια σχίνου λίτρας ε′, καὶ σινοπίδιν οὐγγ. γ′, ὕδωρ ἢ τέταρτον ἢ τρίτον. ὁμοῦ ταῦτα ἑψήσεις καὶ εἰς λεκάνην βαλεῖς, καὶ ὅταν γένηται χλιαρὸν ὅσον σου ἡ χεὶρ δέχεται, τὸν ἱέρακα θάλψεις. εἰς τὸν ἥλιον ἐν λανάτῳ θήσεις αὐτὸν τρεῖς ἡμέρας· ἐκ τοῦ αὐτοῦ ὕδατος θάλψεις. εἰ δὲ ἐλαττωθῇ, οἴνου ἄσπρου ξεστίον ἐπίβαλε. θρέψον δὲ αὐτὸν εὐθύς· πλὴν χοίρειον μὴ δώσῃς αὐτῷ, ἕως οὗ στερεωθῇ.

Digitized by Google

219 *Εἰς τραῦμα ἱέρακος.*

Βοτάνην ἀργεμονίαν τρίψας μετὰ ὄξους, ἔξ αὐτοῦ 95
τὴν κεφαλὴν ὑπάλειψον τοῦ ἱέρακος· ἀλλὰ πρῶτον
μαδίσεις αὐτήν, καὶ τὴν φλυκτίδα ἀποπιάσεις, καὶ
οὕτως ἀλείψεις. οἱ δὲ τρυγίαν ἐλαίου ἑψήσαντες, 5
οὕτως αὐτοῦ τὴν κεφαλὴν ἀλείφουσι ψυχράνοντες.

Εἰς ὁμίχλην ἱέρακος.

*Ἐὰν ** ὁ ἱέραξ πάθῃ, οἶνον θερμάνας ὅσον τὸ* 96
στόμα σου δύναται, τὸ πρόσωπον τοῦ ἱέρακος φύση-
σον τρεῖς ἡμέρας, καὶ τὴν ὁμίχλην ἀποβάλλει. 10

Εἰς τὸ μουτεῦσαι ἱέρακα.

Πρὶν αὐτὸν εἰς μοῦταν βάλῃς, τὴν κεφαλὴν 97
αὐτοῦ ἐκτίναξον, καὶ μετὰ ὕδατος λουπιναρίου ἀπό-
πλυνε, καὶ οὕτως εἰσάγαγε εἰς τὴν μοῦταν, καὶ βάλε
ἄμμον εἰς τὴν μοῦταν καὶ κισσήριον, ἵνα τρίβῃ τὴν 15
μοῦταν, καὶ τράπεζαν στρογγύλην· κατὰ δὲ δέκα
ἡμέρας δίδου περιστερόπουλον. ἐὰν δὲ βραδύνῃ εἰς
220 *τὸ μουτεῦσαι, δέρμα ὄφεως τρίψας καὶ εἰς κρέας*
ἐμβαλὼν θρέψον ἢ γάλα ἀπὸ τοῦ φαγεῖν. τῷ δὲ
αὐγούστῳ μηνὶ καθ' ἡμέραν ὕδωρ θήσεις· πρὸ δὲ 20
δέκα ἡμερῶν τοῦ ἐκβαλεῖν αὐτὸν εἰσέρχου πλησίον
αὐτοῦ, μὴ ἀπὸ τῆς μούτας αὐτὸν ἐκβάλῃς ἐξαίφνης,
καὶ ἀποκηδῶν ψοφήσῃ.

Εἰς τὸ ποικίλως μουτεῦσαι τὸν ἱέρακα.

98
Χλωροσαύρας ζώσας ἤτοι μύστρους ἢ σαβάθιν 25
ἢ ποντικοὺς ἢ πελαργὸν ἢ τρυγόνα δώσεις αὐτῷ διὰ
τριῶν ἡμερῶν· εἰ δὲ σικχανθῇ τὰς χλωροσαύρας, εἰς
τὸν ἥλιον αὐτὰς ξήρανον, καὶ τρίψας εἰς κρέας κοι-

Digitized by Google

ρειον δὸς τῷ ἱέρακι φαγεῖν. εἰ δὲ ὁ ἱέραξ μουτεύσῃ, ὕδωρ θαλάσσιον θέρμανον, καὶ ἐξ αὐτοῦ τὰ πτερὰ αὐτοῦ θάλψον τρεῖς ἡμέρας, ἢ μετὰ ὄξους ὁριμυτάτου θέρμανον.

Ἐὰν πληγωθῇ ἀπὸ γεράνου ὁ ἱέραξ.

99 Ἐὰν ὁ ἱέραξ ἀπὸ γεράνου ἢ ἑτέρου ὀρνέου κακῶς πληγωθῇ, οὕτως αὐτὸν περιποίησον. ὀστᾶ φοινίκων οὐγγ. ε', ἀπολεπτύσματος σιδηροῦ τὰ ἀποπίπτοντα τοῦ ἄκμωνος οὐγγ. γ', ὁμοῦ μίξας καὶ λειώ- 111
σας σύρραπτε τῷ πληγωθέντι τόπῳ, καὶ ἐκ τοῦ τοιούτου κονιορτοῦ ἐπίκασσε· ἀπόπλυνε δὲ πρότερον τὸν τόπον μετὰ οἴνου θερμοῦ, καὶ κατὰ τὴν τροφὴν αὐτῷ δίδου.

Ἄλλο.

100 Ἀξούγγιν χοίρειον καὶ στακτὴν κληματίδων μῖξον καὶ συρράψας μετὰ βελόνης, ἐκ τούτου ὑπάλειφε. σκόπει δὲ ἵνα μὴ συρράπτων τῶν ἔνδοθεν κρεῶν προσράψειας.

Ἐὰν ἔχῃ σχίσμα εἰς τὰ ἐντός.

101 Ὅταν τὸν ἱέρακα αἴρῃς, καὶ πταίρῃ καὶ τὸ στόμα ἀνοίγῃ, γνῶθι ὅτι σχίσμα ἔχει εἰς τὰ ἐντὸς αὐτοῦ, καὶ οὕτως περιποιήσεις. κατασταλακτὴν ἐκ κληματίδων δὸς αὐτῷ ἵνα πίῃ, καὶ ἰαθήσεται.

Κρέας ξεστὸν ἢ καὶ μέλι μετὰ βουτύρου μεμιγμένον δὸς φαγεῖν, ἐμβάψας κρέας.

Σανδαράχην μετὰ κρέατος δίδου φαγεῖν, καὶ ἰαθήσεται.

Εἰς πόνον τῶν ψυῶν ἱέρακος.

Ὅταν ἴδῃς τὸν ἱέρακα τῇ χειρὶ κατὰ τὴν ὁδὸν ἢ

Digitized by Google

222 ἐν τῇ ἄγρᾳ ὡς νυστάζοντα καὶ τὴν οὐρὰν συχνῶς κάμπτοντα, δεῖ σε γινώσκειν ὅτι τὰς ψύας αὐτοῦ πονεῖ καὶ στρόφον ἔχει. οὕτως δὲ αὐτὸν περιποίησαι. βαλὼν εἰς ὕδωρ ῥίζας ἀσπαράγου οὐγγ. α', πόκον τὸν ὑποκάτω τῆς γῆς γινόμενον οὐγγ. β', βοτάνην τὴν λεγομένην φυσαλίδα οὐγγ. γ', ἕψησον εἰς κουκούμιν ὀστράκειον, ἕως οὗ ἀποτριτωθῇ, καὶ ἐξ αὐτοῦ τοῦ ζωμοῦ τὰς ψύας αὐτοῦ θάλψεις δι' ἑπτὰ ἡμερῶν. πρὸς δὲ τὸν στρόφον οὕτως ποίησον. σκωλήκια τῆς γῆς ἑψήσας κερ. α', λασάρου κερ. α', τὸ λευκὸν τοῦ ᾠοῦ, ὁμοῦ μίξας, ἐξ αὐτοῦ δώσεις φαγεῖν μετὰ κρέατος ἐν ταῖς αὐταῖς ἡμέραις ὅταν αὐτὸν θάλψῃς.

Ἄλλο.

Τίλλιν καὶ ἀλέμου σπέρμα καὶ θρίπον ψυκτὸν 103
καὶ δαφνέλαιον καὶ ἔλαιον σχίνου μετὰ ὕδατος ἑψήσας τὸν ἱέρακα θάλψον. τὰ ἔλαια δὲ παριδίως ἕψησον, καὶ οὕτως μίξον. οἶνον θερμάνας μετὰ σπόγγου πυρίαζε τὸν ἱέρακα, καὶ ὑγιὴς ἔσται.

Ἄλλο.

Πάγον τρίψον ξηρὰν εἰς ποτὸν τῷ ἱέρακι. 104

223 Εἰς καυκοῦλον.

Ὁ ἱέραξ καυκοῦλον ἐὰν ἔχῃ, εἰς τοὺς πόδας αὐ- 105
τοῦ ποίησον κωδωνίσκην μικρὰν καθὼς ὁ καυκοῦλος, καὶ πύρωσον αὐτὸν ἰσχυρῶς, καὶ ἐπιθύσεις τὸν καυκοῦλον ἀκριβῶς, ἵνα μὴ εἰς ἄλλην σάρκα ἐγγίσῃ, ἕως οὗ κατέλθῃς εἰς τὴν ῥίζαν, καὶ εὐθέως σαπώνιν γαλικόν, δαφνέλαιον, κόπρου περιστερᾶς εἰς χύτραν καινὴν θερμάνας καλῶς, ἄλειφε τοὺς πόδας αὐτοῦ συχνῶς, καὶ τὸ κοντάριον ἐν ᾧ ἵσταται, καὶ ἰαθήσεται.

Digitized by Google

Ἄλλο.

106 *Κόψον αὐτούς, καὶ καρβάνιν τρίψας μετὰ ἐλαίου Ἱσπανικοῦ τῇ πληγῇ ἐπιτίθει, καὶ ἰαθήσεται.*

Εἰς καυκούλους καὶ σύριγγας.

107 *Κόπρον χοίρου ψυκτήν· εἰ δὲ μὴ ψυκτή ἐστιν, εἰς φοῦρνον ψῦξον, καὶ μῖξον ὕδατι γλυκεῖ, καὶ εἰς τοὺς τόπους μετὰ θέρματος ἐπίθες, καὶ εὐθέως σκορπίζονται. τοῦτο καὶ εἰς ἄνθρωπον ποίησον, καὶ ὠφελεῖται.*

Ἄλλο. 226

108 *Σαπώνιν γαλικὸν καὶ οἶνον καὶ τεάφιν τρίψας μετὰ μυοχόου καὶ ἰὸν χαλκοῦ, καὶ εἰς ἀλούτηρον ἐπίθες καὶ εἰς τὸν ἱέρακα δῆσον.*

Εἰς πλησμόνην τῶν καυκούλων.

109 *Λάβε κόπρον ὄρνιθος τὴν οὖσαν ὁμοίαν μέλιτι, καὶ τοὺς πόδας ἄλειψον τοῦ ἱέρακος.*

Εἰς φυσαλίδας.

110 *Ἐὰν ὁ ἱέραξ φυσαλίδας ἔχῃ, οὕτως αὐτὸν περιποιήσῃ. ἔλαιον ῥόδινον καὶ μέλι καὶ ἄσβεστον μετὰ φακῆς μίξας θέρμανον, καὶ εἰς κρέας δὸς φαγεῖν τῷ ἱέρακι.*

Εἰς τερτεριάζοντα.

111 *Ὁ ἱέραξ ὅταν ἄρξηται τερτεριάζεσθαι, οὕτως αὐτὸν περιποιήσῃ. ῥόδον, κρόκον, μέλι, γάλα γυναικὸς πρωτοτόκου παιδίου ἐκ δεξιοῦ μαζοῦ. ταῦτα ὁμοῦ τρίψας μετὰ πτεροῦ εἰς τὸ στόμα τοῦ ἱέρακος ἔμβαλε, καὶ ἰαθήσεται.*

Digitized by Google

225 *Εἰς σικχαινόμενον ἱέρακα.*

*Ἐὰν ὁ ἱέραξ σικχανθῇ καὶ τὸ κυνήγιον ἀποστρέ-*112
φηται, οὕτως αὐτὸν περιποιήσῃ. ἔλαιον Ἱσπανικόν, μέλι, βούτυρον, οἶνον καλὸν ἀνὰ γράμμ. α΄ μετὰ κρόκου ᾠοῦ συμμίξας μετὰ κρέατος ζεστοῦ αὐτῷ δώσεις· καὶ ὅταν τοῦτο ἀφοδεύσῃ, ἀπὸ κρέατος χοιρείου ἢ ὀρνιθείου θρέψεις, καὶ ἰαθήσεται.

Ἄλλο.

*Βούτυρον καὶ μαστίχης κονιορτὸν ποιήσας καὶ*113
αἷμα περιστερᾶς μίξας καὶ εἰς αὐτὸ κρέας τράγου ἐμ-
βάψας, διὰ τριῶν ἡμερῶν τῷ ἱέρακι δός, καὶ ἰαθήσεται.

Ἄλλο.

*Καῦξον μετὰ ὑδρομέλιτος συντετριμμένον εἰς*114
ποτὸν τῷ ἱέρακι δός, καὶ τὴν σικχασίαν ἐπαίρει.

Ἄλλο.

*Ἀφόδευμα τρωγλίτου ἢ καὶ κρέας τοῦ αὐτοῦ*115
εἰς οἶνον ἢ εἰς μέλι βάλε, ἢ μέλιτι μετὰ ὄξους μεμιγμένῳ τὴν τροφὴν αὐτοῦ ἀλείψεις, ἢ σελίνου σπέρμα, ζίγγιβερ ἴσῳ σταθμῷ τρίψας μετὰ μέλιτος ἢ οἴνου δός, καὶ ἰαθήσεται.

226 *Εἰς δίψαν ἱέρακος.*

*Ἐὰν ὁ ἱέραξ συχνῶς διψᾷ, τροφὴν αὐτῷ ψυχρὰν*116
δώσεις μετὰ μέλιτος τῇ πρώτῃ ἡμέρᾳ, τῇ δευτέρᾳ ἔλαιον Ἱσπανικὸν καὶ τῇ τρίτῃ, καὶ ἰαθήσεται.

Εἰς ἀτονίαν ἱέρακος.

*Ἐὰν ὁ ἱέραξ ἀτονήσῃ, οὕτως αὐτὸν περιποιήσῃ.*117
κρόκου οὐγγ. ς΄, ῥόδα ξηρὰ οὐγγ. ς΄ μετὰ αἵματος

Digitized by Google

λαγωοῦ βραστοῦ τρίψας εἰς κρέας χοίρειον ψυχρὸν αὐτῷ δὸς φαγεῖν, καὶ ὑγιανεῖ.

Ἄλλο.

118 Κρόκου γράμμ. α', οἶνον παλαιὸν μετὰ τούτων τρίψας, πότισον τὸν ἱέρακα, καὶ ἀπὸ κρέατος τράγου τοῦτον θρέψον, καὶ ἰαθήσεται.

Εἰς νεῦρα κυλλωθέντα.

119 Ἐὰν ὁ ἱέραξ τὰ νεῦρα ἔχῃ κεκυλλωμένα, οὕτως αὐτὸν νοήσεις. ὅταν αὐτὸν εἰς τὴν ἄγραν πέμψῃς, καὶ μὴ ἀγρεύσῃ, ἀλλ' ἀπὸ τῆς ἄγρας τὸ πρόσωπον αὐτοῦ ἀποστρέψῃ, γνῶθι ὅτι τὰ νεῦρα βεβλαμμένα ἔχει· τοῦτο δὲ γίνεται ἢ ὅταν εἰς δένδρον ἐντυλιχθῇ ἢ εἰς πέτραν βάλῃ τὰ γόνατα ἢ εἰς τοὺς ὤμους πρησμονήν. τοῦτον οὕτως περιποίησον. ἀξούγγιν ἄρκου, μυελὸν ἐλάφου, καὶ κηρίον καὶ κισσήριον ἀνὰ οὐγγ. ς", ταῦτα εἰς καινὴν χύτραν βαλών, κοχλίας γερμανούς, ἔλαιον ἀφρικὸν οὐγγ. α' ς", ταῦτα πάντα ἀναλύσας μετὰ σπόγγου καὶ οἴνου ἐξ αὐτοῦ τὰ γόνατα καὶ τοὺς ἀστραγάλους ὑπάλειφε, καὶ θεραπεύσεις.

Ἄλλο.

120 Ἀξούγγιν χοίρειον καὶ ἀξούγγιν περιστεροπούλου καὶ ζωμὸν μαλάχης καὶ σεύτλου εἰς χύτραν καινὴν ἀνάλυσον, καὶ τὰ γόνατα καὶ τοὺς ἀστραγάλους μετὰ σπόγγου διάχριε.

Ἄλλο.

121 Ἀξούγγιν ὀρνιθίου καὶ ἔλαιον ῥόδινον καὶ κηροκίσσηρον μετὰ μαστίχης ἴσῳ μέτρῳ εἰς χύτραν καινὴν ἑψήσεις, καὶ τοὺς πονοῦντας τόπους ἀλείψεις, καὶ ἰαθήσεται.

Digitized by Google

228 *Εἰς ὑελωπὴν ὀφθαλμοῦ.*

Ἐὰν ὁ ἱέραξ ὑελωπίσῃ τοὺς ὀφθαλμούς, οὕτως 122
αὐτὸν νοήσεις. πρησμονὴ γίνεται εἰς τοὺς ὀφθαλμοὺς αὐτοῦ καὶ εἰς τὰς ῥίνας αὐτοῦ ὡς λεπτόκαρον. οὕτως οὖν αὐτὸν περιποίησαι. ἧλον κυπαρίσσινον λεπτὸν ποιήσας καὶ πυρώσας εἰς τὴν αὐτοῦ ῥῖνα ἔμβαλε αὐτὸν ἐκ τρίτου, ὅπου τὴν ὑελωπὴν ἴδῃς· εἶτα τὸν τόπον ἐμπιάσεις, καὶ μέλι ὀλίγον ἐπιβαλεῖς.

Εἰς τοὺς βορδονιάσαντας.

Λαγωὸν ζῶντα πιάσεις, καὶ τὸν ἱέρακα εἰς αὐ- 123
τὸν ἐπιχρίσεις.

Εἰς τὸ ῥῖγος τῶν ἱεράκων.

Ἐὰν ὁ ἱέραξ ἔχῃ ῥῖγος, οὕτως αὐτὸν περιποίη- 124
σον. πεπέρεως κοκκ. γ', ἀγριοσταφυλῆς κόκκους γ' τρίψας ὁμοῦ, ἐξ ἐκείνου τὸν οὐρανίσκον αὐτοῦ ἄλειψον, καὶ εἰς τὸν ἥλιον θές, καὶ μετὰ ταῦτα θρέψον, καὶ διὰ τριῶν ἡμερῶν τοῦτο ποίησον, καὶ ἰαθήσεται.

229 *Ἄλλο.*

Ζωμὸν κυνοχέστου, πεπέρεως κονιορτόν, σπέρμα 125
σελίνου λαβὼν καὶ μέλι τὸ ἥμισυ τοῦ ζωμοῦ τοῦ κυνοχέστου, ἐν αὐτῷ τὸ κρέας τοῦ ἱέρακος ἔμβαψον, καὶ πάσας τὰς αἰτίας τῶν ἐντὸς αὐτοῦ καθαιρεῖς. ἢ σκόροδον μετὰ πεπέρεως εἰς τὴν τροφὴν αὐτοῦ δὸς τῷ ἱέρακι, καὶ ἰαθήσεται.

Ἄλλο.

Σπέρμα ῥαφάνου, πήγανον ἄγριον, πέπερι, κύ- 126
μινον μίξας καὶ τρίψας εἰς τροφὴν τῷ ἱέρακι δός. ἢ περιστερὰν ἀνασχίσας, τὰ ἐντόσθια βράζοντα δὸς φαγεῖν τῷ ἱέρακι.

Digitized by Google

Εἰς τοὺς βραδὺ ἀφοδεύοντας ἱέρακας.

127 *Ἐὰν ὁ ἱέραξ βραδὺ ἀφοδεύῃ, γνῶθι ὅτι ἀπεψίαν ἔχ. ι. οὕτως οὖν αὐτὸν περιποίησον. κατασταλακτὴν ἀπὸ κληματίδων γινομένην ἐκ τοῦ στόματός σου εἰς τὸ στόμα αὐτοῦ ἐπιδώσεις, ὅσον δύναται δέξασθαι· καὶ ὅταν ἀφοδεύσῃ, ἔπαρον κρόκον ᾠοῦ ᾠμοῦ μετὰ μέλιτος, καὶ κρέας ἐξ αὐτῶν ἀλείψας δὸς τῷ ἱέρακι φαγεῖν.*

Εἰς πρησμονὴν ποδῶν. 230

128 *Ἐὰν ὁ ἱέραξ εἰς τοὺς πόδας πρησμονὴν ἔχῃ, οὕτως αὐτὸν περιποίησον. ἅλας μετὰ κοχλίου ἀγρίου κοπανίσας τοὺς πόδας τρῖψον, καὶ ἰαθήσεται.*

Ἄλλο.

129 *Εἰς τὸν τόπον, εἰς ὃν πρησμονὴν ἔχει, βδέλλας ἐπίδες πρὸς ὀλίγον, καὶ μετὰ ταῦτα κόριδας συντρίψας μετὰ ξυλαρίου τῷ τόπῳ προσέγγισον, καὶ εὐθέως ἡ βδέλλα ἀφίησιν. οἶνον δὲ παλαιὸν θερμάνας ἐξ αὐτοῦ τὸν τόπον χρῖε.*

Ἄλλο.

130 *Κόπρον τράγου τρίψας ἐξ αὐτοῦ τοὺς πόδας ἐπάλειφε, καὶ ἔα ψυχθῆναι.*

Εἰς σκωλήκια τῶν πτερῶν.

131 *Ἐὰν ὁ ἱέραξ σκωλήκια ποιήσῃ ἐν τοῖς πτεροῖς, οὕτως αὐτὸν περιποίησον. σχίσον κάλαμον, καὶ τὴν ἀράχνην ὡς ἔχεις εὑρεῖν ἔσωθεν μετὰ ὄξους δριμυτάτου τρῖψον, καὶ εἰς τόπον ἔμβαλε ὅθεν τὰ πτερὰ πίπτουσι, καὶ ἰαθήσεται.*

Ἄλλο.

132 *Λαβὼν αἷμα λαγωοῦ μετὰ οἴνου παλαιοῦ ἰσόστα-* 231

Digitized by Google

θμα, καὶ τὸν αὐτὸν τόπον ἐπίβρεξον, καὶ μέλι ἐπάλειψον, καὶ πρὸς τὸν ἥλιον στῆσον, καὶ ἰαθήσεται.

Εἰς πόνον μαγούλου τοῦ ἱέρακος.

Ἐὰν ὁ ἱέραξ τὸ μάγουλον αὐτοῦ κονέσῃ ἤ τι 133
ποτε τῶν ἔσωθεν κύκλωθεν, οὕτως αὐτὸν γνώσῃ. ἐκ
τῆς χειρὸς ἑαυτὸν ἀπορρίπτει, καὶ οὐδὲ εἰς κοντάριον καθέζεται, ἀλλὰ καὶ τὰ πτερὰ τῆς οὐρᾶς αὐτοῦ ἀραιοῦνται, καὶ σίαλον μετὰ αἵματος ἀποπτύει, καὶ πταίρει. οὕτως οὖν αὐτὸν περιποιήσῃ. οἶνον παλαιὸν νήστει δὸς πιεῖν, καὶ ἀπὸ σκυλλοπούλου μικροῦ
ἢ ἀπὸ γουρουνίου διὰ τριῶν ἡμερῶν αὐτὸν θρέψεις· ὕστερον δὲ βούτυρον δώσεις, καὶ ἰαθήσεται.

Ἄλλο.

Ἀργαλικοῦ ῥίζαν ἤγουν ὑοσκυάμου κεκοπανι- 134
σμένην μετὰ κρέατος δώσεις τούτῳ φαγεῖν.

Εἰς ὀλίγωσιν.

Μυελὸν κριαρίου ζεστὸν αὐτῷ δώσεις φαγεῖν, 135
καὶ ἰσχύσει.

Εἰς τζύμπλαν.

Μετὰ ἥλου κυπαρισσίνου λεπτοῦ πεπυρακτωμέ- 136
283 νου τὰς ῥῖνας αὐτοῦ διατρυπήσεις, ἢ γάλα ἀγριοσυκῆς ὑποκάτω τῆς γλώσσης αὐτοῦ ἔγχεε.

Εἰς κύλλωσιν τῶν μασχάλων.

Συνεχῶς αὐτοῦ τὴν μασχάλην μετὰ ὕδατος ψυ- 137
χροῦ ἐπάντλει, καὶ ἰαθήσεται.

Πρὸς τὸν εἰς ἄγραν ὑπάγοντα καὶ ὑποστρέφοντα.

Ποίησον κόντινον, καὶ δὸς αὐτῷ ποτόν. οὕτως 138

Digitized by Google

οὖν ἀρτύσεις. πεπέρεως κόκκους γ', οἶνον παλαιόν, μέλι, κύμινον καὶ φοῦ τὸ λευκόν. τοῦτο ἅπαξ τῆς ἡμέρας δὸς φαγεῖν, καὶ ἰαθήσεται.

Εἰς τὸν ἰξωθέντα ἱέρακα.

139 Ἀπὸ ἐλαίου τὸν τόπον, ὅπου ὁ ἰξὸς ἐκόλλησε, πλῦνον, καὶ μετὰ πανίου λινοῦ ἀποσπόγγισον καὶ γάλακτι αἰγὸς ἀπόπλυνον, καὶ θαυμασίως καθαριεῖς.

Εἰς τὸν ἀπὸ κυνηγίου ἀρρωστήσαντα ἱέρακα.

140 Ὕδωρ ζεστὸν ὅσον σου ἡ χεὶρ βαστάζει, ἐπάνω τῶν μεταφρενῶν αὐτοῦ ὑπόβαλε. ἵνα δὲ ἡ χεὶρ σου 233 τὰ πτερὰ ἐξανοίγῃ, τὰ μέσα τῶν μεταφρένων αὐτοῦ πρὸς τοὺς πόδας διέλθῃ. καὶ τοῦτο ὠφελήσεις.

Εἰς ὃν ἀπὸ τῆς μούτας θέλεις ἐκβαλεῖν.

141 Πρὶν τῆς αὐγῆς μετ' αὐτοῦ περιάπτει, καὶ πρὶν τὸν ἥλιον ἀνατεῖλαι, πρὸς τὸ κοντάριον ἐπίστρεψον. ἑσπέρας δὲ τὸν λύχνον ὧδε κάκεῖσε διακίνησον, βαστάζων αὐτὸν ἕως ἡμέρα γένηται.

Εἰς χάσκοντα.

142 Ἐὰν ὁ ἱέραξ χάσκων ἵστατται, γνῶθι εἰς τὰ ἐντὸς αὐτοῦ τραύματα ἔχειν. οὕτως οὖν θεραπεύσεις. βουτύρου κοχλ. α', μυελὸν ἐλάφου οὐγγ. γ', μέλι κοχλ. α', σανδαράχην οὐγγ. α', ἔλαιον ῥόδινον κοχλ. α', οἴνου κοχλιάρια β', ὁμοῦ μίξας ἐξ αὐτοῦ τὸν ἱέρακα θρέψον ἀπὸ κρέατος τραγείου ἡμέρας τρεῖς ἢ καὶ πλείονας.

Ἐὰν χαίνῃ ὁ ἱέραξ.

Ἐὰν ἱστάμενον χαίνῃ, γίνωσκε ὅτι τραῦμα ἔχει τὰ ἔνδον αὐτοῦ. λαβὼν οὖν βουτύρου κοχλιάριον ἕν, μυελὸν ἐλά-

Digitized by Google

φειον οὐγγίας γ', μέλιτος κοχλιάριον ἕν, κόκκινον ἀρσενικὸν οὐγγίαν μίαν, ῥοδελαίου κοχλιάριον ἕν, οἴνου κοχλιάρια δύο, ἐνώσας αὐτὰ κρέατι αἰγείῳ θρέψον αὐτὸν ἡμέρας τρεῖς ἢ καὶ πλείονας, καὶ ἰαθήσεται.

Εἰς πρησμὸν ἱέρακος.

'Εὰν ὁ ἱέραξ πρησμὸν ἔχῃ, τοῦτο ὀφείλεις ποιῆ- 143
284 σαι. πεπέρεως κόκκους κά', φολβίου γράμμ. β', στάχυος ναρδικοῦ γράμμ. β', εὐφορβίου γράμμ. ά', φύλλα πετροσελίνου Μακεδονικοῦ γράμμ. β', κόστου γράμμ. δ'. ταῦτα πάντα τρίψας καὶ μίξας μέλιτι, τὸν οὐρανίσκον αὐτοῦ διάτριβε πρὸς τὸν ἥλιον. καὶ περὶ ὥραν ἀρίστου λαβὼν βουτύρου μέρη τρία, μέλιτος μέρος ά', βαλσάμου μέρος ά', ὁμοῦ τρίψας καὶ μετὰ τοῦ προμνημονευθέντος κονιορτοῦ συμμίξας εἰς τροφὴν ξεστὴν δὸς τῷ ἱέρακι, καὶ ἰαθήσεται.

Εἰς γεννᾶν ἱέρακα.

Ὅταν ὁ ἱέραξ γεννῆσαι θελήσῃ, τοῦτο ποίησον. 144
κρόκου μύρα εἰς ὕδωρ βαλών, καὶ δώσεις ἐξ αὐτοῦ νήστει ἵνα πίῃ, καὶ εὐθέως τὸ πάθος ἰᾶται.

Ὅταν ἀπορρῖψαι θελήσῃ.

Κορίζιον νεφρικὸν εἰς ἑλλέβορον συμμίξας δὸς 145
αὐτῷ φαγεῖν, καὶ εὐθέως καθαρίζεται.

Πρὸς τὸν ἐσθίοντα πολλά.

'Εὰν ὁ ἱέραξ ἐσθίῃ πολλὰ καὶ ἀπὸ μακέλλης, 146
ἀποδημήσῃς τῷ τοιούτῳ. μέλιτος κολλουρίδας εἰς τὸ
285 φαγεῖν δός, ὀφείλεις δοῦναι καὶ σκωλήκιν τὸ ἀπαίδευτον, ὅπερ ἐκ τῶν ἐντοσθίων τοῦ κέρατος ἐκφέρειν ἄφνω, λιπαρὸν δὸς αὐτῷ .εἰ δὲ θελήσῃ φαγεῖν, ὕπτιον αὐτὸν κράτησον, καὶ τὸν σκώληκα παράβαλε. καὶ εἰ ἀφοδεύσῃ, ἰαθήσεται. καὶ τῇ ἄλλῃ ἡμέρᾳ δὸς αὐτῷ

Digitized by Google

νερδίκιν συναρπασθέν· τῇ δὲ τριτῃ ἡμέρᾳ βάλε εἰς ὕδωρ ζεστόν, καὶ ὃς αὐτῷ τροφὴν τράγειον, καὶ ἐν τῇ αὐτῇ τροφῇ αἷμα νυκτερίδος βάλε, καὶ ἰαθήσεται.

Ἐὰν εἰς ὕδωρ ἐμπέσῃ μετὰ χηνός.

147 *Ἔπαρον ὀστέα φοινίκων, καὶ εἰς ὕδωρ καλῶς ἀπόβρεξον ἡμέραν μίαν· τῇ δὲ ἑξῆς τρῖψον, καὶ βάλε πέπερι λευκόν, πέπερι μέλαν, ἀγριοσταφίδα, σταχὺν νερδικόν, σταχὺν Ἰνδικόν, πάντα τῷ ἴσῳ σταθμῷ τετριμμένα· καὶ λαβὼν βούτυρον καὶ ἀξούγγιν νήσειον καὶ χοίρειον ἴσῳ σταθμῷ τετριμμένα, ἄλειψον ζυμέριν μετὰ τῶν προειρημένων, καὶ δὸς ὀφὰς τῷ ἱέρακι φαγεῖν, καὶ οὐδὲ ῥῖγος ἐννοήσει.*

Ἄλλο.

148 *Δαφνέλαιον αὐτῷ εἰς ὀφὰς δώσεις, καὶ εὐθέως τὸ ῥῖγος αὐτοῦ ἐξέρχεται.*

Ἐὰν μὴ θέλῃ φαγεῖν. 238

149 *Κονιορτὸν τίλλεως καὶ λινοσπέρματος βάλε εἰς μηριαῖον κρέας αἰγὸς νεοσφαγοῦς, καὶ ἀνάγκασον φαγεῖν τὸν ἱέρακα, καὶ ἰαθήσεται.*

Ἐὰν ἀπὸ λαγωοῦ κακωθῇ.

150 *Ποίησον αὐτὸν ἡσυχάσαι ἡμέρας ἑπτά, καὶ δίδου αὐτῷ φαγεῖν τροφὰς ζεστὰς ἢ περιστερῶν ἢ τράγων, καὶ ἰαθήσεται.*

Εἰς τρυσμόν.

151 *Μέλιτος κοχλ. α', γάλα αἰγὸς κοχλ. α', καὶ τοσοῦτον ἔλαιον ῥόδινον μίξας μετὰ περιστερᾶς δίδου φαγεῖν.*

Digitized by Google

Εἰς δυσεντερίαν.

Σπέρμα νάρθηκος κοκκία κέ τετριμμένα εἰς οἶ- 152
νον βάλε, καὶ εἰς ποτὸν δὸς τῷ ἱέρακι φαγεῖν.

Ἄλλο.

Ῥοδάκινον σχίσον, ἵνα ἐστὶν ἄωρον, καὶ μετὰ 153
ἅλατος ἕψησον, καὶ τῷ ἱέρακι δὸς εἰς τροφήν.

Εἰς λέπτυνσιν.

Ὅταν ὁ ἱέραξ λεπτὸς γένηται, βούτυρον μετὰ 154
κρέατος αὐτῷ δὸς φαγεῖν, καὶ ἰαθήσεται.

227 *Ἄλλο.*

Ἐν ἐλαίῳ Ἱσπανικῷ ζεστῷ τὴν τροφὴν αὐτοῦ 155
ἐμβάψεις, καὶ δώσεις φαγεῖν, καὶ ἰαθήσεται.

Εἰ ἀρρωστίᾳ ἐλαττωθῇ.

Οὕτως αὐτὸν νοήσεις. ἐξαρόμενος καθέζεται, 156
καὶ ταῦτα ἀνορθοῖ. θεραπεύσεις δὲ εἰ κριαρίου μυε-
λὸν νεωστὶ ἐσφαγμένου τῷ ἱέρακι δώσεις εἰς τροφήν.
καὶ μετὰ ταῦτα περιστερόπουλον ἢ ὀρνιθόπουλον
σφάξας δὸς τὸ αἷμα πιεῖν θερμόν.

Εἰ οὐ θέλῃ κυνηγῆσαι.

Ἀπόκλεισον αὐτὸν ἡμέρας ιε εἰς τόπον σκοτει- 157
νόν· φωτίαν μὴ ἴδῃ, εἰ μὴ μόνον εἰς τὸ φαγεῖν. τὴν
δὲ τροφὴν αὐτοῦ ἀποτρίτωσον, καὶ πρὸς τὴν ἄγραν
αὐτὸν ἔκβαλε.

Εἰς ξερατὸν ἱέρακος.

Ὀλίγον παστὸν μετὰ κρέατος τραγείου συμμίξας, 158
δὸς φαγεῖν τῷ ἱέρακι, καὶ ἰαθήσεται.

Digitized by Google

Εἰς ῥευματισμὸν κεφαλῆς.

159 Ἐὰν ὁ ἱέραξ τὴν κεφαλὴν ῥευματίσῃ, οὕτως αὐτὸν νοήσεις. οἱ ὀφθαλμοὶ αὐτοῦ δακρύουσι. οὕτως δὲ αὐτὸν περιποιήσῃ. πέπερι λευκὸν κόκκους ιʹ, κοστόν, φόλβιον, στάχυος Ἰνδικοῦ, ἀγριοσταφίδος, κρόκον ἴσῳ σταθμῷ, πάντα ὅσον τὰ ιʹ κόκκους τοῦ πεπέρεως στήσουσιν· καὶ τρίψας τὸν οὐρανίσκον τρῖψον ἐξ αὐτῶν μετὰ οἴνου καλοῦ· καὶ μετὰ τοῦτο μέλι ἄκαπνον λαβὼν μετὰ πτεροῦ τὸν οὐρανίσκον ὑπάλειφε, καὶ ἐκ τῆς ἰατρείας πάλιν ἐπίπασσον, καὶ εὐθέως τὰς ῥῖνας ἐντὸς τοῦ στόματός σου βάλλων πίπισον ἵνα ἡ ἰατρεία αὕτη ἐν αὐταῖς ἀνέλθῃ. καὶ μετὰ τοῦτο στῆσον αὐτὸν πρὸς τὸν ἥλιον ἕως ὥρας δευτέρας. καὶ ὅταν ἴδῃς ὅτι ἀφώδευσεν, ἔκαρον αὐτὸν ἐκ τοῦ ἡλίου, καὶ ὀλίγον οἶνον καλὸν ἐκ τοῦ στόματός σου εἰς τὸ στόμα αὐτοῦ ἔμβαλε, καὶ μετὰ ὥραν δευτέραν κάλεσον αὐτόν, καὶ δὸς αὐτῷ περιστερόπουλον ζεστὸν ἢ ποντικόν, καὶ ἰαθήσεται. 238

Ἄλλο.

160 Ἐὰν ὁ ἱέραξ δίκην φακῆς ἐν τοῖς ὀφθαλμοῖς αὐτοῦ ἔχῃ, ἵνα τοὺς ὀφθαλμοὺς ἐσφαλισμένους ἔχων καθέζηται, οὕτως αὐτὸν περιποιήσῃ. γάλα γυναικὸς θηλαζούσης ἀρρενικὸν τοὺς ὀφθαλμοὺς αὐτοῦ ἐπίχυσον, καὶ εὐθέως ὑγιανεῖ.

Ἄλλο. 239

161 Κόστον, φόλβιον, λίβανον ἀρρενικόν, μαστίχην, λάσαρον Ἰουδαϊκόν, πέπερι, στάχυν ναρδικόν, καρυόφυλλον, κρόκον, σανδαράχην, ἀδανά, ἀγριοσταφίδα, ταῦτα πάντα ἴσῳ σταθμῷ τρίψας καὶ κοσκινίσας, τοῦ ἱέρακος τρῖψον τὸν οὐρανίσκον, καὶ ἰαθήσεται.

Digitized by Google

Ἐὰν τὰ ἴδια πτερὰ ἐσθίῃ.

Ἀφρόνιτρον ξεστὸν καὶ κόρεις ἐντριψας, εἰς κρέας 162
δὸς τῷ ἱέρακι φαγεῖν ἡμέρας τρεῖς.

Δοκιμασία εἰ ἀσθενὴς ὁ ἱέραξ ζήσεται.

Καθ' ἡμέραν δίδου αὐτῷ βούτυρον, ἔλαιον Ἰσκα- 163
νικὸν ἢ ῥόδινον μετὰ καρδίας βοός· καὶ ἐὰν ἀφο- 5
δεύσῃ, ζήσεται· εἰ δὲ τὸ αὐτὸ ῥίψει καὶ ὀξήσεις εἰς
τὴν γοῦλαν αὐτοῦ, περιστερόπουλον τρεῖς ἡμέρας
αὐτῷ δός. καὶ ἐὰν ἀφοδεύσῃ, ἰαθήσεται.

Εἰς αἰτίαν τῶν ἐντέρων. 10

Βούτυρον μετὰ μέλιτος μεμιγμένον εἰς κρέας ἐμ- 164
βαλὼν συχνῶς δίδου τῷ ἱέρακι, καὶ ἰαθήσεται.

Digitized by Google

Digitized by Google

ΟΡΝΕΟΣΟΦΙΟΝ

ΚΕΛΕΥΣΕΙ ΓΕΓΟΝΟΣ ΤΟΥ

ΑΙΟΔΙΜΟΥ ΒΑΣΙΛΕΩΣ ΚΥΡΙΟΥ ΜΙΧΑΗΛ

Digitized by Google

Digitized by Google

243 # ΠΕΡΙ ΓΕΝΟΥΣ ΟΡΝΕΩΝ

ΚΑΙ ΚΟΠΗΣ ΚΑΙ ΧΡΩΜΑΤΩΝ.

Περὶ ζαγάνων.

Ὁ ζάγανος ὀφείλει εἶναι μακρύλαμνος, αἱ θυσωμίαι αὐτοῦ πλατέαι, κοντὰ τὰ μηρία καὶ τὰ καλάμια τῶν ποδῶν αὐτοῦ, οἱ δάκτυλοι αὐτοῦ μακροί, ἡ οὐρὰ αὐτοῦ ἁπλωμίστη καὶ ὡς ἂν παχνισμένη, ὁ σφόνδυλος αὐτοῦ μακρός, κεφάλιν μικρὸν καὶ πλατύ, ἡ μίτη αὐτοῦ λεπτή. χρῶμα δὲ τὸ μαῦρον ἢ καὶ ξανθὸν κρεῖττον· τὸ γὰρ κόκκινον καὶ κιχλάτον [τὸ ψηφλν] ἀδόκιμον· χαῦνον γάρ ἐστι τὸ τοιοῦτον ὄρνεον, ὥσπερ τὸ κατὰ πολὺ μαῦρον ἢ τὸ λεγόμενον καστανὸν [ἢ καὶ κιχλάτον]· κακόγνωμοι γάρ εἰσιν οἱ τὰ τοιαῦτα
244 *χρῶματα ἔχοντες, πλὴν θυνατοί. ὀφείλεις δὲ διδόναι συχνότερον πρὸς τοὺς ζαγάνους ἀγριοπούλια ἤτοι περιστέρια τρυγόνια καὶ ἕτερα ὅμοια· τοὺς δὲ πελαργοὺς τοὺς γηταύρους τὸν τζικνέαν τὴν αἴθυιαν καὶ τὰ τοιαῦτα ὀφείλεις πάλιν ἵνα προσέχῃς αὐτά, ἵνα μηδὲν πολὺ παραβάλῃς ὄρνεον ἐξ αὐτῶν· βλαβεραὶ γὰρ λέγονται αἱ σάρκες αὐτῶν. οἱ ἀντολικοὶ δὲ ζάγανοι κρείττονες τῶν δυτικῶν.*

Περὶ πετριτῶν.

Ὁ πετρίτης ὀφείλει εἶναι κοντοπόδης, μακροδάκτυλος, μακρύλαμνος, μικροκέφαλος, μεγαλόμματος,

Digitized by Google

μεγαλόστομος, φασσόστηθος, φαρδυρώθωνος, αἱ δυσωμίαι αὐτοῦ πλατέαι, χρῶμα δὲ τὸ μαῦρον καὶ κατανὸν κρεῖττον τῶν ἄλλων. κρειττονες δὲ πετρίται οἱ Πολογιῶται, οἱ Ζαγορηνοὶ καὶ οἱ Στενιμαχιῶται.

Περὶ φαλκωνίων.

Τὰ φαλκώνια τὰ ἐξωπίαστα κρειττονα, παρ' ὃ τὰ πωλότροφα· ὀφείλουσι δὲ εἶναι πιτζά. αἱ δυσωμίαι αὐτῶν πλατέαι, μακρὰ ἡ ἐλασία αὐτῶν, μακραὶ αἱ οὐραὶ αὐτῶν καὶ κοκκωταί, πλὴν ἕνα ἕνι πυκνὰ τὰ κοκκία αὐτῶν, ἕνα δὲ ἔχωσι καὶ ἐπάνω εἰς τὴν ῥάχιν κοκκία τέσσαρα. χρῶμα δὲ τὸ μαῦρον καὶ ξανθὸν κρεῖττον· τὸ δὲ κόκκινον ἀχρησίμευτον. κρείττονα δὲ φαλκώνια τὰ Θεσσαλονικαῖα καὶ τὰ Πελαγονιτικά.

Περὶ συγκουρίων.

Τὰ συγκούρια τὰ Μιτυληναῖα κρείττονα τῶν ἄλλων.

Περὶ ἱερακίων.

Τὰ ἱεράκια ὀφείλουσιν εἶναι μακρύλαμνα, αἱ δυσωμίαι αὐτῶν πλατέαι, μικρὰ τὰ κεφάλια αὐτῶν, ὡσαύτως καὶ τὰ ὀμμάτια· φαρδέα τὰ ῥωθώνια αὐτῶν, τὸ στόμα μέγα, ἡ γλῶσσα μαύρη, καὶ ἕνα κάθηνται ὁλόρθα· οἱ ἐλάται αὐτῶν ἀκοσκελωτοί, ἕνα μήτε εἰσὶ σμικτοὶ μήτε σταυρωτοί. κρείττονα δὲ ἱεράκια τὰ Ἀβασγικὰ καὶ τὰ Μωραβητικά.

Περὶ τζουρακίων.

Τὰ τζουράκια ὀφείλουσιν εἶναι κοντόψια, τετράγωνα, πλατυκέφαλα, φαρδυρώθωνα, μεγαλόμματα, φιτυλόγλωσσα. κρείττονα δὲ τζουράκια τὰ Μελενικιωτικὰ καὶ τὰ Μεστιωτικά.

Digitized by Google

Περὶ ἐξυπτερίων.

Τὰ ἐξυπτέρια ὀφείλουσιν εἶναι κοντοπόδαρα, αἱ δυσωμίαι αὐτῶν πλατέαι, οἱ ἐλάται αὐτῶν στενοί, πλὴν ἀποσκελωτοί, καὶ ἵνα καθέζωνται ὀλόρθοι. μαύρη ἡ γλῶσσα αὐτῶν, τὸ ψηφὶν λεπτόν. κρείττονα δὲ ἐξυπτέρια τὰ ἀπὸ τῆς Διδυμοτόκου καὶ τὰ Μοραχριθηνά.

Περὶ βλάβης ὀρνέου.

Ἡ βλάβη τῶν ὀρνέων γίνεται διὰ τρεῖς αἰτίας· διὰ πολυφαγίαν, διὰ ἀσπαστρίαν τοῦ παραβάλματος, καὶ διὰ χολὴν ἤτοι κόπον. καὶ εἰ μὲν ἔνι ἀπὸ πολυφαγίας ἢ ἀπὸ ἀσπαστρίας τοῦ παραβάλματος, ἔχει σημεῖα ταῦτα. τὸ ῥίψιμον αὐτοῦ ἔνι καθαρόν, τὰ ὀμμάτια αὐτοῦ ἔνι καλά, ἡ ὄρεξις αὐτοῦ ἔνι καλή. ἔχει δὲ διὰ τοῦτο καὶ τὴν θεραπείαν εὔκολον. πλῦνε βαμβάκιον μετὰ οἴνου καλοῦ, καὶ βάλε ἐντὸς τοῦ βαμβακίου θηριακὴν ξυλόκοκκον ἕν, καὶ χανιάσας τὸ ὄρνεον βάλε τὸ βαμβάκιν· καὶ μετὰ τὸ ῥῖψαι τὸ βαμ-
247 βάκιν παράβαλε αὐτῷ ὀρνιθοπούλου ἥμισυ μέρος. εἰ δέ ἐστι θερινὸς καιρός, δὸς αὐτῷ χελώνης μέλος ἕν. εἰ δὲ ἔνι βλάβη ἀπὸ χολῆς, ἔχει σημεῖα ταῦτα. τὸ ῥίψιμον αὐτοῦ ἔνι θολόν, τὰ ὄμματα αὐτοῦ ἔνι καυνισμένα καὶ δακρύουσιν, ὀρέγεται τὸ νερὸν πολλά. ἔνι δὲ δυσίατον, διότι ἔνι καὶ ἀνόρεκτον. ἔχει δὲ θεραπείαν ταύτην. κάθισον αὐτὸ ἵνα πίῃ νερόν, καὶ ἔκτοτε χανίασον αὐτὸ καὶ βάλε καντίον, κομμάτια δύο, τὸ καθ' ἓν ἕκαστον ὅσον φάβατος μέγεθος, καὶ πάλιν κάθισον αὐτὸ εἰς τὸ νερόν. καὶ εἰ μὲν τρώγει, δὸς αὐτῷ ὀρνιθοπουλίου σάρκα, ὅσον λεπτοκαρύου ἑνὸς μέγεθος· εἰ δὲ οὐδὲν τρώγει, ξύησον αὐγὸν ὀφητόν, καὶ ἕκαρον τὸν κρόκον αὐτοῦ, καὶ τρίψας ἄκο-

Digitized by Google

ρον ἔνωσον αὐτὸ μετὰ τοῦ κρόκου τοῦ αὐγοῦ. καὶ χανιάσας τὸ ὄρνεον βάλε αὐτὸ μετὰ τοῦ δακτύλου σου, καὶ ἔσται εὐόρεκτον. καὶ μετὰ τὸ χωνεῦσαι τὸ αὐγὸν παράβαλε αὐτῷ ὀρνιθόπουλον ἢ σπῖνον ἢ τρωγλίτην, πλὴν χωρὶς ἀποβολῆς ἢ ὀστοῦ ἵνα παραβάλῃς αὐτό.

Περὶ συνθλάσματος ἀπὸ ἐμπλαστῆς ἤτε τζακίσματος ἢ στηθίσματος.

248

Μώμιον μετὰ κρέατος διδόμενον ὠφελεῖ. βῶλον Ἀρμένιον λειώσας μετὰ ῥοδοστάγματος πότιζε. πέτραν ἀπὸ τοῦ ἁγίου Ἰωάννου τοῦ δέτου μετὰ κρέατος δίδου.

Περὶ ἐξαρμίσματος.

Καυστηρίαν ποίησον μετὰ λιγνοῦ σιδήρου, πλὴν ἵνα ἔχῃς παντοίαν προσοχὴν ἵνα μὴ καύσῃς νεῦρον.

Περὶ τζέρματος.

Ἀφιόνιον κοκκία τρία μετὰ κρέατος διδόμενον ὠφελεῖ. θηριακὴν κοκκία τρία μετὰ κρέατος δός, καὶ μετὰ ταῦτα φλεβοτόμησον αὐτὸ εἰς τὸ γόνατον.

Περὶ ἀποστήματος.

Γάγγρινον ἅλας ὅσον φάβατος μέγεθος βάλε εἰς τὸ στόμα αὐτοῦ, καὶ μετὰ ὥραν ἱκανὴν χανίασον πάλιν αὐτὸ καὶ βάλε καντίον ἰσόποσον τοῦ ἅλατος, καὶ μετὰ ταῦτα δὸς αὐτῷ θηριακὴν κοκκία τρία μετὰ κρέατος.

249

Περὶ καυματισμοῦ.

Ὅταν καυματισθῇ ὄρνεον διὰ τὸν πλεονασμὸν τῆς χολῆς, ξερᾷ. ἔχει δὲ θεραπείαν ταύτην. χελώ-

Digitized by Google

νην ἀρβέλισον καὶ δὸς αὐτῷ μετὰ σαχάριτος ὅσον μέλη δύο.

Ὅταν οὐδὲν παχύνῃ ὄρνεον.

Σησαμέλαιον νεαρὸν ἢ ἀμυγδαλέλαιον ὡσαύτως νεαρὸν δὸς μετὰ κρέατος δὶς ἢ καὶ τρίς.

Περὶ ὀρνέου ὅταν ᾖ ἀνόρεκτον.

Τρίχας ἀλόγου τρῖψον καὶ ποίησον αὐτὰς ὥσπερ κέντουκλον, καὶ πάσον αὐτὸ κιχωρίου ῥίζαν τετριμμένην καλῶς, καὶ χανίασον τὸ ὄρνεον, καὶ τῇ ἐπαύριον ἔσται ὑγιές.

Περὶ κεφαλικοῦ.

Τοῦ κεφαλικοῦ σημεῖα ταῦτα. ὀγκοῦται ἡ κεφαλὴ καὶ τὰ ὀμμάτια αὐτοῦ. ἔνι δ' ἐάνπερ ἀργήσῃ ἀνίατον· ἐὰν δὲ προλάβῃς αὐτό, ὄρνεα τινὰ ἴσως ἵνα θεραπεύσῃς. σχίσον τὰ κανθηρὰ τοῦ ὀρνέου καὶ βάλε θηριακήν· εἶτα καῦσον αὐτὸ εἰς τὸν ἀντικέφαλον μετὰ μεγάλης προσοχῆς διὰ τὸν μυελόν. ὡσαύτως ἵνα καύσῃς αὐτὸ καὶ ἐπάνω τῆς κεφαλῆς μέσον τῶν δύο ὀφθαλμῶν.

Περὶ φασιάσματος.

Τοῦ φασιάσματός εἰσι γένη δύο, τὸ μὲν ἓν ξηρόν, τὸ δὲ ἕτερον ὑγρόν. καὶ τοῦ μὲν ξηροῦ εἰσι σημεῖα ταῦτα. ἀνοίγει καὶ σφαλίζει τὸ στόμα αὐτοῦ συχνὰ διὰ τὴν στενοχωρίαν ἣν ἔχει. θεραπεύεται δὲ οὕτως. κριμέλαιον ἢ βλισκουνέλαιον ἵνα ἀλείφῃς τὴν κεφαλὴν αὐτοῦ μέχρι τριῶν ἡμερῶν, καὶ μετὰ ταῦτα ἵνα σιφωνίσῃς αὐτὸ ἀπὸ τῶν ῥωθωνίων. τοῦ δὲ ὑγροῦ σημεῖα ταῦτα. ἀναφυσᾷ καὶ ἐκβάλλει ἀπὸ τῶν ῥαθωνίων αὐτοῦ ὑγρά. θεραπεύεται δὲ οὕτως. λείω-

Digitized by Google

σον μετὰ τοῦ νεροῦ ἀγριοσταφίδα, καὶ ποίησον τὸ νερὸν αὐτῆς ὥσπερ γάλα καὶ βάλε εἰς τὰ ῥωθώνια τοῦ ὀρνέου, καὶ κάθισον αὐτὸ εἰς τὴν γῆν, ἵνα ῥίψῃ τὰ ὑγρὰ αὐτοῦ. καὶ μετὰ ταῦτα ποίησον καυστηρίαν ἐπάνω τῆς κεφαλῆς αὐτοῦ μέσον τῶν δύο ὀφθαλμῶν 251 καὶ πλησίον τῶν ῥωθωνίων αὐτοῦ.

Περὶ ὀρνέου ὅταν ἔχῃ λίθον.

Σημεῖα τοῦ ἔχοντος λίθον εἰσὶ ταῦτα. τὸ ῥίψιμον αὐτοῦ ἕνι βεβιασμένον καὶ κολλῶδες καὶ ὀλίγον διὰ τὴν ἔμφραξιν ἣν ἔχει. θεραπεύεται δὲ οὕτως. βούτυρον ἄπαστον μετὰ σαχάριτος χανιάσας τὸ ὄρνεον βάλε εἰς τὸ στόμα αὐτοῦ· ἢ παλιουρόκοκκα τρῖψον καὶ δὸς μετὰ κρέατος· ἢ λαρδίου μέρος ποιήσας ὥσπερ ὑπόθετον βάλε τοῦτο ὑποκάτω τῆς καταβάσεως τοῦ ὀρνέου· ἢ ἀγριαγκουρέας ῥίζαν πελεκίσας ποίησον ὥσπερ ὑπόθετον, καὶ βάλε αὐτὸ εἰς τὴν κατάβασιν ὡσαύτως τοῦ ὀρνέου.

Περὶ πληγῆς ὀρνέου ὅταν ἔχῃ μιτέαν ἢ ὀνυχέαν.

Κόχλον Τουρκικὸν ἢ μυρσίνην τετριμμένην ἢ θηριακήν. εἰ δὲ οὐδὲν τούτων ἔχεις, κἂν ἄλας ἐπίθες εἰς τὴν πληγήν.

Περὶ καρφίου.

Σχίσον αὐτὸ μετὰ σιδήρου πεπυρωμένου, καὶ ἐὰν ἔχῃ πῶρον, ἔκβαλε αὐτόν, καὶ βάλε ἅλας ἢ θηριακήν· 252 καὶ ποίησον σακκούλιον καὶ γέμισον αὐτὸ ἅλας, καὶ ἀσκάθηται τὸ ὄρνεον ἐπάνω τοῦ σακκουλίου, ἕστ' ἂν γένηται ὑγιές.

Digitized by Google

Περὶ ἑλμιγγῶν.

Τῶν ἑλμιγγῶν εἰσι γένη δύο. τὸ μὲν ἓν γίνεται εἰς τὰ ἔντερα καὶ ἔνι μικρὰ τὰ τοιαῦτα ἑλμίγγια, τὸ δὲ ἕτερον γίνεται εἰς τὰ νεφρὰ καὶ εἰς τὸν πνεύμονα, καὶ ἔνι τὰ τοιαῦτα ἑλμίγγια μεγάλα, ἤγουν μακρὰ ὥσπερ τρίχες. καὶ τὰ μὲν γινόμενα εἰς τὰ ἔντερα ἔχουσι σημεῖα τάδε. ῥίπτει αἷμα τὸ ὄρνεον, ψιρίζει τὴν κατάβασιν αὐτοῦ συχνά, τρώγει πολλὰ καὶ χωνεύει σύντομον, φυσᾷ ὀλίγον. θεραπεύεται δὲ εὐκόλως. ἀλόην μετὰ κρέατος δὸς φαγεῖν τὸ ὄρνεον. τῇ μὲν πρώτῃ ἡμέρᾳ δὸς τὸ κρέας μετὰ τῆς ἀλόης ὅσον κοκκία τρία, τῇ δευτέρᾳ μόνον τὸ κρέας ἄνευ ἀλόης, τῇ δὲ τρίτῃ πάλιν κρέας μετὰ ἀλόης κοκκίων τριῶν, καὶ θεραπευθήσεται. ἢ καππαρόριζον τρίψας δὸς μετὰ κρέατος. ἢ φοῦ τὸν φλοιὸν καύσας καὶ τρί-
258 ψας δὸς μετὰ κρέατος. ἢ ἑλμιγγοβότανον ὡσαύτως δὸς μετὰ κρέατος. τὰ δὲ ἑλμίγγια τὰ γινόμενα εἰς τὰ νεφρὰ καὶ εἰς τὸν πνεύμονα, ἅπερ ὡς εἰκομέν εἰσι μακρὰ ὥσπερ τρίχες, ἔχουσι σημεῖα ταῦτα. ὅταν καταπετάσῃ τὸ ὄρνεον, δέρει τὴν κατάβασιν αὐτοῦ, ῥίπτει θολά, καὶ ποτὲ μὲν κίτρινα ποτὲ δὲ ἠράνεα ποτὲ δὲ πράσινα, ποτὲ δὲ καὶ ὀλίγον αἷμα θολόν· τρώγει δὲ πλὴν οὐ χωνεύει καλῶς οὔτε παχύνει· ἔνι δὲ δυσίατον. θεραπεύεται δὲ οὕτως. μάδισον τὰ νεφρὰ τοῦ ὀρνέου ἀπὸ τῆς μασχάλης μέχρι καὶ τῆς μέσης τῶν νεφρῶν, καὶ ποίησον ἔμπλαστρον τοιοῦτον. τρῖψον ἀλόην καὶ πήγανον, καὶ ζύμωσον αὐτὰ μετὰ ὄξους, καὶ ἄλειψον αὐτὸ εἰς πανίον, καὶ θὲς αὐτὸ εἰς τὸν τόπον τῶν νεφρῶν τὸν μαδισμένον. καὶ ἀφ' οὗ ποιήσει κείμενον τὸ ἔμπλαστρον ἡμέρας τρεῖς, πάλιν ἄλλαξον αὐτὸ μέχρι καὶ τετάρτης φορᾶς, καὶ ἴσως ἐκ τούτου ἵνα εὕρῃ θεραπείαν.

Digitized by Google

Περὶ ὀρνέου ὅταν οὐδὲν ῥίπτῃ τὰ πτερὰ αὐτοῦ.

Ἀπὸ σκονδύλου αἰγὸς αἱ λεγόμεναι ἐλαῖαι διδόμεναι ὠφελοῦσιν. ἢ τοῦ αὐτοῦ ζῴου ἤτοι αἰγὸς τὸν γαργαρεῶνα, ὃ καὶ σφαγὴ λέγεται, ἕνωσον μετὰ σαχάριτος καὶ κρέατος, καὶ δὸς ἵνα φάγῃ τὸ ὄρνεον. ἢ 254
τοὺς λεγομένους λαγογήρους παράβαλε τῷ ὀρνέῳ.

Περὶ ὀρνέου ὅταν χολανθῇ.

Χελώνης σάρκας παράβαλε ἢ χοίρειον κρέας ἢ βοεικόν.

Περὶ ὀρνέου ὅταν φθειριάσῃ.

* * * * * * * * * *

Ποῖαι σάρκες ὀρνέων βλαβεραί.

Τζυκνέα σάρκας ἢ πελαργοῦ ἢ γηταύρου ἢ αἰθυίας μὴ πολὺ παραβάλῃς ὀρνέῳ· βλαβεραὶ γάρ εἰσιν.

Εἰς μοῦταν ὀρνέου.

Μετὰ τὴν ἀπόχυσιν τοῦ φεγγαρίου δὸς αὐτῷ θηριακὴν κοκκία ς″, καὶ πάλιν μεθ᾽ ἡμέρας ἡ δὸς αὐτῷ σκορδουλίου αἴγινα ε′ καὶ ας διαβιβάσῃ ἡμέρας 255
ἡ′. καὶ πάλιν δὸς αὐτῷ ἕτερα ε′. καὶ εἰ μὲν αὐτὸ ἐνεργήσωσι, πλέον μηδὲν δώσῃς αὐτῷ· εἰ δὲ οὐδὲν αὐτὸ ἐνεργήσωσι, δοθήτω πάλιν αὐτῷ ἕτερα ε′, καὶ εἶτα ἀσκάθηται. πλέον δὲ μὴ δώσῃς αὐτῷ· τὰ ὅλα δὲ σκυρδούλια δοθήτωσαν αὐτῷ μετὰ κρέατος ἡνωμένα.

Digitized by Google

ΔΗΜΗΤΡΙΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΠΟΛΙΤΟΥ

ΚΥΝΟΣΟΦΙΟΝ

Digitized by Google

Περὶ ὀρνέου ὅταν οὐδὲν ῥίπτῃ τὰ πτερὰ αὐτοῦ.

Ἀπὸ σπονδύλου αἰγὸς αἱ λεγόμεναι ἐλαῖαι διδόμεναι ὠφελοῦσιν. ἢ τοῦ αὐτοῦ ζῴου ἤτοι αἰγὸς τὸν γαργαρεῶνα, ὃ καὶ σφαγὴ λέγεται, ἕνωσον μετὰ σαχάριτος καὶ κρέατος, καὶ δὸς ἵνα φάγῃ τὸ ὄρνεον. ἢ 254 *τοὺς λεγομένους λαγογήρους παράβαλε τῷ ὀρνέῳ.*

Περὶ ὀρνέου ὅταν χολανθῇ.

Χελώνης σάρκας παράβαλε ἢ χοίρειον κρέας ἢ βοεικόν.

Περὶ ὀρνέου ὅταν φθειριάσῃ.

* * * * * * * * * *

Ποταὶ σάρκες ὀρνέων βλαβεραί.

Τζυκνέα σάρκας ἢ πελαργοῦ ἢ γηταύρου ἢ αἰθυίας μὴ πολὺ παραβάλῃς ὀρνέῳ· βλαβεραὶ γάρ εἰσιν.

Εἰς μοῦταν ὀρνέου.

Μετὰ τὴν ἀπόχυσιν τοῦ φεγγαρίου δὸς αὐτῷ θηριακὴν κοκκία ς″, καὶ πάλιν μεθ᾽ ἡμέρας ἡ δὸς αὐτῷ σκορδουλίου αἴγινα ε΄ καὶ ας διαβιβάσῃ ἡμέρας 255 *ἡ. καὶ πάλιν δὸς αὐτῷ ἕτερα ε΄. καὶ εἰ μὲν αὐτὸ ἐνεργήσωσι, πλέον μηδὲν δώσῃς αὐτῷ· εἰ δὲ οὐδὲν αὐτὸ ἐνεργήσωσι, δοθήτω πάλιν αὐτῷ ἕτερα ε΄, καὶ εἶτα ἀσκάθηται. πλέον δὲ μὴ δώσῃς αὐτῷ· τὰ ὅλα δὲ σκουρδούλια δοθήτωσαν αὐτῷ μετὰ κρέατος ἡνωμένα.*

Digitized by Google

ΔΗΜΗΤΡΙΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΠΟΛΙΤΟΥ

ΚΥΝΟΣΟΦΙΟΝ

Digitized by Google

Digitized by Google

259 Οὐκ ἔλαττον συντελεῖ καὶ κύων πρὸς ὑπηρεσίαν τῷ ἡμετέρῳ γένει πῇ μὲν πρὸς φυλακὴν πῇ δὲ καὶ πρὸς θήραν ἢ καὶ ἀμφότερα, τοσοῦτον εὔνους ὢν τῷ αὐτοῦ δεσπότῃ, ὡς πολλάκις ὑπὲρ αὐτοῦ ἑτοίμως ἔχειν μέχρι θανάτου διαγωνίσασθαι καὶκιν δυνεύοντι ἐπαμύνασθαι. δηλοῖ δὲ καὶ ἀπ' αὐτοῦ τοῦ ὀνόματος ὁπόσα φιλεῖν οἶδε τὸν εὐεργέτην. τοῦ τοιούτου οὖν πῶς ἡμεῖς ἀμελήσομεν καὶ οὐ τῆς ἰατρείας αὐτῶν φροντίσομεν; ἐπεὶ καὶ ἄνευ τούτων ἡ χρεία τῶν ἱεράκων ἀνόνητος. μετὰ οὖν αὐτοὺς καὶ τούτων ἀποχρώντως ἐπιμεληθησόμεθα, εἰπόντες πρῶτον περὶ τῆς τούτων γενέσεως καὶ δοκιμασίας.

260 Ἐν ποίῳ καιρῷ δεῖ τὰς κύνας ὀχεύεσθαι.

Ἰανουάριον καὶ φεβρουάριον μῆνα χρὴ τρέφειν τὰς κύνας μετὰ φυλακῆς καὶ ἀναπαύειν, ἵνα ἐπιζητήσωσιν ὀχευθῆναι· παρὰ κυνῶν δὲ δοκίμων, ὡς ἂν ἀεὶ τὸ γένος δι' ἀγαθῶν κυνῶν ἐπιμένῃ. τὸν δὲ ὀχεύοντα δεῖ εἶναι τριετῆ καὶ μὴ ἔλαττον, καὶ ἡ θήλεια διετὴς καὶ μὴ ἔλαττον. ἐπὰν δὲ ἄρξηται ἐπιζητεῖν, ἅα αὐτὴν ζητῆσαι ἡμέρας ι', καὶ τὸ τηνικαῦτα ὀχευέσθω, καὶ καθέξει εὐθέως τὸ σπέρμα. ὅταν δὲ μέλλῃ ὀχεύεσθαι, ἀποκλειέσθω ἐν οἰκίσκῳ μετὰ τοῦ ἄρρενος, καὶ μὴ συγχωρείσθω τὸ σύνολόν τινι κατοπτεύειν αὐτούς· ἐὰν γὰρ κατοπτεύωνται, ἀχρησίμευτοι πρὸς θήραν γενήσονται· τοῦτο γὰρ ἐκ πείρας πολλῆς

Digitized by Google

οἱ θηραταὶ καταμαθόντες παραδεδώκασι. μετὰ δὲ τὴν σύλληψιν ἡ συλλαβοῦσα κύων ἐπὶ θήραν μὴ ἐξιέτω, ἵνα μὴ τῇ ἐπιθυμίᾳ τοῦ δρόμου φθείρῃ τὰ κυνάρια ἢ καὶ αὐτὴ κοπιάσασα διαφθαρῇ. ἴσθι δὲ διμηναῖον χρόνον βαστάξειν αὐτήν, καὶ ὅσους ἄρρενας ἔχῃ, τοσαύτας καὶ περισσὰς τῶν δύο μηνῶν. τὸν μέντοι ἄρρενα χρὴ ἀνακτᾶσθαι διαίτῃ ἁβροτέρᾳ καὶ λιπαρᾷ μέχρι λ' ἡμερῶν, εἶθ' οὕτως χρείας καλούσης ἐξάγειν ἐπὶ τὴν θήραν. 261

Περὶ δοκιμασίας καὶ προγνώσεως.

Εἰ ἐπιθυμεῖς καλοὺς κύνας κτᾶσθαι, οὕτως αὐτοὺς δοκίμαζε. στεφανοειδῆ κύκλον ποιήσας ἀπὸ χόρτου ὅσον περιφραγὴν τροχοῦ ἁμάξης, θὲς τὰ σκυλάκια μέσον τοῦ κύκλου, τὴν δὲ κύνα ἔχε ἰδίᾳ. ὕφαπτε δὲ τὸν χόρτον κύκλῳ, καὶ ἡνίκα ἴδῃς τὸν χόρτον ὑφαπτόμενον, ἀπόλυε τὴν κύνα, καὶ ἴδῃς ὅτι εἰσέρχεται ἀνὰ μέσον τοῦ πυρὸς μὴ φοβουμένη ἀλλὰ φίλτρῳ κατεχομένη τῶν ἰδίων τέκνων. ἐπιλέγεται δὲ φυσικῷ τινι πόθῳ καὶ διακρίσει τὰ βελτίονα καὶ ἐξάγει, τὰ μέντοι ὑπόλοιπα εἰ βούλει ἀπεμπολήσασθαι ἢ χαρίσασθαι, ὑπόθες αὐτὰ ἑτέρᾳ κυνὶ ἐχούσῃ ἄλλα ἴδια, ἵνα αὐτὰ θρέψῃ. ὑπόβαλε δὲ αὐτῇ ταῦτα τρόπῳ τοιῷδε. ἀπόθλιψον ἐξ αὐτῆς ὀλίγον γάλα, καὶ βάλε ἐν τῇ χειρί, καὶ ἀναπτύξας * * ἀνάμιξον μετὰ τοῦ γάλακτος, καὶ περιχρίσας τὸν νᾶτον τῶν σκυλακίων ὑπόθες αὐτὰ τῇ τροφῷ, καὶ γνώσῃ ὅτι ἡδέως αὐτὰ δέχεται. ἔνι καὶ ἄλλη δοκιμασία τοῦ βελτίονος σκύλακος. ἐν ζυγῷ σταθμήσας τὰ κυνάρια ἐπίλεξαι τὸ βαρύτερον. ἃ δὲ βούλει ἔχειν, ὑπὸ τῆς μητρὸς αὐτῶν ἀνατρεφέσθωσαν, καὶ μὴ ὑφ' ἑτέρας· τὸ γὰρ τῆς μητρὸς γάλα πάνυ ὠφέλιμόν ἐστιν. 262

Digitized by Google

Περὶ ἐπιλογῆς κυνῶν.

Τῶν κυνῶν τῶν τικτομένων ἔστωσαν οἱ ἐπιλεγό- 3
μενοι παραπλήσιοι λέουσι πάρδοις λύκοις. τὰ ὦτα
ἐκέτωσαν μεγάλα καὶ μαλθακά, ἵνα ἐκ τοῦ μεγέθους
καὶ τῆς μαλθακότητος ἐπιρρεπῆ ὦσι. καὶ ἐὰν ὦσιν 5
ὀρθά, οὐ μικρὰ δέ, οὐ πάνυ ἀδόκιμα· τὰ γὰρ μικρὰ
καὶ σκληρὰ ἀδόκιμα. ὁ τράχηλος αὐτῶν μακρός· τὰ
στήθη καὶ οἱ ὦμοι πλατεῖς καὶ μὴ συμπεπιλημένοι,
ἀλλὰ λελυμένοι ἀπ' ἀλλήλων· αἱ οὐραὶ μακραὶ καὶ
λεπταί· τὰ σκέλη μείζονα τῶν ἐμπροσθίων τὰ ὀπί- 10
σθια· τρέχει γὰρ εἰς τὰ ἀνάντη χωρία. εἰ δὲ ἴσοι
εἰσὶν οἱ ἐμπρόσθιοι τοῖς ὄπισθεν, εἰς πεδιάδας δρα-
μεῖται καλῶς· καὶ εἰ λεῖα ταῦτα. καλὸν δὲ καὶ εἰ τῷ
μεγέθει τοῦ σώματος ἡ θήλεια προσήκει τῷ ἄρρενι.

263 Ἐν ποίῳ χρόνῳ ἐξιέναι ἐπὶ θήραν. 15

Χρὴ τὸν κύνα ἐπὶ τὸ κυνήγιον συνεχῶς ἐξέρχε- 4
σθαι· εἰ γὰρ ἐπιμείνειε χρόνον τινά, νωθὴς γίνεται.

Ὅτι δεῖ ἐθίζειν τοὺς κύνας ἀνθρώποις συγκοιτάζεσθαι.

Κύνας μετὰ ἀνθρώπων κοιμᾶσθαι καλόν· πραεῖς 5
γὰρ ἐκ τούτου γίνονται καὶ φιλάνθρωποι, καὶ εὐκό- 20
λως καλοῦνται.

Εἰς πυρετὸν κυνός.

Κύνα πυρέσσοντα οὕτως γνώσῃ. τὰ ὦτα κλίνει, 6
στυγνάζει τὸ πρόσωπον, οὐ καθεύδει. ἀφαίρει οὖν 25
αἷμα τῶν ὤτων, εἶτα ἐλαίῳ ῥοδίνῳ οὐγγ. β' μετὰ οἴ-
νου ἀφεψήσας ἐγχυμάτισον αὐτὸν τρίτον τῆς ἡμέρας,
ἢ ῥόδινον μετὰ δύο ᾠῶν μίξον, καὶ οὕτως ἐγχυ-
μάτιζε.

Digitized by Google

Εἰς καυματισθέντα ἢ κοπωθέντα.

7 *Κύων ἐὰν καυματισθῇ, οὕτως θεραπεύσεις. λάπαθον τὴν βοτάνην τρίψας καλῶς καὶ λειώσας φὰ* 264
δύο καὶ βούτυρον, καὶ οἶνον Σικελικὸν ξεστὸν α΄ μίξας
5 *μετὰ πεπέρεως κοινοῦ δὸς αὐτῷ πιεῖν· εἰ δὲ πάνυ καυματούμενος ἔλθῃ ἀπὸ τῆς θήρας, φοῦσκαν μετὰ γλήχωνος συμμίξας ῥᾶνε εἰς τὸ στόμα αὐτοῦ· φοῦσκα δέ ἐστιν ὄξος καὶ ὕδωρ θερμὸν καὶ φὰ δύο. ἐπίχεε δὲ μετὰ ἐλαίου ῥοδίνου.*

10 *Εἰς κύνα λυττήσοντα πρόγνωσις.*

8 *Κύνα λυττῶντα οὕτως γνώσῃ. πρῶτον μὲν ἵσταται ἀπομεμωραμένος, καὶ δοκιμάζει τοῦ δάκνειν τὸν ἄνθρωπον, καὶ δυσήκοός ἐστιν ἐς τοσοῦτον ὡς μηδὲ γνῶναι τοὺς ἰδίους δεσπότας. τοῦτο οὖν ὅταν γνῷς,*
15 *δὸς αὐτῷ τοιοῦτον ποτόν. ῥόδου ἀγρίου τὰς ῥίζας τρίψον καὶ λείωσον δεόντως, καὶ μίξον ὕδωρ πηγαῖον ὀλίγον καὶ δι' ὀθονίου διηθήσας τῷ κυνὶ δὸς πιεῖν, καὶ γνώσῃ τὸν λυσσῶντα.*

Ἄλλο.

9 *Ἐν τῷ κάτω μέρει τῆς γλώσσης αὐτοῦ δεσμοῖς*
20 *τισὶ κατέχεται· γίνεται δὲ εἶδος εἰς ἐκτύπωμα σκώληκος, ὅμοιον νεύρῳ λευκῷ. πρὶν ἢ οὖν αὐξήσῃ καὶ λάβῃ πάντα τὸν λαιμὸν τοῦ κυνός, ἀπόκοψον ἐκ τῆς* 265
γλώσσης αὐτοῦ, καὶ θεραπεύσεις τὸν τόπον ἐπιτηδείως.

25 *Προφυλακτικὸν ἵνα μὴ λυσσήσῃ.*

10 *Λαβὼν ἀγριοσυκῆν κόψον καὶ μετὰ ἀξουγγίου παλαιοῦ δὸς φαγεῖν τῷ κυνί. ἢ κισσὸν ἔψησον καὶ ὅταν εἰς τρία μέρη ἔλθῃ, δὸς αὐτῷ πρωῒ φαγεῖν ἐν ἡμέρᾳ ἡλίου.*

Digitized by Google

Ἄλλο.

Ὀρνίθων ἀφόδευμα καὶ ὄνου αἰδοῖον μετὰ οἴνου 11
κυάθους δὸς φαγεῖν.

Ἄλλο.

Βοτάνην χελιδονίαν μετὰ ἀξουγγίου κόψας δὸς 12
μετὰ ἄρτου φαγεῖν. 5

Εἰς δακρύοντα καὶ φλεγμαίνοντα τοὺς ὀφθαλμούς.

Πρῶτον τοὺς ὀφθαλμοὺς αὐτοῦ κατάντλησον 13
ὕδατι θερμῷ, καὶ οἴνῳ ξέσησον ῥόδα, οἰνάνθην καὶ 10
μύρου φύλλα, ἔπειτα ἔλαιον, καὶ λευκὸν ᾠοῦ μίξας
ἐπίθες τοῖς ὀφθαλμοῖς. καὶ ἀποστύψει μὲν τὸ δά-
κρυον, τὴν δὲ φλεγμονὴν ἀποκρούσεται.

266 *Εἰς λεύκωμα ὀφθαλμοῦ παλαιόν.*

Ἐὰν λευκωθῇ ὁ ὀφθαλμὸς τοῦ κυνός, θεράπευε 14
οὕτως. χολῆς ταυρείας γράμμ. ς', μαράθρου χυλοῦ, 15
μέλιτος οὐγγ. θ', κρόκου οὐγγ. γ' ὁμοῦ λειώσας τὸν
κύνα ἐπίχρισον.

Εἰς πάθος ὀφθαλμῶν.

Κυὼν ἐὰν τοὺς ὀφθαλμοὺς πάθῃ, ἀφόδευμα ὄρ- 15
νιθος ἐπίθες μετὰ ὄξους. 20

Εἰς ἥλους τοὺς ἐν οὐρανίσκῳ τοῦ κυνός.

Ἐὰν ἐν τῷ οὐρανίσκῳ αὐτοῦ ἥλοι γένωνται, ἀμ- 16
μωνιακοῦ τὸ ἀρκοῦν, κηκίδος σφαιρία τρία, ὄξους
κερ. α', χάρτον κεκαυμένον λείωσον, πάντα σύμμι- 25
ξον, εἶθ' οὕτως διάχριε τὸν οὐρανίσκον, καὶ θερα-
πεύσεις.

Digitized by Google

Εἰς ὀστοῦν πηχθὲν ἐν τῷ στόματι αὐτοῦ.

17 *Κύων ἐὰν ὀστέον ἔχῃ εἰς τὸν φάρυγγα πεπηγός, ἔλαιον ἔγχει εἰς αὐτόν, καὶ πίλωσον ὑποκάτω. εἰ δὲ παρασαλεῦσαι μὴ δυνηθῇς, ἄνοιξον τὸ στόμα αὐτοῦ καὶ χλιαρὸν ὕδωρ κατάβρεχε ἐπὶ βραχύ.*

Εἰ βδέλλας καταπίῃ κύων. 267

18 *Κόρεις αὐτὸν ὑποκάπνισον, καὶ ἴαται παραχρῆμα.*

Ἄλλο.

19 *Πίτυρον ἐκ κριθῆς καὶ ἔλαιον καθαρὸν λίτρ. α´ ἐψήσας καὶ διηθήσας καὶ μέλιτι καθαρῷ γράμμ. α´ συμμίξας, ἀπὸ τούτων τὸν κύνα ἐγχυμάτιζε.*

Ἄλλο.

20 *Ἐψήματος καὶ τραγακάνθης ἀποβεβρεγμένης καὶ πτισάνης χυλοῦ καὶ ἐλαίου καὶ μέλιτος ὁμοῦ μίξας καὶ κρόκον φοῦ ἐγχυμάτιζε τὸν κύνα.*

Εἰς κύνα ἀνορεκτοῦντα.

21 *Ἐὰν ἀνορεκτῇ κύων, κόπρον ἀνθρωπείαν δίδου φαγεῖν αὐτῷ, καὶ φοῦσκαν μετὰ γλήχωνος συμμίξας τὰς ῥῖνας αὐτοῦ ἐπάντλησον καὶ τὸ στόμα καὶ τὴν τροφὴν μεμιγμένην μετὰ κυμίνου. γάρος δὲ ἔμπροσθεν αὐτοῦ ἐψήσας (τέρπεται γὰρ τῇ ὀσμῇ αὐτοῦ) δὸς αὐτῷ φαγεῖν ἀπὸ παντὸς σίτου, ἕως ἂν αὐτὸν ἐμπλήσῃς.*

Εἰς μάλιν κυνός. 268

22 *Ἐὰν κύων ὑπὸ μάλεως κατέχηται, θυησιμαίου ζῴου, ἵππου ἢ τινὸς ἑτέρου τὴν καλουμένην χελιδονέαν λαβὼν καὶ λειοτριβήσας μετὰ γάλακτος αἰγείου δὸς αὐτῷ πιεῖν, καὶ περιγενήσεται τοῦ νοσήματος.*

Digitized by Google

Εἰς φλεγμονὴν γαστρὸς ἢ ἐμπνευμάτωσιν.

Βραχὺ ὄξος ἐπίδος αὐτῷ, καὶ παραχρῆμα παύ- 23
σεις ὀδύνην.

Εἰς κύνα οὐροῦντα αἷμα.

Ἐὰν κύων αἷμα οὐρήσῃ, [λίτρας τρεῖς] φακῆς 24
ἡμίναν πρώτως μετὰ γάλακτος ἀφέψησον καὶ κοριάν- 5
νου τὸν χυλὸν καὶ πεπέρεως κόκκους κϛ΄ καὶ ἐλαίου
κοινοῦ ξεστίου ἕν, καὶ ἄλλην ἡμίναν φακῆς μετὰ
γάλακτος ἀφέψησον καὶ ἔλαιον οὐγγ. β΄, καὶ εἰς ἓν
συμμίξας τὸν κύνα ἐγχυμάτιζε. 10

Εἰς δυσουρίαν.

Ἄρτον μετὰ γάλακτος αἰγείου βεβρεγμένον δὶς 25
τῆς ἡμέρας δὸς φαγεῖν.

369 *Εἰς φαγεῖσαν φλέβα.*

Ἐὰν κυνὸς φλὲψ ῥαγῇ, ἀράχνης γναφάλαν μετὰ 26
δύο μυῶν καύσας καὶ λειώσας, ἀπὸ τούτων ἐπίθες 15
τῷ κυνί, καὶ πάλιν δὲ γναφάλας κεκαυμένης τὸν σπο-
δὸν κατ' ἰδίαν ἐπίθες τῇ φλεβί, καὶ σίδηρον θερμά-
νας εἰς τὸν τόπον κατάθησον ὅθεν ῥέει τὸ αἷμα, καὶ
παύσεις. 20

Ἐὰν τὰ ἰσχία ὀδυνᾶται.

Λίθον μυλίτην ἐν ὀστράκῳ πυρώσας καὶ καύ- 27
σας ἀναλαβοῦ, καὶ οὖρον ἀνθρώπου ἐπίχριε κατ' αὐ-
τὸν καὶ πρόσκαιε πάλιν, καὶ μετὰ τὸ καῦσαι δισσῶς
οἶνον καὶ ὄξος μίξας μετὰ πτεροῦ ἄλειφε, καὶ λαβὼν 25
κριθάριον καὶ ἀφόδευμα ὄρνιθος μετὰ φούσκας δίδου.

Εἰς τὸν πονοῦν τα τὸν δακτύλιον ἤτοι τὴν ἕδραν.

Κύων ἐὰν τὸν δακτύλιον βλαβῇ, σκέπασον αὐτόν, 28

Digitized by Google

καὶ σκορόδου σκελίδια δύο ἀποσπάσας καὶ λειώσας δεύντως εἰς ἓν μίξον μετὰ ἐλαίου, καὶ ἐν τῷ δακτυλίῳ αὐτοῦ ἄλειψον καὶ ποίησον αὐτῷ ἐγχυματισμὸν τοιοῦτον. πεπέρεως κόκκους κ', δαφνίνων κόκκους γ', 270
βουτύρου κερ. α' ὁμοῦ μίξας καὶ πυρώσας σίδηρον, μετ' αὐτοῦ θέρμανον τὰ προλεχθέντα εἴδη, καὶ οὕτως τὸν κύνα ἐγχυμάτιζε.

Εἰς πτωχάναντα εἰ παχῦναι θέλεις.

29 Τῇ πρώτῃ ἡμέρᾳ ἄρτον αὐτῷ μετὰ γάλακτος δίδου ὅσον ἐσθίειν εἴωθεν· ἔπειτα ταῖς ἄλλαις ἡμέραις ὕφελε μὲν τοῦ ἄρτου κατὰ μέρος, πλεόναζε δὲ τὸ γάλα. μετὰ δὲ ἓξ ἡμέρας δίδου αὐτῷ γάλα μόνον, καὶ ἐν τῷ δείπνῳ δίδου ὀλίγον· καὶ πάλιν ἐὰν θέλῃς αὐτὸν τοῦ γάλακτος ἀποστῆναι, κατὰ μέρος ὑφαίρει τοῦ γάλακτος καὶ προστίθει ἄρτον. ταύτας δὲ τὰς ἡμέρας οὐ χρὴ τὸ σύνολον λυθῆναι αὐτὸν ἐκ τοῦ δεσμοῦ ἐν αἷς γαλακτίζεται· μετὰ δὲ τὸ ἐπαρθῆναι αὐτὸν ἐκ τοῦ γάλακτος καθ' ἡμέραν εἰς τὴν γυμνασίαν ἄπαγε.

Ἄλλο.

30 Κύνα ἐὰν θρέψαι θέλῃς, βρόμον φρύξας μετὰ ταῦτα ἀπάγων εἰς μύλωνα ἄληθε. καὶ ὀπηνίκα βούλει θρέψαι αὐτόν, βάλε ἐν τῇ κακκάβῃ ὕδωρ, καὶ ὅτε ζέσῃ, ἐπίβαλε ἄλευρον τὰ ἀρκοῦντα ἐκ τοῦ βρόμου ὅσον 271
δύνασαι κορέσαι τὸν κύνα· καὶ στέαρ δὲ μετ' αὐτοῦ μίξον, καὶ μετὰ τὸ ψυχρανθῆναι ἔφες φαγεῖν. τοῦτο δὲ ποίει ἕως ἡμέρας ε' ἢ ϛ', καὶ γνώσῃ ὅπως τραφήσεται.

Κύνα μετὰ λιμὸν εἰ κορέσαι θέλεις.

31 Φάβατος λευκοῦ τὴν α', ἐλαίου ξέστην α', ἀξούγ-

Digitized by Google

γιν ἁλιστὸν τὸ ἴσον ἕψησον, καὶ ἐπὶ τρισὶν ἡμέραις νήστει τῷ κυνὶ δίδου καθ' ὥραν καθ' ἣν εἴθισται αὐτῷ ἐσθίειν. κύνας μικροὺς εἰ βούλει θρέψαι, εἰ γάλα μὴ ἔχεις, πνεύμονα βοὸς καῦσον, καὶ τοῦτον τέφραν ποίει, καὶ ἐπίπασσε τὴν βρῶσιν αὐτοῦ.

Κύων ἐὰν φλεγμονὴν ἔχῃ καθ' ὅλου τοῦ σώματος.

Ἐὰν φλεγμονὴν ἔχῃ εἰς τοὺς ὀφθαλμοὺς ἢ εἰς τοὺς πόδας, καὶ μάλιστα ἐὰν ** βλαβῇ, μὴ νομίσῃς τοῦτο ἕλκος εἶναι. θεραπεύσεις δὲ οὕτως. κηροῦ μέρος ἕν, μέλιτος Ἀττικοῦ μέρη δύο, ἐλαίου κοινοῦ μέρος ἕν, εἰς ἓν ταῦτα πάντα συμμίξας ἀφέψησον καὶ ἀπόχριε τὸν κύνα ἐπὶ ἡμέρας ὀκτώ, καὶ δὸς αὐτῷ ὑγρὰν τροφὴν καθάπερ χυλόν.

Κύων εἰ παρ' ἑτέρου κυνὸς δηχθῇ.

Ὀστοῦν ἐλάφου καῦσον καὶ μῖξον μετὰ ἐλαίου καὶ λείωσον ὁμοῦ, καὶ ὡς κηρωτὴν ποιήσας θεραπεύσεις τοῦτον.

Κύων εἰ πληγῇ ὑπό τινος.

Κρέας μετὰ σποδοῦ σιδήρου τῇ πληγῇ ἐπίθες καὶ θεραπεύσεις.

Κύων εἰ παρὰ λυττῶντος κυνὸς δηχθῇ.

Φύλλα πηγάνου ἐπίθες τῷ τόπῳ μετὰ πίσσης καὶ ὄξους, καὶ ἰαθήσεται.

Ἐὰν μύωψ δάκῃ κύνα.

Καῦσον ἀγριοπήγανον καὶ ὑποκάπνισον αὐτὸν τὸν τόπον ὅπου δηχθῇ, καὶ χρῖε μετὰ ὄξους.

Digitized by Google

Εἰς τὸ θεραπευθῆναι οὐλήν.

37 *Λιθόστερον μετὰ ἀφροῦ ἀργύρου καύσας τρῖψον, καὶ μέλι καὶ ὄξος ὁμοῦ σὺν αὐτοῖς μίξας τὴν αὐτὴν* 178
οὐλὴν ἀλείφων τρῖβε ἕως οὗ θεραπεύσῃς.

Ἐὰν πληγῇ, καὶ μὴ γνῷς ὅθι ὀδυνᾶται.

38 *Πρὸς ἥλιον αὐτὸν στῆσον, καὶ ἔνθα ὀδυνᾶται, ἐκεῖ αἱ μυῖαι χωροῦσιν. οὕτως τὴν ὀδύνην εὑρήσεις. αὐτὸν δὲ τὸν τόπον θερμῷ ὕδατι κατακλύσεις, καὶ κριθάριν θερμάνας καὶ ἀφόδευμα βόειον καὶ φοῦ-*
σκαν μίξας οὕτως τῷ τόπῳ ἐπίπασσε.

Εἰς ψώραν.

39 *Ψυμίθιν καὶ ῥητίνην καὶ στέαρ βόειον καὶ βούτυρον σχίνῳ μίξας ἔψησον, καὶ οὕτως τὸν κύνα κατάχριε.*

Ἄλλο.

40 *Λαβὼν στέαρ κύνειον ἢ ἐχίνου βάλε αὐτὸ ἐν χύτρᾳ καινῇ καὶ ἀνάλυσον· καὶ ὅταν ἴδῃς ἐκπέμπον πομφόλυγας μικρούς, ἀφελὼν ἀπὸ τοῦ πυρὸς μικρὸν τὴν χύτραν βάλε ῥητίνην καθαρὰν τετριμμένην εὖ-*
φυῶς καὶ κατὰ μικρὸν κινῶν, ἵνα μὴ ἀναζέσαν τὸ στέαρ ἐκχυθῇ· ἡ δὲ ῥητίνη ἔστω ἴση τῷ στέατι. εἶθ' οὕτως λαβὼν βοτάνην τὴν λεγομένην κυνοχέστην χλωράν, ἧς τὸ ἄνθος ἐστὶ πορφυροῦν, καὶ βαλὼν αὐ-
τὴν ἐν ὑγδίῳ τρῖψον λίαν, καὶ ἐκπιάσας τὸν ζωμὸν 174
βάλε ἐν τῇ χύτρᾳ ἔτι ζεούσῃ, καὶ ἀναμίξας ἄλειφε τὸν κύνα.

Εἰς ἄφθας.

41 *Κριθάριν λείωσον μετὰ ὄξους καὶ ἔγχρισον τὸν κύνα καὶ ὕστερον καθαρῶς ἀπόπλυνε. βέλτιον δὲ εἰ μετ' ἐλαίου ἀλείψεις.*

Digitized by Google

Εἰς ἐξονυχισθέντα.

Λαβὼν κύμινον εἰς τὸ στόμα σου καὶ μασησά- 42
μενος τὸν σίελον βάλε εἰς τὸν ὄνυχα αὐτοῦ. τοῦτο
δὲ ποιήσεις ἐπὶ δέκα ἡμέρας, καὶ ἀναβήσεται ὁ ὄνυξ.

Εἰς ἐκτρίψαντα κοτύλην. 5

Κριθάριν ᾧ κεχρήμεθα εἰς ἄρτον μετὰ φλόμου 43
καὶ ἐλαίου συμμίξας ἄλειψον αὐτόν.

Ἄλλο.

Λαβὼν κοριάννου κόκκους, κρόκον ᾠοῦ, ὄρνιθος 44
θηλείας στέαρ τὸ ἀρκοῦν, καὶ ἀμφότερα τρίψας καὶ 10
ἑνώσας, μετὰ ἐρίου ἐπιτίθει, καὶ ἐπάλειφε πάλιν ἐπ-
άνω ἀξούγγιν.

πε *Εἰς τὸν ἐκτρίψαντα κόξαν.* 15

Κλάδους οἱουδήποτε δένδρου ξῦσι ἐπάντλει τὸν 45
κύνα· μετὰ δὲ τὴν ἐπάντλησιν μίξας ἔλαιον παλαιὸν
μετὰ ἀξουγγίου τοὺς ὀδυνωμένους τόπους κατάχριε.

Κύων ἵνα ἀλλάξῃ τὴν τρίχα.

Ἄσβεστον καὶ ἀφρὸν ἀργύρου σύμμιξον, καὶ ὅτε 46
γένηται καθάπερ μέλι, ἐπὶ μῆνα ὅλον ἄλειφε αὐτόν, 20
καὶ τὴν τρίχα ἀλλάξει.

Εἰς τὸ ποιῆσαι ταχέως τρίχας τὸν κύνα.

Βοτάνην γενητὸν καῦσον, καὶ μετὰ ἀξουγγίου 47
ἄρκου μίξας τὸν τόπον κατάχριε. 25

Κύνα λευκὸν ποιῆσαι μέλανα.

Μελαντοτόμον καὶ τὸν χυλὸν τῆς κόπρου τοῦ 48
ὄνου καὶ αἰγὸς στέαρ ἀφέψησον ὁμοῦ καὶ μετὰ τού-
των τὸν κύνα τὸν λευκὸν χρῖε ἐπιμελῶς μέχρι δεκά-
της ἡμέρας, καὶ ὄψει ὅτι ἀλλάσσει τὴν τρίχα. 30

Digitized by Google

Μὴ φυγεῖν κύνα ὁπωσδήποτε. 276

49 *Τὴν οὐρὰν αὐτοῦ μέτρησον καλάμῳ, καὶ κατὰ τὸ μέτρον τῆς οὐρᾶς τὸν κάλαμον κόψον **ἐνακόθου καὶ στέγῃ ὑπόθες, καὶ οὐδέποτε ὁ κύων τῆς στέγης τῆς σῆς ὑποχωρήσει. ἢ ἐν τῇ χειρί σου τὴν οὐρὰν λαβὼν τὰς τρίχας ἀπόσπασον, καὶ τὰς ἀποπιπτούσας εἰς τὸν κάλαμον βάλε, καὶ οὐδέποτε ἀποφύγῃ.*

Κύνα εἰ θέλεις πρὸς μίαν ὥραν μὴ δραμεῖν.

50 *Ἔλαιον λαβὼν ἐν τῇ χειρί σου τὰς μασχάλας αὐτοῦ ἄλειψον, καὶ τὸ σύνολον οὐ δραμεῖται ἐν αὐτῇ τῇ ἡμέρᾳ. τοῦτο ποίησον ὅταν ἀγοράσῃς κύνα ἀπό τινος.*

Ἐὰν θέλῃς ἐκτρῶσαι.

51 *Κολλούρια ἀπὸ σποδοῦ ποιήσας εἰς τὸ αἰδοῖον αὐτῆς ἐπίθες, καὶ ὕδωρ καὶ ἔψημα καὶ γῆν λειώσας καὶ συμμίξας ἀπὸ τούτου τὴν κύνα ἐγχυμάτιζε.*

Εἰ κύνα ἐπειγομένην εἰς τοκετὸν ἐκτρῶσαι θέλεις.

52 *Σπέρμα ἴων ἀφέψησον, καὶ ἀπὸ τοῦ ὕδατος ἕνθα ἀφήψηται ἄρον καὶ τῇ κυνὶ δὸς πιεῖν, καὶ ἐκτρώσει.*

Εἰ κύνα ἀπὸ τοκετοῦ ἐκκαθᾶραι θέλεις. 277

53 *Πράσα μετὰ γλήχωνος ἀφεψήσας τῷ ζωμῷ ἐγχυμάτιζε τὴν κύνα.*

Εἰ κύνα θέλεις συλλαβεῖν.

54 25 *Ζύμης μέρος νήστει φαγεῖν ἐπίδος αὐτῇ.*

Ἄλλο.

55 *Εἰς τὸ αἰδοῖον αὐτῆς ἁλὸς κόκκους τρίψας πέμψον.*

Digitized by Google

Ἐὰν θέλῃς μετὰ τὴν σύλληψιν θερμασίας παῦσαι.

Κόνιν ψιλὴν ἐπίδος αὐτῇ νήστει· εἰ δὲ μὴ θέλει, 56
καὶ ἄκουσον αὐτὴν πρόσφερε.

Κύνα ὀχεύσαντα ἐὰν θέλῃς ἀνακτήσασθαι. 5

Λαβὼν ἀρκεύθου σφαίρας δύο, πηγάνου φύλλα, 57
πεπέρεως κόκκους ιε', κρόκου βραχύ, λειώσας καὶ ἑνώσας καὶ μικρὸν ἄκρατον ἐπιχέας μετὰ ὕδατος θερμοῦ δὸς φαγεῖν. 10

Ἐὰν βασκανθῇ.

Φοῦσκαν μετὰ γλήχωνος συμμίξας ἐπὶ ταῖς ῥισὶ 58
προσάντλει, καὶ τρίχας ἵππείας ἐκ τῶν ὀπισθίων ποδῶν καύσας ἄτμησον αὐτὸν ἐκ τούτων, μετὰ σαγίου σκεπάσας, ἄχρις οὗ ἱδρώσῃ. 15

278 *Εἰς λυττήσαντα αὖθις.*

Κύων ἐὰν λυττήσῃ, μετὰ ἐπιτηδειότητος αὐτῷ 59
ἔκβαλε· κεῖται γὰρ ὑποκάτω τῆς γλώττης.

Εἰς ψώραν αὖθις.

Ὀξείδιν μετὰ σαρκοφάγου καὶ βουτύρου βράσας 60
ἄλειψον τὸν κύνα, καὶ ὑγιανεῖ. 20

Digitized by Google

Digitized by Google

ΓΕΩΡΓΙΟΥ ΤΟΥ ΠΙΣΙΔΟΥ

ΕΞΑΗΜΕΡΟΝ Η ΚΟΣΜΟΥΡΓΙΑ

Digitized by Google

Digitized by Google

Ὦ παντὸς ἔργου καὶ θεηγόρου λόγου
καὶ γλῶσσα καὶ νοῦς καὶ τροφὴ καὶ καρδία,
τὰ ῥεῖθρα τῶν σῶν οὐρανοδρόμων λόγων
εἰς τὴν ἄνικμον ἐμβαλοῦ μου καρδίαν·
αὐχμῷ γὰρ ἤδη τοῦ κατασχόντος ζόφου
ἄφωνον εἶχον ἐξ ἀνάγκης τὸ στόμα,
τῆς τοῦ λόγου σάλπιγγος ἐμπεφραγμένης.
οὐδὲν γὰρ οὕτως ὡς ἀθυμίας νέφος
χειμῶνα γεννᾷ καὶ νοημάτων ζάλην,
καὶ συσκιάζει τοῦ λόγου τὸν ἥλιον,
καὶ νύκτα ποιεῖ γνωστικῆς ἀβλεψίας,
καὶ τοῦ λογισμοῦ συνθολοῖ τοὺς ἀστέρας,
ἔσω δὲ πᾶσαν τὴν ἀχλὺν τῶν φροντίδων
καὶ τὴν ὀμίχλην τῶν φρενῶν ἐπιστρέφει,
καὶ τῆς διόπτρας τὴν ὀπὴν ἀντιστρέφει,
δι' ἧς τὰ μικρὰ τοῦ λόγου κινήματα
ὁ νοῦς θεωρεῖ γνωστικῶν ἐξ ὀργάνων.
ἐπεὶ δὲ τῇ σῇ φωτοκόσμῳ λαμπάδι
παρῆλθεν ἡ νύξ, καὶ τὸ πνεῦμά σου φθάσαν
τῷ τῆς μερίμνης ἀντεφύσησεν νέφει,
ἔλαμψε δ' ἡμῖν τὸ πρὸς εἰρήνην σέλας
(ἀεὶ γὰρ ἡμᾶς τοῖς νοήμασιν τρέφεις

Digitized by Google

καὶ ψυχαγωγεῖς ἀσθενοῦντας τοὺς λόγους,
καὶ τῶν φρενῶν τὴν γνῶσιν ἠτονημένην
καὶ τῆς διόπτρας τὴν ὀκὴν ἀντιστρέφων
τῷ σῷ καθαίρεις γνωστικῷ καθαρσίῳ,
καὶ τῷ σοφῷ σου καὶ λαλοῦντι φαρμάκῳ
τὰ νεῦρα θάλπεις τῶν γραφῶν καὶ τοὺς τόνους·
ὑπερφυῶς γὰρ ψηλαφᾷς τὰ τοῦ βάθους,
ζητῶν τὰ κρυπτὰ ταῖς ἀφαῖς τῶν δογμάτων,
καὶ τῷ προσηνεῖ καὶ γαληνῷ σου λόγῳ
μυρμηκιῶντας ἐξεγείρεις τοὺς λόγους),
ἦκω φέρων σοι τῆς ἐρήμου καρδίας
καρποὺς γεωργηθέντας ἐκ τῆς σῆς δρόσου·
οὐκ ἦν γὰρ εἰκὸς τὴν βάτῳ πεφυρμένην
ψυχὴν γεωργεῖν εὐφορώτατον στάχυν,
εἰ μὴ φθάσας σὺ τοὺς ἀκανθώδεις φύκους
ἀνεῖλες ἢ καθεῖλες ἢ τομωτάτῳ
τῆς σῆς προσευχῆς ἐξεχέρσωσας ξίφει.
ἀλλ' ὦ γεωργὲ τῶν πετρῶν καὶ τῶν βάτων
(σπείρεις γὰρ αὐτὸς κατὰ πετρῶν πολλάκις,
καὶ τεκνοποιεῖν ἐκβιάζῃ τοὺς λίθους,
φύειν τε καρπὸν ἀξιοῖς καὶ τὰς βάτους,
καὶ πτηνὸν οὐδὲν τὸν σὸν ἔνθεον σπόρον
ἐκ τῶν ἀδήλων βόσκεται πετασμάτων),
ἄρδευσον ἡμᾶς τῇ ροῇ τῶν δακρύων.
ἴσως γένοιτο τέκνον ἐκ στείρας πάλιν
καὶ καρπὸς εὔφρων ἐξ ἀκάρπου καρδίας.
ἐπεὶ δὲ φεύγεις τοὺς ἐπαίνους ὡς ψόγους,
πρὸς τὸν σκοπὸν τὸ νεῦμα συντείνας ἔχω,
τοῖς σοῖς πεποιθὼς μυστικοῖς ἀκοντίοις.

Πηγὴ μὲν οὖν πέφυκε τοῦ λόγου μία,
φλέβες δὲ πολλαὶ τῶν ἀδήλων ναμάτων,
δι' ὧν ὁ Δαβὶδ πᾶσαν ἀρδεύει φρένα,

Digitized by Google

ταύτης τὰ ῥεῖθρα τῆς γραφῆς ἀναβρύων
ὡς ἐμεγαλύνθη τῶν σοφῶν σου κτισμάτων
ἡ δημιουργὸς καὶ σοφὴ παντουργία.
ὦ πλουσίων ἄβυσσος ἐννοημάτων,
βοῶσα τοῖς θέλουσιν ἀντλῆσαι λόγους
ὅσους λαβεῖν χωροῦσιν, οὐχ ὅσους ἔχεις.
Ἀλλ' ὦ σοφιστὰ Πρόκλε τῶν κάτω λόγων,
ὁ πολλὰ βροντῶν ἐκ νεφῶν λοξοδρόμων,
ὁ πτωχόκομπος τῶν νοημάτων σάλος,
ὁ πολλὰ τολμῶν εἰς ἄϊδιον κτίσιν,
ἄκουε μικρῶν συλλαβῶν κράτος μέγα.
καὶ πρίν σε γὰρ λέγουσι ταῦτα θαυμάσαι,
τοῖς ὠσὶν ἐνθλίψαντα τοὺς λόγους μόνον·
τὸ τῶν νοημάτων γὰρ ἐκφράσαι βάθος
εἰκὼν ἀπεικὼν ἀστατῶν ἀνετράπης,
θάλπων τὸν ὄγκον εἰς κενὰς ὑποσχέσεις.
οὐκ ἠγνόεις γὰρ δεινὸς ὢν λογογράφος,
ὡς εἶγε κἂν κώνωπα τολμήσεις φράσαι,
αὐτός σε νύξας ἐκφοβήσει σαλπίσας.
καὶ μηδὲν ἡμῖν ὡς ἀκόμποις κομπάσῃς,
εἰ ταῦτα φράζειν Πρόκλος ὠκνεῖ καὶ τρέμει,
πίστις δὲ θαρρεῖ καὶ λαλεῖν καὶ συγγράφειν.
ἀλλ', ὦ σοφιστὰ τῶν ξενοσπόρων λόγων,
ἄκουε λοιπόν, μηδὲ κομπάσῃς ὅτι
σοῦ τὴν ἀφορμὴν τοῦ σκοποῦ δεδωκότος
σιγῶσι Πρόκλοι καὶ λαλοῦσιν ἀγρόται.
Ὢ τὴν ἀνεξεύρητον ἣν ἔχεις φύσιν
κρύψας ὁμίχλῃ καὶ περιστείλας γνόφῳ,
ὅπως μάθοιμεν πῶς ἀεὶ κεκρυμμένη
ἐκ τῶν ἑαυτῆς φαίνεται ποιημάτων.
ὦ τὴν ἀεικίνητον οὐρανοῦ σκέπην
τῷ σφαιρομόρφῳ τῶν σοφῶν εἰλημάτων

Digitized by Google

ὕψει πλατύνας καὶ τοσαύτῃ συστάσει
βάθρον τεθεικὼς μηδαμοῦ πεπηγμένον.
ὦ δέρριν ὥσπερ ἐξαπλώσας τὸν πόλον·
ὁ σὸς γὰρ Ὀρφεὺς τὴν θεόφθογγον λύραν
προύων ὁ Δαβὶδ δέρριν εἶπε τὸν πόλον,
ὡς ἐκταθείσης πρὸς τὰ μήκη καὶ πλάτη
τῆς ἁπλότητος τῶν ἐν ὕψει σωμάτων.
εἰ καὶ κακνοῦ δὲ τοῦτον ἐμφάσεις ἔχειν
προβλεπτική τις εἶπεν ὀξυδορκία,
κινεμβατούσης τῆς φορᾶς τῶν ὀμμάτων
πρὸς τὴν ἀμυδρὰν τῆς φοπῆς θεωρίαν,
ἢ σφαῖραν ἡμίτμητον ἀφῖδος δίκην
ὑφουμένην ἄνωθεν ἢ κυρτουμένην
ἢ καὶ πρὸς αὐτὴν τὴν κάτω φορουμένην
(ἐκ τῶν ἄνω γὰρ γνωστικῶν κυλισμάτων
κάτωθεν ἄλλη φαίνεται κεκρυμμένη),
ὅμως ἔχει στήριγμα τὴν ἐν σοὶ βάσιν,
εἰς βάθρον ἀστήρικτον ἐστηριγμένος.
ἄνω γὰρ ἦρται καὶ βαθύνεται κάτω,
ἐκτείνεται δὲ πρὸς τὸ χάσμα τοῦ πλάτους,
ἴσας δὲ κύκλῳ τὰς ὑποστάσεις ἔχει,
ἑστὼς δὲ φεύγει, καὶ διάττων προσμένει,
στάσιν δὲ τὴν κίνησιν ἀρρήτως ἔχει,
τρέχει δὲ τῷ σύμπαντι τὴν ἐναντίαν,
μήπως τὸ συγκίνημα τῶν ἑλασμάτων
ὦθημα πάσχον ἐκραγῇ τῇ συντάσει.
ἐν τοῖς ἐναντίοις γὰρ εἰκότως δρόμοις
ἡ τοῦ τάχους σύννευσις ἀντωθουμένη
παρακρατεῖ τὸ σφίγμα τῶν κυλισμάτων
εἰς τὴν κατ' εὐθὺ τῶν ἑλασμάτων τάσιν,
μήπως καταχθῇ τῆς φορᾶς ἡ σφοδρότης
ἐν τῇ κενώσει τῶν τομῶν καταδρύμων,

Digitized by Google

ἀλλ' ὥσπερ εἰς σύνδεσμον ἀντεσφιγμένον
τοῖς ἀνθελιγμοῖς συγκρατῆται τοῦ τάχους
βάσει τρεχούσῃ καὶ φορᾷ πεπηγμένῃ.
ἔστι δὲ πασῶν ἀκροτήτων ἀκρότης,
ὅρος δὲ πάντων ἐστὶ τῶν ὁρισμάτων·
ἀφίσταται δὲ τῶν ἀφεστώτων ὅλων,
οὐδὲν δὲ τούτου μέτρον ὡς ἀμετρία.
ἐντεῦθεν αὐτὸν ἐκπλαγέντες οἱ πάλαι
ὡς εὑρὼν ὡς ἄπειρον ὡς ἐκηρμένον
μύθους ἔπλαττον ὡς Ἀτλαντικοῖς πόνοις
μακρῶν ὑποστήριγμα κιόνων ἔχει,
ἴσως τὰ μακρὰ τῆς ἀθηλίας βάθη
στύλων ἀβάθρων ἐκτυποῦντες ἐμφάσει·
μέγας γάρ ἐστιν ὡς θεοῦ μικρὸς θρόνος,
ἡβᾷ δὲ γηρᾶν καὶ παρακμὴν οὐκ ἔχει,
ἕως ὁ πήξας αὐτὸν εἰλίξει λόγος.

Στολίζεται δὲ τὸν χιτῶνα τὸν μέγαν
τὸν ἀέρα κλωσθέντα κερκίδι ξένῃ,
χυτὸν διαυγῆ λεπτὸν ἠραιωμένον,
εἰς πᾶσαν εἰσδύνοντα σωματουργίαν.
προέρχεται δὲ νυμφικῶς ἐστεμμένος,
λαβὼν διαυγεῖς μαργαρίτας ἀστέρας·
ἔχει δὲ πρὸς τὰ στέρνα λυχνίτην ἕνα,
ὡς πῦρ ἀποστίλβοντα πρὸς τὴν ἡμέραν·
ἄλλον δὲ λευκόπυρσον ὡς πρὸς τοὺς πόδας,
δεικνύντα λευκὴν πανταχοῦ τὴν ἑσπέραν.
φρουρεῖ δὲ πᾶσαν ὡς ἐν εἱρκτῇ τὴν πίσιν,
τηρεῖ δὲ τὰ στοιχεῖα φραγμώσας ὅλα.
κόλπος δὲ παντὸς γίνεται κινουμένου,
φθάνει δὲ πᾶν κίνημα, συγκινῶν ὅλα,
στιγμὴν δὲ τὴν γῆν ὥσπερ ἐν μέσῳ φέρει.
ἐπ' οὐδενὸς δὲ πήγματος πεπηγμένος

Digitized by Google

τὸ κοσμαγωγὸν ἀντερείδει κεντρίον,
συνδεῖ δὲ τὴν ἄβυσσον ὡς ἐν σπαργάνῳ,
κυκλοῖ δὲ τὴν σύμπασαν ὡς ἐν δικτύῳ,
σφίγγει δὲ πάντα σοὶ κρατούμενα μόνῳ,
καὶ τὸν τοσοῦτον ὄγκον ἐγκλείσας ἔσω
ἔξωθεν αὐτὸς τῷ πλάτει συσφίγγεται·
μετρουμένη γὰρ οὐρανῶν ἀμετρία
ὡς πρός σε στιγμὴ γίνεται στενουμένη.
Ὦ μηχανουργὲ τῆς πολυστρόφου στέγης,
διαγράφεις γὰρ πᾶσαν ὡς θέλεις φύσιν·
τῇ σῇ διόπτρᾳ, καὶ στεγάζεις τοὺς κάτω
καὶ τοὺς παροίκους εἰς ὑπαίθριον σκέπην,
διαφλέγων μὲν καὶ πυρῶν τὸν αἰθέρα,
πλὴν οὐ φλογίζων τῇ πυρώσει τὴν κτίσιν,
ἀλλ' ὡς δοκεῖ σοι πᾶσαν ἁρμόζων φύσιν.
ὦ τὰς ἀδήλους οὐσίας τῶν ἀγγέλων
ἢ πνεῦμα δεικνὺς ἢ πυρίστομον φλόγα,
τὸ θερμὸν αὐτῶν καὶ τομὸν διαγράφων,
ἢ τετραμόρφῳ σχηματίζων εἰκόνι,
τὸ στερρὸν αὐτῶν ζωγραφῶν καὶ ποικίλον,
ἢ πλῆθος αὐτοῖς ἐξανοίγων ὀμμάτων,
ὡς καὶ τὸ σὸν φῶς ἐμφανέστερον βλέπειν,
καὶ μὴ λαθεῖν τι τῶν κάτω κινουμένων.
σοὶ γὰρ φέρουσιν ὕμνον ὡς νικηφόρῳ
Χερουβὶμ ἀρχαὶ καὶ θρόνων στρατεύματα,
καὶ πᾶς Σεραφὶμ εἰς ἀκίνητον τάχος
ἑστὼς πτεροῦται, καὶ πεπηγμένος τρέχει.
καὶ ταῖς δυσὶ μὲν τοῦ προσώπου τὴν θέαν
σκέπει πτέρυξι, ταῖς δυσὶ δὲ τοὺς πόδας,
καὶ ταῖς δυσὶ πρὸς ὕψος ἵπταται μέγα,
καὶ τὸ τριφεγγὲς τῆς ἁγιστείας σέλας
εἰς ἓν συναρμόζουσι μύριον σέβας·

Digitized by Google

δεικνύντες εὐσύνοπτα τῇ διαιρέσει
καὶ τῇ συνέξει τοῦ θεορρύτου λόγου
διαιρετῶς μὲν τὰς ὑποστάσεις σέβειν,
ἡνωμένως δὲ προσκυνεῖν τὴν οὐσίαν·
ἐκφαντικῇ τρανοῦντες ὀρθοδοξίᾳ
τὴν υἱότητα τοῦ λόγου σαρκουμένην
εἰς ἀλλόφυλον μὴ ῥυῆναι τετράδα,
ἀλλ' ἓν πρόσωπον καὶ θεαρχίαν μίαν
πρὸ σαρκὸς ὑμνεῖν καὶ μετὰ σαρκὸς λόγον,
τὸν αὐτὸν ἄνθρωπόν τε καὶ θεὸν φύσει,
μὴ προσθέσει χυθέντα, μὴ διαιρέσει
τομὴν παθόντα, μὴ τραπέντα συγχύσει,
διπλοῦν τὸν ἁπλοῦν, μηδαμοῦ πεφυρμένον.

Ὦ πρὸς τὸ κάλλος τῶν ἐν ὕψει σωμάτων
λειμῶνα πολλῶν ἐμφυτεύσας ἀστέρων,
καὶ νύκτα κοσμῶν καὶ στολίζων ἡμέραν,
καὶ φῶς καθαίρων καὶ μελαίνων ἑσπέραν,
καὶ πῦρ γεωργῶν καὶ κατασπείρων ὕδωρ,
τὰ κοινὰ τοῖς χρῄζουσι θησαυρίσματα.

Ὦ λεπτόσωμον ἐκχέων τὸν ἀέρα·
πρὸς γὰρ τὸν αὐτὸν ἀντανέρχομαι πάλιν,
καὶ μᾶλλον αὐτὸν νῦν λαλῶν ἀναπνέω,
τὸν πανταχοῦ ῥέοντα καὶ πεπηγμένον,
τὸν εὐτάλαντον τῆς πνοῆς ζυγοστάτην,
τὸν ἄφθονον ῥοῦν, τὴν ἀνάργυρον δόσιν.
οὐ πλούσιος γάρ, οὐ δυνάστης ἁρπάσει
πνοῆς περιττῆς ἐξ ἐκείνου συρμάδα,
ἀλλ' εἰς ὅλους πρόεισι τὴν ἴσην χάριν,
καὶ πᾶσιν ἁπλοῦς φαίνεται καὶ ποικίλος
τομαῖς ἀτμήτοις εἰσροαῖς ἀσυγχύτοις,
ἐν τῷ μερίζειν τὰς πνοὰς ἡνωμένος,
ἐν τῷ προχεῖσθαι πανταχοῦ συνημμένος.

Digitized by Google

Ὦ τὸν γίγαντα τοῦτον ἥλιον κτίσας·
σφύζω γὰρ αὐτῷ προσλαλῆσαι καὶ πάλιν.
βλέπων ἀπλήστως καὶ γράφων τὸν ἥλιον.
τὸ κοινὸν ὄμμα, τὴν πανοπτρίαν κόρην,
τὸ πάντροφον πῦρ, τὸν ὑπὸ γῆν μὲν ἑσπέρας
ὑπὲρ δὲ τὴν γῆν ἐργάτην τῆς ἡμέρας,
τὸ κοσμικὸν κάτοπτρον ἢ τοὐναντίον
τὸν ὀπτικὸν σπινθῆρα, τὴν τῶν ὀμμάτων
ἔκλαμψιν ἢ πρόσλαμψιν ἢ ξένην φύσιν
ἐν εἰσαγωγαῖς ἐκδοχὰς ποιουμένην.
οὐδὲν γὰρ αὐτοῦ τῆς φορᾶς ἀπεκρύβη,
ἀρκεῖ δὲ πᾶσι τῇ ῥοπῇ τῆς ἀτμίδος,
φθάνει δὲ μέχρι τοῦ βάθους τῶν τερμάτων,
φωτὸς δὲ πηγὰς κοσμοκινήτους βρύει,
ἔστι δὲ κοινὸς ἐργεπείκτης τῶν κάτω,
τρέχει δὲ τῷ σύμπαντι τὴν ἐναντίαν,
ὅπως ἀκλινὴς τῆς φορᾶς ἡ σφοδρότης
ἐξ ἀντιπλεύρων σφίγγεται καταδρόμων,
καὶ μὴ ῥαγῇ τὸ σφίγμα τῶν κυλισμάτων
ἐν τῇ κατ' εὐθὺ τῶν ἐλασμάτων τάσει,
ἀλλ' ὥσπερ εἰς σύνδεσμον ἀντεσφιγμένος
τοῖς ἀνθελιγμοῖς συγκρατῆται τοῦ τάχους
βάσει τρεχούσῃ καὶ φορᾷ πεπηγμένῃ.
εἰ μὴ γὰρ ἦν εὔτακτος, ἀλλ' ἐξετράπη,
τὸν κόσμον εἶχεν ἐν ῥοπῇ καταφλέγειν.
Ὦ τὴν ἀμυδρὰν τῆς σελήνης λαμπάδα
ἐκ τοῦ πυραυγοῦς ζωπυρώσας ἡλίου.
κιχρᾷς γὰρ αὐτῇ γλαυκὸν ἐξ αὐτοῦ σέλας
οὐκ οἶδα πῶς λέγουσιν, ἀλλ' ὅμως τάχα
οὐχ ὡς δεηθεὶς φαύσεως ἀλλοτρίας
(τὸ φῶς γὰρ αὐτὸς καὶ πρὸ ἡλίου βρύεις),
ἀλλ' ὥστε ῥυθμὸν ἐντεθῆναι τῇ κτίσει

Digitized by Google

καλῆς ἀνάγκης καὶ σοφῆς ἐξουσίας,
καὶ τὴν μὲν οὖσαν ἐνδεῆ τῆς λαμπάδος,
τὰς ὑγροποιοὺς ἀντιλήψεις εἰσάγειν
(δεῖται γὰρ ὑγρᾶς συμπλοκῆς ἡ θερμότης),
τὸν δὲ ζέοντα τῆς φλογὸς τῇ προσχύσει
τὰς ἐντεθείσας ἐκνοτίζειν ἰκμάδας,
ὅπως γένηται μῖξις ὥσπερ ἐν γάμῳ,
καὶ συζυγέντων πρὸς τὸ τίκτειν τῶν δύο
εὔτεκνα δείξῃ τῶν σπαρέντων τὰ βρέφη,
λαβοῦσα θερμὸν ἡ σελήνη νυμφίον.
Ὦ μηδὲν ἐχθρὸν μηδὲ πρὸς μάχην κτίσας,
ἀλλ' ὡς ἀδελφὰς οἰκοδεσπότης πατὴρ
εἰρηνοποιῶν τὰς ἐναντίας φύσεις,
τάξιν δὲ δεικνὺς τῆς ἀτάκτου τετράδος,
ὅπως ὁ κόσμος οὗτος, ὡς οἶκος μέγας,
ἄρρηκτος ἔσται τεττάρων κριῶν δίκην,
λαβὼν ὑποστήριξιν ἀντωθουμένην.
οὕτως συνάπτεις τὰς ἀσυμβάτους φύσεις,
πείθεις δὲ ταύτας ἐν συνοικίᾳ μένειν,
εἰς ἓν θέλημα συμπνεούσης τῆς μάχης,
ὡς λοιπὸν αὐταῖς κοινὸν εἶναι τὸν δρόμον,
καὶ τὴν μὲν ἔργον ἀερόστεμνον πλέκειν,
ὕφασμα λεπτὸν εἰς ἀναπνοὴν βίου,
τὴν δ' αὖ πυρὸς νήθουσαν ἀρραγεῖς μίτους
χιτῶνα ποιεῖν εἰς τὸ θάλψαι τὴν φύσιν,
τὴν δ' αὖ φέρειν ἔνομβρον ἐξ ἔθους ὕδωρ,
μή πως τὸ θερμὸν φθαρτικῶς ὑπερβράσῃ·
τὴν γῆν δὲ ποιεῖν ἐμπρεπῆ τὴν οἰκίαν
καὶ πάντας ἡμᾶς ἑστιᾶν καθ' ἡμέραν.
οὕτως ὑπὲρ νοῦν εἰργάσω τὰς οὐσίας
ἐν τῇ δοκήσει τῆς μάχης ἡνωμένας,
καὶ τοῦ θέρους μὲν ἡ φλογώδης ἀκρότης

Digitized by Google

Ὦ τὸν γίγαντα τοῦτον ἥλιον κτίσας·
σφύζω γὰρ αὐτῷ προσλαλῆσαι καὶ πάλιν.
βλέπων ἁπλήστως καὶ γράφων τὸν ἥλιον.
τὸ κοινὸν ὄμμα, τὴν πανοπτρίαν κόρην,
τὸ πάντροφον πῦρ, τὸν ὑπὸ γῆν μὲν ἑσπέρας
ὑπὲρ δὲ τὴν γῆν ἐργάτην τῆς ἡμέρας,
τὸ κοσμικὸν κάτοπτρον ἢ τοὐναντίον
τὸν ὀπτικὸν σπινθῆρα, τὴν τῶν ὀμμάτων
ἔκλαμψιν ἢ πρόσλαμψιν ἢ ξένην φύσιν
ἐν εἰσαγωγαῖς ἐκδοχὰς ποιουμένην.
οὐδὲν γὰρ αὐτοῦ τῆς φορᾶς ἀπεκρύβη,
ἀρκεῖ δὲ πᾶσι τῇ ῥοπῇ τῆς ἀτμίδος,
φθάνει δὲ μέχρι τοῦ βάθους τῶν τερμάτων,
φωτὸς δὲ πηγὰς κοσμοκινήτους βρύει,
ἔστι δὲ κοινὸς ἐργεπείκτης τῶν κάτω,
τρέχει δὲ τῷ σύμπαντι τὴν ἐναντίαν,
ὅπως ἀκλινὴς τῆς φορᾶς ἡ σφοδρότης
ἐξ ἀντιπλεύρων σφίγγεται καταδρόμων,
καὶ μὴ ῥαγῇ τὸ σφίγμα τῶν κυλισμάτων
ἐν τῇ κατ' εὐθὺ τῶν ἑλασμάτων τάσει,
ἀλλ' ὥσπερ εἰς σύνδεσμον ἀντεσφιγμένος
τοῖς ἀνθελιγμοῖς συγκρατῆται τοῦ τάχους
βάσει τρεχούσῃ καὶ φορᾷ πεπηγμένῃ.
εἰ μὴ γὰρ ἦν εὔτακτος, ἀλλ' ἐξετράπη,
τὸν κόσμον εἶχεν ἐν ῥοπῇ καταφλέγειν.
Ὦ τὴν ἀμυδρὰν τῆς σελήνης λαμπάδα
ἐκ τοῦ πυραυγοῦς ζωπυρώσας ἡλίου.
κιχρᾷς γὰρ αὐτῇ γλαυκὸν ἐξ αὐτοῦ σέλας
οὐκ οἶδα πῶς λέγουσιν, ἀλλ' ὅμως τάχα
οὐχ ὡς δεηθεὶς φαύσεως ἀλλοτρίας
(τὸ φῶς γὰρ αὐτὸς καὶ πρὸ ἡλίου βρύεις),
ἀλλ' ὥστε ῥυθμὸν ἐντεθῆναι τῇ κτίσει

Digitized by Google

καλῆς ἀνάγκης καὶ σοφῆς ἐξουσίας,
καὶ τὴν μὲν οὖσαν ἐνδεῆ τῆς λαμπάδος,
τὰς ὑγροποιοὺς ἀντιλήψεις εἰσάγειν
(δεῖται γὰρ ὑγρᾶς συμπλοκῆς ἡ θερμότης),
τὸν δὲ ζέοντα τῆς φλογὸς τῇ προσχύσει
τὰς ἐντεθείσας ἐκνοτίζειν ἰκμάδας,
ὅπως γένηται μίξις ὥσπερ ἐν γάμῳ,
καὶ συζυγέντων πρὸς τὸ τίκτειν τῶν δύο
εὔτεκνα δείξῃ τῶν σπαρέντων τὰ βρέφη,
λαβοῦσα θερμὸν ἡ σελήνη νυμφίον.
Ὦ μηδὲν ἐχθρὸν μηδὲ πρὸς μάχην κτίσας,
ἀλλ' ὡς ἀδελφὰς οἰκοδεσπότης πατὴρ
εἰρηνοποιῶν τὰς ἐναντίας φύσεις,
τάξιν δὲ δεικνὺς τῆς ἀτάκτου τετράδος,
ὅπως ὁ κόσμος οὗτος, ὡς οἶκος μέγας,
ἄρρηκτος ἔσται τεττάρων κριῶν δίκην,
λαβὼν ὑποστήριξιν ἀντωθουμένην.
οὕτως συνάπτεις τὰς ἀσυμβάτους φύσεις,
πείθεις δὲ ταύτας ἐν συνοικίᾳ μένειν,
εἰς ἓν θέλημα συμπνεούσης τῆς μάχης,
ὡς λοιπὸν αὐταῖς κοινὸν εἶναι τὸν δρόμον,
καὶ τὴν μὲν ἔργου ἀερόστημον πλέκειν,
ὕφασμα λεπτὸν εἰς ἀναπναὴν βίου,
τὴν δ' αὖ πυρὸς νήθουσαν ἀρραγεῖς μίτους
χιτῶνα ποιεῖν εἰς τὸ θάλψαι τὴν φύσιν,
τὴν δ' αὖ φέρειν ἔνομβρον ἐξ ἔθους ὕδωρ,
μή πως τὸ θερμὸν φθαρτικῶς ὑπερβράσῃ·
τὴν γῆν δὲ ποιεῖν ἐμπρεπῆ τὴν οἰκίαν
καὶ πάντας ἡμᾶς ἑστιᾶν καθ' ἡμέραν.
οὕτως ὑπὲρ νοῦν εἰργάσω τὰς οὐσίας
ἐν τῇ δοκήσει τῆς μάχης ἡνωμένας,
καὶ τοῦ θέρους μὲν ἡ φλογώδης ἀκρότης

Digitized by Google

οὐκ εὐθὺς εἰς χειμῶνα τὴν θέρμην τρέπει
(αἱ γὰρ μετάρσεις βλαπτικαὶ τῶν ἀθρόων),
ἀλλ' εἰς τὸ μετόπωρόν τε καὶ κρᾶσιν μέσην
τῷ μαλθακῷ τὴν ψῦξιν ἠρέμα τρέφει.
κἀντεῦθεν εὐθὺς οὐ πρὸς ἄκρατον ζέσιν
ἀλλ' εἰς ἔαρ μέτεισι, καὶ λεληθότως
τὸν κρυμὸν ὠθεῖ καὶ τὸ καῦμα συλλέγει.
καὶ ταῦτα δρῶσιν ἐξ ἀμοιβαίου δρόμου
κόραις ὁμοίως συγχορευούσαις ἅμα
καὶ συμβαλούσαις τοὺς ἑαυτῶν δακτύλους,
ὅπως χορὸν πλέξωσιν εὔρυθμον βίου.
Ὡς ἐμεγαλύνθη τῶν σοφῶν σου κτισμάτων
ἡ παντοποιὸς ἐμφανῶς ἐξουσία.
Χειμῶνος ὥρα, καὶ τὰ δένδρα συντόμως
ἐκ τῆς πυράγρας τοῦ κρύους μαραίνεται.
φθίνει τὸ κάλλος, ἀσθενοῦσιν οἱ κλάδοι,
ἑκρεῖ τὸ φύλλον, ὥσπερ ἐκ νεκροῦ τρίχες.
καὶ μικρὸν οὔπω τὴν φθορὰν ἀποξέει,
καὶ κάλλος αὖθις καὶ νέας τρίχας φύει
(βλαστοὺς τὸ κάλλος, καὶ τὰ φύλλα τὰς τρίχας),
καὶ τῶν ἀδήλων ἐξεγείρεται τάφων
πρὸς τὴν συνήθη τοῦ γένους ἀνάστασιν.
Θέρους ὁ καιρὸς οὐκ ἔχω λέγειν ὅπως
ἐκεῖνος οὗτος ὁ φλογώδης ἥλιος
ἐν ταυτότητι τοῦ χρόνου καὶ τοῦ τρόπου
πῇ μὲν μελαίνει τὰς χρόας ὑποφλέγων,
πῇ δ' αὖ γε λευκὰ δεικνύει τὰ σώματα,
καὶ ξηρὰ μὲν δρᾷ τῶν σπαρέντων τὰ βρέφη,
ὑγρὰς δὲ ποιεῖ τῶν ὀπῶν τὰς ἰκμάδας.
κιρνᾷς γὰρ αὐτὸν τῷ πρὸς ἀέρα δρόμῳ,
καὶ θερμὸν ὑγρῷ συμπλέκεις ὁδοιπόρῳ,
ὅπως κερασθῇ τῇ μεσαζούσῃ σχέσει

Digitized by Google

ἡ τῶν ἐν αὐτοῖς ποιοτήτων ἀκρότης,
καὶ μήτε φλέξῃ δραστικῶς ἡ θερμότης,
ὑγρᾶς ἐν αὐτῇ μὴ παρούσης ἰκμάδος,
μήτε πρὸς ἄκραν ἐξολισθήσῃ κύσιν
τῆς ὑγρότητος ἡ φορὰ μονουμένη,
ἀλλ' ὥσπερ εἰς ἓν ἔργον ἐργάται δύο,
τέγγει μὲν ἰκμὰς καὶ προβάλλει τὴν πόαν,
καὶ τῆς ὀπώρας ὠμὰ τίκτει τὰ βρέφη·
ἐν οἷς τὰ πολλὰ λεπτὰ τείνει σπαρτία,
μή πως βαρυνθῇ τῶν ὀπῶν ἡ χαυνότης,
καὶ θλῖψιν ἕξει τῇ δέσει τοῦ σφίγματος,
κἀντεῦθεν ἰκμὰς τῆς ὀπώρας ἐκπέσῃ,
ἐπεὶ δὲ δεῖται πήξεως μὲν ἡ χλόη,
χαυνώσεως δὲ τῶν ὀπῶν ἡ στερρότης,
θέρμη συναντήσασα ταῖς δυσὶ μία,
χαυνοῦσα καὶ σφίγγουσα τῷ ξένῳ λόγῳ
πληροῖ τὸ λεῖπον ὡρεαῖς ἐναντίαις·
καὶ τῇ χλοῇ μὲν ῥίζαν ἑδραίαν φύει,
λεπτῇ δὲ χυλώσασα τοὺς ὀποὺς ζέσει
τὴν βρῶσιν ὡς ἔνσαρκον ἀρτύει δρόσον,
ὡς καὶ παρ' ἡμῖν ὠμότητα καρδίας
σπινθὴρ νοητοῦ προσβαλόντος ἡλίου
θάλπει μαλάττει καὶ πεπαίνει καὶ τρέφει
καὶ καρπὸν ἐντίθησιν ἐξ ἀκαρπίας.
Ὦ τετράπωλον ὥσπερ ἅρματος θέσιν
στοιχεῖα τάττων, ἡνιοχῶν δὲ τοὺς χρόνους
ἐν ἑπτακύκλοις ἡμερῶν περιδρόμοις,
διεξάγων δὲ τοῦ βίου τὸν ἄξονα
ῥυμῷ συνήθει καὶ τροχῷ βεβηκότι,
καὶ συμφυλάττων τὰς συνεκτικὰς θύρας,
μήπως ὄχημα τοῦ σινήθους ἐκδράμῃ,
καὶ σκύλμα πέμψῃ καὶ ταράξῃ τὴν θέαν,

Digitized by Google

δημοφθόρου τε φύρσιν ἐμβάλῃ μάχης,
ἀλλ' ὥστε πάντων τακτὸν εἶναι τὸν δρόμον,
καὶ μηδὲν ἡμᾶς αὐτοδέσποτον βλέπειν,
κοινὴν δὲ δούλην πᾶσαν εἶναί σου κτίσιν,
καὶ μήτε συνδεθεῖσαν εἰς λύσιν τρέχειν,
μήτ' αὖ παρελθεῖν τοὺς πεπηγμένους ὅρους
(εἰ μὴ μόνος σὺ τὴν τροπὴν ἀπεργάσῃ·
καὶ γὰρ συνεῖδες προσκοπῶν τὸ συμφέρον)
τῶν σῶν μεγίστων ἐργοχείρων τὴν κτίσιν,
μη δὲ τρέπεσθαι παγγενῶς, καὶ συγχύσεις
ταῖς κοσμολέθροις ἐκτροπαῖς ἐπεισάγειν,
μηδ' αὖ μένειν ἄτρεπτον, ἀλλ' ἔχειν ὅρους
τρεπτῆς ἀνάγκης, μὴ λαθοῦσα τῷ χρόνῳ
θεὸς νομισθῇ τοῖς ὁρῶσιν ἡ κτίσις.

Τίς γὰρ σελήνην ἢ τὸν ἥλιον βλέπων
ὀφθαλμιῶντας τῇ πρὸς ἔκλειψιν νόσῳ
οὐκ εὐθὺς ἔγνω τῇ διδασκάλῳ φύσει
ὡς οὐκ ἂν ἠλλάξαντο φωστῆρες γνόφον,
εἰ μὴ παθηταῖς ἐζοφοῦντο λαμπάσιν;
ἢ τίς τὸν αὐτὸν εὐσυνόπτως ἀστέρα
καὶ φωσφόρον γνοὺς καὶ σκοπήσας ἕσπερον
οὐκ οἶδεν αὐτὸν ἐργάτην διπλοδρόμου,
κήρυκα νυκτὸς καὶ προφήτην ἡμέρας;

Τίς τὸν μέγιστον οὐρανὸν τοῦτον βλέπων
καὶ τὴν ἀεικίνητον ἣν ἔχει βίαν
τῶν ἀστέρων τε τοὺς συνεκτικωτάτους
νῦν μὲν βορείας νῦν δὲ κινήσεις νότου
ἐν ἐκδρομῇ ποιοῦντας ἢ μεταστάσει,
ἢ τὴν ἄβυσσον τοῦ χυθέντος ἀέρος
ψυχρουμένην νῦν καὶ πάλιν πυρουμένην
καὶ προσβολὰς πάσχουσαν ἠναγκασμένας,
οὐ τὴν ἄτρεπτον ἐννοήσας οὐσίαν

Digitized by Google

δούλην νομίζει τὴν ἀείτρεπτον κτίσιν;
τίς βρασμὸν ἢ χάλαζαν ἢ χύσιν γνόφου
ἢ πῦρ καταχθὲν ἢ βραχεῖσαν αἰθάλην
ἢ γῆν τρέμουσαν καὶ παρειμένην βλέπων
οὐκ οἶδε δούλην τὴν κλονουμένην κτίσιν;
Τίς τὴν θάλασσαν ἀστατοῦσαν προσβλέπων,
οὐκ οἶδεν αὐτὴν δραπέτου τινὸς δίκην
φεύγουσαν ἔξω καὶ κρατουμένην ἔσω;
ἢ πολλάκις ζέσασα τῇ ψυχρᾷ ξέσει
καὶ ταῖς ἀτάκτοις προσβολαῖς τῶν πνευμάτων
ὅλην ἑαυτὴν οἷα μαινὰς ἀγρία
τῇ γῇ περικρούσασα καὶ θυμουμένη
θρασύνεται μὲν καὶ πλατύνει τὸ στόμα,
καὶ πολλὰ κράζει καὶ τὸν ἀφρὸν ἐκπτύει,
καὶ συμπέφυρται πρὸς τὰ χείλη τῷ σάλῳ,
κρουνοὺς δὲ πολλῶν ἐκπιοῦσα ῥευμάτων
ἄπεπτον ἅλμην ἐκ βάθους ἐρεύγεται,
τῇ πλησμονῇ δὲ τῆς μέθης ταράττεται,
ῥῆξαί τε τὰς κλεῖς καὶ διαδρᾶναι θέλει,
ἀνθέλκεται δὲ καὶ φοβεῖται καὶ μένει,
καὶ τὰς ἐνύδρους οὐ παρέρχεται θύρας,
ἀλλ' εἰς ἑαυτὴν ὑπτίως ἀνατρέχει,
ὡς οἷα δούλη τῶν τριχῶν κρατουμένη.
μαστίζεται γὰρ συμφερόντως ἡ κτίσις,
ὅπως ἀπλήγῳ σωφρονισθῶμεν φόβῳ
φειδοῖ προνοίας τοῦ τεχνίτου τῶν ὅλων
καὶ συσταλῶμεν, ὡς φοβήτρῳ παιδία,
εἰ καὶ τὰ μικρὰ τῶν κυνῶν τετυμμένα
τὸ τῶν λεόντων σωφρονίζουσι θράσος.
Ὦ μέχρι παντὸς ἐνδιδοὺς ὑπερθέσεις
ταῖς ἐκπροθέσμοις τῶν χρεῶν προθεσμίαις,
ὀδοστατῶν δὲ τὴν ἁμαρτίαν φόβῳ,

Digitized by Google

βίας τε ποιῶν εἰς τὸ σῶσαι τὸν βίον,
καὶ μὴ δικάζων συντόμως, ὀκνηίκα
σφαλῶμεν ἡμεῖς, ἡ πτίσις δὲ τύπτεται,
ποινάς τε πάσχει τῶν ἐμῶν ἐγκλημάτων,
ἀλλοτρίῳ μώλωπι τραυματουμένη,
ὡς ἐν μετάρσει λοιμικῆς ἀρρωστίας,
ἄλλων ἐχόντων τὴν νομὴν τῶν τραυμάτων,
ὁ τοῦ πάθους κίνδυνος εἰς ἄλλους τρέχει.
Καὶ γίνομαι νῦν τῶν φρενῶν ἐν ἑκστάσει,
πῶς ὁ κριτὴς δίκαια θεσπίζων ὅλοις
προσωπολῆπτεῖ καὶ φιλανθρώπῳ σχέσει
ἄλλου σφαλέντος ἄλλον ἕλκει πρὸς δίκην·
καὶ πῶς ὁ κρίνων τοῖς δικάσουσι κρίσιν
εἰ δῶρα λαμβάνουσιν ἐγκαλεῖ μέγα,
αὐτὸς δὲ δῶρα λαμβάνειν ἐπείγεται,
πτωχοὺς ὑπουργοὺς ἀξιοχρέους ἔχων
(ὡς εἴ τις εἴκοι μυστικοὺς δομεστίκους),
ἐξ ὧν ἀπαιτεῖ καὶ προδοῦναι τὴν δίκην.
σφύζει δι' αὐτούς, μὴ φοβούμενος ψόγον,
καὶ λαμβάνει θέλημα χρυσίου πλέον,
ἄρτῳ δὲ μικρῷ τοὺς νόμους βιάζεται,
ὑφέλκεται δὲ καὶ στεναγμοῖς, εἰ λάβοι,
ψυχρῷ δὲ πεισθεὶς θέλγεται ποτηρίῳ,
καὶ λῆμμα θερμοῦ δακρύου πορίζεται,
καὶ μέχρι λεπτοῦ πολλάκις κατέρχεται,
ζητῶν ἀφορμὴν εἰς τὸ κλέψαι τὴν δίκην·
σχίζει δὲ πολλὰς συγγραφὰς ὑπαιτίους,
τόμους δὲ σαθροῖ μυρίων χειρογράφων,
τοῖς ἀφεσίμοις δαψιλῶς ὑπογράφει,
τὰς ὑποθήκας καίπερ οὔσας ἐνδίκους
γοργῶς ἀκυροῖ, καὶ χαράττει συντόμως,
αὐτὸς καθ' αὑτὸν ὡς θέλει ψηφίζεται.

Digitized by Google

νόμους σαλεύει, μὴ φοβούμενος νόμους·
λύει τὰ δεσμὰ τῶν ὑπευθύνων ὅλων·
λῃστὰς δικαιοῖ, σπένδεται κατακρίτοις·
πόρναις ὁμιλεῖ, τοῖς τελώναις συμμένει.
εἰ δὲ προκεῖσθαι ψαλμὸν ἐκ Δαβὶδ μάθοι,
εἴωθε ποιεῖν καὶ φονεῖς ἀναιτίους·
καὶ διαλύσεις τῶν κακῶν ἐγκλημάτων,
εἰ καὶ παρανόμους, ἐννόμους ὁρίζεται.
οὐκ ἐκ βαφῆς γὰρ ὁ κριτὴς μελανδόχου,
ἀλλ' αἱματώσας τοὺς ἑαυτοῦ δακτύλους
βαφαῖς ἐρυθραῖς βασιλικῶς ὑπογράφει.
Ὦ τόξα τείνων εἰς τὸ πλῆξαι πολλάκις,
παρακρατῶν δὲ τὴν βολὴν ἠπειγμένην
τοῦ γὰρ βέλους μὲν εὐτρεπίζεις τὴν τάσιν,
ἀργὸς δὲ γίνῃ πρὸς τὸ βάλλειν τοξότης,
καὶ πολλάκις τὸ τόξον ἐντείνας πάλιν
χαλᾷς τὸ κέντρον καὶ μεθέλκεις τὸν τόνον,
καὶ τῇ δοκήσει σχηματίζεις τὸν φόβον,
καὶ τῆς ἀπειλῆς ζωγραφεῖς τὴν εἰκόνα,
ἕως φοβηθεὶς πρὸς τὸ πλῆκτρον ὁ βλέπων
κλίνῃ τὰ νῶτα, καὶ προκύψας εἰς γόνυ
καὶ τῷ φόβῳ τὸ σῶμα συστείλας ὅλον
φύγῃ τὸ τραῦμα τῆς βολῆς κινουμένης.
εἰ μὲν δοκεῖ γὰρ ταῖς βολαῖς ἀντιβλέπειν,
ἑτοιμότρωτος γίνεται τῷ τοξότῃ·
εἰ δ' αὖ μεταστῇ τοῦ κακοῦ μεταιχμίου
(μεταίχμιον δὲ τῆς μάχης ἁμαρτία),
παρατρέπει τὸ πλῆκτρον εἰς τοὐναντίον.
θέλει γὰρ οὗτος ἀστοχεῖν ὁ τοξότης,
καὶ πλάττεται μὲν τῷ δοκεῖν τὸν ὀργίλον,
ἅπαξ δὲ τύπτει, καὶ παραινεῖ πολλάκις
φόβοις ἀπειλαῖς ἐντροπαῖς ἐνυπνίοις,

Digitized by Google

στοργῇ κολάζων· δεῖ γὰρ εἶναι τῇ φύσει
καὶ τὴν ἀπειλὴν τοῦ θεοῦ σωτηρίαν,
ὃς πρὸς τὸ σώζειν μηχανᾶται ποικίλα,
καὶ ψυχοκερδὴς γίνεται πλουτοπράτης,
καὶ τοῖς λαβεῖν θέλουσιν οὐρανοπράτης,
καὶ μαργαρίτας εὐδοκεῖ προτιθέναι,
οὓς οὐκ ἀπωστράκωσαν Ἰνδικοὶ σάλοι,
ἀλλ' αἱ πενιχραὶ τοῦ βίου περιστάσεις.
φρυκτοὺς δέ σοι δείκνυσιν ἄνθρακας λάλους
(εἴπερ λαλοῦσιν ὄντες ἠνθρακωμένοι·)
στικτοὺς ἐρυθροὺς ὡς τὸ πῦρ ἐξημμένους,
τὸ φῶς ὑπανυγάζοντας ἐκ τῶν τραυμάτων,
τιμῆς βραχείας τοὺς ὑπερτίμους λίθους
ὅλους ἑτοίμους εἰς προθήκην στεμμάτων.
ὧν αἱ τακεῖσαι τῶν μελῶν ἀναβράσεις
στίλβουσι μᾶλλον ἢ τὸ πῦρ ἐξ ἀνθράκων
εἰς βασιλείαν τῶν ἀειζώων θρόνων,
τῶν μήτε θνητῶν ἐκκοπὴν δεδοικότων
μήτε θρασὺν τύραννον ἐπτοημένων.
Ὦ τῆς σοφῆς μάστιγος, ὦ πλούτου βάθος,
ὦ χρηστότης ἄπληστος. ἐξ ἑνὸς φόβου
τοὺς μὲν καθαίρει, καὶ πρὸ καιροῦ τῆς δίκης
καθαρτικὸν πῦρ ἐμβαλοῦσα τὴν νόσον·
ἡμᾶς δὲ νύττει συμφορᾷ διδασκάλῳ,
καὶ μισθὸν ἡμῖν ἐκ νόσου τεχνάζεται,
καὶ τὴν δοκοῦσαν τοῦ βίου τιμωρίαν
κοινὴν ἀφορμὴν ἐκτελεῖ σωτηρίας.
Ὦ γῆς ὑποστήριγμα τορνεύων ὕδωρ,
ἱστῶν δὲ τὴν βρίθουσαν ἀστάτῳ βάσει,
ἢ βάθρον αὐτῇ προσχέων τὸν ἀέρα,
οὐκ οἶδα ποίαν ἑδράσας ἄλλην βάσιν,
ποῖον δὲ ταύτῃ δημιουργῶν πυθμένα,

Digitized by Google

ὡς μὴ δεηθῇ τοῦ μετ' αὐτὸν πυθμένος,
σειραῖς δὲ μᾶλλον ἡγνοημέναις ὅλοις
ποιῶν κρεμαστὴν τὴν πάνορμον ὁλκάδα
(ἡ γῆ γὰρ ὁλκάς ἐστιν εἰς ὕδωρ τάχα
ἑστῶσα καὶ φέρουσα τὴν οἰκουμένην),
ψάμμον δὲ τεῖχος τῇ θαλάσσῃ συλλέγων,
καὶ λεπτὸν ἀντίφραγμα τῇ ζάλῃ πλέκων,
κτίζων δὲ βροντήν, ἀστραπὴν δὲ θεσπίσας
ἐκ τῶν ἐνύγρων ἐκτρέχειν πυρεκβόλων.
Ὦ τὰς ἀνεμώδεις οὐσίας θησαυρίσας
ἐκ τῶν ἀδήλων ὡς ἐπίστασαι πόρων,
αὖθις δὲ ταύτας ἐκχέων ἐν Ἐξόδῳ,
ὅταν χαρίζῃ τὰς πνοὰς τοῖς οἰκέταις.
Ὦ τοῦ κεραυνοῦ τὴν ὁδὸν περιτρέπων,
ἀντιστρέφων δὲ τὴν ἄνω φορὰν κάτω,
χέων δὲ τὴν ἄβυσσον ἐκ βάθους ἄνω,
ὅταν προβάλλῃ τοὺς ἀναγκαίους φόβους,
καὶ τῷ φόβῳ δρᾷς ἐκκοπὴν ἁμαρτίας.
Ὦ πῦρ φλογίζον τῇ χαλάζῃ συμπλέκων,
ὅταν ξενουργῇς συμφορὰς Αἰγυπτίοις,
καὶ μήτε πυρσοῖς ἐξατμίζων τὴν δρόσον,
μηδ' αὖ γε τεφρῶν τῇ χαλάζῃ τὴν φλόγα,
ἀλλ' ὡς βραβευτὴς καὶ συνάπτων τὴν πάλην
καὶ πνεῦμα πέμπων καὶ μεσάζων τὴν μάχην.
Ὦ τὰς ἐπάλξεις τῶν νεφῶν, καὶ τοὺς λόφους
κρεμῶν ἐν ὕψει καὶ μεθέλκων ἐν βάθει,
καὶ πῇ μὲν ἐκ γῆς, εἰ θέλεις, μετάρσιον
ὕδωρ ἀνέλκων, πῇ δὲ διψῶσαν πάλιν
τὴν γῆν ποτίζων καὶ δροσίζων εὐθέτως
τὴν ξηρότητα ταῖς ἐνύγνοις ἱκμάσι,
μήπως ὑποκλάσασα τῇ ξηρᾷ ζέσει
στείρα προέλθῃ πρὸς γονὴν τῶν σπερμάτων.

Digitized by Google

καὶ ψυχαγωγεῖς ἀσθενοῦντας τοὺς λόγους,
καὶ τῶν φρενῶν τὴν γνῶσιν ἡτονημένην
καὶ τῆς διόπτρας τὴν ὀπὴν ἀντιστρέφων
τῷ σῷ καθαίρεις γνωστικῷ καθαρσίῳ,
καὶ τῷ σοφῷ σου καὶ λαλοῦντι φαρμάκῳ
τὰ νεῦρα θάλπεις τῶν γραφῶν καὶ τοὺς τόνους·
ὑπερφυῶς γὰρ ψηλαφᾷς τὰ τοῦ βάθους,
ζητῶν τὰ κρυπτὰ ταῖς ἀφαῖς τῶν δογμάτων,
καὶ τῷ προσηνεῖ καὶ γαληνῷ σου λόγῳ
μυρμηκιῶντας ἐξεγείρεις τοὺς λόγους),
ἦκω φέρων σοι τῆς ἐρήμου καρδίας
καρποὺς γεωργηθέντας ἐκ τῆς σῆς δρόσου·
οὐκ ἦν γὰρ εἰκὸς τὴν βάτῳ πεφυρμένην
ψυχὴν γεωργεῖν εὐφορώτατον στάχυν,
εἰ μὴ φθάσας σὺ τοὺς ἀκανθώδεις ῥύπους
ἀνεῖλες ἢ καθεῖλες ἢ τομωτάτῳ
τῆς σῆς προσευχῆς ἐξεχέρσωσας ξίφει.
ἀλλ' ὦ γεωργὲ τῶν πετρῶν καὶ τῶν βάτων
(σπείρεις γὰρ αὐτὸς κατὰ πετρῶν πολλάκις,
καὶ τεκνοποιεῖν ἐκβιάζῃ τοὺς λίθους,
φύειν τε καρπὸν ἀξιοῖς καὶ τὰς βάτους,
καὶ πτηνὸν οὐδὲν τὸν σὸν ἔνθεον σπόρον
ἐκ τῶν ἀδήλων βόσκεται πετασμάτων),
ἄρδευσον ἡμᾶς τῇ ῥοῇ τῶν δακρύων.
ἴσως γένοιτο τέκνον ἐκ στείρας πάλιν
καὶ καρπὸς εὔφρων ἐξ ἀκάρπου καρδίας.
ἐπεὶ δὲ φεύγεις τοὺς ἐπαίνους ὡς ψόγους,
πρὸς τὸν σκοπὸν τὸ νεῦμα συντείνας ἔχω,
τοῖς σοῖς πεποιθὼς μυστικοῖς ἀκοντίοις.

Πηγὴ μὲν οὖν πέφυκε τοῦ λόγου μία,
φλέβες δὲ πολλαὶ τῶν ἀδήλων ναμάτων,
δι' ὧν ὁ Δαβὶδ πᾶσαν ἀρδεύει φρένα,

Digitized by Google

ταύτης τὰ ῥεῖθρα τῆς γραφῆς ἀναβρύων
ὡς ἐμεγαλύνθη τῶν σοφῶν σου κτισμάτων
ἡ δημιουργὸς καὶ σοφὴ παντουργία.
ὦ πλουσίων ἄβυσσος ἐννοημάτων,
βοῶσα τοῖς θέλουσιν ἀντλῆσαι λόγους
ὅσους λαβεῖν χωροῦσιν, οὐχ ὅσους ἔχεις.
Ἀλλ' ὦ σοφιστὰ Πρόκλε τῶν κάτω λόγων,
ὁ πολλὰ βροντῶν ἐκ νεφῶν λοξοδρόμων,
ὁ πτωχόκομπος τῶν νοημάτων σάλος,
ὁ πολλὰ τολμῶν εἰς ἀίδιον κτίσιν,
ἄκουε μικρῶν συλλαβῶν κράτος μέγα.
καὶ πρίν σε γὰρ λέγουσι ταῦτα θαυμάσαι,
τοῖς ὠσὶν ἐνθλίψαντα τοὺς λόγους μόνον·
τὸ τῶν νοημάτων γὰρ ἐκφράσαι βάθος
εἰκὼν ἀπεικὼν ἀστατῶν ἀνετράπης,
θάλπων τὸν ὄγκον εἰς κενὰς ὑποσχέσεις.
οὐκ ἠγνόεις γὰρ δεινὸς ὢν λογογράφος,
ὡς εἴγε κἂν κώνωπα τολμήσεις φράσαι,
αὐτός σε νύξας ἐκφοβήσει σαλπίσας.
καὶ μηδὲν ἡμῖν ὡς ἀκόμποις κομπάσῃς,
εἰ ταῦτα φράζειν Πρόκλος ὤκνει καὶ τρέμει,
πίστις δὲ θαρρεῖ καὶ λαλεῖν καὶ συγγράφειν.
ἀλλ', ὦ σοφιστὰ τῶν ξενοσπόρων λόγων,
ἄκουε λοιπόν, μηδὲ κομπάσῃς ὅτι
σοῦ τὴν ἀφορμὴν τοῦ σκοποῦ δεδωκότος
σιγῶσι Πρόκλοι καὶ λαλοῦσιν ἀγρόται.
Ὦ τὴν ἀνεξεύρητον ἣν ἔχεις φύσιν
κρύψας ὁμίχλῃ καὶ περιστείλας γνόφῳ,
ὅπως μάθοιμεν πῶς ἀεὶ κεκρυμμένη
ἐκ τῶν ἑαυτῆς φαίνεται ποιημάτων.
ὦ τὴν ἀεικίνητον οὐρανοῦ σκέπην
τῷ σφαιρομόρφῳ τῶν σοφῶν εἰλημάτων

Digitized by Google

ὕψει πλατύνας καὶ τοσαύτῃ συστάσει
βάθρον τεθεικὼς μηδαμοῦ πεπηγμένον.
ὦ δέρριν ὥσπερ ἐξαπλώσας τὸν πόλον·
ὁ σὸς γὰρ Ὀρφεὺς τὴν θεόφθογγον λύραν
κρούων ὁ Δαβὶδ δέρριν εἶπε τὸν πόλον,
ὡς ἐκταθείσης πρὸς τὰ μήκη καὶ πλάτη
τῆς ἁπλότητος τῶν ἐν ὕψει σωμάτων.
εἰ καὶ κακνοῦ δὲ τοῦτον ἐμφάσεις ἔχειν
προβλεπτική τις εἶπεν ὀξυδορκία,
κενεμβατούσης τῆς φορᾶς τῶν ὀμμάτων
πρὸς τὴν ἀμυδρὰν τῆς φοπῆς θεωρίαν,
ἢ σφαῖραν ἡμίτμητον ἀψῖδος δίκην
ὑφουμένην ἄνωθεν ἢ κυρτουμένην
ἢ καὶ πρὸς αὐτὴν τὴν κάτω φορουμένην
(ἐκ τῶν ἄνω γὰρ γνωστικῶν κυλισμάτων
κάτωθεν ἄλλη φαίνεται κεκρυμμένη),
ὅμως ἔχει στήριγμα τὴν ἐν σοι βάσιν,
εἰς βάθρον ἀστήρικτον ἐστηριγμένος.
ἄνω γὰρ ἦρται καὶ βαθύνεται κάτω,
ἐκτείνεται δὲ πρὸς τὸ χάσμα τοῦ πλάτους,
ἴσας δὲ κύκλῳ τὰς ὑποστάσεις ἔχει,
ἑστὼς δὲ φεύγει, καὶ διάττων προσμένει,
στάσιν δὲ τὴν κίνησιν ἀρρήτως ἔχει,
τρέχει δὲ τῷ σύμπαντι τὴν ἐναντίαν,
μήπως τὸ συγκίνημα τῶν ἐλασμάτων
ὦθημα πάσχον ἐκραγῇ τῇ συντάσει.
ἐν τοῖς ἐναντίοις γὰρ εἰκότως δρόμοις
ἡ τοῦ τάχους σύννευσις ἀντωθουμένη
παρακρατεῖ τὸ σφίγμα τῶν κυλισμάτων
εἰς τὴν κατ' εὐθὺ τῶν ἐλασμάτων τάσιν,
μήπως καταχθῇ τῆς φορᾶς ἡ σφοδρότης
ἐν τῇ κενώσει τῶν τομῶν καταδρόμων,

Digitized by Google

ἀλλ' ὥσπερ εἰς σύνδεσμον ἀντεσφιγμένον
τοῖς ἀνθελιγμοῖς συγκρατῆται τοῦ τάχους
βάσει τρεχούσῃ καὶ φορᾷ πεπηγμένῃ.
ἔστι δὲ πασῶν ἀκροτήτων ἀκρότης,
ὅρος δὲ πάντων ἐστὶ τῶν ὁρισμάτων·
ἀφίσταται δὲ τῶν ἀφεστώτων ὅλων,
οὐδὲν δὲ τούτου μέτρον ὡς ἀμετρία.
ἐντεῦθεν αὐτὸν ἐκπλαγέντες οἱ πάλαι
ὡς εὑρὺν ὡς ἄπειρον ὡς ἐπηρμένον
μύθους ἔπλαττον ὡς Ἀτλαντικοῖς πόνοις
μακρῶν ὑποστήριγμα κιόνων ἔχει,
ἴσως τὰ μακρὰ τῆς ἀδηλίας βάθη
στύλων ἀβάθρων ἐκτυποῦντες ἐμφάσει·
μέγας γάρ ἐστιν ὡς θεοῦ μικρὸς θρόνος,
ἡβᾷ δὲ γηρῶν καὶ παρακμὴν οὐκ ἔχει,
ἕως ὁ πήξας αὐτὸν εἱλίξει λόγος.
Στολίζεται δὲ τὸν χιτῶνα τὸν μέγαν
τὸν ἀέρα κλωσθέντα κερκίδι ξένῃ,
χυτὸν διαυγῆ λεπτὸν ἠραιωμένον,
εἰς πᾶσαν εἰσδύνοντα σωματουργίαν.
προέρχεται δὲ νυμφικῶς ἐστεμμένος,
λαβὼν διαυγεῖς μαργαρίτας ἀστέρας·
ἔχει δὲ πρὸς τὰ στέρνα λυχνίτην ἕνα,
ὡς πῦρ ἀποστίλβοντα πρὸς τὴν ἡμέραν·
ἄλλον δὲ λευκόπυρσον ὡς πρὸς τοὺς πόδας,
δεικνύντα λευκὴν πανταχοῦ τὴν ἑσπέραν.
φρουρεῖ δὲ πᾶσαν ὡς ἐν εἱρκτῇ τὴν κτίσιν,
τηρεῖ δὲ τὰ στοιχεῖα φραγμώσας ὅλα.
κόλπος δὲ παντὸς γίνεται κινουμένου,
φθάνει δὲ πᾶν κίνημα, συγκινῶν ὅλα,
στιγμὴν δὲ τὴν γῆν ὥσπερ ἐν μέσῳ φέρει.
ἐπ' οὐδενὸς δὲ πήγματος πεπηγμένος

Digitized by Google

τὸ κοσμαγωγὸν ἀντερείδει κεντρίον,
συνδεῖ δὲ τὴν ἄβυσσον ὡς ἐν σπαργάνῳ,
κυκλοῖ δὲ τὴν σύμπασαν ὡς ἐν δικτύῳ,
σφίγγει δὲ πάντα σοὶ κρατούμενα μόνῳ,
καὶ τὸν τοσοῦτον ὄγκον ἐγκλείσας ἔσω
ἔξωθεν αὐτὸς τῷ πλάτει συσφίγγεται·
μετρουμένη γὰρ οὐρανῶν ἀμετρία
ὡς πρός σε στιγμὴ γίνεται στενουμένη.
Ὦ μηχανουργὲ τῆς πολυστρόφου στέγης,
διαγράφεις γὰρ πᾶσαν ὡς θέλεις φύσιν·
τῇ σῇ διόπτρᾳ, καὶ στεγάξεις τοὺς κάτω
καὶ τοὺς παροίκους εἰς ὑπαίθριον σκέπην,
διαφλέγων μὲν καὶ πυρῶν τὸν αἰθέρα,
πλὴν οὐ φλογίζων τῇ πυρώσει τὴν κτίσιν,
ἀλλ' ὡς δοκεῖ σοι πᾶσαν ἁρμόζων φύσιν.
ὦ τὰς ἀδήλους οὐσίας τῶν ἀγγέλων
ἢ πνεῦμα δεικνὺς ἢ πυρίστομον φλόγα,
τὸ θερμὸν αὐτῶν καὶ τομὸν διαγράφων,
ἢ τετραμόρφῳ σχηματίζων εἰκόνι,
τὸ στερρὸν αὐτῶν ζωγραφῶν καὶ ποικίλον,
ἢ πλῆθος αὐτοῖς ἐξανοίγων ὀμμάτων,
ὡς καὶ τὸ σὸν φῶς ἐμφανέστερον βλέπειν,
καὶ μὴ λαθεῖν τι τῶν κάτω κινουμένων.
σοὶ γὰρ φέρουσιν ὕμνον ὡς νικηφόρῳ
Χερουβὶμ ἀρχαὶ καὶ θρόνων στρατεύματα,
καὶ πᾶς Σεραφὶμ εἰς ἀκίνητον τάχος
ἑστὼς πτεροῦται, καὶ πεπηγμένος τρέχει.
καὶ ταῖς δυσὶ μὲν τοῦ προσώπου τὴν θέαν
σκέπει πτέρυξι, ταῖς δυσὶ δὲ τοὺς πόδας,
καὶ ταῖς δυσὶ πρὸς ὕψος ἵπταται μέγα,
καὶ τὸ τριφεγγὲς τῆς ἁγιστείας σέλας
εἰς ἓν συναρμόζουσι μύριον σέβας·

Digitized by Google

δεικνύντες εὐσύνοπτα τῇ διαιρέσει
καὶ τῇ συνέξει τοῦ θεορρύτου λόγου
διαιρετῶς μὲν τὰς ὑποστάσεις σέβειν,
ἡνωμένως δὲ προσκυνεῖν τὴν οὐσίαν·
ἐκφαντικῇ τρανοῦντες ὀρθοδοξίᾳ
τὴν υἱότητα τοῦ λόγου σαρκουμένην
εἰς ἀλλόφυλον μὴ ῥυῆναι τετράδα,
ἀλλ' ἓν πρόσωπον καὶ θεαρχίαν μίαν
πρὸ σαρκὸς ὑμνεῖν καὶ μετὰ σαρκὸς λόγον,
τὸν αὐτὸν ἄνθρωπόν τε καὶ θεὸν φύσει,
μὴ προσθέσει χυθέντα, μὴ διαιρέσει
τομὴν παθόντα, μὴ τραπέντα συγχύσει,
διπλοῦν τὸν ἁπλοῦν, μηδαμοῦ πεφυρμένον.

Ὦ πρὸς τὸ κάλλος τῶν ἐν ὕψει σωμάτων
λειμῶνα πολλῶν ἐμφυτεύσας ἀστέρων,
καὶ νύκτα κοσμῶν καὶ στολίζων ἡμέραν,
καὶ φῶς καθαίρων καὶ μελαίνων ἑσπέραν,
καὶ πῦρ γεωργῶν καὶ κατασπείρων ὕδωρ,
τὰ κοινὰ τοῖς χρῄζουσι θησαυρίσματα.

Ὦ λεπτόσωμον ἐκχέων τὸν ἀέρα·
πρὸς γὰρ τὸν αὐτὸν ἀντανέρχομαι πάλιν,
καὶ μᾶλλον αὐτὸν νῦν λαλῶν ἀναπνέω,
τὸν πανταχοῦ ῥέοντα καὶ πεπηγμένον,
τὸν εὐτάλαντον τῆς πνοῆς ζυγοστάτην,
τὸν ἄφθονον ῥοῦν, τὴν ἀνάργυρον δόσιν.
οὐ πλούσιος γάρ, οὐ δυνάστης ἁρπάσει
πνοῆς περιττῆς ἐξ ἐκείνου συρμάδα,
ἀλλ' εἰς ὅλους πρόεισι τὴν ἴσην χάριν,
καὶ πᾶσιν ἁπλοῦς φαίνεται καὶ ποικίλος
τομαῖς ἀτμήτοις εἰσροαῖς ἀσυγχύτοις,
ἐν τῷ μερίζειν τὰς πνοὰς ἡνωμένος,
ἐν τῷ προχεῖσθαι πανταχοῦ συνημμένος.

Digitized by Google

Ὦ τὸν γίγαντα τοῦτον ἥλιον κτίσας·
σφύζω γὰρ αὐτῷ προσλαλῆσαι καὶ πάλιν.
βλέπων ἁπλήστως καὶ γράφων τὸν ἥλιον.
τὸ κοινὸν ὄμμα, τὴν πανοπτρίαν κόρην,
τὸ πάντροφον πῦρ, τὸν ὑπὸ γῆν μὲν ἑσπέρας
ὑπὲρ δὲ τὴν γῆν ἐργάτην τῆς ἡμέρας,
τὸ κοσμικὸν κάτοπτρον ἢ τοὐναντίον
τὸν ὀπτικὸν σπινθῆρα, τὴν τῶν ὀμμάτων
ἔκλαμψιν ἢ πρόσλαμψιν ἢ ξένην φύσιν
ἐν εἰσαγωγαῖς ἐκδοχὰς ποιουμένην.
οὐδὲν γὰρ αὐτοῦ τῆς φορᾶς ἀπεκρύβη,
ἀρκεῖ δὲ πᾶσι τῇ ῥοπῇ τῆς ἀτμίδος,
φθάνει δὲ μέχρι τοῦ βάθους τῶν τερμάτων,
φωτὸς δὲ πηγὰς κοσμοκινήτους βρύει,
ἔστι δὲ κοινὸς ἐργεπείκτης τῶν κάτω,
τρέχει δὲ τῷ σύμπαντι τὴν ἐναντίαν,
ὅπως ἀκλινὴς τῆς φορᾶς ἡ σφοδρότης
ἐξ ἀντιπλεύρων σφίγγεται καταδρόμων,
καὶ μὴ ῥαγῇ τὸ σφίγμα τῶν κυλισμάτων
ἐν τῇ κατ' εὐθὺ τῶν ἐλασμάτων τάσει,
ἀλλ' ὥσπερ εἰς σύνδεσμον ἀντεσφιγμένος
τοῖς ἀνθελιγμοῖς συγκρατῆται τοῦ τάχους
βάσει τρεχούσῃ καὶ φορᾷ πεπηγμένῃ.
εἰ μὴ γὰρ ἦν εὔτακτος, ἀλλ' ἐξετράπη,
τὸν κόσμον εἶχεν ἐν ῥοπῇ καταφλέγειν.
Ὦ τὴν ἀμυδρὰν τῆς σελήνης λαμπάδα
ἐκ τοῦ πυραυγοῦς ζωπυρώσας ἡλίου.
κιχρᾷς γὰρ αὐτῇ γλαυκὸν ἐξ αὐτοῦ σέλας
οὐκ οἶδα πῶς λέγουσιν, ἀλλ' ὅμως τάχα
οὐχ ὡς δεηθεὶς φαύσεως ἀλλοτρίας
(τὸ φῶς γὰρ αὐτὸς καὶ πρὸ ἡλίου βρύεις),
ἀλλ' ὥστε ῥυθμὸν ἐντεθῆναι τῇ κτίσει

Digitized by Google

καλῆς ἀνάγκης καὶ σοφῆς ἐξουσίας,
καὶ τὴν μὲν οὖσαν ἐνδεῆ τῆς λαμπάδος,
τὰς ὑγροποιοὺς ἀντιλήψεις εἰσάγειν
(δεῖται γὰρ ὑγρᾶς συμπλοκῆς ἡ θερμότης),
τὸν δὲ ζέοντα τῆς φλογὸς τῇ προσχύσει
τὰς ἐντεθείσας ἐκνοτίζειν ἰκμάδας,
ὅπως γένηται μῖξις ὥσπερ ἐν γάμῳ,
καὶ συζυγέντων πρὸς τὸ τίκτειν τῶν δύο
εὔτεκνα δείξῃ τῶν σπαρέντων τὰ βρέφη,
λαβοῦσα θερμὸν ἡ σελήνη νυμφίον.
Ὦ μηδὲν ἐχθρὸν μηδὲ πρὸς μάχην κτίσας,
ἀλλ' ὡς ἀδελφὰς οἰκοδεσπότης πατὴρ
εἰρηνοποιῶν τὰς ἐναντίας φύσεις,
τάξιν δὲ δεικνὺς τῆς ἀτάκτου τετράδος,
ὅπως ὁ κόσμος οὗτος, ὡς οἶκος μέγας,
ἄρρηκτος ἔσται τεττάρων κριῶν δίκην,
λαβὼν ὑποστήριξιν ἀντωθουμένην.
οὕτως συνάπτεις τὰς ἀσυμβάτους φύσεις,
πείθεις δὲ ταύτας ἐν συνοικίᾳ μένειν,
εἰς ἓν θέλημα συμπνεούσης τῆς μάχης,
ὡς λοιπὸν αὐταῖς κοινὸν εἶναι τὸν δρόμον,
καὶ τὴν μὲν ἔργον ἀερόστημον πλέκειν,
ὕφασμα λεπτὸν εἰς ἀναπνοὴν βίου,
τὴν δ' αὖ πυρὸς νήθουσαν ἀρραγεῖς μίτους
χιτῶνα ποιεῖν εἰς τὸ θάλψαι τὴν φύσιν,
τὴν δ' αὖ φέρειν ἔνομβρον ἐξ ἔθους ὕδωρ,
μή πως τὸ θερμὸν φθαρτικῶς ὑπερβράσῃ·
τὴν γῆν δὲ ποιεῖν ἐμπρεπῆ τὴν οἰκίαν
καὶ πάντας ἡμᾶς ἑστιᾶν καθ' ἡμέραν.
οὕτως ὑπὲρ νοῦν εἰργάσω τὰς οὐσίας
ἐν τῇ δοκήσει τῆς μάχης ἡνωμένας,
καὶ τοῦ θέρους μὲν ἡ φλογώδης ἀκρότης

Digitized by Google

οὐκ εὐθὺς εἰς χειμῶνα τὴν θέρμην τρέπει
(αἱ γὰρ μετάρσεις βλαπτικαὶ τῶν ἀθρόων),
ἀλλ' εἰς τὸ μετόπωρόν τε καὶ κρᾶσιν μέσην
τῷ μαλθακῷ τὴν ψῦξιν ἠρέμα τρέφει.
κἀντεῦθεν εὐθὺς οὐ πρὸς ἄκρατον ζέσιν
ἀλλ' εἰς ἔαρ μέτεισι, καὶ λεληθότως
τὸν κρυμὸν ὠθεῖ καὶ τὸ καῦμα συλλέγει.
καὶ ταῦτα δρῶσιν ἐξ ἀμοιβαίου δρόμου
κόραις ὁμοίως συγχορευούσαις ἅμα
καὶ συμβαλούσαις τοὺς ἑαυτῶν δακτύλους,
ὅπως χορὸν πλέξωσιν εὔρυθμον βίου.
Ὡς ἐμεγαλύνθη τῶν σοφῶν σου κτισμάτων
ἡ παντοποιὸς ἐμφανῶς ἐξουσία.
Χειμῶνος ὥρα, καὶ τὰ δένδρα συντόμως
ἐκ τῆς πυράγρας τοῦ κρύους μαραίνεται.
φθίνει τὸ κάλλος, ἀσθενοῦσιν οἱ κλάδοι,
ἐκρεῖ τὸ φύλλον, ὥσπερ ἐκ νεκροῦ τρίχες.
καὶ μικρὸν οὔπω τὴν φθορὰν ἀποξέει,
καὶ κάλλος αὖθις καὶ νέας τρίχας φύει
(βλαστοὺς τὸ κάλλος, καὶ τὰ φύλλα τὰς τρίχας),
καὶ τῶν ἀδήλων ἐξεγείρεται τάφων
πρὸς τὴν συνήθη τοῦ γένους ἀνάστασιν.
Θέρους ὁ καιρὸς οὐκ ἔχω λέγειν ὅπως
ἐκεῖνος οὗτος ὁ φλογώδης ἥλιος
ἐν ταυτότητι τοῦ χρόνου καὶ τοῦ τρόπου
πῇ μὲν μελαίνει τὰς χρόας ὑποφλέγων,
πῇ δ' αὖ γε λευκὰ δεικνύει τὰ σώματα,
καὶ ξηρὰ μὲν δρᾷ τῶν σπαρέντων τὰ βρέφη,
ὑγρὰς δὲ ποιεῖ τῶν ὀπῶν τὰς ἰκμάδας.
κιρνᾷς γὰρ αὐτὸν τῷ πρὸς ἀέρα δρόμῳ,
καὶ θερμὸν ὑγρῷ συμπλέκεις ὁδοιπόρῳ,
ὅπως κερασθῇ τῇ μεσαζούσῃ σχέσει

Digitized by Google

ἡ τῶν ἐν αὐτοῖς ποιοτήτων ἀκρότης,
καὶ μήτε φλέξῃ δραστικῶς ἡ θερμότης,
ὑγρᾶς ἐν αὐτῇ μὴ παρούσης ἰκμάδος,
μήτε πρὸς ἄκραν ἐξολισθήσῃ χύσιν
τῆς ὑγρότητος ἡ φορὰ μονουμένη,
ἀλλ' ὥσπερ εἰς ἓν ἔργον ἐργάται δύο,
τέγγει μὲν ἰκμὰς καὶ προβάλλει τὴν πόαν,
καὶ τῆς ὀπώρας ὠμὰ τίκτει τὰ βρέφη·
ἐν οἷς τὰ πολλὰ λεπτὰ τείνει σπαρτία,
μή πως βαρυνθῇ τῶν ὀπῶν ἡ χαυνότης,
καὶ θλῖψιν ἕξει τῇ δέσει τοῦ σφίγματος,
κἀντεῦθεν ἰκμὰς τῆς ὀπώρας ἐκπέσῃ,
ἐπεὶ δὲ δεῖται πήξεως μὲν ἡ χλόη,
χαυνώσεως δὲ τῶν ὀπῶν ἡ στερρότης,
θέρμη συναντήσασα ταῖς δυσὶ μία,
χαυνοῦσα καὶ σφίγγουσα τῷ ξένῳ λόγῳ
πληροῖ τὸ λεῖπον θωρεαῖς ἐναντίαις·
καὶ τῇ χλοῇ μὲν ῥίζαν ἑδραίαν φύει,
λεπτῇ δὲ κυλώσασα τοὺς ὀποὺς ζέσει
τὴν βρῶσιν ὡς ἔνσαρκον ἀρτύει δρόσον,
ὡς καὶ παρ' ἡμῖν ὠμότητα καρδίας
σπινθὴρ νοητοῦ προσβαλόντος ἡλίου
θάλπει μαλάττει καὶ πεπαίνει καὶ τρέφει
καὶ καρπὸν ἐντίθησιν ἐξ ἀκαρπίας.

Ὦ τετράπωλον ὥσπερ ἅρματος θέσιν
στοιχεῖα τάττων, ἡνιοχῶν δὲ τοὺς χρόνους
ἐν ἑπτακύκλοις ἡμερῶν περιδρόμοις,
διεξάγων δὲ τοῦ βίου τὸν ἄξονα
ῥυμῷ συνήθει καὶ τροχῷ βεβηκότι,
καὶ συμφυλάττων τὰς συνεκτικὰς θύρας,
μήπως ὄχημα τοῦ σινήθους ἐκδράμῃ,
καὶ σκύλμα πέμψῃ καὶ ταράξῃ τὴν θέαν,

Digitized by Google

δημοφθόρου τε φύρσιν ἐμβάλῃ μάχης,
ἀλλ' ὥστε πάντων τακτὸν εἶναι τὸν δρόμον,
καὶ μηδὲν ἡμᾶς αὐτοδέσποτον βλέπειν,
κοινὴν δὲ δούλην πᾶσαν εἶναί σου κτίσιν,
καὶ μήτε συνδεθεῖσαν εἰς λύσιν τρέχειν,
μήτ' αὖ παρελθεῖν τοὺς πεπηγμένους ὅρους
(εἰ μὴ μόνος σὺ τὴν τροπὴν ἀπεργάσῃ·
καὶ γὰρ συνεῖδες προσκοπῶν τὸ συμφέρον)
τῶν σῶν μεγίστων ἐργοχείρων τὴν κτίσιν,
μη δὲ τρέπεσθαι παγγενῶς, καὶ συγχύσεις
ταῖς κοσμολέθροις ἐκτροπαῖς ἐπεισάγειν,
μηδ' αὖ μένειν ἄτρεπτον, ἀλλ' ἔχειν ὅρους
τρεπτῆς ἀνάγκης, μὴ λαθοῦσα τῷ χρόνῳ
θεὸς νομισθῇ τοῖς ὁρῶσιν ἡ κτίσις.

Τίς γὰρ σελήνην ἢ τὸν ἥλιον βλέπων
ὀφθαλμιῶντας τῇ πρὸς ἔκλειψιν νόσῳ
οὐκ εὐθὺς ἔγνω τῇ διδασκάλῳ φύσει
ὡς οὐκ ἂν ἠλλάξαντο φωστῆρες γνόφον,
εἰ μὴ παθηταῖς ἐξοφοῦντο λαμπάσιν;
ἢ τίς τὸν αὐτὸν εὐσυνόπτως ἀστέρα
καὶ φωσφόρον γνοὺς καὶ σκοπήσας ἕσπερον
οὐκ οἶδεν αὐτὸν ἐργάτην διπλοδρόμον,
κήρυκα νυκτὸς καὶ προφήτην ἡμέρας;

Τίς τὸν μέγιστον οὐρανὸν τοῦτον βλέπων
καὶ τὴν ἀεικίνητον ἣν ἔχει βίαν
τῶν ἀστέρων τε τοὺς συνεκτικωτάτους
νῦν μὲν βορείας νῦν δὲ κινήσεις νότου
ἐν ἐκδρομῇ ποιοῦντας ἢ μεταστάσει,
ἢ τὴν ἄβυσσον τοῦ χυθέντος ἀέρος
ψυχρουμένην νῦν καὶ πάλιν πυρουμένην
καὶ προσβολὰς πάσχουσαν ἠναγκασμένας,
οὐ τὴν ἄτρεπτον ἐννοήσας οὐσίαν

Digitized by Google

δούλην νομίζει τὴν ἀείτρεπτον κτίσιν;
τίς βρασμὸν ἢ χάλαζαν ἢ χύσιν γνόφου
ἢ πῦρ καταχθὲν ἢ βραχεῖσαν αἰθάλην
ἢ γῆν τρέμουσαν καὶ παρειμένην βλέπων
οὐκ οἶδε δούλην τὴν κλονουμένην κτίσιν;
Τίς τὴν θάλασσαν ἀστατοῦσαν προσβλέπων,
οὐκ οἶδεν αὐτὴν δραπέτου τινὸς δίκην
φεύγουσαν ἔξω καὶ κρατουμένην ἔσω;
ἢ πολλάκις ζέσασα τῇ ψυχρᾷ ζέσει
καὶ ταῖς ἀτάκτοις προσβολαῖς τῶν πνευμάτων
ὅλην ἑαυτὴν οἷα μαινὰς ἀγρία
τῇ γῇ περικρούσασα καὶ θυμουμένη
θρασύνεται μὲν καὶ πλατύνει τὸ στόμα,
καὶ πολλὰ κράζει καὶ τὸν ἀφρὸν ἐκπτύει,
καὶ συμπέφυρται πρὸς τὰ χείλη τῷ σάλῳ,
κρουνοὺς δὲ πολλῶν ἐκπιοῦσα ῥευμάτων
ἄπεπτον ἅλμην ἐκ βάθους ἐρεύγεται,
τῇ πλησμονῇ δὲ τῆς μέθης ταράττεται,
ῥῆξαί τε τὰς κλεῖς καὶ διαδρᾶναι θέλει,
ἀνθέλκεται δὲ καὶ φοβεῖται καὶ μένει,
καὶ τὰς ἐνύδρους οὐ παρέρχεται θύρας,
ἀλλ' εἰς ἑαυτὴν ὑπτίως ἀνατρέχει,
ὡς οἷα δούλη τῶν τριχῶν κρατουμένη.
μαστίζεται γὰρ συμφερόντως ἡ κτίσις,
ὅπως ἀπλήγῳ σωφρονισθῶμεν φόβῳ
φειδοῖ προνοίας τοῦ τεχνίτου τῶν ὅλων
καὶ συσταλῶμεν, ὡς φοβήτρῳ παιδία,
εἰ καὶ τὰ μικρὰ τῶν κυνῶν τετυμμένα
τὸ τῶν λεόντων σωφρονίζουσι θράσος.
Ὦ μέχρι παντὸς ἐνδιδοὺς ὑπερθέσεις
ταῖς ἐκπροθέσμοις τῶν χρεῶν προθεσμίαις,
ὀδοστατῶν δὲ τὴν ἁμαρτίαν φόβῳ,

Digitized by Google

βίας τε ποιῶν εἰς τὸ σῶσαι τὸν βίον,
καὶ μὴ δικάζων συντόμως, ὁπηνίκα
σφαλῶμεν ἡμεῖς, ἡ κτίσις δὲ τύπτεται,
ποινάς τε πάσχει τῶν ἐμῶν ἐγκλημάτων,
ἀλλοτρίῳ μώλωπι τραυματουμένη,
ὡς ἐν μετάρσει λοιμικῆς ἀρρωστίας,
ἄλλων ἐχόντων τὴν νομὴν τῶν τραυμάτων,
ὁ τοῦ πάθους κίνδυνος εἰς ἄλλους τρέχει.
Καὶ γίνομαι νῦν τῶν φρενῶν ἐν ἐκστάσει,
πῶς ὁ κριτὴς δίκαια θεσπίζων ὅλοις
προσωπολῆπτεῖ καὶ φιλανθρώπῳ σχέσει
ἄλλου σφαλέντος ἄλλον ἕλκει πρὸς δίκην·
καὶ πῶς ὁ κρίνων τοῖς δικάσουσι κρίσιν
εἰ δῶρα λαμβάνουσιν ἐγκαλεῖ μέγα,
αὐτὸς δὲ δῶρα λαμβάνειν ἐπείγεται,
πτωχοὺς ὑπουργοὺς ἀξιοχρέους ἔχων
(ὡς εἴ τις εἴποι μυστικοὺς δομεστίκους),
ἐξ ὧν ἀπαιτεῖ καὶ προδοῦναι τὴν δίκην.
σφύζει δι' αὐτούς, μὴ φοβούμενος ψόγον,
καὶ λαμβάνει θέλημα χρυσίου πλέον,
ἄρτῳ δὲ μικρῷ τοὺς νόμους βιάζεται,
ὑφέλκεται δὲ καὶ στεναγμοῖς, εἰ λάβοι,
ψυχρῷ δὲ πεισθεὶς θέλγεται ποτηρίῳ,
καὶ λῆμμα θερμοῦ δακρύου πορίζεται,
καὶ μέχρι λεπτοῦ πολλάκις κατέρχεται,
ζητῶν ἀφορμὴν εἰς τὸ κλέψαι τὴν δίκην·
σχίζει δὲ πολλὰς συγγραφὰς ὑπαιτίους,
τόμους δὲ σαθροῖ μυρίων χειρογράφων,
τοῖς ἀφεσίμοις δαψιλῶς ὑπογράφει,
τὰς ὑποθήκας καίπερ οὔσας ἐνδίκους
γοργῶς ἀκυροῖ, καὶ χαράττει συντόμως,
αὐτὸς καθ' αὑτὸν ὡς θέλει ψηφίζεται.

Digitized by Google

νόμους σαλεύει, μὴ φοβούμενος νόμους·
λύει τὰ δεσμὰ τῶν ὑπευθύνων ὅλων·
ληστὰς δικαιοῖ, σπένδεται κατακρίτοις·
πόρναις ὁμιλεῖ, τοῖς τελώναις συμμένει.
εἰ δὲ προκεῖσθαι ψαλμὸν ἐκ Δαβὶδ μάθοι,
εἴωθε ποιεῖν καὶ φονεῖς ἀναιτίους·
καὶ διαλύσεις τῶν κακῶν ἐγκλημάτων,
εἰ καὶ παρανόμους, ἐννόμους ὁρίζεται.
οὐκ ἐκ βαφῆς γὰρ ὁ κριτὴς μελανδόχου,
ἀλλ' αἱματώσας τοὺς ἑαυτοῦ δακτύλους
βαφαῖς ἐρυθραῖς βασιλικῶς ὑπογράφει.
Ὦ τόξα τείνων εἰς τὸ πλῆξαι πολλάκις,
παρακρατῶν δὲ τὴν βολὴν ἠπειγμένην
τοῦ γὰρ βέλους μὲν εὐτρεπίζεις τὴν τάσιν,
ἀργὸς δὲ γίνῃ πρὸς τὸ βάλλειν τοξότης,
καὶ πολλάκις τὸ τόξον ἐντείνας πάλιν
χαλᾷς τὸ κέντρον καὶ μεθέλκεις τὸν τόνον,
καὶ τῇ δοκήσει σχηματίζεις τὸν φόβον,
καὶ τῆς ἀπειλῆς ζωγραφεῖς τὴν εἰκόνα,
ἕως φοβηθεὶς πρὸς τὸ πλῆκτρον ὁ βλέπων
κλίνῃ τὰ νῶτα, καὶ προκύψας εἰς γόνυ
καὶ τῷ φόβῳ τὸ σῶμα συστείλας ὅλον
φύγῃ τὸ τραῦμα τῆς βολῆς κινουμένης.
εἰ μὲν δοκεῖ γὰρ ταῖς βολαῖς ἀντιβλέπειν,
ἑτοιμότρωτος γίνεται τῷ τοξότῃ·
εἰ δ' αὖ μεταστῇ τοῦ κακοῦ μεταιχμίου
(μεταίχμιον δὲ τῆς μάχης ἁμαρτία),
παρατρέπει τὸ πλῆκτρον εἰς τοὐναντίον.
θέλει γὰρ οὗτος ἀστοχεῖν ὁ τοξότης,
καὶ πλάττεται μὲν τῷ δοκεῖν τὸν ὀργίλον,
ἅπαξ δὲ τύπτει, καὶ παραινεῖ πολλάκις
φόβοις ἀπειλαῖς ἐντροπαῖς ἐνυπνίοις,

Digitized by Google

στοργῇ κολάζων· δεῖ γὰρ εἶναι τῇ φύσει
καὶ τὴν ἀπειλὴν τοῦ θεοῦ σωτηρίαν,
ὃς πρὸς τὸ σώζειν μηχανᾶται ποικίλα,
καὶ ψυχοκερδὴς γίνεται πλουτοπράτης,
καὶ τοῖς λαβεῖν θέλουσιν οὐρανοπράτης,
καὶ μαργαρίτας εὐδοκεῖ προτιθέναι,
οὓς οὐκ ἀπωστράκωσαν Ἰνδικοὶ σάλοι,
ἀλλ' αἱ πενιχραὶ τοῦ βίου περιστάσεις.
φρυκτοὺς δέ σοι δείκνυσιν ἄνθρακας λάλους
(εἴπερ λαλοῦσιν ὄντες ἠνθρακωμένοι·)
στικτοὺς ἐρυθροὺς ὡς τὸ πῦρ ἐξημμένους,
τὸ φῶς ὑπανγάζοντας ἐκ τῶν τραυμάτων,
τιμῆς βραχείας τοὺς ὑπερτίμους λίθους
ὅλους ἑτοίμους εἰς προθήκην στεμμάτων.
ὧν αἱ τακεῖσαι τῶν μελῶν ἀναβράσεις
στίλβουσι μᾶλλον ἢ τὸ πῦρ ἐξ ἀνθράκων
εἰς βασιλείαν τῶν ἀειζώων θρόνων,
τῶν μήτε θνητῶν ἐκκοπὴν δεδοικότων
μήτε θρασὺν τύραννον ἐπτοημένων.
Ὦ τῆς σοφῆς μάστιγος, ὦ πλούτου βάθος,
ὦ χρηστότης ἄπληστος. ἐξ ἑνὸς φόβου
τοὺς μὲν καθαίρει, καὶ πρὸ καιροῦ τῆς δίκης
καθαρτικὸν πῦρ ἐμβαλοῦσα τὴν νόσον·
ἡμᾶς δὲ νύττει συμφορᾷ διδασκάλῳ,
καὶ μισθὸν ἡμῖν ἐκ νόσου τεχνάζεται,
καὶ τὴν δοκοῦσαν τοῦ βίου τιμωρίαν
κοινὴν ἀφορμὴν ἐκτελεῖ σωτηρίας.
Ὦ γῆς ὑποστήριγμα τορνεύων ὕδωρ,
ἱστῶν δὲ τὴν βρίθουσαν ἀστάτῳ βάσει,
ἢ βάθρον αὐτῇ προσχέων τὸν ἀέρα,
οὐκ οἶδα ποίαν ἑδράσας ἄλλην βάσιν,
ποῖον δὲ ταύτῃ δημιουργῶν πυθμένα,

Digitized by Google

ὡς μὴ δεηθῇ τοῦ μετ' αὐτὸν πυθμένος,
σειραῖς δὲ μᾶλλον ἠγνοημέναις ὅλοις
ποιῶν κρεμαστὴν τὴν πάνορμον ὁλκάδα
(ἡ γῆ γὰρ ὁλκάς ἐστιν εἰς ὕδωρ τάχα
ἑστῶσα καὶ φέρουσα τὴν οἰκουμένην),
ψάμμον δὲ τειχος τῇ θαλάσσῃ συλλέγων,
καὶ λεπτὸν ἀντίφραγμα τῇ ζάλῃ πλέκων,
κτίζων δὲ βροντήν, ἀστραπὴν δὲ θεσπίσας
ἐκ τῶν ἐνύγρων ἐκτρέχειν πυρεκβόλων.
Ὦ τὰς ἀνεμώδεις οὐσίας θησαυρίσας
ἐκ τῶν ἀδήλων ὡς ἐπίστασαι πόρων,
αὖθις δὲ ταύτας ἐκχέων ἐν Ἐξόδῳ,
ὅταν χαρίζῃ τὰς πνοὰς τοῖς οἰκέταις.
Ὦ τοῦ κεραυνοῦ τὴν ὁδὸν περιτρέπων,
ἀντιστρέφων δὲ τὴν ἄνω φορὰν κάτω,
χέων δὲ τὴν ἄβυσσον ἐκ βάθους ἄνω,
ὅταν προβάλλῃ τοὺς ἀναγκαίους φόβους,
καὶ τῷ φόβῳ δρᾷς ἐκκοπὴν ἁμαρτίας.
Ὦ πῦρ φλογίζον τῇ χαλάζῃ συμπλέκων,
ὅταν ξενουργῇς συμφορὰς Αἰγυπτίοις,
καὶ μήτε πυρσοῖς ἐξατμίζων τὴν δρόσον,
μηδ' αὖ γε τεφρῶν τῇ χαλάζῃ τὴν φλόγα,
ἀλλ' ὡς βραβευτὴς καὶ συνάπτων τὴν πάλην
καὶ πνεῦμα πέμπων καὶ μεσάζων τὴν μάχην.
Ὦ τὰς ἐπάλξεις τῶν νεφῶν, καὶ τοὺς λόφους
κρεμῶν ἐν ὕψει καὶ μεθέλκων ἐν βάθει,
καὶ πῇ μὲν ἐκ γῆς, εἰ θέλεις, μετάρσιον
ὕδωρ ἀνέλκων, πῇ δὲ διψῶσαν πάλιν
τὴν γῆν ποτίζων καὶ δροσίζων εὐθέτως
τὴν ξηρότητα ταῖς ἐνύγνοις ἱκμάσι,
μήπως ὑποκλάσασα τῇ ξηρᾷ ξέσει
στείρα προέλθῃ πρὸς γονὴν τῶν σπερμάτων.

Digitized by Google

Ὦ τὰς ῥεούσας ὡς πελεύεις ἐκχύσεις
ποιῶν ὁμοίας τοῖς ἀποσκλήροις λίθοις,
ἃς οὔτε χειμὼν οὔτε καύματος ζέσις
εἴργει τυποῦσθαι πρὸς τὸ σοὶ δεδογμένον.
πῇ μὲν γὰρ αὐτὰς οἷα πετραίους πάγους
χειμὼν ἀπεσκλήρυνε, πῇ δὲ καὶ θέρος
στερροὺς ἀφῆπε τῆς χαλάζης τοὺς λίθους.
Τίς τὰς ἀφορμὰς τῶν ἀπορρήτων λόγων
ταύτης ἀπεκρίβωσε τῆς λιθουργίας;
ποῖον θρασυνθὲν τοῦ Σταγειρίτου στόμα
τοὺς τῆς χαλάζης ἐξερεύγεται λόγους;
ὡς ἥλιος μὲν ὑγρὸν ἁρπάσας πάχος
καὶ πρὸς τὰ κοῖλα τῶν νεφῶν ὀρύγματα
τὴν ψῦξιν ἐνθεὶς καὶ περιστείλας ὅλην
τῆς ψυχρότητος ἐν βάθει τὴν ἰκμάδα
λιθοῖ τὸ χαῦνον καὶ παχύνει τὴν φύσιν,
κἀντεῦθεν ἡ χάλαζα μαρμαρουμένη
χύσις κυλίνδρων γίνεται λιθοδρόμων,
ὁ δ' αὖ γε χειμὼν ψυχρότητος ἐκτάσει
νάρκωσιν ἐνθεὶς τῆς ῥοῆς τῇ συστάσει
χεῖσθαι μὲν αὐτὴν οὐκ ἐᾷ χαυνουμένην,
σφίγγων δὲ καὶ σπῶν δεικνύει πεπηγμένην.
Ὦ συλλογισμῶν εὐόλισθα κύματα
καὶ κτίσμα χαῦνον παιδικῶν ἀθυρμάτων
τὰ λεπτὰ κάρφη συλλεγόντων εἰς στέγην.
ὦ πομφόλυξ σφύζουσα καὶ φυσωμένη,
καὶ πνευματοῦσα τοὺς ἐνογκώδεις λόγους,
ἦν ὡς ἄβαθρον καὶ διάρρυτον κτίσιν
ψεκὰς συνιστᾷ καὶ σταγὼν ἀνατρέπει.
εἰ συστρέφει γὰρ τοὺς πάγους ἡ ψυχρότης
καὶ ταὐτὸ ποιεῖ τοῦ θέρους ἡ θερμότης,
πόθεν συνῆλθον εἰς συνέργειαν μίαν

Digitized by Google

ἐναντίως ἔχοντες ἐργάται δύο;
ποῖαι δὲ χῶναι καὶ κυλίστραι καὶ στρόφοι
τὴν ψῦξιν ἐσφαίρωσαν εἰς φυτὴν λίθον;
πόθεν δὲ καὶ φλὸξ τῇ βροχῇ μεμιγμένη
καὶ ταῖς φιλέχθροις συστροφαῖς εἱλουμένη
ἅλωσιν οὐ πέπονθεν ἀλληλοφθόρον;
εἰ δ' αὖθις ἡ νοῦν ὀξυκίνητον στρέφων
ἢ πνεῦμα λεπτὸν εἰς ἀνάπτυξιν λόγου
εἰπεῖν τι πιστὸν τῶν ἀποκρύφων μάθοι,
καὶ τοῦτο τῆς σῆς δέσποτα προμηθίας·
ὡς μὴ τὸ μῆκος ἢ τὸ κάλλος τοῦ πλάτους
μόνον σκοπήσας ἐκπλαγῇ τῶν κτισμάτων,
ἀλλ' ὥστε μᾶλλον τῇ νοήσει τοῦ βάθους
πρὸς ὕψος ἀρθεὶς γνωστικῶς σε θαυμάσῃ.
Ἀλλ' εἰπὲ λοιπὸν τῷ Σταγειρίτῃ, Πλάτων,
καὶ τὸν μαθητὴν πεῖσον, εἰ πείσεις λέγων,
ἐκ τῶν ἄνω κάτελθε, καὶ λάλει κάτω,
μήπως ἐπαρθεὶς τῷ μεταρσίῳ θράσει,
ὥσπερ νεοττὸς αἰετοῦ, καὶ μὴ θέλων
αὖθις κατέλθῃς, μὴ φέρων τὸν ἥλιον.
Ἀλλ' ὦ παρ' ἡμῖν ἐμφανῶς κεκρυμμένε,
καὶ φῶς μὲν οἰκῶν, τοῖς δὲ τὴν σὴν οὐσίαν
ζητοῦσι πολλὴν ἀντιπέμπων ἔσπέραν,
ὡς συγκαλύπτων οὐ μόνον τὴν σὴν φύσιν,
ἐν συστολῇ δὲ δεικνύων καὶ τὴν κτίσιν,
ὅπως ἐάν τις ἐξερευνῆσαι λόγῳ
τὴν σὴν ἀνεξεύρητον οὐσίαν θέλῃ,
πρῶτον λάβῃ κάλυμμα τὴν στυγνὴν κτίσιν,
καὶ τὴν ὁμίχλην ἐκπλαγεὶς ὑποστρέφῃ.
Ὦ τὴν ἀνερμήνευτον ἐξοχὴν ἔχων,
δεικνὺς δὲ σαυτὸν ἐν κατόπτρῳ τῇ κτίσει,
ὅπως ἕκαστος ἐκμαθεῖν ἠπειγμένος

Digitized by Google

τὰς σὰς δί' αὐτῆς ὡς ἐφικτὸν ἐμφάσεις
μὴ τοὺς ὑπὲρ νοῦν εὐθέως ζητῇ λόγους,
ἀλλ' ὡς νέος τις ἐκδοθεὶς διδασκάλῳ
καὶ πρὸς τὰ πεζὰ ταῦτα γράμματα τρέχων
τέως τυπωθῇ τοῖς κάτω μαθήμασι,
προσκαρτερήσας τῇ σχολῇ τῶν κτισμάτων,
καὶ συλλαβὰς μὲν ἐμφρόνως τὰς οὐσίας
τὰς εἰς ἑαυτὰς συντεθείσας ἐκμάθῃ,
τὰς ἡλίου δὲ καὶ σελήνης ἐκθέσεις
ὡς τῶν χρόνων εὔστικτα σημεῖα ξέσῃ·
ὅταν δὲ πᾶσαν τὴν προπαιδείαν μάθῃ,
καὶ ταῖς καθολικαῖς ἐκριβῇ προσφδίαις,
πήξῃ τε τὸν νοῦν εἰς τὰ τοῦ λόγου μέρη,
καὶ ῥητορεύων ἐκφράσῃ τὰ κτίσματα,
τοῖς κοσμικοῖς δὲ πᾶσιν ἐντύχῃ νόμοις,
καὶ τοὺς παλαιοὺς μὴ παρατρέπων ὅρους
εἰς διατάξεις ἀσχοληθῇ τὰς νέας,
καὶ πολλὰ πράξας καὶ προκόψας εἰσβάλῃ,
ταῖς εἰσαγωγαῖς τῆς ἄνω θεωρίας,
καὶ τὴν ἐκεῖ σύνταξιν εἰς φρένας λάβῃ,
τὴν τῶν μεγίστων πραγμάτων παιδεύτριαν,
τότε προβαίνων ἐντελέστερον μάθοι
ὡς οὐδὲν ἔγνω πλὴν σκιᾶς κεκρυμμένης,
οὕτω τε λοιπὸν εἴπερ ἐξ ἀγνωσίας
τὸ γνῶθι σαυτὸν εἰς διάσκεψιν λάβοι,
καὶ τῇ καθ' ἡμᾶς ἐνδιατρίβων φύσει
τέως ἑαυτῷ συλλαλήσει καὶ μάθοι
πόθεν παρῆχθη, μηδὲν ὢν πρὸ τοῦ βίου,
καὶ πῶς τὰ μικρὰ τοῦ σπόρου προβλήματα
ἐν τοῖς μερισμοῖς τῶν τοσούτων ὀργάνων
παρεντεθέντα πῇ μὲν ὀμμάτων θέσεις
πῇ δὲ φλέβας τίκτουσι, πῇ δὲ συνδέσεις

Digitized by Google

τῶν ἐντέρων πλέκουσι, καὶ χεῖρας πάλιν
φύουσι, καὶ σπείρουσι τοῖς ποσὶ βάσιν,
καὶ πῶς μερισθὲν εἰς νομὰς πολυτρόπους
τὸ τοῦ σπόρου σύστημα ποικίλῳ τρόπῳ
μίαν καθιστᾷ τῶν μελῶν τὴν οὐσίαν·
πόθεν δὲ πηγὰς αἱμάτων ἐπεισάγει,
τάσιν δὲ νεύρων ἐμφύει τῷ σώματι,
κτίζει δὲ πλευράς, ὡραΐζει δὲ τρίχας,
σφίγγει δὲ ταρσούς, καὶ μερίζει δακτύλους
χαυνοῖ δὲ γλῶτταν εἰς τὸ συστρέφειν λόγους
καὶ πλῆκτρον εἶναι τοῦ λαλοῦντος ὀργάνου
παρακρατεῖ δὲ σπονδύλοις τὸν αὐχένα,
μήπως ὄλισθον τῇ περιστροφῇ πάθῃ·
ῥιζοῖ δὲ πυκνοὺς τῶν ὀδόντων τὰς μύλας,
ὅπως ἀλεσθῇ πρὸς τροφὴν τὰ σιτία·
καὶ πῶς φυτουργεῖ τὴν πυρώδη καρδίαν,
σπινθῆρος ἔνδον μηδενὸς πεφυκότος,
ἣν ἐν μέσῳ τέθεικεν, ὥσπερ οἱ τρόπιν
πηγνύντες ἀντίπλευρα βάλλουσι ξύλα
ἐκεῖθεν ἔνθεν εἰς τὸ σῶσαι τὸ σκάφος.
πόθεν δὲ μορφοῖ καὶ τυποῖ τὴν εἰκόνα,
καὶ κάλλος ἐντίθησιν ἐξ ἀμορφίας·
ποίους δὲ κόλπους μητρικοὺς ὑποτρέχων
πῇ μὲν τὸ θῆλυ σχηματίζει τῇ πλάσει,
πῇ δὲ προβάλλει σωματώσεις ἀρρένων·
πόθεν δὲ πηγὰς τοῖς κυήμασι βρύει,
καὶ τοῦ γάλακτος τοὺς ἀγωγοὺς εἰσάγει·
καὶ πῶς ὁμοίως τοῖς φυτοῖς ἡ θερμότης
αὔξει τὸ σῶμα τῶν ἀνήβων ὀργάνων,
καὶ τὰς ἐπιδόσεις τῶν μελῶν ἐργάζεται,
ἄνθη δὲ βάλλει τοῖς ἐνήβοις τὰς τρίχας,
καὶ τὴν πρόσοψιν ὡραΐζει τῇ χλόῃ,

Digitized by Google

ὀργᾷ δὲ καρποὺς ἐξενεγκεῖν ἡ ζέσις,
ἕως ἂν ἔλθῃ τῆς παρακμῆς ὁ χρόνος,
ὁ τὴν ὀπώραν ἐκπιέζων τῶν νέων·
μαραίνεται γὰρ εὐθέως ἡ θερμότης,
λευκαίνεται δὲ τῶν γερόντων ὁ στάχυς,
καρηβαρεῖ δὲ καὶ δοκεῖ κεκυφέναι,
τῇ γῇ δὲ προσνένευκε καὶ βρίθει κάτω·
τὸν γὰρ θερισμὸν γειτνιῶντα προσβλέπει.
Εἰ τὴν καθ' ἡμᾶς σαρκικὴν λάβοι λύραν,
καὶ γνῷ τὸν εἱρμὸν τῶν μελῶν καὶ τοὺς τόνους,
καὶ τὴν ἄηχον ἐκφυγὼν ἀφωνίαν
εἰπεῖν δυνηθῇ τὴν κάτω μελῳδίαν,
καὶ πῶς τὸ ῥευστὸν τοῦ σπόρου παχύνεται,
καὶ σάρκα ποιεῖ καὶ πάλιν σκληρύνεται,
καὶ νεῦρα καὶ σύμπηξιν ὀστώδη πλέκει,
ἢ πηλίκον δοχεῖον ἡ μνήμη φέρει,
ἐν ᾧ φυλάττει τὰς δοχὰς τῶν πραγμάτων,
εἶποι δὲ πῶς ἔμπρακτος ἡ φύσις τρέχει
πρὸς τὰς ἐν ἡμῖν θρεπτικὰς λειτουργίας,
ὡς ἂν δέ τις δέσποινα τῆς οἰκουργίας
κινεῖ πρὸς ἔργα τοὺς ἑαυτῆς ἐργάτας,
καὶ τοὺς ὀρεκτικοὺς μὲν ὀξύνει πόρους,
τοὺς ἑλκτικοὺς δὲ πάντας ἰθύνει τόνους,
βάλλει δὲ κλεῖθρα ταῖς καθελκτικαῖς πύλαις,
ἕως λαβοῦσα καιρὸν ἀλλοιώσεως
ἐξαιματώσει τὰς τροφὰς ἡ θερμότης,
καὶ τὴν ἀποκρίνουσαν ὠθήσει θύραν,
καὶ πᾶν περιττὸν ἐκφορήσει φορτίον,
ἢ πῶς ἐνεργεῖς ἀντιλήψεις εἰσάγει,
πρὸς τὰς ἐν ἡμῖν ποικίλας διακρίσεις,
ἀφὴν ἄκουσμα γεῦσιν ὄσφρησιν θέαν,
καὶ ταῖς ἀφαῖς μὲν τῷ δικαστῇ δακτύλῳ,

Digitized by Google

ζυγοστατεῖ τὸ χαῦνον ἐκ τοὐναντίου,
στενὰς δὲ ποιεῖ τῆς ἀκοῆς τὰς εἰσόδους,
καὶ κοχλοειδεῖς τὰς θύρας ἐργάζεται,
ὡς ἂν καθ' εἱρμὸν εἰσρέωσιν οἱ κτύποι,
καὶ μὴ καταπλήξωσι τοὺς ἔσω πόρους
ἤχοις ἀτάκτοις ἐμπεσόντες οἱ ψόφοι.
σαρκοῖ δὲ καὶ τὴν γλῶτταν ἡραιωμένην·
δέον γὰρ αὐτὴν δέρμα σομφῶδες φέρειν
πρὸς τὰς ἀνακλάσεις τε τῶν ἐδεσμάτων
καὶ τὰς ἑτοίμους ἀντιλήψεις τῶν πόρων,
δι' ὧν λαβοῦσα τὰς τροφὰς ἡ χαυνότης
πρὸς πᾶν τὸ γευστὸν εὐδιάκριτος μένει.
πόθεν δὲ καὶ σύριγγας εὐπόρους ἔχει,
ὀσφραντικῆς ὄχημα καὶ βιοτρόφου
πνοῆς ἀγωγούς, ὧν φραγέντων ἐκ πάθους
ἀγωνιᾷ τὸ ζῷον ὡς ἐν ἀγχόνῃ,
ἢ καὶ παραπνεῖν ἐκβιάζει τὸ στόμα.
μιμουμένη δὲ τὰς ἐν οὐρανῷ θέσεις
φωστῆρας ἐντέθεικεν ὀφθαλμοὺς δύο,
ὅπως ἔχοιμεν ταῖς βολαῖς τῶν ὀμμάτων
τὸν ἀέρα πλήττοντες, ὡς οἱ τοξόται,
φῶς φωτὶ σύρειν, ὡς τὸ πῦρ ἐξ ἀνθράκων.
ἐκ τῶν ἄνω δὲ τῆς κεφαλῆς ἀκροστέγων
νεύρων διατρήσασα σωλῆνος δίκην
καὶ πνεῦμα φωτὸς ἐμβαλοῦσα τῷ πόρῳ
τοῖς μὲν χιτῶσι συγκαλύπτει τὰς κόρας,
ὡς εἴ τις οἴκοι συμφυλάττει παρθένους·
ὀπὴν δὲ μικρὰν ἐξανοίγει τῷ πόρῳ,
ὅπως τὸ πνεῦμα τῶν ὀχετῶν διατρέχον
μήτε στενωθῇ, τῆς ὁδοῦ πεφραγμένης,
καὶ πνευματώσῃ καὶ σκοτώσῃ τὴν θέαν,
καὶ τὰς ἐπιχύσεις προσπλάσῃ ταῖς ὄψεσι,

Digitized by Google

μηδ' αὖ ταράξῃ καὶ θολώσῃ τὰς κόρας,
ὁρμαῖς ἀπλήστοις ἐκχυθὲν πρὸς τὸ πλάτος.
Ὡς ἐμεγαλύνθη τῶν σοφῶν σου κτισμάτων
ἡ γνῶσις ἡ δύσφραστος, ἡ τοῖς ἀγράφοις
λόγοις ἀπαγγέλλουσα τὸν θεῖον γνόφον.
καὶ νῦν ἐφεῖται τῆς ζοφώδους καρδίας
δᾳδοῦχον εἶναι τὴν φοπὴν τῶν ὀμμάτων,
εἴπερ δι' αὐτῶν ἐμβαλοῦσα τοὺς ῥύπους
πάλιν δι' αὐτῶν ἐκβάλοι τὰ δάκρυα,
τὰς εἰσόδους πλύνασα ταῖς διεξόδοις.
εἰ τοὺς λαβυρίνθους δὲ τῶν λόγων φράσοι
ὁ τῶν ἀδήλων οὐσιῶν ζυγοστάτης,
καὶ πῶς ὁ νοῦς σύνεστι πηλίνῳ βάρει
καὶ πνεῦμα πηλῷ καρτερεῖ συνημμένον,
καὶ πῶς ἐν ὕλῃ τὴν ἀυλίαν ἔχει,
εἰ μηδὲν αὐτὸν ὑλικὸν περιγράφει·
ἢ πῶς μέγιστον ὄμμα τῆς ψυχῆς ἔφυ,
καὶ τῶν ἀδήλων ὀπτικοὺς ἔχει πόρους,
καὶ νῦν μὲν εἰς γῆν τὰς ἐνεργείας νέμει,
νῦν δὲ πρὸς αὐτὸν ἅλλεται τὴν αἰθέρα,
καὶ πτηνὸς ἀρθεὶς καὶ τὸν ἥλιον φθάσας
τὰς τῶν ἄνω τε καὶ κάτω ζητεῖ φύσεις,
καὶ ταῖς μὲν ἀρκεῖ, τὰς δὲ συμμέτρως βλέπει,
τῶν δὲ στοχασμοῖς ἐννοεῖ τὰς εἰκόνας,
καὶ τὴν ὄρεξιν μηδαμοῦ στῆσαι θέλων
ἐφίεται μὲν τῆς ἁπάντων αἰτίας,
καὶ τὴν ἐκείνης γνῶσιν ἀθρῆσαι θέλει,
καὶ πολλὰ κάμνει, καὶ τὸν ἔσχατον πόλον
δοκεῖ παρελθεῖν, ἀλλ' ἐκεῖ μύει μόνον,
εἰ καὶ διαυγοῦς εὐπορήσοι καρδίας.
Ὅταν δὲ τούτους τοὺς πολυπλόκους μίτους
λύσῃ σχολάζων καὶ βαθύνῃ καὶ φράσῃ

Digitized by Google

ὅπως ὁ κρυπτὸς τῶν φρενῶν ὀδοστάτης,
ὁ ψυχοκλέπτης, ὁ φθορεὺς τῆς καρδίας,
ἡ τοῦ σκότους ἔπαρσις, ὁ πρῶτος δράκων
ἔξωθεν ἔνδον ἡδονὰς παρεισάγει,
σπείρων λογισμοὺς εἰς γονὴν ἁμαρτίας.
ἢ πῶς τυραννεῖ καὶ μεταίρει τὴν φύσιν
εἰς τὴν παρὰ φύσιν τῶν παθῶν κτηνωδίαν,
καὶ πτηνὰ μὲν δείκνυσι τὰς κούφας φρένας,
σύας δὲ πόρνους, καὶ λύκους τοὺς ἅρπαγας,
σφῆκας δὲ πλήκτας, θυμικοὺς δὲ παρδάλεις,
ποιεῖ δὲ τοὺς εἴρωνας ἀθλίους κύνας,
σαίνειν δοκοῦντας καὶ δακεῖν ἠπειγμένους,
ὄφεις δὲ πικροὺς ἐκτελεῖ τοὺς βασκάνους,
τὸν ἰὸν ἐνθεὶς τῇ κακῇ παραπλάσει,
θήγει δὲ πικρὰ καὶ τὰ τοῦ τύφου βέλη
(βάπτει γὰρ αὐτὰ ψυχοκόμπῳ φαρμάκῳ
τιμῆς ἀτίμου, πτώσεως ἐκπεμένης,
ὄγκου ταπεινοῦ, δυσκλεοῦς εὐδοξίας,
θρήνῳ γελῶντι τὴν σκιὰν τοῦ παιγνίου),
εἰδωλολατρίαν δὲ τοῖς φιλαργύροις
τὴν ῥίζαν ἐντίθησι τῶν κακῶν ὅλων,
ἢ κἂν κορεσθῇ μᾶλλον, οὐκ ἔχει κόρον,
ἀλλ' εἰς ὀρέξεις τήκεται καὶ φλεγμονάς,
τῇ πλησμονῇ διψῶσα καὶ τῇ προσθέσει
τὸν βρασμὸν ἐξάπτουσα τῆς χρυσῆς μέθης.
ἢ πῶς τοσοῦτον καὶ πεσὼν ἔχει κράτος,
ὡς μὴ μόνου τὸ σῶμα βαρβάρου δίκην
ἀντιστρατεύειν πρὸς μάχην τοῦ πνεύματος,
ἤδη δὲ καὐτῆς ἅπτεται τῆς καρδίας,
καὶ δουλαγωγεῖ τὴν ἐλευθέραν φύσιν,
καὶ τὰς ἐν ἡμῖν αὐτοδεσπότους φρένας
ἐν αἰχμαλώτῳ συμφορᾷ περιτρέπει,

Digitized by Google

πείθων τὰ πολλὰ καὶ τὰ λοιπὰ σὺν βίᾳ.
ἑλίσσεται δὲ λοξοειδῶς, ὡς ὄφις,
ἐστὶ δὲ δεινὸν ἐν φρονήσει θηρίον,
στιχοδρομεῖ δὲ τὴν κάτω φορὰν τρέχων,
κεχρημένος μὲν ὡς ποσὶ τῇ κοιλίᾳ,
λείχων δὲ τὸν χοῦν τοῖς λύκων τάχα τρόποις,
καὶ γαστριμάργῳ τῶν παθῶν ὑπερζέσει
κυρνᾷ τὸ συγκέρασμα τῆς ἁμαρτίας,
πρὸς ἧς ἕκαστος γεῦσιν ἡδέως τρέχει.
καὶ συγκεραννὺς ἡδονῇ τὴν πικρίαν
μελικράτῳ φθείρει με δηλητηρίῳ,
σύμβουλος ἐχθρὸς καὶ κατήγορος φίλος,
σφαγεὺς προσηνὴς καὶ φονεὺς συνεργάτης,
πλανῶν ὁδηγός, εὐμενὴς ὁδοστάτης,
ἄσπονδος εὐπρόσδεκτος εὐπειθὴς δράκων.
θέλγει γὰρ ἡμᾶς, μηδενὸς προκειμένου·
κάλλος περιστᾷ, μηδενὸς κινουμένου·
πρόσωπα μορφοῖ, ζωγραφεῖ διαπλάσεις,
τὸν νοῦν ἐρευνᾷ, ψηλαφᾷ τοὺς δακτύλους,
γέλωτα κινεῖ, συμβιβάζει τὸ στόμα,
καὶ τῇ δοκήσει δ' ἀφανοῦς ἁμαρτίας
ἔμπρακτον ὠδίνησε τὴν ἁμαρτίαν.
Οὐκ ἀγνοῶ γὰρ τῶν ἐκείνου φασμάτων
τὸ δυσπαθὲς φρόνημα, καὶ τοῦτο πλέον
θλίβει με καὶ δάκνει με καρκίνου δίκην,
φεύγοντα καὶ πράττοντα τὴν ἁμαρτίαν.
πλὴν τὸν γέροντα τοῦτον ἀρρήτως ὄφιν,
τὸ τοῦ σκότους κάτοπτρον, ἡ θεία κρίσις
προύθηκεν ἡμῖν, εἴγε τοὺς κατ' εἰκόνα
γραφέντας ἡμῖν μὴ χαράξομεν τύπους,
ὅπως ἔχωμεν αὐτὸν ἀντὶ παιγνίου,
παίζοντες εἰς δράκοντα, κἂν χάνῃ μέγα.

Digitized by Google

πολλοὶ γὰρ αὐτοῦ τὴν ἐπηρμένην φρένα
καὶ τὴν ἄφυκτον ἐν μάχαις ἀυλίαν,
ὕλην ἔχοντες σαρκικῶν βαρημάτων
καὶ τῇ γεώδει συμπεφυρμένοι κόνει,
ἤμβλυναν ἀπέστρεψαν, ὥσπερ ἀσπίδες
τὰ σαθρὰ πρὸς γῆν ἀντιπέμποντες βέλη.
Εἰ ταῦτα πάντα πρὸς διάσκεψιν λάβοι,
καὶ τῶν δοκούντων εὐτελῶν καὶ συντρόφων
τὸν σφυγμὸν εὑρὼν τὴν διάγνωσιν φράσοι,
ἢ καὶ προκόπτων θεῖον ὄργανον λάβοι
φωνὴ βοῶντος εἰς ἐρήμους καρδίας,
ἢ τῇ πυράγρᾳ τοῦ χερουβὶμ ἐγγίσας
λάβοι παρ' αὐτοῦ τοῦ λόγου τὸν ἄνθρακα,
ἢ τὸν πυραυγῆ δίφρον ἢ τοὺς ἐμφλόγους
ἵππους ἐλαύνων οὐρανῶν ὁδὸν δράμοι,
ἱππεὺς δὲ δειχθῇ τῷ βίῳ μετάρσιος,
τῆς σαρκὸς αὐτὸν μὴ κατασπάσῃς κάτω,
ἢ πῦρ κατάξει καὶ κρεμάσει τὴν δρόσον
ξύλων μεθέλκων ἀντιβάλλων τὰς φύσεις·
φράξει δὲ πίστει τῶν λεόντων τὸ στόμα,
δρόσον δὲ δείξει τῆς καμίνου τὴν φλόγα
ἢ καὶ κατάξει Νεῖλον εἰς αἷμα τρέπων,
πείσει δὲ λάμπειν ἐν ζόφῳ τὸν ἥλιον,
σχίσει δὲ τὴν ἄβυσσον εἰς τρίβον ξένην,
στύλον δὲ δείξει νυκτὸς ἔμπυρον σέλας,
ἄρτους δὲ σίτου μὴ προκειμένου πλάσει,
λιμὸν δὲ θάλψει τῇ βροχῇ τῶν ὀρνέων,
πηγὰς δὲ πέτραν ἐκβαλεῖν ἀναγκάσει,
τενεῖ δὲ χεῖρας εἰς τροπὴν ἐναντίων,
τοῦ σταυροειδοῦς συμβόλου τὴν εἰκόνα,
ἴδοι δὲ πυρσῷ μὴ φλογισθεῖσαν βάτον,
τὰ κρυπτὰ τοῦ μέλλοντος εἰκονίσματα,

Digitized by Google

τότε προκύψας ὡς ὁ Μωσῆς ἐμφόβως,
καὶ καπνὸν εὑρὼν ἐν θυέλλῃ καὶ γνόφῳ,
καὶ πρὸς τὸ νύγμα τῆς ὀπῆς ἀφιγμένος,
μόλις τὰ κρυπτὰ τῶν ὀπισθίων μέρη
θεοῦ σκοπήσει, καὶ πλέον μηδὲν βλέπων
πλέον ποθήσει τὸν κεκρυμμένον πόθον·
ἀργοὶ γάρ εἰσι τῶν ἐρώντων οἱ πόθοι,
εἰ συντόμως τύχωσι τοῦ ποθουμένου.
καὶ πᾶς ἐρευνῶν τοῦ θεοῦ τὴν οὐσίαν,
ὅσον θεωρεῖ, πρὸς τοσοῦτον συμμύει.
εἰ γάρ τις εἰς ἄβυσσον ἀπλήστοις κόραις
ἢ καὶ πυρανγῆ δίσκον ἡλίου βλέπων
ὅσον ἀτενίζει τὰς κόρας ἀμβλύνεται,
ποῖος πανόπτης εὐτονήσει νοῦς βλέπειν
τὸν τοῦ καθ' ἡμᾶς ἡλίου φωτὸς πόρον;
Ἀλλ' ὦ παρὼν πόρρωθεν ἑδραίῳ τάχει,
ὁ πᾶσι γνωστὸς καὶ δυσεύρετος μένων,
καὶ πᾶσι ληπτός, καὶ κρατεῖσθαι μὴ θέλων·
πᾶσι γὰρ ὢν ἄγνωστος ἐγνώσθης ὅλοις
ἐξ ὧν ἐνεργεῖς, εἰς τὸ πάντας σε βλέπειν.
ὅσον γὰρ ἐν σοὶ τὸ μέγεθος τῆς οὐσίας
ἐν ἀκαταλήπτοις ἐξοχαῖς ὑπεστάλη,
τοσοῦτον ἡμῖν τὴν ἐνέργειαν βλέπειν
τὴν σὴν ἐφῆκας, οὐκ ἐν ἀγγέλοις μόνον,
οἷς τὰς πυρανγεῖς ἐμφυτεύσας οὐσίας
ὕλην ἄυλον μυστικῶς ἀπειργάσω,
ἀλλ' εἴ τις ἡμᾶς οὐσιῶν ὑπερτέρα
λέληθε τάξις οὐρανοῖς, ἐν αἰθέρι,
ἐν παντὶ κόσμῳ, τῷ τε νῦν ὁρωμένῳ
καὶ τῷ πρὸ αὐτοῦ καὶ μετ' αὐτόν, εἰ θέλεις.
χωρεῖ γὰρ εἰς πῦρ εἰς ὕδωρ εἰς ἀέρα,
εἰς γῆν ἐν ἄστροις ἐν φυτοῖς ἐν ὀρνέοις,

Digitized by Google

εἰς πᾶν τὸ νηκτόν, εἰς τὸν ἕρποντα στόλον,
εἰς πάντα χόρτον, εἰς τὸν ἄνθρωπον πλέον,
δι' ὃν τοσαῦτα καὶ μεθ' ὃν παρατρέχει.
ἡ σὴ γὰρ ἀκτὶς μηδαμοῦ χωρουμένη
εἰς πάντα χωρεῖ μηδαμοῦ στενουμένη,
οὐ τῶν μεγίστων οὖσα τεχνῖτις μόνον,
ὁμοῦ δὲ πάντων ἀσχέτως διεδραγμένη.
ἴθυνον ἡμᾶς, ἔνθα τῆς κοσμουργίας
τῆς σῆς ἔνεστιν ἱστορεῖν τὰς ἐμφάσεις.
Τίς γὰρ θεωρῶν μᾶλον ἢ βαφὴν ῥόδου
οὐκ εὐθὺς ἔγνω τῆς βαφῆς τὸν ἐργάτην;
ἢ ποῖος εἰς ὄσφρησιν ἐλθὼν βαλσάμου
οὐ σὲ προεισέπνευσε βαλσάμου πλέον;
Τίς κέδρον ὑψοῖ καὶ πλατύνει τοὺς κλάδους,
καὶ κικρὸν ἐντίθησι τῷ ξύλῳ μύρον;
Τίς νάρδον ἕψει, καὶ μυρίζων τὴν πόαν
ἀρωματίζειν ἐκβιάζει τὸν στάχυν;
Πόθεν δὲ φοίνιξ ἐν καταξήροις τόποις
καρποὺς μελουργεῖ τῶν ἐνίκμων βοτρύων;
Τίς καὶ τὰ κίτρα ταῖς ἀκάνθαις ὁπλίσας
συνῆψεν αὐτοῖς αὐτοχάλκευτα ξίφη;
Τίς σκαργανοῖ τὰ τέκνα τῶν φυτῶν ὅλων,
καὶ τοῖς μὲν ἐντίθησιν ὀστώδη βάσιν,
οἷς ἐστιν ἐκτὸς ἀσθενὴς ἡ γυμνότης,
τοῖς δὲ προβάλλει στερρὸν ἔξωθεν δέρας,
οἷς ἐστιν ἐντὸς εὐπαθὴς ἡ χαυνότης;
Τίς τῷ λέοντι θάρσος ἢ τῇ δορκάδι
δρόμους ἐνῆκεν ἀντιφάρμακον φόβου;
Τίς ταῦρον ἐκράτυνεν ὥσπερ ἐργάτην
ἀροτριᾶν μέλλοντα; τίς τῶν ὀρνέων
τὴν γλῶτταν ἐστόμωσεν ὀργάνου δίκην,
ὡς καὶ νομίζειν τοὺς κενοὺς μυθογράφους

Digitized by Google

εἶναι παρ' αὐτοῖς γνωστικὴν ὁμιλίαν;
Πόθεν δὲ καὶ γρυψὶ εὐσθενὲς λαβὼν κράτος
καὶ βοῦν ἀνασκὼν ἐξ ἑτοίμων ἁρπάγων
καὶ πτηνὸς ἥρται καὶ βαδίζει τετράπους;
Τίς τὰς καμήλους καίπερ οὔσας ὀργίλους
ἔπεισε μητρὸς μὴ μιαίνεσθαι γάμῳ;
καὶ κτῆνος οὕτω βράζον εἰς λάγνον πάθος
πρὸς τὴν ἄθεσμον μῖξιν ἐγκρατὲς μένον
Πέρσας ἐλέγχει τοὺς θολοῦντας τὸν βίον.
Ποίους ὁρισμοὺς ἐκμαθὼν Ἱπποκράτους
τετρωμένος δίκταμνον ἐμφαγὼν τράγος
τὸν ἰὸν εὐθὺς τῶν βελῶν ἀποπτύει;
Ποῖος Γαληνὸς ἱεράκων τὴν νόσον
ὀπῷ καθαίρει πικροφύλλων θριδάκων,
ἀχλὺν δι' αὐτῶν ὀπτικὴν ἀποξέων;
καὶ πάρδαλις μὲν λύθρον αἰγὸς ἀγρίου
πίνει νοσοῦσα καὶ καθαίρει τὴν νόσον,
ὑγροῖς δὲ φύλλοις ἐκ δρυὸς καθαρσίου
χυμοὺς κάμηλος ἐξεμεῖ κεκαυμένους,
χλωρὰν δὲ τὴν ἄγρωστιν εἰ φάγοι κύων,
χολῆς μελαίνης ἐξερεύγεται πάθος.
λύκοι δὲ τὴν γῆν, οἱ λαγοὶ δὲ κανθάρους,
λέων πιθήκους, οἱ δὲ κύκνοι βατράχους,
τράγοι δὲ τὴν ἄπεπτον ἀσκαμωνίαν
δειπνοῦντες ἐκπτύουσι τὴν ἀπεψίαν.
Ἀσκληπιοῦ δὲ τοῦ νόθου θεοῦ δίχα
τρώγων πελαργὸς οὐ νοσήσει τοὺς ὄφεις.
Πόθεν κατῶβλεψ πυρσὸν ἔμφυτον πνέων,
ἐκ ῥινὸς ἐμφύσημα πυρφορουμένης,
κάτω τὸ ῥεῦμα τῆς πυρᾶς ἀντιστρέφει,
Αἰτναίαν ὥσπερ καὶ κατάρρυτον φλόγα,
πόρρω δὲ πέμπει τὴν φορὰν ὡς τοξότης,

Digitized by Google

δίκην κεραυνοῦ πυρπολῶν τὴν ἀτμίδα;
εἰ μὴ δὲ θεσμὸν εἶχε συγκεκυφέναι
καὶ τῆς φλογὸς τὸ βράσμα συντείνειν κάτω,
τὴν γῆν βαρύνειν εἶχεν ἂν τοῖς λειψάνοις.
Πόθεν δὲ τὰ προύχοντα τῶν ζῴων γένη
ἐκ τῶν δοκούντων μετρίων φαυλίζεται;
καὶ πᾶς μὲν ἵππος σειρομάστιγα τρέμει,
οἴστρῳ δὲ φεύγει ταῦρος ἐπτοημένος·
φοβεῖ δὲ τὸν λέοντα τυπτηθεὶς κύων,
ἡμᾶς δὲ κώνωψ εὐτελὴς διαστρέφει
δάκνων προσαυλῶν ἐξυπνίζων πολλάκις,
καὶ τῶν ἐλεφάντων ἐκπτοοῦσι τὸ κράτος
τὰ μικρὰ γρυλλίζοντα τῶν χοίρων βρέφη.
καὶ μικρὸς ὗλλος ὑγροχέρσῳ θηρίῳ
φθορὰν ἐφιστᾷ τῇ τομῇ τῶν ἡπάτων·
λάθρα γὰρ αὐτῷ προσβαλὼν κεχηνότι
διατρέχει τὰ σπλάγχνα σωλῆνος δίκην,
τεμὼν δὲ κρυπτὴν ἐξ ὀπισθίου θύραν
φονεὺς διαδρὰς οἴχεται σεσωσμένος.
Ἄλλη δέ τις πέφυκεν ὀρνέου φύσις,
ἣ τοὺς ὀδόντας βόσκεται τοῦ θηρίου,
καὶ τοῖς περιττοῖς ἑστιᾶται λειψάνοις.
στοργὴν δὲ δεικνύουσα γενναίου φίλου
καὶ τῆς τραπέζης τὴν τροφὴν αἰδουμένη
ὅταν τὸν ὗλλον γειτνιῶντα προσβλέπῃ,
κράζει πτεροῦται τοῖς ποσὶ περιτρέχει,
κνήθει δὲ τοῖς ὄνυξι, καὶ πρὸ τοῦ φόνου
κήρυξ ὀλέθρου γίνεται ζωηφόρος,
καὶ τῶν τραπεζῶν ἐξελέγχει τοὺς φίλους
μὴ συμμαχοῦντας εἰς ἀνάγκην τοῖς φίλοις.
ἐχρῆν γάρ, οἶμαι, τὰς ἐν ὀγκώσει φύσεις
ἐκ τῶν ἀμυδρῶν συμμαχεῖσθαι σωμάτων,

Digitized by Google

ὡς μή τις αὐτῶν τὰς ἐπάρσεις προσβλέπων
πάθοι λεληθὼς δυσσεβεῖς ὑποψίας.
ὃ καὶ πέπονθεν ἡ κατ' Αἴγυπτον μέθη,
οὐ τοῖς μεγίστοις ἠπατημένη μόνον,
ἀλλ' ἄχρι φαύλων ἑρπετῶν καὶ θηρίων
τῆς δυσσεβείας ἐκπιοῦσα τὸν σάλον.
οἷς καὶ μαθητεύσαντες Ἑβραῖοι πάλαι
τὸν αὐτὸν ἐξήλωσαν ἐν κακοῖς βίον,
καὶ μέχρι μυίας ἐκθεοῦντες τὴν κτίσιν.
Τίς καὶ τὰ κήτη, τῆς θαλάσσης τοὺς λόφους,
ἐν ταῖς ἐρήμοις τῆς ἀβύσσου συλλέγει,
μήπως ἐπεισφρήσαντα ταῖς λεωφόροις
ὁδοστατήσῃ καὶ ταράξῃ τὰ σκάφη;
καὶ τίς τὸν ἰχθὺν τὸν βραχὺν τὸν ναυκράτην
ποιεῖ τρεχουσῶν ὁλκάδων ἀντιστάτην;
καὶ πλωτὸν εὐόλισθον ἀνταίρει στόλον,
καὶ ταῖς πνεούσαις ἀντιτάττεται βίαις;
πτέρυξ γὰρ αὐτὸν πρὸς τὰ τοῦ στέρνου μέσα
κυκλοῖ περιπτύσσουσα κυμβάλου δίκην,
ἣν ταῖς θεούσαις ἀντερείδων ὁλκάσιν
ἴσταῖ τὸ πνεῦμα καὶ τὸ ῥεῦμα, κἂν τρέχῃ,
καὶ κυρτὸν ἀφρὸν ἀντεπικλᾷ τῷ σάλῳ,
ἕως μαχαίραις ἢ ξυροῖς τεθηγμένοις
τέμῃ τὸν ἰχθὺν τεχνικὸς βυθοδρόμος,
ἀλσί τε τοῦτον ἐμβαλὼν ἐξικμάσῃ.
καὶ γίνεται κλεὶς μητρικῶν σπαραγμάτων,
ὅτε σφαδάζει καὶ προπηδῆσαι θέλει
καὶ τοῖς ὀλίσθοις ἐκραγῆναι τὸ βρέφος.
Πόθεν δὲ διττοὺς ὥσπερ ἡ τρυγὼν γάμους
τοῦ πορφυρίωνος ἡ φύσις βδελύττεται;
ὃς καὶ παρ' ἡμῖν εἰ σκοπήσοι μαχλάδα,
λιμῷ τὸ σῶμα τήκεται τεθλιμμένος,

Digitized by Google

θέλων δὲ πόρνης μηδὲ τὴν θέαν βλέπειν,
λάλῳ σιωπῇ σωφρονίζει τὸν βίον.
Τίς τεκνοποιεῖν δεικνύει τὴν ἔγγελυν
ἄμητρον οὖσαν καὶ σποράς ἀλλοτρίαν;
ἢ τῶν ἑαυτῆς ἀντιπλεύρων ξυσμάτων
τὰ τμήματα σπείρουσα πετραίοις πάγοις
φύει τὰ τέκνα τῇ κνήσει τῇ ξένῃ,
καὶ πλευρομήτρα γίνεται θαλαττία,
καὶ μὴ λαλοῦσα δογματίζει τῇ φύσει
ὡς οὐδὲν ἐξήμαρτε Μωσῆς εἰ λέγει
πλευρὰν γενέσθαι τοῦ γένους λοχευτρίαν.
οὐ συγχύσεις γὰρ ἐγκαλεῖν ἀσυμφόρους
τῷ συντελεστῇ τῶν ἀμηχάνων θέμις,
ὑμνητέον δὲ μᾶλλον αὐτὸν ἡνίκα
ἐκ τῶν παρὰ φύσιν δημιουργεῖ τὴν φύσιν,
καὶ τοῦτο ποιεῖ δεῖγμα τῆς ἐξουσίας,
ἄυλος ὢν ἔνυλον εἰ κτίζει φύσιν,
καὶ τρεπτὸς οὐκ ὢν τρεπτὸν εἰ ποιεῖ βίον.
Τίς ἐνδιδύσκει τὴν χελώνην ὀστράκῳ
καὶ τὴν ταπεινόσωμον ἐστεγασμένην
δείκνυσιν ἐντὸς οἰκίας φορουμένης;
Τίς ἐμφυτεύσας τῷ διαυγεῖ λαμπύρῳ
σπινθῆρα λευκὸν ἑρπετὸν ποιεῖ σέλας,
τὸν αὐτὸν ἕρπειν καὶ πτεροῦσθαι θεσπίσας;
Ποίαις δὲ πηγαῖς ἢ βυθοῖς κεκρυμμένοις
δρᾷ σαλαμάνδρα τὰς καμίνους αἰθάλην;
Τίς ἐντέθεικε τοῖς πυρεκγόνοις φρένας
διάκρισίν τε τοῦ μαθεῖν τὸ συμφέρον;
ἐκ τῆς ῥιπῆς γὰρ τοῦ πυρὸς παρηγμένοι
περιτρέχουσιν, ὡς νεοττοὶ τὴν φλόγα
θηλὴν ἔχοντες καὶ τροφὴν τὴν λαμπάδα,
καὶ τὴν ἑαυτῶν πυρφόρον μαιευτρίαν

Digitized by Google

ἀεὶ ποθοῦσι, καὶ τὸ παμφάγον στόμα
μόνον παρ' αὐτοῖς γίνεται ζωοτρόφον.
Τίς τεκνοποιοὺς δεικνύει τοὺς κανθάρους,
τῶν πρὸς τὸ τίκτειν οὐχ ὑπόντων ὀργάνων;
οἳ συλλέγοντες κόπρον ἠμελημένην
σφαιροῦσιν αὐτὴν εἰσβαλόντος ἡλίου,
ἕως πυρωθεὶς τῶν κυλίνδρων ὁ στρόφος
ἐγκυμονήσῃ τὴν σκορὰν τῇ κοπρίᾳ,
οὕτω τε λοιπὸν ἐξ ἀμήτορος τόκου
γονὴν νεουργήσωσιν ὠδῖνος ξένην.
ἅπερ λεληθὼς ὁ θρασὺς μυθογράφος
(τῷ Πορφυρίῳ γλῶσσα μὲν τεθηγμένη,
γνώμης δὲ φύρσις ἀστατεῖν εἰθισμένη)
μύθοις ἐπεσκίρτησεν ἠπατημένοις,
λειμῶνας εὑρὼν καὶ θερίζων τὰς βάτους.
ἐχρῆν γὰρ αὐτὸν ταῦτα μᾶλλον θαυμάσαι
καὶ παγκρατὲς τὸ θεῖον ὑμνῆσαι κράτος
πῶς καὶ δι' αὐτῶν ἔρχεται τῶν ἐσχάτων,
καὶ μὴ θεοῦ μίμημα τολμῆσαι λέγειν
τοὺς κοπρομόχθους καὶ δυσώδεις κανθάρους
ἐφ' ᾧ δοκοῦσιν ἐκ ποδῶν ἀντιστρόφων
τὴν σφαιροειδῆ κόπρον ἀντισυστρέφειν
καὶ πρᾶγμα ποιεῖν τῶν ἄνω κυλισμάτων
καὶ σχηματουργεῖν οὐρανοὺς ἐκ κοπρίας.
ὦ νοῦς ἀμυδρός, ὦ θρασύστομος βία,
εἰ τῷ θεῷ μὲν εἷς ὑφεστήκει πόλος,
τῷ κανθάρῳ δὲ γίνεται καθ' ἡμέραν.
[Τίς ἀσπόρῳ τοὺς γῦπας ἐξάγει τίκῳ,
φυλῆς παρ' αὐτοῖς οὐχ ὑπούσης ἄρρενος,
σκιὰν προδεικνὺς μυστικῆς ἀφθαρσίας;]
οἳ τοῦ γάλακτος ἐμφραγέντων τῶν πόρων
(μόνοι γὰρ ἐκβλύζουσιν ὀρνίθων γάλα)

Digitized by Google

τὸν μηρὸν ἐκτεμόντες ἡματωμένοις
γάλακτος ὀλκοῖς ζωπυροῦσι τὰ βρέφη.
καί μοι δοκῶ τὸν γῦπα σεμνῦναι πλέον
τῇ συμπαθείᾳ τῆς γονῆς τετιμημένον
ἢ τὸν μέγιστον εἰς ἀσέλγειαν Δία
τμηθέντα μηρὸν εἰς γονὴν ὑλεθρίαν.
Τίς τῶν πελεκάνων ἀντὶ λόγχης τὸ στόμα
ξένοις διωργάνωσε μακροκοντίοις,
καὶ χάσμα τούτοις ἔξανοίγει παμφάγον
πρὸς τὰς ἀπλήστους ἁρπαγὰς τῶν ἰχθύων;
ποίᾳ δὲ δεινότητι τὰς κόγχας ὅταν
ἐν τοῖς ἑαυτῶν συσταλῶσιν ὀστρέοις,
τέχνῃ διαστέλλουσιν ἠκριβωμένῃ;
συνημμένας γὰρ τὰς πτυχὰς τῶν ὀστράκων
ἀμηχάνως ἔχοντες εἰς λύσιν φέρειν,
χαλῶσιν αὐτὰς εἰς τὸ πῦρ τῶν ἐντέρων,
λύσιν δὲ πάσχει τῶν πτυχῶν ἡ στερρότης
τῇ θερμότητι τῶν ἔσω χαυνουμένη,
θᾶττον δὲ τὰς πρὶν ἐξεμοῦντες συνδέσεις
γυμνῇ διαρπάζουσι τὰς σάρκας μάχῃ
τὴν ὀστρακώδη μὴ φορούσας ἀσπίδα.
Τίς τὸν μεγιστόφωνον ἔνδον τῆς στέγης
ἔπεισεν ὄρνιν ὡρολογεῖν τὴν εὐφρόνην
καὶ μὴ παρόντα προβλέπειν τὸν ἥλιον
καὶ τοὺς ἐνύκνους ἐξυπνίζειν ἐργάτας;
Θεὸς δὲ ποῖος τῶν Ὁμήρου πλασμάτων
γῆρας ξέει φοίνικος ἐκπυρουμένου
λυπρῷ δὲ τὸν γέροντα τεφρώσας τάφῳ
ζῶντα προβάλλει τοῦ τάφου τὰ λείψανα;
Ἑλληνικοῖς Ἕλληνες εἰκαντες λόγοις
πείσθητε λοιπὸν τὴν ἀνάστασιν σέβειν.
Τίς μαντικοὺς δίδωσι τοῖς πτηνοῖς ὅρους;

Digitized by Google

μαντεύεται γὰρ ὑετοὺς ἐν αἰθρίᾳ
τῆς μακρογήρου τῆς κορώνης τὸ στόμα,
πρὸ τοῦ δὲ πνεῦσαι τὰς πνοὰς προδεικνύει
αἴθυια κολπώσασα τὸ πτηνὸν νέφος.
Ἶβις δὲ ποίων εὐπορεῖ διδασκάλων
καὶ τοῦ Γαληνοῦ δείκνυται σοφωτέρα;
τῆς γὰρ κάτωθεν ἐμφραγείσης ἐξόδου
ἀμηχανοῦσα πῶς ἀνοίξει τὴν θύραν,
τὸν μακρὸν ἐκτείνασα λοξῶς αὐχένα,
σίφωνα γοργὸν τεκτονεύει τὸ στόμα,
καὶ χυλὸν ἅλμης ἐμβαλοῦσα τοῖς ἔσω
τὰ ξηρὰ ῥευστοῖς ἐξεφόρτωσεν βάρη.
Τίς ἀσπόρῳ τοὺς γῦπας ἐξάγει τόκῳ,
φυλῆς παρ' αὐτοῖς οὐχ ὑπούσης ἄρρενος;
οἱ τὴν καθ' ἡμᾶς πυρφοροῦσαν παρθένον
δεικνύντες αὐτὴν ὡς ἐφικτὸν ὀρνέῳ.
ἔδει γὰρ οἶμαι τοῦ τοσούτου θαύματος
ἔχειν ἀμυδρὰς ἐμφάσεις καὶ τὴν φύσιν,
ὡς μήτε δόξῃ καινοτομεῖσθαι τῷ τόκῳ
μήτε πρὸς ἄκρον ἱστορεῖν τὰ τοῦ τόκου.
οὐ γὰρ μένουσιν ὡς ἐκείνη παρθένοι,
ὅταν τὸ τεχθὲν εἰς διέξοδον δράμῃ,
ῥήξῃ τὰ κλεῖθρα καὶ παρέλθῃ τὰς θύρας.
εἰ δ' αὖ γε καὶ τίκτουσιν ὀρνίθων γένη
ἐγκυμονοῦντα τῇ φορᾷ τοῦ πνεύματος,
πῶς οὐχὶ μᾶλλον ἡ τεκοῦσα παρθένος
τὸ πιστὸν ἕξει τῆς γονῆς τῆς ἀσπόρου
ἐκ ζωοποιοῦ πνεύματος πληρουμένη;
Ποῖος δὲ Φοίβου μαντικώτατος τρίπους
τὸν μῦν διδάσκει τὸν τυφλὸν τὸν παμφάγον
ἐν τοῖς λαβυρίνθοις ὄντα τῶν ὀρυγμάτων
φράττειν πρὸ καιροῦ τῆς φορᾶς τῶν πνευμάτων

Digitized by Google

τὰς ἀντιλόξους τῶν ὀπῶν διεξόδους,
ἄλλας δὲ ποιεῖν ἀντισυνθέτους, ὅπως
τὸ χῶμα τῆς γῆς τὰς πνοὰς ἀποκρύβῃ;
Ποῖος δὲ Νηρεὺς τοῖς ἐχίνοις ἐν σάλοις
προβλεπτικὰς δίδωσιν ἐν βυθῷ κόρας,
ὅπως φυγόντες πρὸ ζάλης τὰ τῆς ζάλης
εἰς τὴν γαλήνην προσρυῶσι τῶν λίθων;
Τίς τὴν μέλιτταν τὴν σοφὴν τὴν ἐργάτιν
γεωμετρεῖν ἔπεισε καὶ τριωρόφους
οἴκους ἐγείρειν ἐξαγώνων κτισμάτων,
ποιεῖν δὲ τὰς σύριγγας οὐκ ἐπ' ὀρθίας
γραμμῆς διευθύνουσαν ἀλλ' ἐγκαρσίους,
μήπως ὀλισθήσωσιν οἱ κάτω πόδες
ἐκ τῶν ἄνωθεν φορτικῶν βαρημάτων·
εἶναι δὲ μᾶλλον τὰς παραλλήλους θέσεις
τῶν ἀντιλόξων κτισμάτων ἐρείσματα,
ὡς καὶ τὸν οἶκον ἑστάναι βεβηκότα
καὶ μηδὲν ὑγρὸν ἐκπεσεῖν τῆς ἰκμάδος.
γεωμετρῶν ἐντεῦθεν, Εὐκλείδη, σκόπει,
καὶ σχῆμα μηδὲν γραμμικὸν παραξέσῃς,
μήπου σε κέντρον τῆς σοφῆς διδασκάλου
πλήξῃ μελίττης καὶ μαθεῖν ἀναγκάσῃ.
Τίς τοὺς ἀράχνας λεπτοδακτύλους πλάσας
νήθειν διδάσκει καὶ πρὸς ἔργα τοὺς μίτους
ἐκ τῶν παρ' αὐτοῖς ἐντέρων ἀναπτύειν;
ποίᾳ δὲ τέχνῃ γραμμικῇ πρὸς τὰς βάσεις
βάλλουσιν ἀρχὰς καὶ προτείνουσιν δέσεις,
μέσῳ δὲ κέντρῳ τὰς ἐπάρσεις τῶν μίτων
κύκλους ἀπαρτίζουσιν ἠκριβωμένους,
καὶ τῇ μεταξὺ τοῦ κενοῦ διαστάσει
στύλους ὑφαρμόζουσιν ἀντισυνθέτους,
ὅπως τὸ μηχάνημα τῆς λεπτουργίας

Digitized by Google

ὡς ἐξ ἀράχνου συντεθὲν μὴ συμπέσῃ,
ὃς διττὸν ἔργον ἐξ ἑνὸς ποιεῖ μίτου,
λίνα πρὸς ἄγραν καὶ πρὸς οἴκησιν στέγην.
ὃν ἐντραπέσθω πᾶς τις ἀφρόνως λέγων
ὕλην ἄναρχον. εἰ γὰρ ὕλην οὐκ ἔχων
σκώληξ ὑφαίνει, τὴν μὲν ὕλην δευτέραν,
πρωτοχρόνους δὲ τοὺς ἀράχνας λεκτέον
ὡς τῶν ἐνύλων ἀρχιτέκτονας μίτων.
Κύκνον δὲ ποῖος ἐξεπαίδευσε τρόπος
εἰς ἄκρον ἐλθεῖν μουσικῆς εὐρυθμίας;
ὃς τὴν πτερωτὴν ἐξαπλώσας πηκτίδα,
τερπνὴν ξενουργεῖ ταῖς πνοαῖς μελῳδίαν.
καὶ τοῦτον οἶδα θαυμάσαι πολλῷ πλέον
ἢ γ' Ὀρφέα κρούοντα μυθώδη λύραν.
Ποίου δὲ κώνωψ εὐπορήσας ὀργάνου
φωνὴν ἔχει σάλπιγγος, ἢ ποίῳ λόγῳ
ἐν σμικρότητι συντεθεὶς ἀμηχάνῳ
μόρφωσιν ἔσχε, καὶ πτερούμενος φέρει
στόμα τράχηλον ὄμμα κοιλίαν πόδας
καὶ τὰς ἀδήλους τῶν ἔσω διαπλάσεις,
ἃς οὐκ ἐφῆκε ψηλαφᾶν ἡ λεπτότης;
οὐ γὰρ τοσοῦτον τῶν μεγίστων ἡ φύσις
ὅσον τὰ μικρὰ ταῦτα τῶν ἀμηχάνων
τὴν πανσθενῆ δείκνυσι μηχανουργίαν.
Πρόελθε μύρμηξ σιτοκλέπτης ἐργάτης,
τὸν κόκκον ἡμίτμητον ἐγκλείων κάτω,
μήπως νοτισθῇ καὶ σαπῇ ταῖς ἰκμάσι
καὶ φθαρτικὴν κάτωθεν ἀνθήσῃ χλόην.
ὅταν δὲ πυκναὶ τῶν νεφῶν αἱ συγχύσεις
τοῖς ἐργομόχθοις ἀντιπνεύσωσι πόνοις,
πόθεν σε μάντιν τοῦ Ζαμόλξιδος πλέον
ἕκαστος οἶδεν εὐσυνόπτως ἀγρότης,

Digitized by Google

ὅτε προδεικνὺς αἰθρίαν πεπηγμένην
τὸν σῖτον ἁπλοῖς ἐξ ἐνύγρου κυθμένος
εἰς ἄξυλον πῦρ εἰς τὸν ἥλιον φέρων,
ὅπως πυρωθεὶς ταῖς βολαῖς ταῖς ἐμφλόγοις
ὡς ἄρτος ὀπτὸς εὑρεθῇ πεφρυγμένος;
οὐ γὰρ τοσαύτης ἦν ὁ μύρμηξ φροντίδος,
ὡς ῥυθμὸν εὑρεῖν γνωστικῆς προβλεψίας,
εἰ μή τις ἦν πρόνοια μὴ φρονεῖν μέγα
τοὺς τῶν ἐν ἄστροις αἰτιῶν ζυγοστάτας,
ἀλλ' ὥστε καὶ μύρμηκα θαυμάζειν ὅπως
χειμῶνα θηλοῖ καὶ προμηνύει θέρος.

Τίς ποικίλην δίδωσι τοῖς φοῖς φύσιν,
μικροῖς δὲ τὰ στοιχεῖα δεικνύει τύποις,
τὸ λεπτὸν αὐτοῖς ἐμβαλὼν ὡς ἀέρα,
τὸ ξανθὸν ὡς πῦρ, καὶ τὸ λευκὸν ὡς ὕδωρ,
τὸ σκληρὸν ὡς γῆν; ἀπογεοῖ γὰρ ἡ φύσις
ἔξωθεν αὐτό, γῆς μεσοκλήρου δίκην,
ὡς μήτε τοὺς ἔξωθεν ἐκλῦσαι τόνους,
μηδ' αὖ γε τοὺς ἔσωθεν ἀμβλῦναι πόρους·
ἔσω γὰρ αὐτοῖς ἀντὶ μήτρας καὶ σπόρου
στιγμή τις ἐμπέφυκεν ᾠματωμένη,
δι' ἧς ἐκεῖνα σωματοῖ τὰ ποικίλα
εἰς σάρκας εἰς ὄστωσιν εἰς πτερῶν χύσιν.

Ὦ πῶς ἰδών τις τὸν ταῶν μὴ θαυμάσοι
τὸν χρυσὸν ὡς σάπφειρον ἐμπεπλεγμένον
καὶ τὴν πτερωτὴν ἐν σμαράγδῳ πορφύραν,
τὰς πουλυμόρφους συνθέσεις τῶν χρωμάτων
ὅλας ἀσυγχύτους τε καὶ μεμιγμένας;

Τίς ἐκστρατεύει παγγενῇ τὴν ἀκρίδα,
ἔθνος πτερωτὸν εἰς φθορὰν Λιγυπτίων,
βέλος νεφῶδες ἐξ ἀθήλου τοξότου,
λόγχην ἑτοίμην, αὐτοκίνητον δόρυ,

Digitized by Google

πυκνὴν φάλαγγα, μυριόστομον ξίφος,
πηδητικὴν ἔπαλξιν ἀστάτου μάχης;
οὐχ ἵσταται γάρ, ἀλλὰ πλήττει καὶ τρέχει,
ἕρπουσα πορθεῖ καὶ κλονεῖ πτερουμένη,
δοκεῖ δὲ φεύγειν καὶ παλίνδρομος μένει,
φθείρει πρὸ καιροῦ καὶ θερίζει πρὸ χρόνου,
τήκει τὰ δένδρα καὶ μαραίνει τὴν πόαν,
ὠμὴν ἀμέλγει τῶν ὀπῶν τὴν ἰκμάδα,
τρυγᾷ τὰ φύλλα, τὴν τρύγην δὲ βόσκεται,
καὶ συλλέγει τὰ κῶλα καὶ τείνει πάλιν,
ὥσπερ τὰ νεῦρα τῶν βελῶν οἱ τοξόται,
καὶ τραυματοῖ τὸ σῶμα τῶν ἐναντίων
τοῖς ἀντιλόξοις τῶν σκελῶν ἀκοντίοις.
Καὶ μή τις ἡμᾶς κομπορήμων φαυλίσῃ
ὡς πρὸς τὰ μικρὰ καὶ σχεδὸν τεγμημένα
κινοῦντας εἰκῇ τοῦ λόγου τὸν ἄξονα.
εἰ γάρ τις οἶκον ἠγλαϊσμένον βλέπων
μορφαῖς ἀπαστράπτοντα κεχρυσωμέναις,
ἡρμοσμένον δὲ καὶ σιδήρῳ καὶ ξύλοις
καὶ τῇ πενιχρᾷ συμπλοκῇ τῶν ὀστράκων
σὺν τοῖς μεγίστοις καὶ τὰ μικρὰ θαυμάσοι,
στέργων ἅπαντα καὶ κροτῶν τὸν ἐργάτην,
πῶς οὐχὶ μᾶλλον τοῦ παντεργάτου λόγου
μύρμηκα καὶ κώνωπα καὶ τὴν ἀκρίδα
τὰ πάντα θαυμάσειεν ἔργα σὺν φόβῳ;
πῶς ἡ χαμερπὴς καὶ τοσαύτη σμικρότης
τυχεῖν τοσαύτης ἠξιώθη φροντίδος,
ὡς καὶ φρόνησιν ἐντεθῆναι καὶ κράτος
ἰσχνῇ ταπεινῇ καὶ στενῇ διαπλάσει;
καὶ πῶς τὸ φρικτὸν οὐχ ὑπεστάλη κράτος
ἔργοις τοσαύτης προσβαλεῖν λεπτουργίας;
Πόθεν ταῖς πρόεισιν ὡραῖος πάλιν,

Digitized by Google

ὄρνις διανγὴς καὶ κατάστερος φύσει,
τὴν πορφύραν πτερωτὸς ἠμφιεσμένος,
ἐξ ἧς ἀλαζὼν καὶ τυφώθης τὴν θέαν
μόνος διάττει τῶν ἁπάντων ὀρνίθων,
ἦγ' ἐξ ἀμόχθων συμπλακεῖσα πλασμάτων
πολλὴν χύσιν ἔμιξεν αὐτῷ χρωμάτων;
Ποῖος δὲ τὸν σκώληκα Σηρικὸς νόμος
πείθει τὰ λαμπρόκλωστα νήματα πλέκειν,
ἃ τῇ βαφῇ χρωσθέντα τῆς ἁλουργίδος
χαυνοῖ τὸν ὄγκον τῶν κρατούντων ἐμφρόνως;
μνήμη γὰρ αὐτοὺς εὐλαβῶς ὑποτρέχει
ὅτι πρὸ αὐτῶν τῆς στολῆς ἡ λαμπρότης
σκώληκος ἦν ἔνδυμα καὶ φθαρτὴ σκέπη,
ὃς τῇ καθ' ἡμᾶς μαρτυρῶν ἀναστάσει,
θνήσκει μὲν ἔνδον τῶν ἑαυτοῦ νημάτων,
τὸν α'τὸν οἶκον καὶ ταφὴν δεδεγμένος,
σχεδὸν δὲ παντὸς τοῦ κατ' αὐτὸν σαρκίου
σαπέντος ἢ ῥυέντος ἢ τετηγμένου,
χρόνου καλοῦντος ἐκ φθορᾶς ὑποστρέφει
καὶ τὴν πάλαι μόρφωσιν ἀρρήτως φύει
ἐν τῷ περιττεύσαντι μικρῷ λειψάνῳ
πρὸς τὴν ἀπ' ἀρχῆς σωματούμενος πλάσιν.
κατηγορεῖ δὲ πυκνὰ τῶν πλανωμένων
καὶ ζῶν ἐλέγχει τὴν πικρὰν ἀπιστίαν,
εἰ μηδὲ τοῖς σκώληξιν ὡς διδασκάλοις
πεισθεῖσα λοιπὸν τὴν ἀνάστασιν σέβει.
ποίου γὰρ ἂν τύχωσι συγγνώμης λόγου
οἳ τοῖς ἑαυτῶν ψηλαφῶντες δακτύλοις
σκώληκα νεκρὸν ἐκ ταφῆς ὁδοιπόρου
βλέποντες ἢ μύοντες εἰς ἀβλεψίαν
τὴν πίστιν ἀντέστρεψαν εἰς ἀπιστίαν;
Πόθεν χελιδὼν ἐξ ἀομμάτου θέας

Digitized by Google

τριήμερος πρόεισιν ὀμματουμένη,
πόαν περιτρίψασα ταῖς κόραις μίαν,
ἣν οὐκ ἀκόμψως καὶ χελιδόνιον λέγειν
κριταὶ παλαιῶν δογμάτων ἐθέσπισαν,
τὴν ἀξίαν λαβοῦσαν ἐκ τῶν πραγμάτων.
καὶ τῷ θέρει μὲν ὡς λύρα ῥυθμίζεται·
ὅταν δὲ χειμὼν εἰσβάλῃ, συστέλλεται,
καὶ δένδρον εὑρεῖν οἰκίαν τεχνάζεται,
καὶ σπαργανοῦται συντεθεῖσα τῷ ξύλῳ,
καὶ τὴν πτερωτὴν ἐκδιδύσκεται σκέπην,
αὖθις δὲ ταύτην ἀμφιέννυται νέαν,
ὡς οἷα νεκρὸς ἐκ ταφῆς ἀνηγμένη.
ἦαρ γὰρ αὐτῇ τὴν ἀνάστασιν φέρει,
καὶ πολλὰ κράζει καὶ λαλεῖ καθ' ἡμέραν,
εἴπερ τίς ἐστι καὶ παρ' ὀρνέοις λόγος.
ἄνθρωπε, τιμᾶν τὴν ἀνάστασιν μάθε,
λάλον θεωρῶν ἐκ ταφῆς χελιδόνα.

Τίς τὸν σπαρέντα σῖτον ἐκ τῶν ἐγκάτων
τῆς γῆς ἀνιστᾷ καὶ τὸν ὥσπερ ἐν τάφῳ
φθαρέντα κόκκον μυριόσταχυν φέρει;
οὐ τοῖς σοφισταῖς ὡς δοκεῖ τῶν πλασμάτων
ὕπαρξιν ἄλλου τὴν φθορὰν ἄλλου λέγειν,
οὐδ' ὡς λέγουσιν ἐκ μὲν ἵππου σήψεως
σφηκῶν κύησιν, ἐξ ὄνου δὲ κανθάρων,
βοὸς δὲ τὴν μέλισσαν τὴν φιλεργάτιν·
ἡ τοῦ γένους γὰρ ταυτότης οὐκ ἠλλάγη,
ἀλλ' αὐτὸς οὗτος τοῦ φθαρέντος ὁ σπόρος
πρὸς ἥνπερ εἶχεν οὐσίαν ἀντεστράφη.

Τίς τι῀ν παρ' ἡμῖν τεκνοποιῶν σπερμάτων
τὴν σῆψιν ἐς σύμπηξιν ὀστώδη πλέκει;
εἰ μὴ σαπῇ γὰρ καὶ παρ' ἡμῖν ὁ σπόρος
ὡς σῶμα νεκρὸν ἐνταφεὶς τῇ κοιλίᾳ,

Digitized by Google

οὐ σωματοῦται τῇ κυήσει τὸ βρέφος
εἰς δέρμα καὶ νεύρωσιν ὀργανούμενον.
Τίς οὖν τὸ τοῦ κτίσαντος οὐ φρίττει κράτος,
εἰ καὶ τὸ πρῶτον καὶ πάλιν τὸ δεύτερον
δείκνυσιν ἡμᾶς ἐκ φθορᾶς ζωουμένους;
ἀλλ' ἔστιν ἡμῖν εὐσυνόπτους εἰκόνας
τῇ φωταγωγῷ τῶν νεκρῶν ἀναστάσει
καὶ μέχρι δεῖξαι τῶν παρ' ἡμῖν τραυμάτων
στῆσαι τε τοὺς μώλωπας ἀντὶ μαρτύρων
ἠχητικῆς σάλπιγγος εὐστομωτέρους.
ὅταν γὰρ ἰχὼρ σηπτικὸς παρεμπέσῃ
σύριγγα τίκτων ἐκ νομῆς πυοτρόφου,
οὐκ ἄν τις εὕροι τοῦ σεσηπότος μέλους
τὴν ὥσπερ εἰπεῖν ἐκ μέρους ἀνάστασιν,
εἰ μὴ φυῇ τὰ πρῶτα καὶ λύσιν πάθῃ,
ἢ παντελῆ σύμπηξιν ἐκ φθορᾶς λάβῃ,
τῆς ἔνδον αὐτοῦ σαρκὸς ἠφανισμένης·
οὕτω γὰρ αὖθις γίνεται σεσωσμένος,
πυρὶ στομωθεὶς ἢ διαιρεθεὶς ξίφει,
ἢ καὶ μελικράτῳ τε καί τινι δρόσῳ
πρὸς τὴν ἰατρεύουσαν ἀρρήτως κρίσιν
στύφουσαν ἢ ψύχουσαν ἢ καθαρσίαν
εὑρὼν ἐκείνου τοῦ μέλους ἀνάστασιν;
Πῶς οὖν μελίκρατόν τε καὶ πῦρ καὶ ξίφος
καὶ μὴν ὀπὸς καὶ ῥίζα καὶ χοῦς καὶ δρόσος
εἴργει τὸ ῥεῦμα καὶ τὸ δέρμα συλλέγει
ἢ τὴν παλαιὰν σάρκα προσκαλούμενα
ἢ σῶμα προσπλάσαντα τῷ πάλαι νέον,
ὁ δὲ πλάσας τὸ σῶμα μὴ συναρμόσει
ῥυὲν τὸ σῶμα, κἂν σαπῇ κεχωσμένον,
ἢ τὴν παλαιὰν δερματώσας οὐσίαν
ἢ τῷ φθαρέντι καὶ σαπέντι σαρκίῳ

Digitized by Google

χιτῶνα λεπτὸν ἐμβαλὼν ἀφθαρσίας;
Ποίας δὲ καὶ τύχωμεν εὐελπιστίας,
εἰ τοὺς ἰατροὺς τοῦ γεώδους σαρκίου
ἄγειν ἐῶμεν καὶ φέρειν τὰ σώματα
ὡς ἂν δοκῶσι, κἂν δοκῶσι χειρόνως,
μηδὲν δὲ δῶμεν τῷ Γαληνῷ τῶν ὅλων
ψυχῶν ἰατρῷ πρὸς φιλάνθρωπον τέλος
τὸ σῶμα νεκρώσαντι τῆς ἁμαρτίας,
ὑπνωτικὸν δὲ φάρμακον δεδωκότι,
ὅπως τὸ ῥευστὸν τῆς φθορᾶς ἀποξέσας
ἄῤῥευστον ἡμῶν ἐξεγείρῃ τὴν φύσιν;
Ἢ πῶς ὁ τοῦ Μάνεντος ἐμμανὴς λόγος
λυττᾷ καθ' ἡμῶν καὶ λαλεῖ πεφυρμένα,
ὡς εἶγε ταὐτὸν ἐξεγείρεται πάλιν
τὸ σῶμα τοῦτο καὶ φθαρήσεται πάλιν
χολὴν ἔχον καὶ φλέγμα καὶ λύσιν μάχης,
καίπερ θεωρῶν τῶν ἑαυτοῦ τραυμάτων
τὴν σηπτικὴν σύριγγα τοὺς χυμοὺς ὅλους
ὡς πρὸς μάχην θήγουσαν ἀνθωπλισμένην,
χολῆς μελαίνης καὶ χολῆς ξανθοπλόκου
καὶ φλέγματος πρὸς αἷμα συμπεπλεγμένου
καὶ συῤῥυέντων καὶ πεφυρμένων ὅλων
μάχην θεωρῶν, μὴ θεωρῶν τὴν λύσιν,
καὶ μηδὲ τοῖς μώλωψι πεισθῆναι θέλων
ὡς καὶ σαπέντων ἐκ φθορᾶς τῶν ὀργάνων
ἄσηπτον αὐτοῖς ἀντεγείρεται δέρας,
καὶ συμβιβασμὸς γίνεται τῶν σχισμάτων
ἐκ τῶν παρ' αὐτοῖς ὡς νομίζεται μάχης;
ἢ πῶς φυλαχθῇ τὸ λογικῶς εἰρημένον
'σύμπνοια καὶ σύῤῥοια τῶν ὅλων μία,'
εἴπερ τὸ σύμπνουν σχίσμα γίνεται μάχης;
ἢ πῶς τὸ ῥευστὸν εὑρεθῇ πεπηγμένον,

Digitized by Google

εἰ μὴ παρούσης τῆς ἀναγκαίας μάχης
θάλψει τὸ φλέγμα τῆς χολῆς ἡ θερμότης,
ἢ συγκερασθῇ θερμότητι ψυχρότης,
ἢ ξηρότης εὔικμον ῥπάσει μάχην;
οὐ κυρίως οὖν ἐστὶν ἡ μάχη μάχη,
συνεκτικὴ δὲ μᾶλλον ἢ τοὐναντίον
χωριστικὴ πέφυκε τῶν ἡρμοσμένων,
σφίγγουσα τὴν σύμπηξιν, ἄχρι τὴν θέσιν
λύσῃ τὸ τοῦ σφίγξαντος ἄρρητον κράτος.
Ὡς γάρ τις οἶκον δημιουργῆσαι θέλων
καὶ σφῆνα πήξας σφαιροσυνθέτου στέγης
οἶδεν μόνος τὸ σφίγμα καὶ λύει μόνος,
οὕτως ὁ τὴν ἔνσαρκον οὐσίαν κτίσας,
ὅταν δέῃ τὸν οἶκον ἐλθεῖν εἰς λύσιν,
οὐ φλέγμα κινεῖ καὶ χολὴν πρὸς τὴν λύσιν,
ὡς ἐνδεὴς ὢν ὑλικοῦ παρεργάτου,
ἀλλ' ἐκβαλὼν τὸν σφῆνα τὸν ψυχοκράτην,
ὡς οἶδεν, ὡς ἔσφιγξε, καὶ λύει μόνος.
ὅταν δὲ τὴν σύμπηξιν ἁρμόσαι θέλῃ
(κτίσαι γὰρ αὖθις βούλεται τὴν οἰκίαν
πτῶσιν παθοῦσαν ἐξ ἀθήλων πνευμάτων)
εἰ καὶ χολὴν καὶ φλέγμα καὶ πνεῦμα λάβοι,
ἄσβεστον ὥσπερ συμβιβάζων ὀστράκῳ
(χυλοὶ γάρ εἰσι καὶ μέρη τοῦ κτίσματος),
τὸν σφῆνα πήξας, ὥστε λῦσαι μηκέτι,
ἄφθαρτον ἡμῶν ἐξεγείρει τὴν φύσιν.
Πλὴν ταῦτα πρὸς Μάνεντα τὸν μεμηνότα·
ἡμεῖς γὰρ ἴσμεν ὡς ἐναλλαγὴν θέον
τὸ θνητὸν ἡμῶν τοῦτο προσλαβεῖν θέρας,
ὃ σπείρεται μὲν ἐν φθορᾷ τεθαμμένον,
ἀνίσταται δὲ τῆς φθορᾶς ἀντιστρόφως,
ἄφθαρτον, ὡς ἔδοξε τῷ παντεργάτῃ.

Digitized by Google

οὕτως ὁ πλάστης κἂν τε χυλῶσαι θέλῃ
τὸ σῶμα τοῦτο, κἂν τε λεπτῦναι πλέον,
ὅμως ἄσηπτον τῶν σαπέντων τὴν φύσιν
ὡς τραῦμα νεκρὸν θερματοῖ καὶ συλλέγει·
ἀρκεῖ γὰρ αὐτῷ πρὸς τὸ σαρκῶσαι λόγος,
τὴν γῆν ἐρευνῶν καὶ τὰ κύματα βλέπων
καὶ συλλέγων τὰ κῶλα τῶν κοιμωμένων·
καὶ κἂν τις ὠμόσαρκον ἀνθρώπου κρέας
ἰχθὺς σπαράξῃ, καὶ τὸν ἰχθὺν ἀγρότης,
καὶ τοῦτον ἄρκτος, καὶ τὸ θηρίον κύνες,
γῦπες δὲ τούτους, τοὺς δὲ γῦπας οἱ τάφοι,
καὶ πᾶσαν ἁπλῶς ἀνθυποδράμῃ φύσιν
εἰς ἀλλοφύλους ἀντικλώμενος ῥύσεις.
ὅμως ἔσω πέφυκε τῶν ὁρισμάτων,
τῇ χειρὶ τοῦ κτίσαντος ἐσφραγισμένος.
Οὐκοῦν ἐάν τις χειρὸς εὐτελεστάτης
τοὺς πενταχόρδους ἐξαπλώσας δακτύλους
κριθὰς ὀλύρας κέγχρον ἢ σῖτον λάβῃ,
ἢ πλῆθος ἁπλῶς ὀσπρίων πεφυρμένων,
οἶδεν διαιρεῖν καὶ μερίζειν εὐθέτως
ἐκεῖνο τοῦτο, καὶ συνάπτει τὰς φύσεις
καὶ ῥᾷστα συντίθησι πρὸς γένος γένος,
πῶς καὶ λιθώδης οὐ συνήσει καρδία
ἐν χειρὶ τοῦ κτίσαντος οὖσαν τὴν κτίσιν,
ἐν τῇ καθ' ἡμᾶς συνδραμεῖν ἀναστάσει,
καὶ συγκομίζειν ὥσπερ ἄλλος τοὺς φόρους
ἐκεῖθεν ἔνθεν τὰς φορὰς τῶν λειψάνων,
ἀρτηρίας καὶ νεῦρα, σάρκας καὶ φλέβας,
καὶ παντὸς ἄρθρου συλλογὴν κεκρυμμένου,
συνεισάγειν δὲ τὰς ἑκάστου λοιπάδας
(εἰσὶ γὰρ ἄχρι καὶ τριχὸς γεγραμμέναι),
φέρειν τε πᾶσαν τὴν ἐναπόγραφον φύσιν

Digitized by Google

τῇ πρὸς τὸν αὐτῆς δεσπότην περιστάσει,
ὅπως ὑφέξει τοῖς ἐπείκταις ἀγγέλοις
τοὺς συλλογισμοὺς τῶν χρεῶν καὶ τῶν τόκων
καὶ τὰς ἀπαρχὰς τῆς γεώδους καρδίας,
σπόρου τε καρπὸν καὶ σπορᾶς ἀκαρπίαν,
ζυγοῦ τε λεῖμμα καὶ ῥοπῆς συσταθμίαν,
καὶ πᾶσαν ἁπλῶς ψυχικὴν λειτουργίαν.

Οὕτως ἑαυτὸν ταῖς ἐνεργείαις ἔθου
γνωστὸν παρ' ἡμῖν καίπερ ὢν κεκρυμμένος·
ὅσον γὰρ ἡμᾶς τῶν ὑπερτέρων νόων
ὑπερβέβηκεν ἡ θεόπνους ἀκρότης,
τοσοῦτον αὐτὰς αἱ μέσαι, καὶ τὰς μέσας
τρίτη τις ἄλλη τάξις ἀρχικωτέρα,
ἢ μᾶλλον ἐμπέφυκε τῇ πανομμάτῳ
καὶ τῇ πτερωτῇ τοῦ τάχους ἐκτάσει,
ἡ πρὸς τὸ θεῖον ἀγχιγείτων ἀκρότης.
ὅσον γὰρ ἐγγίζουσι, τὰς ἀποστάσεις
ποιοῦσι μείζους, καὶ ξενοτρόπῳ λόγῳ
τὰς προσθέσεις ἔχουσιν ὡς ἀφαιρέσεις.

Εἰ γὰρ τὸ τῆς γῆς τοῦτο πῦρ ὁ προσβλέπων
πόρρω μὲν ἑστὼς θέλγεται πρὸς τὴν θέαν,
ἀφίσταται δὲ τῇ φλογὶ προσεγγίσας,
πῶς πρὸς τὸ πῦρ ἐκεῖνο τῆς ἀφλεξίας
ὁ μᾶλλον ἐγγύς, κἂν πέφυκεν ἄγγελος,
μὴ μᾶλλον ἑκστῇ καὶ διαστῇ τῷ φόβῳ
ἐν πυρσοφεγγεῖ καὶ θεοκρυφεῖ γνόφῳ
ἀφεγγὲς εὑρὼν καὶ τὸ πῦρ καὶ τὴν φλόγα;
ἐντεῦθεν ὡς ἔοικεν ἐγγίζει πλέον
ἡ τῶν Χερουβὶμ ὀμματόπλουτος φύσις
βλέπουσα καὶ μύουσα τοῦ βλέπειν πλέον·
φρικτὸν γὰρ ἐντέθεικε τῇ κτίσει φόβον
ὁ πρῶτος εἰς γῆν ἐκπεσὼν ἑωσφόρος,

Digitized by Google

βλέπων ἀμέτρως καὶ παθὼν τὸ μὴ βλέπειν,
ὡς μηδὲν εἶναι παντελῶς ἀνειμένον,
ἢ τῆς παναρκοῦς καὶ σοφῆς ἐποψίας
τοῦ δημιουργήσαντος ἐξηρημένον,
εἶναι δὲ πάντα πρός τι χρήσιμον τέλος,
καὶ μέχρι χόρτου καὶ φυτῶν καὶ θηρίων
καὶ τῶν ἀφώνων τῆς θαλάσσης ἰχθύων
καὶ τῶν ἀπ' αὐτῆς ἐκφυέντων ὀρνέων,
φθάσαι δὲ μέχρι τῶν ἀποκρότων λίθων
τὴν συντομουργὸν τοῦ θεοῦ λεπτουργίαν,
εἴπερ νόσος μὲν ἐξελαύνεται λίθῳ,
ἄλλος δὲ τὸν σίδηρον ἀνθέλκει λίθος,
ἄλλοι δὲ πυρσοὺς ἀντανάπτουσι λίθοι
οὐκ οἶδα πῶς ἔσωθεν ἐξωθουμένους,
καὶ τοὺς κεραυνοὺς ἄλλος ἀμβλύνει λίθος,
καὶ πῦρ νόθον σβέννυσιν ἐξηρτημένος,
οὐχ ὡς λίθος δρῶν, ἀλλ' ὅπως μάθῃς ὅτι
θεοῦ θέλοντος ὠφελοῦσι καὶ λίθοι,
καὶ τὴν δι' αὐτοὺς ἐντροπὴν δεδοικότες
πεισθῶμεν ἡμεῖς ὠφελεῖν κἂν ὡς λίθοι.
εἴργει δὲ βῶλος αἱματόπτυστον χύσιν,
πηλὸς δὲ σωτὴρ γίνεται δυσεντέροις,
ἄνθος δὲ χόρτου πάσμα γίνεται πάθους,
ὀπὸς δὲ ῥίζης φάρμακον καθαρσίου,
σταγὼν δὲ κέδρου κνησμονὴν ἀποξέει.
ἐπωφελὴς δὲ πικρότης ἀψινθίου,
ὑπεργλυκάζον εἰς περίστασιν μέλι,
καὶ τῶν βάτων δὲ τῶν ἀκάρπων οἱ κλάδοι
ἀποικίλους φύουσι τοὺς Ἱπποκράτας,
καὶ τοὺς ἀκάρπους μὴ φοβουμένη νόμους
ἐκ τῶν ἀκάνθων γίνεται σωτηρία,
καὶ τέφρα καὶ χοῦς ὠφελοῦσι καὶ τρίχες

Digitized by Google

(τοῖς γὰρ καθοῦσιν ἐκ κρύους ἀβλεψίαν
καπνὸς Γαληνὸς γίνεται παρ' ἐλπίδα),
νάρκη δὲ ναρκοῖ τὰς ἁφὰς τῶν ὀργάνων
(ἔστι γὰρ ἐν δέοντι καὶ νάρκης χάρις),
στέαρ δὲ φώκης φλεγμονὰς οἰδημάτων
σβέννυσιν, ὥσπερ τὰς καμίνους ἡ δρόσος,
καὶ συμφλεγέντων ἱπποκάμπων αἰθάλη
σφίγγει τρεμούσας ἐκρυῆναι τὰς τρίχας,
τρυγὰν δὲ παύει τῶν ὀδόντων τοὺς κλόνους,
ὡς ἐν ταλάντῳ τεχνικὸς ζυγοστάτης
τὸ κέντρον αὐτῆς ἐντιθεῖσα τοῖς πόνοις,
καὶ βρῶσις ἁπλῆ τοῦ σκάρου τῶν ἐντέρων
εἴργει τὸ ῥεῦμα τῶν παρ' ἡμῖν ἐντέρων,
ποθεὶς δὲ χυλὸς κωβιῶν πετροστέγων
ὄχημα γαστρὸς γίνεται πεφραγμένης,
φθίσιν δὲ καὶ χίμετλα καὶ τῶν σκορπίων
θραύει τὰ κέντρα, καὶ καταψύχει πόνους
τοὺς λυσσοδήκτους, τοὺς δὲ καρκίνους ξέει
καρκίνος ἐλθὼν ἐκ βυθοῦ θαλαττίου,
σοφίζεται δὲ καὶ πρὸς ἄγραν ὀστρέων·
ψάμμον γὰρ αὐτοῖς ἐμβαλὼν χασμωμένοις
εἴργει συνελθεῖν τὰς λαβὰς τῶν διπτύχων,
ἀνειμένων δὲ τῶν θυρῶν ὁ τοῦ σάλου
κλέπτης ἀνασπᾷ τὴν τροφὴν κεκρυμμένην.
Ἰχθὺς δὲ πνεύμων τοῖς σάλοις ἐπιπνέων,
ᾧ μηδὲν ἐστιν ἐμφερὲς πρὸς ἰχθύας,
ἄμορφος εἰκών, δυσδιάγνωστος θέα,
ἔμψυχος οὐκ ἔμψυχος, ἀλλ' εἰκῇ μόνον
δοκῶν ἑαυτὸν ἐξαπλοῦν καὶ συλλέγειν,
τὰς δυσκαθέκτους τῶν ποδῶν ὑπερξέσεις
ὡς οὐδὲν ἄλλο συντριβεὶς ἀποτρέπει.
Καὶ νεῦρα μὲν σπασθέντα συστολῆς βίᾳ

Digitized by Google

λέοντος ὡς λέγουσιν εὐρύνει στέαρ·
πάθους δὲ λύτρον αἷμα γίνεται τράγου.
καὶ τοὺς κεράστας εὐλαβεῖται κανθάρους
τὸ φλεκτικὸν πῦρ τοῦ τεταρταίου τρόμου,
καὶ τῇ γνοώδει τῶν μυώπων αἰθάλῃ
τὸ τῶν μυώπων ἔκορίζεται πάθος·
οὐ φείδεται γὰρ συλλαβῆς ὁμωνύμου
εἰς ζῆλον ἔργου συγκροτουμένη φύσις.
Εἰσὶ δὲ καὶ γῆς καὶ θαλάσσης κοχλίαι
μικροί, μεγίστων συμφορῶν εὐεργέται.
ὧν εἰ τεφρώσεις τὴν δορὰν τῶν ὀστράκων,
ἀλφοὺς ἀναιρεῖς· εἰ δὲ συμπλέξας μέλι
τὴν ξηρὰν ὑγρῷ στοιχειώσεις αἰθάλην,
οἴδημα γαστρὸς καὶ ποδῶν ἐπιρρύσεις
νεύρων τε πληγὰς καὶ ζοφώσεις ὀμμάτων
καὶ τὴν πρὸ ῥινῶν αἱματόρροιαν σβέσεις,
καὶ θαυμάσας τὸ θεῖον ὑμνήσεις κράτος,
βαλὼν ἓν ἀντίφραγμα μυρίαις νόσοις.
πόθεν δὲ καὶ πῶς ταῦτα γίνεται θέλων
εἰπεῖν ἀτερμάτιστον ἀντλήσεις βάθος.
Καὶ τῶν ἀναγκαίων γὰρ ὥς φασι πόρων
ὁ βλέννος εἴργει τὰς ἀκουσίους ῥύσεις,
γύγου δὲ γλῶσσα προστεθεῖσα νηπίοις
λύει τὰ κλεῖθρα τῆς ἀφώνου γλωσσίδος,
λίθους δὲ τέττιξ τῶν ποδῶν περιγλύφει,
ὀπτὸς λιθουργὸς εἰς περίστασιν πόνου.
Καὶ ψυχρὸς ἰὸς θερμὸν ἔσβεσεν πάθος,
ὀπῷ δὲ θερμῷ ψυχρὸς ὤκλασεν πόνος,
καὶ σὰρξ ἐχιδνῶν ἀντιφάρμακος δόσις,
καὶ σφίγμα σαρκὸς γίνεται λωβωμένης·
τὸν ῥοῦν γὰρ ἱστᾷ καὶ τὸν ἰχῶρα ξέει,
καὶ σωματουργεῖ τὰς ῥεούσας εἰκόνας,

Digitized by Google

μορφοῦσα τὰ πρόσωπα τῆς ἀμορφίας.
Καί πού τινος λέγουσιν εἰς φρικτὸν πάθος
εἰς λοιμὸν εἰσφρήσαντος ἐντρόμῳ ζέσει,
πνέοντος αὖραν τοῦ νοσοῦντος ἐσχάτην
ἤδη παρ' αὐτὰς τῆς ταφῆς τὰς εἰσόδους,
τὸ κέντρον ἐνθεὶς ἐξ ἀθήλου σκορπίος
ἰῷ τὸν ἰὸν ἀντιτάξας πρὸς μάχην
ἤμβλυνεν ἡμαύρωσε συγκράσει ξένῃ,
ψῦξιν βαλὼν ἄπληστον ἀκράτῳ ζέσει.
Οὕτως ἕκαστα συμφερόντως ἡ χάρις
καὶ πρός τι ῥυθμίσασα τῶν ἀγωγίμων
οὐδὲν περιττὸν οὐδὲ λεῖπον εἰσάγει,
καὶ μέχρι φλοιῶν καὶ τριχῶν καὶ δακρύων
καὶ μέχρι πηλοῦ καὶ κάπνου καὶ κοπρίας,
εἰ καὶ τὰ μὲν λέληθεν ἠγνοημένα,
τὰ δὲ πρόδηλον εὗρε τὴν εὐχρηστίαν,
ὡς πρός τι φαῦλα μηδαμῶς λοιπὸν λέγειν
ἀστεῖα πάντα καὶ καλῶς εἰργασμένα.
Τίς γὰρ θεωρῶν βότρυν οὐ κατεπλάγη
τὸν δόντα θερμὴν ὑγρότητα τῷ ξύλῳ
καὶ πῶς τὰ φῦλλα τὰς ἑτοίμους εἰς ῥύσιν
ῥᾶγας περιπτύσσουσι, μὴ βροχῆς βέλος
πλήξῃ τὸ χαῦνον ἢ φλογώδης ἡλίου
φρύξασα θέρμη τοὺς ὀποὺς ἐξικμάσῃ.
Τίς δέρμα ῥοιᾶς εὐδιαιρέτως σχίσας
καὶ τὴν θέσιν γνοὺς τῶν ἐνύγρων ἀνθράκων
καὶ πῶς ἑκάστῳ συντεθέντι χωρίῳ
φραγμὸς μεσάζει καὶ μερίζει τοὺς ὅρους,
ὑμὴν φλογώδης λεπτὰ τείνων σπαρτία,
μήπως βαρυνθῇ τῶν ὀπῶν ἡ χαυνότης
καὶ θλῖψιν ἕξει τῇ δέσει τοῦ σφίγματος,
κἀντεῦθεν ἰκμὰς τῆς ὀπώρας ἐκπέσῃ

Digitized by Google

σήψῃ τε κόκκος ἄλλος ἄλλου ἐκρέων,
οὐ τὴν ὑπὲρ νοῦν ἐννοήσας αἰτίαν
πρὸ τοῦ φαγεῖν ὕμνησε τὸν παντεργάτην;
ὁ νοῦς γὰρ εὐθύς, ὡς ταχύδρομος φύσει,
ἀφεὶς τὸ θαῦμα πρὸς τὸν αἴτιον τρέχει.
Τίς ἐμφυτεύσας τῷ βυθῷ κηκτὸν γάλα
τοὺς μαργαρίτας λευκοδέρμους ἐκτρέφει;
πόθεν χλοάζει τῶν σμαράγδων ἡ φύσις
εἰς πάντα καιρόν; οὐ γὰρ εἰς ἔαρ μόνον.
τίς ἄνθος ἐντέθεικε σαπφείρῳ λίθῳ,
εἰ μηδὲν ἄνθος ἐν λίθῳ φυτεύεται;
πόθεν πυραυγὴς ἡ βαφὴ τῶν ἀνθράκων,
εἰ ψυχρότητι πᾶσα πήγνυται λίθος;
τίς ταῦτα ποιεῖ καὶ συνιστᾷ καὶ τρέπει,
εἰ μὴ τὸ σὸν βούλημα καὶ τὸ σὸν κράτος,
τοῦ πάντα δρῶντος ὡς δοκεῖ σοι καὶ θέλεις;
τὸ σὸν γὰρ εἰς ἄπειρον ἐκτείνας κράτος
φαίνῃ καλύπτῃ καὶ προέρχῃ καὶ μένεις
στάσει τρεχούσῃ καὶ φορᾷ πεπηγμένῃ
καὶ τὰς ἀμόρφους εἰδοποιῶν οὐσίας.
αὐτὸς δὲ τοῦ σύμπαντος ἐξῃρημένος
ὑπερτελὴς εἶ· καὶ γὰρ ἀρχὴν οὐκ ἔχεις,
τέλους ἀπέστης καὶ διέστης τοῦ μέσου,
ἐκτὸς βεβηκὼς τῶν τριῶν καὶ τῶν ὅλων
ἐντὸς πεφυκὼς τῶν ὅλων ἐκτὸς μένεις·
πρόδηλος ὢν ἄδηλος, οὐκ ἔχων ὅρους,
ἀλλ' ὢν ὁρισμὸς τῶν ὁριζόντων ὅρων·
ἄρχων ἀνάρχως, οὐ μετρούμενος χρόνῳ,
ῥοπῇ δὲ ποιῶν ἀχρόνῳ τὰ τοῦ χρόνου.
Ὡς ἔντεχνος δὲ τῶν φρενῶν ἐπιστάτης
πᾶσάν τε πρᾶξιν τεχνολογεῖν ἠσκημένος
καὶ πᾶν μὲν εἰδὼς ὄνομα καὶ ῥῆμα ξένον

Digitized by Google

καὶ λεπτὸν ἄρθρον καὶ μετοχὴν κεκρυμμένην,
ἀντωνυμίαν δὲ πᾶσαν ἠκριβωμένος,
προθέσει δὲ πάσῃ μέτρα δοὺς ἡρμοσμένα
τὸν πάντα κόσμον εἰς ἐπίρρημα τρέπεις,
εἰ μὴ τὸ σὸν συνεῖδεν ἀρρήτως κράτος,
συζευκτικὸν σύνδεσμον ἐμβαλεῖς ὅλοις.
ἀεὶ δὲ δεικνὺς τεχνικὰς ἐπεκτάσεις
ἅπαντα γίνῃ πρὸς τό σοι δεδογμένον,
μέλλων ἐνεστὼς παρατατικὸς παρακείμενος,
σὺν τοῖς δε . . . . . ἅμα
ἀόριστος ὑπερσυντελικός· ἐγκλίσεις νέμων,
ὁριστικὴν ἀπαρέμφατον εὐκτικὴν πλέον.
ἐνθεὶς δὲ ταῦτα τῇ τέχνῃ τῇ ἀρρήτῳ
προστακτικῷ δὲ πάντα μορφώσας λόγῳ,
ὑποτακτικήν σοι δημιουργεῖς τὴν κτίσιν
πάμμορφος ὢν ἄμορφος, οὐκ ἔχων στάσιν,
οὐκ ἴχνος οὐ κίνησιν οὐ γνωστὴν βάσιν·
πάντων γὰρ εἶ κίνησις ἡ πάντων βάσις,
ἁπλοῦς μεθεκτὸς πρῶτος ἔσχατος μέσος,
ὑψηλὸς εὐρὺς ἁπλατὴς βαθὺς μέγας,
οὐδὲν δὲ τούτων, ἀλλ' ἐν ἀβάτοις ὅροις
τῆς σῆς ἐπήξω μυστικῆς ἐξουσίας.
Ὁ πανταχοῦ μὲν οὐδαμοῦ δὲ καὶ πάλιν
καὶ πάντα καὶ ἕν (ταῦτα γὰρ συναπτέον),
μήπως ὑπαχθῇ τοῖς κατ' αἴσθησιν τύποις
τὸ ἓν μονωθέν, τῇ δὲ πάντα συνθέσει
δηλοῦντες αὐτοῦ τὴν ἀπερίληπτον φύσιν,
αὖθις τό γ' ἐγκρίνωμεν ἠκριβωμένως,
μήπως τὰ πάντα σχῇ κακὴν ὑποψίαν,
καὶ δῶμεν εἱρμὸν τῇ ῥεούσῃ συνθέσει.
τὸ πανταχοῦ δὲ τὸν θεὸν πεφυκέναι
τῇ μηδαμοῦ πρόσεστιν ἀντισυνθέσει,

Digitized by Google

μήκως μερισθὲν τῇ διχῇ διαστάσει
τὸ μηδαμοῦ μὲν εἰς ἀνούσιον ῥέπῃ,
τὸ πανταχοῦ δὲ τοῖς μεριστοῖς ἁρμόσῃ,
ἀλλ' ἀντιγόμφοις ὡς ἂν εἴποι τις λόγοις
τὸ πάντα καὶ ἓν καὶ τὸ μηδαμοῦ πάλιν
τῇ πανταχοῦ σφίγγοντες ἀντιφθεγγίᾳ
στερρὸν τὸ βάθρον πήξομεν τῶν δογμάτων.
εἰ καὶ βάθος γὰρ ἐμβαθύνει σοι λόγου
πρὸς ὕψος ἀρθεὶς ἐμφανίζειν οὐ θέλεις·
εἰ δὲ πρὸς ἄκρον ὕψος ἀρθῶσι φρένες,
πρὸς ἄκρον αὐτὰς ἀνθυποστρέψεις βάθος,
ὡς μήτε μῆκος σῷ παρίπτασθαι βάθει,
μήτε πλάτος σὸν ὕψος εἰς πέρας τρέχειν,
ἀλλ' εἰς ἄπειρα τῶν ἀπείρων ἡ γύσις
χυθεῖσα τῇ σῇ τέμνεται παρεκτάσει,
ὡς εἰ λέγειν χρὴ καὶ τὰ μήπω πρὸς κτίσιν
ἐλθόντα τῇ σῇ ζωπυροῦσθαι προσθέσει.
ἐφίστασαι γάρ, καὶ παρὼν ἀφίστασαι,
μένων δὲ φεύγεις, καὶ σκιᾶς λεπτῆς δίκην
ἐν τῷ κρατεῖσθαι τὰς λαβὰς ὑπεκτρέχεις.
Οὕτω σε καὶ νῦν ἐξ ἀπληστίας πόθου
μαθεῖν θελήσας καὶ τρυγῆσαι τῷ λόγῳ
τὸν ἀμπελῶνα τῶν σοφῶν σου κτισμάτων,
οὐκ οἶδα ποῖον βότρυν ἁρπάσας λάβω·
τῇ ποικίλῃ γὰρ καὶ σοφῇ θεωρίᾳ
τὸν νοῦν μερίζω καὶ στενοῦμαι καὶ θέλων
ἑλεῖν τὰ πρῶτα κλέπτομαι τοῖς ἐσχάτοις,
καὶ δυσκαθέκτοις ἀντινήχομαι σάλοις,
ὡς οἱ πλέοντες ἐν βυθῷ θαλαττίῳ,
ὅσον προκύπτει τῆς ἀβύσσου τὸ πλάτος
πάσχουσι μᾶλλον συστολὴν ἐν καρδίᾳ.
Εἰ καὶ κράτος γὰρ ἀστραπῆς διαδράμω,

Digitized by Google

καὶ πτηνὸς ἀρθῶ, καὶ περάσω τὰς φύσεις,
καὶ μᾶλλον ἀρθῶ, καὶ τὴν αἰθέρα σχίσας
τὰς κλεῖς ἀνοίξω, Πέτρος ὢν πεπλασμένος,
καὶ τῇ τοσαύτῃ μὴ στενωθεὶς ἐκτάσει
ὑπερβεβηκὼς οὐρανοὺς ὕδωρ φθάσω,
ἴσως ἄβυσσον ἐξ ἀβύσσου, καὶ πέρας
ἀρχῇ συνάπτων καὶ πέρας μηδὲν βλέπων,
τότε προκύψας εἰς τὸν ἄκρον πυθμένα
καὶ συνθολωθεὶς πρὸς τὸ χάσμα τοῦ βάθους
ἴλιγγα πάσχω καὶ κλονοῦμαι, καὶ πάλιν
εἰς γῆν ὁ πηλὸς συστραφεὶς ὑποτρέχω·
οὐδὲν γάρ εἰμι πλὴν γεώδης αἰθάλη
καὶ πηλὸς ἀργὸς καὶ κατάρροπος κόνις.
πλὴν ποῖ πτεροῦμαι; ποῖον αἰθέρα σχίσω;
ἢ ποῖ πορευθεὶς καὶ τὸν οὐρανὸν τρέχων
εἰς πέμπτον ἀρθῶ τοῦ Σταγειρίτου πόλον;
ἢ ποῖον αὖθις ἄλλον ἢ ποῖον πάλιν
ἐκεῖνον ἐγκλείοντα καὶ ποῖον πάλιν;
ζητῶν προκόψω, ψηλαφῶν ὑποστρέφω;
τὸ τῆς κάτω γῆς εἴπερ ἀθρήσω βάθος,
καὶ μύριον πλέξαιμι τῷ βάθει βάθος,
καὶ γνῶ τὸ συμπέρασμα τῆς ἀπειρίας,
καὶ τῆς χθονὸς δὲ τῆς ἐμῆς μητρὸς μάθω,
τὸν μακρὸν αὐτῆς που συνέστειλεν πόδα,
τότε προσελθὼν ταῖς ὑπερτέραις πύλαις,
καὶ τὴν ἀνοικτόκλειστον ἐγκλείσω θύραν·
ἀνοίγεται γὰρ καὶ πλέον συστέλλεται,
ἁπλουμένη δὲ καὶ στενουμένη πλέον
χαλᾷ τὰ κλεῖθρα καὶ φοβεῖ τὰς εἰσόδους,
τοῖς εἰσβαλεῖν τολμῶσιν ἀντικειμένη.
Ἀλλ' ὦ τοσούτων ἀρχιτέκτων θαυμάτων,
ὁ τὸν σὸν υἱὸν τὸν συνάφραστον λόγον·

Digitized by Google

ἐκδοὺς δι' ἡμᾶς τοὺς ἀτάκτους οἰκέτας
εἰς λύτρον ἐχθροῖς, υἱὸν ἠγαπημένον,
ὅπως ἔχοντες ὥσπερ οἱ κεχωσμένοι
σκώληκες εἰς γῆν ἐν τάφῳ τὰς οἰκίας
(ἡ γῆ γὰρ ἡμῖν ὡς ἐκείνοις ἦν ὅλα,
βίος τροφὴ δίαιτα καὶ ζωῆς τάφος),
μὴ συγκατασπασθῶμεν ἐν ζόφῳ πάλιν,
ἀλλ' εἰς ἀνάστασίν τε καὶ νέαν πλάσιν
ἐλθὼν ἐγείρῃ τὴν πεσοῦσαν εἰκόνα,
καὶ τὰς ἀράχνας τῶν παθῶν ἀποξέσῃ,
καὶ πάντα τὸν χοῦν ἐκτινάξῃ λεντίῳ,
σκόγγῳ δὲ τὴν ῥύπωσιν ἐκμάξας ὅλην,
βρίθουσαν εἰς γῆν πνευματώσῃ τὴν κόνιν·
παρ' οὗ τὸ πνεῦμα τῆς ἀληθείας ὅλης
ἐκφανθὲν οἶδεν ἡ κτίσις σεβάσμιον,
τὸν ἀρραβῶνα τῆς ἄνω κληρουχίας,
τὸν ἄσχετον ῥοῦν τῶν καλῶν χαρισμάτων,
τὸ ζωοποιὸν τῆς ἁγιστείας κράτος,
τῆς υἱοθεσίας τὸ προάρχιον πέρας,
τὸ καὶ μερίζον καὶ διαιροῦν ὡς θέλει,
τὰς τῶν θεουργῶν δωρεῶν ἐπεκτάσεις,
τὸ πᾶσι τοῖς ἄνω τε καὶ κάτω μύρον,
τὸ χρίσμα καὶ χάρισμα τῶν τελουμένων,
τὸ φθαρτικὸν σύστημα τῆς ἁμαρτίας,
τὸ ζωτικὸν σύνταγμα τῆς ἀφθαρσίας,
τὸ φλεκτικὸν φῶς, τὴν δροσίζουσαν φλόγα,
τὸ τῆς χαρᾶς ὄχημα τῆς αἰωνίου,
τὸ τῶν προφητῶν ὀπτικώτατον σέλας,
τὸ πυρσόγλωσσον τῶν ἀποστόλων στόμα,
τὸ τῆς πάλης ἄλημα τῆς τῶν μαρτύρων,
τὸ σύνδρομόν τε καὶ συνέκδρομον σέλας
τῆς πατροφεγγοῦς τοῦ λόγου θεαρχίας,

Digitized by Google

τὸ νυμφικὸν σφράγισμα τοῦ ξένου τόκου,
ἡ μυστικὴ κλεὶς τῆς θεοδόχου πύλης,
δι' ἧς ἄσαρκος εἰσεληλυθὼς λόγος
ἐξῆλθεν ὢν ἔνσαρκος, ἐσφραγισμένην
ἀφεὶς ἐκείνην ὥσπερ εὗρε τὴν θύραν·
δι' οὗ φάλαγξ μὲν δαιμόνων ἐλαύνεται,
πεζεύεται δὲ τῆς θαλάσσης ἡ χύσις,
ἀνειμένη δὲ τῆς ῥοῆς ἡ χαυνότης
ἐκ τοῦ γεώδους οὐ βαρεῖται φορτίου·
ἄρτοι δὲ πηγάζουσι μυριοτρόφοι
ἐκ πενταρίθμων ἐκρυέντες κλασμάτων,
ὕδωρ δὲ νέκταρ θαυματουργεῖται γάμῳ,
ἕτοιμος οἶνος ἐξ ἀθήλων βοτρύων,
καινίζεται δὲ γεῦσιν ὅσφρησιν φύσιν,
καὶ τρεῖς ὅρους ἤμειψεν ἑξ ἑνὸς λόγου·
παρ' ᾧ τελεσθεὶς καὶ τελώνης εἰ θέλει
εὐαγγελιστὴς γίνεται θεογράφος.
πόρνη δὲ ῥείθροις δακρύων βαπτίζεται,
δεικνῦσα πῶς ἔνεστι κινδύνου δίχα
λουτροῦ μετασχεῖν ἐξ ἀνάγκης δευτέρου,
δι' οὗ τὰ δεινὰ δουλαγωγεῖται πάθη,
λώβης δὲ πικρὸς ἐξορίζεται βρόμος.
σφίγγει δὲ χωλὸς τὰς ἀνάρθρους συνθέσεις.
ἐκτείνεται δὲ συστολὴ παρειμένη,
συστέλλεται δὲ δυσπαθοῦσα μακρότης.
ξηραίνεται δὲ κρουνὸς ἡματωμένος,
σφαγῆς ἀγωγός, ἐμφραγεὶς τῷ κρασπέδῳ.
κόνις δὲ τυφλῶν ὀμματοῖ θεωρίαν,
τὸ πτύσμα τοῦ πλάσαντος εὐλαβουμένη.
καὶ νεκρὸς ᾅδης γίνεται παρ' ἐλπίδα,
Πλούτων πενιχρὸς καὶ σφαγεὺς ἐσφαγμένος.
μαραίνεται γὰρ τοὺς νεκροὺς ἀναπτύων

οὓς εἶχεν οὓς ἔσφιγγε κολπώσας κάτω
ἐν ταῖς ἑαυτοῦ ψυχολέθροις ἀγκάλαις,
ἕως τὸ σὸν γέννημα τὸ ζωηφόρον,
τὸ πατρικὸν φῶς, τὸ πρὸ ἡλίου σέλας,
τὸ τῶν παλαιῶν ἡμερῶν νέον βρέφος,
ἀνεῖλεν αὐτὸν ἀντὶ λόγχης τῷ ξύλῳ.
Ἀλλ' ὦ τοσούτων ἀρχιτέκτων θαυμάτων,
ὁ πρὸς τὸ σὸν βούλημα τὰς ἄνω πύλας
σφίγγων ὅτε χρὴ καὶ διευρύνων πάλιν,
ὅταν παραστῇ καὶ δοκῇ σοι συμφέρειν,
καὶ νῦν παρὼν ἄνοιγε τὰς κάτω πύλας
(πύλας γὰρ ἡμεῖς κοσμικῶν οἰκητόρων
ταύτην καλοῦμεν ἣν ἐπύργωσας πόλιν),
καὶ δὸς τὸν ἐκ σοῦ προσλαβόντα τὸ κράτος,
τὸν κοσμορύστην, τὸν διώκτην Περσίδος,
μᾶλλον δὲ τὸν σώσαντα καὶ τὴν Περσίδα
ὅλων κρατῆσαι τῶν ὑφ' ἥλιον τόπων.
δεῖξον δὲ τὴν γῆν οὐρανὸν μιμουμένην,
ἑνὸς κρατοῦντος ἡλίου καὶ τῶν κάτω·
τὸν γὰρ φανέντα Περσικὸν κοσμοκτόνον,
πρέπει γενέσθαι κοσμικὸν καὶ δεσπότην.
Ποίησον αὐτῷ τοὺς ἱδρῶτας τῶν πόνων
λουτρὸν καθαρμοῦ καὶ στολὴν ἀφθαρσίας.
αὔξησον αὐτῷ τοῦ φόβου σου τὸ κράτος·
οὕτω γὰρ ἕξει πιστὰ νικητήρια,
νίκης κατ' ἐχθρῶν ἀξιωθεὶς δευτέρας,
ὡς τοὺς ἀδούλους πυρπολήσας βαρβάρους.
ῥίζωσον αὐτῷ τοὺς ἐπανθοῦντας κλάδους
εἰς ζῶντα καρπὸν κοσμικῆς εὐκαρπίας.
ποίησον αὐτοὺς πατρὸς εἰκονίσματα·
οὕτω γὰρ αὐτοῖς διττὸν ἔσται τὸ κράτος.
ὄξυνον αὐτοῖς τὰ ξίφη πρὸς βαρβάρους,

Digitized by Google

ὅτε καθ' ἡμῶν βαρβαροῦται τὰ ξίφη.
ἔκτεινον αὐτῶν εἰς τὸ σῶσαι τὰς φρένας,
σύστειλον αὐτοῖς πᾶν ἐναντίον θράσος,
πλάτυνον αὐτοῖς τὰς πρὸς εἰρήνην πύλας,
στένωσον αὐτοῖς τὰς ἐπαχθεῖς φροντίδας.
Ὁ πατριάρχης ταῦτα κράζει καὶ λέγει,
κἂν ἐστιν ἰσχνόφωνος ἐξ ἀσιτίας,
καὶ μὴ λαλῶν ἤχησεν ἔνδοθεν μέγα,
τὴν γλῶτταν ἐνθεὶς εἰς τὸ πῦρ τῆς καρδίας
ἔκρυψεν αὐτὴν καὶ στομοῦται μειζόνως,
βοᾷ δὲ σιγῶν, ὡς ὁ Μωσέως φάρυγξ.
ἀκούεται δὲ μὴ σαλεύων τὸ στόμα·
τέγγει δὲ τὴν γῆν, καὶ δι' ὀμμάτων βρέχει,
καὶ πυκνὰ νίφει τῇ φορᾷ τῶν δακρύων.
ἔγνωμεν αὐτὸν κἂν δοκῇ λεληθέναι·
δῆλος γὰρ ἦν τὸ βλέμμα χαυνώσας κάτω
καὶ τοὺς λογισμοὺς πάντας ἐκτείνας ἄνω.
Ἀλλ' ὦ φονευτὰ τῶν παθῶν τῶν βαρβάρων
(σφάττεις γὰρ αὐτὰ τῇ μαχαίρᾳ τοῦ λόγου),
τὸ τεῖχος ἡμῶν δεῖξον ὠχυρωμένον·
τὰ γὰρ σὰ τέκνα τεῖχος εὗρον αἱ πόλεις.
πύργωσον αὐτοῖς τὰς ἐπάλξεις ἐκ λίθων,
τὸν Χριστὸν ἀκρόγωνον ἐμβαλὼν λίθον.
σύμπλεξον αὐτοῖς μαργαρίτας ἀφθόρους
ἐκ δακρύων παγέντας, οὐκ ἐξ ὀστράκων.
λάλει δι' αὐτοὺς τῷ θεῷ καθ' ἡμέραν·
νυκτὸς γὰρ ὑμῖν οὐ μελαίνεται ζόφος.
στόμωσον αὐτοὺς μυστικοῖς ἀκοντίοις,
σύμπηξον αὐτοῖς σταυρομόρφους ἀσπίδας,
τεῖνον τὰ τόξα τῇ τάσει τῶν δακτύλων,
πτέρωσον αὐτοῖς ψαλμοκίνητον βέλος,
ποίησον αὐτοῖς ἐκ στεναγμοῦ σφενδόνην,

Digitized by Google

χάλκευσον αὐτοῖς ἠκονημένα ξίφη,
τὸ πῦρ νοητῆς ἐκ πυράγρας ἁρπάσας·
τὸ τοῦ θεοῦ δὲ πνεῦμα πρὸς φυσῶν ἔχων.
κάμψον δι' αὐτοὺς τῷ θεῷ τὸν αὐχένα,
καὶ πᾶσα Περσὶς ἀντικάμπτει τοὺς πόδας.
κλῖνον δι' αὐτοὺς εἰς τὸ βῆμα τὰ σκέλη,
καὶ πάντας ἄρδην συμπατοῦσι βαρβάρους.
τὰ νῶτά σου σύννευσον εἰς τὴν γῆν κάτω,
καὶ πᾶς ὁ κόσμος εὐθέως ἐγείρεται.
οὕτω γὰρ οἱ νυχθέντες ἐξ ἁμαρτίας
ὁλκοὶ φραγῶσι, καὶ μετ' εἰρήνης ὅλοι
τὰ στυγνὰ τῆς γῆς ἐκπεράσωμεν νέφη,
μιᾷ δὲ φωνῇ πᾶν κεκράξεται στόμα
ὡς ἐμεγαλύνθη τοῦ θεοῦ τῶν κτισμάτων
ἡ δημιουργὸς καὶ σοφὴ παντουργία.

Digitized by Google

FRAGMENTUM HERCULANENSE

Digitized by Google

Digitized by Google

. . Ζῷα δὲ καθ' ἐκείνην τὴν χώραν ἐστί, καὶ τόπος τις κοῖλος πρὸς μεσημβρίαν πληθύων παντοίων τοῖς μεγέθεσιν ὄφεων, ὧν ἐνίας μὲν πεντεκαιδεκαπηχέας εἶναι οἱ περιναιετάοντες λέγουσιν, ἃς χωρὶς κυδύνων θηρεύουσι, τροφὴν ἀεὶ ἑτοίμην παρεχούσας. τῷ δὲ ἔθνει τούτῳ χώρα παρήκει κατὰ τὰς τῶν ποταμῶν ποικιλίας καλὴ καὶ πρὸς νομὴν ἀγαθή, τῇ δὲ προειρημένῃ παραλίᾳ νῆσοι τέσσαρες ἐπίκεινται πετρηφεές μὲν καὶ μέλαιναι τὴν ὄψιν, στηλῶν δὲ παμμεγεθῶν ὕλην αὐτόφυτον ἀποφαίνουσαι ἑρεψαι. ὄρος καὶ παράκειται τὸ τῶν Κυκλώπων ὀνομαζόμενον ὑπὸ τὰς ῥίζας ὁμοίως καὶ κατὰ τὴν κορυφὴν πέτρας ἔχον ἀποτομάδας . . .

Digitized by Google

Digitized by Google

H 490 -1

Digitized by Google

Digitized by Google

3 2044 019 057 975



Digitized by Google

Digitized by Google